# ΜΕΣΑΙΩΝΙΚΗΣ
# ΒΙΒΛΙΟΘΗΚΗΣ

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

---

## BIBLIOTHECA GRÆCA MEDII ÆVI.

VOL. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΜΕΣΑΙΩΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἢ

# ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ ΜΝΗΜΕΙΩΝ

## ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΕΠΙΣΤΑΣΙᾼ

Κ. Ν. ΣΑΘΑ.

ΤΟΜΟΣ Ε΄.

ΕΝ ΒΕΝΕΤΙᾼ
ΤΥΠΟΙΣ ΤΟΥ ΦΟΙΝΙΚΟΣ

1876.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

## ΙΣΤΟΡΙΚΟΙ ΛΟΓΟΙ, ΕΠΙΣΤΟΛΑΙ,

### ΚΑΙ ΑΛΛΑ ΑΝΕΚΔΟΤΑ.

ΕΝ ΠΑΡΙΣΙΟΙΣ
MAISONNEUVE ET C^IE, LIBRAIRES-ÉDITEURS,
QUAI VOLTAIRE, 15.

1876

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ
17362
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΤΩι ΦΙΛΟΜΟΥΣΩι ΚΑΙ ΦΙΛΟΠΑΤΡΙΔΙ

ΚΥΡΙΩι

**ΣΤΕΦΑΝΩι ΖΑΦΕΙΡΟΠΟΥΛΩι**

ΕΥΓΝΩΜΟΝΩΣ

ΑΝΑΤΙΘΕΤΑΙ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΠΡΟΛΟΓΟΣ.

Ὁ πέμπτος οὗτος τόμος τῆς Μεσαιωνικῆς Βιβλιοθήκης, θεωρητέος μᾶλλον ὡς δεύτερος ἰδίας σειρᾶς ἀνεκδότων πονημάτων ἑνὸς καὶ μόνου συγγραφέως, τοσοῦτον μᾶλλον περισπουδάστου ὅσον ὁμολογεῖται ὁ πολιτικὸς καὶ φιλολογικὸς ἀντιπρόσωπος μιᾶς τῶν σκοτεινοτέρων περιόδων τοῦ βυζαντινοῦ ἑλληνισμοῦ· διὰ τὸν τελευταῖον δὲ τοῦτον λόγον οὐδὲν παράδοξον ὅτι, μὴ ἀρκούμενοι εἰς τὴν πρώτην περὶ αὐτοῦ μακρολογίαν (1) ἀρκετὰ καὶ νῦν προστιθέμεθα, εἰλικρινῶς μάλιστα ὁμολογοῦντες ὅτι διὰ τούτων διαφωτίζεται μὲν ἡ ἀμαυρὰ εἰκών, μένουσιν ὅμως ἔτι ἐν αὐτῇ σκιεράτινα σημεῖα τελικῶς ἀπαλειφθησόμενα διὰ τοῦ ἐκκαθαρτικοῦ χρωστῆρος ἑνὸς ἔτι τόμου ἀνεκδότων.

Ὀλίγοι, ὡς ὁ Ψελλός, ἐπαξίως δικαιοῦνται τοῦ ἐπωνύμου ἐκείνου δι' οὗ καταλλήλως ἡ ἑλληνικὴ γλῶσσα ἐχαρακτήρισε

(1) Τὰ ἐν τῷ προηγουμένῳ τόμῳ ἐκτεθέντα οὐσιωδῶς ἐτροποποίησαν τὰ περὶ Ψελλοῦ βιογραφικὰ ἄρθρα· πρῶτος ὁ διάσημος ἑλληνιστὴς κ. Egger, ἐπὶ τῇ βάσει τῶν ἡμετέρων πληροφοριῶν μετερρύθμισε τὴν περὶ τοῦ βυζαντινοῦ φιλοσόφου μελέτην ἐν τῷ νῦν τὸ δεύτερον ἐκδιδομένῳ μεγάλῳ Φιλοσοφικῷ λεξικῷ (Dictionnaire des sciences philosophiques par une société de professeurs et de savants).

τὴν ἐξαιρετικὴν φιλοπονίαν (1)· τοῦ ὄντως χαλκεντέρου τούτου πολυγράφου ἀρκετὰ μὲν φιλοπονήματα ἐδημοσιεύθησαν ἀπὸ τοῦ 1503 ἔτους μέχρι τῶν καθ' ἡμᾶς χρόνων, τὰ πλείω ὅμως ἀπόκεινται ἔτι ἀνέκδοτα, διεσπαρμένα ἐν πάσῃ σχεδὸν βιβλιοθήκῃ.

Ἡ τῶν ἁπάντων ἔκδοσις τοῦ Ψελλοῦ ἀποτελέσει ἀληθῆ ἐγκυκλοπαιδείαν παντοίων γνώσεων, τοσοῦτον μᾶλλον περισπούδαστον, ὅσον αἱ περὶ παντὸς τοῦ ἐπιστητοῦ εἴδους ἀπειράριθμοι μονογραφίαι αὐτοῦ οὐδὲν ἄλλο εἰσὶν ἢ ἐπιτομαὶ ἀρχαίων φιλοσοφικῶν, ἰατρικῶν, γραμματικῶν, μουσικῶν, νομικῶν καὶ τοσούτων ἄλλων πραγματειῶν, ὡς ἐπὶ τὸ πλεῖστον μὴ περιελθουσῶν εἰς ἡμᾶς.

Ἀπ' αὐτῆς τῆς ἱδρύσεως αὐτῆς ἡ Μεσαιωνικὴ Βιβλιοθήκη ὡς κύριον σκοπὸν προέθετο τὴν ἔκδοσιν τῶν ἱστορικῶν ἐκείνων μνημείων τὰ ὁποῖα συμβάλλουσιν εἰς διαφώτισιν τοῦ μεσαιωνικοῦ ἑλληνισμοῦ· καίτοι δὲ πολλοὶ τῶν δι' ἐξαιρετικῆς εὐμενείας τιμησάντων τὸ ἑλληνικὸν τοῦτο ἔργον ἑλληνιστῶν ἐπανειλημμένως ἐξέφρασαν τὴν ἐπιθυμίαν ὅπως ἴδωσι συμπεριλαμβανόμενα καί τινα τῶν ἄλλων ἀνεκδότων μνημείων τῆς ἑλληνικῆς φιλολογίας, νῦν ὅτε τὰ ὁσημέραι ἀνευρισκόμενα ἱστορικὰ ἀνέκδοτα, ἀφ' ἑνὸς μὲν ἐγγυῶνται τὴν διηνεκῆ τοῦ ἔργου ἐξακολούθησιν, ἀφ' ἑτέρου δὲ πολυτιμοτέρα ὁμολογεῖται ἡ διὰ τούτων ποικίλη πρὸς τὸν ἑλληνισμὸν ὑπηρεσία, ἔτι μᾶλλον προτιμῶμεν ἵνα μὴ παρεκκλίνωμεν τοῦ ἀρχικοῦ προγράμματος.

(1) Ἰδοὺ πῶς πρὸ δύο ἑκατονταετηρίδων ἐχαρακτήρισε τὸν Ψελλὸν ἀνὴρ εἴπέρ τις καὶ ἄλλος ἐγκύψας εἰς τὴν μελέτην τῆς βυζαντινῆς φιλολογίας. « Hic ergo Psellus, ut doctrina praestantissimus, ita omnium πολυγραφώτατος fuit. Ausim dicere neminem, ea, vel subsequente aetate, Graece vel invenisse acrius, vel ordinasse aptius, vel locutum eloqnentius, vel profundius res pertractasse. Nulla fuit scientia, quam ipse vel notis non illustraverit, vel compendio non tentaverit, vel optima methodo non expedierit. » Allatius de Psellis, XXXIII.

Διὰ τὸν λόγον τοῦτον, εἰς ἄλλους μᾶλλον φιλοψέλλους χαριζόμενοι τὸν τιμητικὸν ἆθλον τῆς ἐκθάψεως καὶ συναρμολογήσεως τῶν εἰς τοσαῦτα βιβλιοταφεῖα διεσπαρμένων ἄρθρων τοῦ ἑλληνικοῦ τούτου σκελετοῦ, περιορίζομεν τὸ ἡμέτερον ἔργον εἰς τὴν δημοσίευσιν τῶν πονημάτων καὶ ἐγγράφων ἐκείνων, τὰ ὁποῖα διαλευκαίνουσι μίαν ὅλην ἑκατονταετηρίδα τῆς ἑλληνικῆς ἱστορίας καὶ φιλολογίας, ἑκατονταετηρίδα τῆς ὁποίας, ὡς ἐρρέθη, ὁ Ψελλὸς ὁμολογεῖται ὁ κύριος ἀντιπρόσωπος.

Τὰ ἱστορικὰ ταῦτα μνημεῖα, ἰδίᾳ δὲ αἱ ἐπιστολαί, ἔχουσι τὸ ἐξαίρετον πλεονέκτημα ὅτι εἰσὶν ἐκ τῶν σπανιωτέρων προϊόντων τῆς βυζαντινῆς φιλολογίας· ἐνῷ αἱ ἄλλαι τῶν ἐγνωσμένων περιστρέφονται εἰς φιλοσοφικὰς καὶ θεολογικὰς συζητήσεις, ἀφ' ὧν ἐλάχιστα ἡ ἱστορία πορίζεται, αἱ τοῦ Ψελλοῦ ἐπιστολαὶ ἐξεικονίζουσι τὸν βυζαντινὸν βίον ὑπὸ πολλὰς ὑπόψεις.

Ὡς ἐπιστολογράφος ὁ Ψελλὸς δύναται ἵνα συγκριθῇ πρὸς μόνον τὸν Συνέσιον καὶ τὸν Φώτιον, ἰδίᾳ δὲ πρὸς τὸν πρῶτον, πρὸς ὃν ἀναγνωρίζεται καὶ στενωτέρα ὕφους συγγένεια. Εἰς τὴν σύγκρισιν ταύτην περιοριζόμεθα ἵνα μὴ δειχθῶμεν ὑπερβολικοὶ τοῦ Ψελλικοῦ ὕφους θαυμασταί, καίτοι ἄλλοι, ἀπαλείφοντες τοῦτον ἀπὸ τῆς βυζαντινῆς φιλολογίας, θεωροῦσιν ὡς ἕνα, οὐχὶ τῶν τελευταίων μιμητῶν, ἀλλὰ τῶν πρώτων διδασκάλων τῆς ἀττικῆς χάριτος (1).

Τὴν περὶ τὸ λέγειν δεινότητα καὶ τὸ ἁπαλὸν καὶ κομψὸν τῆς φράσεως τοῦ Ψελλοῦ, οὐδεὶς οὐδὲ τῶν συγχρόνων αὐτοῦ ἀντιπάλων παρεγνώρισε, καὶ αὐτὸς μάλιστα οὗτος πολλαχοῦ

(1) « Ille (Ψελλὸς) plurimarum scientiarum linguarumque cognitione instructissimus libellum Περὶ ἐνεργείας δαιμόνων conscripsit, quo nihil unquam inter veteres Graecos in hoc scribendi genere accuratius elegantiusque prodiit. » Mich. Pselli, de operatione daemonum, 1615, Gaulmini dedicatio. « Pselli incomparabilis . . . illustris ingenii monumenta » Hasenmüller, Psellus, 1688, praefatio.

κομπορρημονῶν καυχᾶται τὴν ἀπαράμιλλον αὐτοῦ εὐγλωττίαν, εἰς τὴν ὁποίαν καὶ μόνην ὤφειλε τὴν ἐκ τῆς ἀφανείας λαμπρὰν αὐτοῦ ἀνάδειξιν.

Ἅμα ἐβασίλευσεν ὁ Μονομάχος, ὁ τότε πτωχὸς καὶ ἄσημος Ψελλὸς ἀπέτεινε πρὸς τοῦτον ἐγκωμιαστικὸν λόγον, μὴ ἀπηλλαγμένον μὲν τῶν ἰδιαζόντων εἰς τοὺς βυζαντινοὺς ἐλαττωμάτων, διακένου φρασεολογίας, θεατρικοῦ πάθους καὶ ὑπερβολῆς ἐν τῷ ψόγῳ καὶ τῷ ἐγκωμίῳ, κατηνθισμένον ὅμως ἐξ ἐκλεκτῶν ἀνθέων τοῦ ἀττικοῦ λειμῶνος. Εἰς τὸν χαρίεντα τοῦτον λόγον ὀφείλει ὁ μὲν Ψελλὸς τὸ μέλλον αὐτοῦ, τὰ δὲ ἑλληνικὰ γράμματα τὴν ἀναγέννησιν αὐτῶν, καὶ ἡ βυζαντινὴ ἱστορία τὴν συμπλήρωσιν τοῦ προϋφισταμένου ἐν τῇ σειρᾷ τῶν χρονογράφων αὐτῆς χάσματος. Ἐγκωμιάζων τὸν νέον βασιλέα προτρέπει αὐτὸν ἵνα ἐγκαινιάσῃ τὴν ἀρχήν, ἐπανάγων ἐν τῇ ἑστίᾳ αὐτῶν τὰς ὑπὸ τῶν τελευταίων ἀπογόνων τοῦ Μακεδονικοῦ οἴκου φυγαδευθείσας μούσας, προτείνων ἐν τέλει εἰς τὸν λόγιον συμπατριώτην αὐτοῦ καὶ ἡγεμόνα τὴν ὅλως πρωτότυπον ἰδέαν περὶ ἱδρύσεως συναγωνισμοῦ ἐν λόγοις καὶ διανομῆς τῶν ὑπουργημάτων εἰς ἐκείνους, οἵτινες μετ' αὐστηρὰν δοκιμασίαν ἀνακηρυχθῶσι νικηταί (1).

Τὸν ἀγῶνα τοῦτον ἐπροκάλεσεν ὁ Ψελλός, διότι ἐθεώρει ἐξησφαλισμένον τὸν ἐν αὐτῷ θρίαμβον αὐτοῦ. Ἀλλ' ἡ ἐπιτυχία ἐκείνη συνετέλεσεν ἵνα μεταβάλῃ εἰς ἐπίψογον ἐλάττωμα τὴν ἐπίζηλον ἀρετήν, δι' ἧς ἡ φύσις ἐπροίκισεν αὐτόν.

Οἱ βυζαντινοὶ τῶν χρόνων ἐκείνων, καίτοι ἀποκαλοῦντες ἑαυτοὺς Ρωμαίους, οὐδὲν ἕτερον ἦσαν ἢ Ἕλληνες, κεκτημένοι τινὰς μὲν τῶν ἀρετῶν, πολλὰ δὲ τῶν ἰδιαζόντων εἰς τὴν ἀθάνατον φυλὴν ἐλαττωμάτων. Οἱ περὶ τὴν ἑλληνικὴν ἱστορίαν φιλοσοφήσαντες παρετήρησαν ὅτι, ἐν ᾧ εἰς τοὺς ἄλλους λαοὺς

(1) Σελὶς 117-142 τοῦ παρόντος τόμου.

ἡ ἐπιτυχία ἀποβαίνει ἀκοίμητον κέντρον πρὸς νέους ἀγῶνας, αὕτη ἐξασκεῖ ἰδιόρρυθμόν τινα ἐπιρροὴν ἐπὶ τῆς ἑλληνικῆς καρδίας· ὡσεὶ θαμβούμενος ὁ Ἕλλην ὑπὸ τῆς πρώτης τῆς ἐπιτυχίας λαμπηδόνος, ἢ ἀρκεῖται εἰς τὸν πρῶτον τῆς ἀρετῆς αὐτοῦ θρίαμβον, ἐπισύρων οὕτω τὴν μομφὴν τῶν μεταγενεστέρων, ἢ ἐξοκέλλει εἰς τὸ ἐλάττωμα τοῦ ἐγωϊσμοῦ, καὶ τότε χορηγεῖ τὴν εὔλογον πρόφασιν τῆς ἐκρήξεως τοῦ φθόνου τῶν συγχρόνων.

Ὁ φθόνος ὁμολογεῖται ὡς ἐλάττωμα, ἢ μᾶλλον νόσημα τῆς ἀνθρωπίνης ἀτελείας, ἑπομένως οὐδέποτε ἔπαυσε πᾶσαν κοινωνίαν λυμαινόμενος· τὰ ἱστορικὰ ὅμως αὐτοῦ κατορθώματα πρώτη ἀνέγραψεν ἡ ἑλληνικὴ ἱστορία. Καθ' ὅλην τὴν μακραίωνα αὐτοῦ ὕπαρξιν ὁ Ἕλλην παρέστησε τὸ παράδοξον κρᾶμα, οἴκτου μέχρις ἐλαττώματος καὶ φθόνου μέχρις ἐγκλήματος· οὐδεὶς τῶν ἄλλων λαῶν ἐλεεῖ τὴν δυστυχίαν συμπαθέστερον, ἀλλὰ συγχρόνως οὐδεὶς πώποτε ᾐσθάνθη ἐν τῇ καρδίᾳ αὐτοῦ τὸ κέντρον τοῦ φθόνου ζωηρότερον τοῦ Ἕλληνος. Εὐτυχὴς ὁ κατορθώσας ἵνα λάθῃ βιώσας, εὐτυχέστερος δὲ ὁ δυνηθεὶς ὅπως, ἐν ᾧ ἀναβαίνει μίαν βαθμίδα κοσμικῆς περιωπῆς, καταβαίνῃ συγχρόνως μίαν πρὸς τὴν ταπεινοφροσύνην.

Ὁ πατὴρ τοῦ Ψελλοῦ φαίνεται πεπροικισμένος διὰ τῆς τελευταίας ταύτης ἀρετῆς, διὸ καὶ κατώρθωσεν ἵνα διέλθῃ τὸν βίον, κατὰ τὴν πλατωνικὴν τοῦ υἱοῦ αὐτοῦ ἔκφρασιν, «ὡς ῥεῦμα ἐλαίου ἀψοφητὶ ῥέον (1)»· αὐτὸς ὅμως οὗτος, καίτοι ὁμολογῶν ἑαυτὸν πιστὸν τοῦ πατρὸς ἀντίτυπον, ἐκέκτητο εἰς μεγάλην δόσιν τὸν ἐγωϊσμὸν καὶ τὰ ἄλλα τῶν ἐλαττωμάτων τὰ ὁποῖα καθιστῶσι τὸν βίον πολυτάραχον.

Ἅμα ὁ Ψελλὸς εἰσεπήδησεν εἰς τὰ ἀνάκτορα, πρώτην φροντίδα ἔθετο ἵνα συνασπισθῇ πρὸς τοὺς ἄλλους αὐλικοὺς καὶ συνομολογήσῃ πρὸς τούτους ἑταιρίαν οὕτως εἰπεῖν ἀλληλοβοη-

(1) Σελὶς 19-20 τοῦ παρόντος τόμου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θείας (1)· ἔκτοτε δὲ μεταβάλλει καὶ ἄνθρωπον καὶ ὕφος. Ἡ γόνιμος αὐτοῦ φαντασία ἐξαντλεῖται εἰς ἐφεύρεσιν τῶν κολακευτικωτέρων τῆς βασιλικῆς ματαιότητος ἐπιθέτων, ἡ δὲ ἀπύλωτος αὐτοῦ γλῶσσα καχλάζουσα ἀναδίδει τὰ ἀηδῆ ἐκεῖνα ἐγκώμια, τὰ ὁποῖα καὶ αὐτὸς οὗτος ἐχαρακτήρισεν ὕστερον ὡς ὑπερβολικά (2), οἱ δὲ βυζαντινοὶ οὔτε μετὰ θάνατον αὐτοῦ λησμονοῦσιν, ἀλλ' ἀρέσκονται φανταζόμενοι καὶ ἐν αὐτῷ τῷ ᾅδῃ τὸν Ψελλὸν παρακολουθούμενον ὑπὸ τῶν σοφιστῶν, χλευαστικῶς αὐτῷ ἐπιλεγόντων « ὦ βασιλεῦ ἥλιε », διότι διὰ τῶν λέξεων τούτων ἄρχεται ἓν τῶν πρὸς τὸν Μονομάχον ἐγκωμίων αὐτοῦ (3).

Ἀλλ' ἐν ᾧ οἱ ἐν τῇ αὐλῇ συνησπισμένοι ἀπολαύουσι τῶν βασιλικῶν ἀγαθῶν καὶ διὰ τῆς γλώσσης τοῦ Ψελλοῦ ἐγκωμιάζουσι τὸν δι' αὐτοὺς χρυσόρρειθρον Πακτωλόν, οἱ ἀπόβλητοι καὶ τοσοῦτον ἐρῶντες τῆς μακαριστῆς ἐκείνης εὐδαιμονίας, συνομολογοῦσιν ἕτερον συνασπισμὸν ἐν ὀνόματι τῶν καταπατουμένων δικαίων τῆς ἀνθρωπίνης ἰσότητος. Τὸ καταστατικὸν τοῦ νέου τούτου συνεταιρισμοῦ ἦν ἀληθὲς ἀριστούργημα, ὀφειλόμενον οὔτε εἰς τὴν εὐφυΐαν, οὔτε εἰς τὰς γνώσεως τῶν τότε συνεταίρων, ἀλλ' εἰς αὐτὸ τὸ δαιμόνιον πνεῦμα καὶ τὴν ἱστο-

(1) Ἀγνοῶ πότε ἐδημιουργήθη ἢ εἰς τὰ ἑλληνικὰ λεξικὰ ἄγνωστος αὕτη λέξις· τὸ βέβαιον ὅμως εἶναι ὅτι ὁ ἐπὶ τῶν Ῥωμαίων ἑλληνισμὸς ἐπενόησε τὴν λέξιν « ἀλληλοφθονία », διότι τότε τοσοῦτον ὁ φθόνος ἐλυμαίνετο τὸ ἑλληνικὸν σῶμα, ὥστε οἱ σοφισταὶ « ἀναπλάσαντες δαίμονά τινα νέον, Ζηλοτυπίαν, κρήδεμνον μὲν αὐτῷ Φθόνον προσέθεσαν, ζώνην δ' αὖ Ἔριν ». Μενάνδρου ῥήτορος περὶ ἐπιδεικτικῶν ἐν Walz Rhetores Graeci, IX, σελ. 153. οἱ πρῶτοι βυζαντινοὶ συναισθανθέντες τὴν ἀνάγκητῆς ἀλληλοβοηθείας εἰς ἐξορκισμὸν τοῦ φοβεροῦ τούτου δαίμονος, ἔπλανσαν τὰς λέξεις « ἀλληλοσύμμαχος » καὶ « ἀλληλόφιλος ».

(2) Μεσαιωνικῆς Βιβλιοθήκης τόμ. Δ', σελ. 115.

(3) Βλέπε τοῦτο ἐν τῷ παρόντι τόμῳ δημοσιευόμενον, σελ. 106-117.

ρικὴν πεῖραν τοῦ φθόνου. Σάτυραι ἀνώνυμοι καὶ ἄλλα κατηγορητήρια ἔγγραφα φέροντα τὰς ὑπογραφὰς ὑπευθύνων συντακτῶν παρεισδύουσιν εἰς τὰ ἀνάκτορα μὲ τὸν μονομερῆ σκοπὸν τῆς συκοφαντίας· οἱ λίβελλοι οὗτοι, ἐν εἴδει ἐγκωμίων πρὸς τὸν βασιλέα ἀπευθυνόμενοι, καὶ διὰ τοῦτο τὴν προσοχὴν αὐτοῦ ἑλκύοντες, δηλητηριάζουσιν ὀλίγον κατ' ὀλίγον τὴν ἁπλοϊκὴν αὐτοῦ καρδίαν, καὶ ἐπὶ τέλους πείθουσιν αὐτὸν ἵνα ἐκλάβῃ τὰς συκοφαντίας ὡς ἀληθῆ γεγονότα, καὶ ζητήσῃ τὴν ἐπ' αὐτῶν ἀπολογίαν τῶν ὑπουργῶν αὐτοῦ.

Ἔκτοτε πλέον ἄρχεται ἀληθὴς ῥυπαρογραφίας ἀγών, τοσοῦτον μᾶλλον ἀξιόμεμπτος, ὅσον δι' αὐτοῦ κηλιδοῦται ἡ ὑπὸ τοῦ Ψελλοῦ τότε ἀντιπροσωπευομένη ἑλληνικὴ γλῶσσα, καὶ τὸ χεῖρον ὅτι ἐπὶ τέλους τὸ κράτος ἀποβάλλει ἐξόχους ἐπὶ ἀρετῇ καὶ παιδείᾳ ἄνδρας, ὅπως παραδοθῇ εἰς βαρβαρικὰ καθάρματα καὶ βλακώδεις γελωτοποιούς, εἷς τῶν ὁποίων παρ' ὀλίγον ἀνέβαινε καὶ ἐπὶ αὐτοῦ τοῦ θρόνου.

Ὁ τότε πρωθυπουργῶν Κωνσταντῖνος Λειχούδης, ὁ ὕστερον καὶ τὸν πατριαρχικὸν θρόνον κοσμήσας, εἶχε διακριθῆ καθ' ὅλον τὸ μακρὸν πολιτικὸν αὐτοῦ στάδιον ἐπὶ ἐξόχῳ συνέσει καὶ αὐστηρᾷ πρὸς τὸ καθῆκον καὶ τὸν θρόνον ἀφοσιώσει. Οἱ ἐχθροὶ αὐτοῦ μὴ ἔχοντές τι ἄλλο ἵνα προσάψωσιν εἰς τὸν ἀκηλίδωτον χαρακτῆρα τοῦ ἀρχαϊκοῦ ἀνδρός, εὕρισκον κακόφωνον τὸ ὄνομα τοῦ υἱοῦ τῆς Λειχουδίας, διότι οὕτως ἐπὶ τὸ χλευαστικώτερον ἐπωνόμαζον αὐτόν (1). Ἐπὶ μᾶλλον δὲ νῦν ἐμίσουν τὸν ἄνδρα, διότι ἐγνώριζον ὅτι οὗτος πραγματικῶς ἐβασίλευεν ἐν ὀνόματι τοῦ παλίμπαιδος Μονομάχου, καὶ ὅτι ἰδιαζόντως ἐπροστάτευε τοὺς μετ' αὐτοῦ συνυπουργοῦντας, τοὺς ὁποίους καὶ μεταξὺ τοσούτων ἄλλων ὑποψηφίων εἶχε διακρίνει. Ὁ φθόνος πολυειδῶς μελετήσας τὸ ἐκλεκτὸν τοῦτο θῦμα, οὐδεμίαν

(1) Κεδρηνοῦ, σελ. 570 ἐκδ. Παρισίων. — Νικηφόρος Βρυέννιος, σελ. 31.

εὕρισκεν ἐν αὐτῷ λαβὴν εἰς ἐξύφανσιν τῆς συκοφαντίας, ἢ ἂν τοιαύτην ἐφεῦρεν, ἐκαραδόκει τὴν κατάλληλον ὥραν πρὸς ἐπιτυχῆ ἀνάπτυξιν αὐτῆς, διότι οἱ ἀλλεπάλληλοι τῆς συνετῆς πολιτικῆς τοῦ Λειχούδη θρίαμβοι ἐπέβαλλον εἰς τοὺς φθονεροὺς σιωπήν. Ἐν οἰκτρᾷ ἀληθῶς καταστάσει παραλαβὼν τὸ κράτος ὁ ἔξοχος ἀνήρ, ἀνέδειξεν ἔκτακτον δραστηριότητα, καὶ ἀφοῦ ἀπέκρουσε τὰς ἐπιδρομὰς τῶν Ῥώσσων, καὶ κατέπνιξε τὰς ἀλληλοδιαδόχους στρατιωτικὰς ἀνταρσίας, ἐπλάτυνε τὰ πρὸς ἀνατολὴν καὶ δύσιν ὅρια τοῦ κράτους, καὶ ἐπὶ τέλους ἐδώρησεν εἰς αὐτὸ βαθεῖαν εἰρήνην, ἥτις τοσοῦτον σπανίως ἀπαντᾷ ἐν τῇ βυζαντινῇ ἱστορίᾳ. Ὁ βασιλεὺς τοσοῦτον εὐχαριστημένος ἐκ τῆς διοικήσεως τοῦ ἀνδρός, ἓν μόνον εἶχε κατ' αὐτοῦ παράπονον, ὅτι ἦν ὑπὲρ τὸ δέον αὐστηρός, ἐλέγχων καὶ αὐτὸν τοῦτον διὰ τὰς ἐρωτικὰς αὐτοῦ ἰδιοτροπίας καὶ τοὺς χάριν αὐτῶν διασπαθωμένους θησαυροὺς τοῦ βασιλείου. Τοῦτο οἱ ἐχθροὶ τοῦ Λειχούδη γνωρίζοντες, ὑπέδειξαν διαφοροτρόπως εἰς τὸν παλίμπαιδα ἡγεμόνα τὸ ἄτοπον, ἵνα ἐκεῖνος μὲν βασιλεύῃ πραγματικῶς, αὐτὸς δὲ ὁ ἀληθὴς ἡγεμὼν ἐξαρτᾶται ἀπὸ τῆς ἰδιοτροπίας τοῦ πρωθυπουργοῦ, τολμῶντος ὅπως ἐπικρίνῃ τὰς βασιλικὰς ὀρέξεις. Ἔκτοτε ὁ Μονομάχος οὐ μόνον ἔπαυσεν ἀκούων τὰς συμβουλὰς τοῦ πρωθυπουργοῦ, ἀλλὰ καὶ ἐσκέπτετο περὶ ἀντικαταστάσεως αὐτοῦ. Οἱ φίλοι προαισθανθέντες τὸν κίνδυνον, ἐν καιρῷ παρεκάλεσαν τὸν Λειχούδην ἵνα χαλαρώσῃ τὸ αὐστηρὸν ἦθος καὶ ἐνδίδῃ εὐκολώτερον εἰς τὰς ἀνοήτους ἀπαιτήσεις τοῦ ἐκμεμωραμένου ἡγεμόνος· ἀλλ' ὁ τίμιος ἀνὴρ ἀπέπεμψεν αὐτοὺς λέγων τὰ ἀξιομνημόνευτα ταῦτα λόγια « ἐν ὅσῳ ἐγὼ εἰμι πρωθυπουργός, οὐδέποτε θέλω συναινέσει ἵνα ἐπιτρέψω τι ἀτιμάζον τὸ στέμμα ». Ἀλλὰ μετ' οὐ πολὺ ἀπεπέμφθη καὶ αὐτὸς τῶν ἀνακτόρων.

Ἀγνοοῦμεν ὁποίας συκοφαντίας ἐπενόησεν ὁ φθόνος καὶ κατὰ τοῦ ὑπουργοῦ Ἰωάννου Μαυροπόδη, οὐδόλως ὅμως ἀπίθανον ὅτι

αὐτὸ τὸ ἐπώνυμον αὐτοῦ ὀφείλεται εἰς τὴν ἄχαριν εὐφυολογίαν τῶν ἀντιπάλων.

Ὁ ἐπὶ τῆς δικαιοσύνης ὑπουργὸς Ἰωάννης ὁ Ξιφιλῖνος, ὁ ὕστερον τὸν Λειχούδην διαδεχθεὶς ἐν τῷ πατριαρχικῷ θρόνῳ, ὁμολογεῖται ὡς εἷς τῶν δοκιμωτέρων νομοδιδασκάλων, φιλοσόφων καὶ θεολόγων τοῦ καιροῦ ἐκείνου· χάριν αὐτοῦ τούτου ἱδρύθη τὸ τέως ἄγνωστον ὑπούργημα τοῦ Νομοφύλακος. Κατὰ τούτου ὁ ὄχλος τῶν συκοφαντῶν, ἀφοῦ ἐξήμεσε πᾶσαν διαβολήν, προσήγαγεν ἐπὶ τέλους ῥητὴν κατηγορίαν, ὑπογεγραμμένην ὑπό τινος γεροντίου, Ὀφρυδᾶ καλουμένου, δι' ἧς προσεκαλεῖτο ὁ ἐγκωμιαζόμενος αὐτοκράτωρ ὅπως ἀποδιώξῃ τὸν τοσοῦτον ἀτιμάζοντα τὸ στέμμα ἀγράμματον καὶ τῶν νόμων ἀνίδεον ὑπουργόν!

Ἀλλὰ παρὰ πάντας τοὺς ἄλλους ὁ Ψελλὸς ἐκίνει τὴν χολὴν εἰς τοὺς τότε φθονερούς, διότι καὶ νεώτατος ἦν τὴν ἡλικίαν, καὶ ἐν βραχυτάτῳ χρόνῳ κατώρθωσεν ἵνα ἀνέλθῃ εἰς τὰ ἀνώτατα τῶν βασιλικῶν ἀξιωμάτων, ἀρχιθαλαμηπόλου, καὶ βασιλικοῦ ἀρχιγραμματέως, λαβὼν καὶ τοὺς τιμητικοὺς τίτλους, ὑπέρτιμος καὶ ὕπατος τῶν φιλοσόφων. Ἀλλὰ τί νὰ τῷ εἴπωσιν, ἀφοῦ πάντες ἀνωμολόγουν τὴν εὐφυΐαν, τὴν περὶ τὸ λέγειν χάριν καὶ ἰδίως τὰς περὶ παντὸς τοῦ ἐπιστητοῦ εἴδους γνώσεις αὐτοῦ; Τέλος πάντων ὁ φθόνος ἀνεκάλυψεν ἐν αὐτῷ φοβερὸν δι' ὑπουργὸν ἐλάττωμα, τὸ ἐπίγρυπον τῆς ῥινὸς αὐτοῦ· καὶ λοιπὸν κατὰ τῆς μύτης τοῦ Ψελλοῦ ἐπετέθησαν οἱ ἀντίπαλοι.

Εἰς τοὺς πρώτους κατ' αὐτοῦ ἀκροβολισμοὺς ὁ Ψελλὸς ἀντέταξε σεμνὴν μετριοπάθειαν· διότι οὐ μόνον ὑπέμνησε τοὺς ἀντιπάλους διὰ γλώσσης ἠπίας, ὅτι τὴν ἐν τῇ αὐλῇ ἐπίζηλον θέσιν αὐτοῦ ἀπέκτησεν ὡς γέρας τῆς δοκιμασθείσης ἱκανότητος αὐτοῦ, ἀλλ' ἵνα ἐξευμενίσῃ τὸν δαίμονα τοῦ φθόνου παρῃτεῖτο τοῦ ὑπουργήματος τοῦ βασιλικοῦ ἀρχιγραμματέως· ταῦτα δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀναγγέλλων προσεκάλει τοὺς θεσιθήρας, ὅπως παύσωσι τὸν ἄδοξον ἐκεῖνον ἀγῶνα καὶ κατέλθωσιν εἰς τὴν ἔνδοξον τοῦ συναγωνισμοῦ παλαίστραν, καθ' ἣν οἱ ἀριστεύσοντες ἦσαν ἐκ τῶν προτέρων βέβαιοι περὶ τῆς φιλίας καὶ προστασίας αὐτοῦ· μὴ δυνάμενος ὅμως ἵνα χωνεύσῃ τὴν διακωμῴδησιν τῆς μύτης αὐτοῦ, ἐπιλέγει « εἰ ἐπίγρυπος μὲν ἐγὼ τὴν ῥῖνα, ὑμεῖς δὲ σιμοὶ ξύμπαντες, πρὸς τί νὰ ἐπαιτιώμεθα τὴν δημιουργὸν φύσιν; (1) »

Μετ' οὐ πολὺ ὅμως ἀποβάλλει τὴν ὑπομονήν, καὶ παρασυρόμενος ὑπὸ τοῦ πάθους τῆς ἐκδικήσεως φιλοτιμεῖται ἵνα ὑπερβῇ τοὺς ἀντιπάλους ἐν τῷ ἀγῶνι τῆς βωμολοχίας· ἀποκαλεῖ αὐτοὺς βατράχους, κῦνας ὑλακτοῦντας καὶ κανθάρους ἐν κοπρίαις παίζοντας. Διὰ τοιαύτης δὲ γλώσσης οὐ μόνον ἑαυτὸν ὑπερασπίζει, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων συναδέλφων συνηγορεῖ· ἡ ὑπὲρ τοῦ Ξιφιλίνου ἀπολογία αὐτοῦ εἶναι ἀληθὲς ῥυπαρογραφίας ἀποκύημα· τὰ πάντα ἐν ταύτῃ εἰσὶν ἐπιτετηδευμένα, τὸ μὲν ὕφος χαλαρόν, ἄκομψον καὶ ἀσυνάρτητον, τὰ δὲ νοήματα, σκοτεινά, ὄζοντα σοφισμοῦ καταντῶντος εἰς τὸ γελοῖον. Διὰ τῆς σατύρας ταύτης πατάσσεται ἄθλιον γερόντιον ὑπὸ ἀσεβοῦς νεανίου, ὅστις ἐπὶ τέλους φανταζόμενος πρὸ τῶν ποδῶν αὐτοῦ κείμενον τὸ ἄθλιον θῦμα, προσφέρει αὐτῷ οὐχὶ χεῖρα συμφιλιώσεως, ἀλλὰ κόπρον κανθάρου.

Ἐν τῷ διηνεκεῖ τούτῳ ἀγῶνι παρατηρεῖται σημαντικὴ ἀλλοίωσις ἐν τῷ κομψῷ τοῦ Ψελλοῦ ὕφει· ἡ γλῶσσα αὐτοῦ ἀποτόμως ἀποβάλλει τὴν χαρίεσσαν ἐκείνην ἁβρότητα καὶ τὴν περιανθίζουσαν αὐτὴν ἀττικὴν χάριν, ἢ μᾶλλον δὲν εἶναι πλέον αὕτη εὐγενὲς ὄργανον εἰς καλλιτέχνου χεῖρας, ἀλλὰ βάναυσον ὅπλον εἰς στιβαρὰν παλάμην ἐπιδεξίου πολεμιστοῦ. Ὁ Ψελλὸς ἐστερεῖτο τῶν ἀρετῶν, αἵτινες ἀναδεικνύουσι τὸν σατυρογράφον,

(1) Σελὶς 170 τοῦ παρόντος τόμου.

ὁσάκις δὲ ἐπιτηδεύεται τοῦτον ἐξοκέλλει εἰς τετριμμένας βωμολοχίας, αἵτινες κάλλιον ὅπως μὴ περιήρχοντο εἰς ἡμᾶς.

Ζῶν ἐν κοινωνίᾳ, ἐν ᾗ δυστυχῶς ἡ θρασύτης καὶ ἡ ἀναίδεια ἐθεωροῦντο μᾶλλον ὡς ἀρεταὶ ἢ κακίαι, ἀκαταπαύστως ἐνοχλούμενος ὑπὸ τοῦ φθόνου, καὶ βλέπων ὅτι αἱ γελοῖαι ἐκεῖναι σάτυραι ἐγένοντο τὸ ἐντρύφημα τῶν ἀργῶν τοῦ δήμου καὶ αὐτῆς τῆς αὐλῆς, ἠναγκάσθη ἵνα κατέλθῃ τῆς φιλοσοφικῆς αὐτοῦ περιωπῆς καὶ κυλισθῇ ἐν τῇ ῥυπαρᾷ παλαίστρᾳ, εἰς τὴν ὁποίαν ἐπίτηδες ἐπροκάλουν αὐτὸν οἱ ἀντίπαλοι, μὲ τὴν μοχθηρὰν πρόθεσιν ὅπως ἴδωσι τὸν ὕπατον τῶν φιλοσόφων ἀφομοιούμενον αὐτοῖς, καὶ παραπέμψωσιν εἰς τὰ ἀνάκτορα τὸν νεκρὸν ὑπουργόν, νικητὴν μέν, ἀλλ' ὁπωσδήποτε φέροντα ἐπὶ μὲν τοῦ προσώπου τὰ ἀνεξάλειπτα στίγματα ἀγοραίων γρονθοκοπημάτων, τὸν δὲ ὑπουργικὸν μανδύαν κατεξεσχισμένον καὶ ἀνάπλεων βορβορώδους κονιορτοῦ.

Καὶ ὅμως, ἂν ὁ Ψελλὸς περιωρίζετο εἰς τὸν πρῶτον τοῦτον καὶ ἄδοξον θρίαμβον, οἱ τιμῶντες τὴν μνήμην αὐτοῦ ἠδύναντο ἵνα προτείνωσιν εἰς τὴν περὶ αὐτοῦ αὐστηρὰν κρίσιν τῶν μεταγενεστέρων ὡς ἐλαφρυντικὰς περιστάσεις, τὸ ἄωρον τῆς ἡλικίας, τὸ εὔθικτον τοῦ χαρακτῆρος αὐτοῦ, καὶ πρὸ πάντων τὸν κίνδυνον ὃν διέτρεχε μένων ἀναπολόγητος ἐν κοινωνίᾳ τοσοῦτον ἀρεσκομένῃ εἰς τὰς κακεντρεχεῖς διαβολάς. Ἄλλο ὅμως νέος βωμολόχος, καὶ ἄλλο γέρων βρωμολόγος. Δυστυχῶς δὲ ὁ Ψελλὸς ἐπιμένει ἐν τῇ ῥυπαρογραφίᾳ καὶ ὥριμος ἤδη τὴν ἡλικίαν, καὶ ὅτε μάλιστα τὸ μοναχικὸν ἔνδυμα, τὸ ὁποῖον μετὰ τὸ πρῶτον πολιτικὸν ναυάγιον περιεβλήθη ὡς θυρεὸν κατὰ τῶν κοσμικῶν βασκανιῶν ὑπηγόρευεν αὐτῷ χριστιανικὴν ἀνοχὴν καὶ αἰδῶ. Οὕτω δὲ ῥυπαρογραφεῖ οὐ μόνον κατὰ τῶν ἐκ συστήματος ἐπιτιθεμένων αὐτῷ, ἀλλὰ καὶ κατὰ παντὸς ὅστις ἔστω καὶ ἀστειευόμενος τολμᾷ ἵνα τῷ ἀποτείνῃ εὐφυᾶ τινα εἰρωνείαν.

Πάντες οἱ προρρηθέντες τοῦ Μονομάχου ὑπουργοὶ ἐζήτησαν

ἐν τῷ μοναχικῷ βίῳ τὴν εἰρήνην, ἧς οὐδ' ἐπὶ στιγμὴν ἀπήλαυσαν ἐν τῷ πολιτικῷ σταδίῳ, καὶ ἀποσυρθέντες εἰς ἐρημικὰ ἀσκητήρια καὶ ἀποκέντρους ἐπαρχίας ἔζησαν ὡς ἀληθεῖς φιλόσοφοι· μόνος δὲ ὁ Ψελλός, ἀφοῦ πολυειδῶς καὶ πολυτρόπως προσεπάθησεν ἵνα διαφύγῃ τὴν ἐκπλήρωσιν τῆς κοινῆς καὶ ἐνόρκου εὐχῆς, ἐπὶ τέλους ἐξ ἀνάγκης περιβληθεὶς τὸ μοναχικὸν τριβώνιον, οὐδ' ἐπὶ στιγμὴν ἡσύχασεν· ἀλλ' ἀμέσως ἐλθὼν εἰς ἔριδας πρὸς τοὺς ἐν τῷ Βιθυνικῷ Ὀλύμπῳ συνασκητάς, ἐγκατέλιπε τὸ μοναστήριον, ἐπὶ τῇ προφάσει ὅτι ἠδυνάτει ὅπως μεταρσιωθῇ ὡς ἐκεῖνοι πρὸς τὸν θεόν, πράγματι ὅμως ἵνα ἐπανέλθῃ εἰς τὸν πολιτικὸν βόρβορον τοῦ Βυζαντίου.

Τοιαύτη διαγωγὴ ἐσκανδάλισεν ὡς εἰκὸς τοὺς ἄλλους μοναχούς, οἵτινες οὐδὲν ἧττον ἠνέχθησαν τὴν προσβολήν, περιορισθέντες εἰς εὐφυᾶ μόνον διαμαρτύρησιν· καὶ δὴ ἀπεκάλεσαν τὸν δραπέτην, Δία ἐγκαταλιπόντα τὸν Ὄλυμπον, διότι δὲν εὕρισκεν ἐν αὐτῷ τὰς θεάς. Βεβαίως τὸ κατὰ τοῦ Ψελλοῦ τετράστιχον τοῦ μοναχοῦ Ἰακώβου εἶναι δηκτικὸν καὶ κακόηθες, καλύπτεται ὅμως ὑπὸ εὐφυᾶ χαριεντισμόν, τοῦ ὁποίου τὴν ἀληθῆ σημασίαν μόνον οἱ ὀλίγοι τότε τῆς ἑλληνικῆς μυθολογίας γνῶσται ἠδύναντο ἵνα ἐννοήσωσιν· ἀλλ' ἡ ἀπάντησις εἶναι αὐτόχρημα βρωμολόγου σάτυρα, δι' ἣν τοσοῦτον μᾶλλον πρέπει ἵνα μεμφθῇ ὁ καλόγηρος καὶ τὸν θεολόγον ἐπαγγελλόμενος Ψελλός, ὅτι παρίσταται ὁ σχολάρχης τῆς μέχρις ἡμῶν παρὰ τοῖς μοναχοῖς ἐπικρατούσης ἀσεβοῦς παρῳδίας τῶν ἐκκλησιαστικῶν ὕμνων (1).

Ὅταν δὲ ὕστερον ὁ ἡγούμενος τῆς μονῆς ἐν ᾗ ἐτάχθη ὁ Ψελλός, ἠθέλησεν ἵνα ἀνακαλέσῃ τὸν ἐν τοῖς βασιλικοῖς προθαλάμοις κυλινδούμενον ἀδελφόν, οὗτος δι' ἀποτόμου γλώσσης ἐπιβάλλει αὐτῷ σιωπήν, ἀρχόμενος τῆς ἀπαντήσεως διὰ τῆς

(1) Σελ. 177-181 τοῦ παρόντος τόμου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐξυβριστικῆς προσφωνήσεως «σαλὲ ἡγούμενε!» Διὰ παραπλησίων δὲ ὕβρεων ἐκπλύνει καὶ τὸν περὶ τῆς αὐτῆς ὑποθέσεως γράψαντα αὐτῷ μοναχὸν Φερέβιον (1).

Ἡ γλῶσσα τοῦ Ψελλοῦ εἶχε παράδοξον ἐλαστικότητα, καὶ ἐν ᾧ διαστελλομένη βωμολοχεῖ, ταὐτοχρόνως συστέλλεται διαρθροῦσα ταπεινὰς φρασεολογίας εἰς ἐξευμενισμὸν ἰσχυρῶν ἀντιπάλων, ἢ καὶ πλατυνομένη καχλάζει ἐγκωμιαστικὰς περιφράσεις, τῶν ὁποίων ἑκάστη ἀντιστοιχεῖ πρὸς μίαν ἐλπίδα ἐπιτυχίας ἀξιώματος, ἢ ἄλλης ὑλικωτέρας ἀμοιβῆς. Ἀναλόγως τῶν περιστάσεων δύναται ἓν καὶ τὸ αὐτὸ πρόσωπον, ἢ νὰ τὸ καταταρταρώσῃ, ἢ νὰ τὸ ἀναβιβάσῃ εἰς τὸν παράδεισον περιβεβλημένον αἴγλην ἁγιότητος. Τῆς διδύμου ταύτης ἱκανότητος τῆς γλώσσης τοῦ Ψελλοῦ καταπληκτικὸν περιεσώθη παράδειγμα, οἱ δύο λόγοι αὐτοῦ κατὰ καὶ ὑπὲρ τοῦ πατριάρχου Μιχαὴλ τοῦ Κηρουλαρίου. Ὅταν ὁ αὐτοκράτωρ Ἰσαάκιος ὁ Κομνηνός, βαρυνθεὶς τὰς ἀκατονομάστους ἰδιοτροπίας τοῦ ἐπικινδύνου πατριάρχου, ἀπεφάσισεν ἵνα ἀπαλλαγῇ αὐτοῦ, ἀνέθετο εἰς τὴν φοβερὰν τοῦ Ψελλοῦ γλῶσσαν τὴν ἐξύφανσιν καταλλήλου κατηγορητηρίου· οὗτος δέ, καίτοι πρὸ μικροῦ χαμερπῶς ἕρπων πρὸ τῶν ποδῶν τοῦ παντοδυνάμου Κηρουλαρίου, ἀμέσως ἐφιλοτιμήθη ὅπως συσσωρεύσῃ κατὰ τῆς κεφαλῆς τοῦ δυστυχοῦς θύματος ὅ,τι ἡ ἀσυνειδησία ὑπηγόρευσεν αὐτῷ. Ἀλλ' ὅταν ἡ μετ' ὀλίγον βασιλεύσασα Εὐδοκία ἠθέλησεν ἵνα ἀθωώσῃ τὴν ἀδίκως συκοφαντηθεῖσαν μνήμην τοῦ θείου αὐτῆς πατριάρχου, ἡ αὐτὴ τοῦ Ψελλοῦ γλῶσσα παρέστησεν ὡς ἅγιον καὶ μάρτυρα ἐκεῖνον τὸν ὁποῖον πρὸ μικροῦ εἶχε παραπέμψει ὡς δαίμονα εἰς τὸ πῦρ τὸ ἐξώτερον (2).

(1) Σελ. 424.

(2) Τῶν λόγων τούτων μόνον ὁ δεύτερος ἐξεδόθη ἐν τῷ Δ' τόμῳ τῆς Μεσαιωνικῆς Βιβλιοθήκης σελ. 303-387.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Διὰ τοιαύτης ἀμφιδεξίου χρήσεως τῆς γλώσσης αὐτοῦ ὁ Ψελλὸς κατώρθωσε μὲν ἵνα διανύσῃ θριαμβευτικῶς τὸ μακρὸν στάδιον, εἰς τὸ ὁποῖον ὤθει αὐτὸν τὸ ἀκοίμητον κέντρον φιλοδοξίας ἀκατασχέτου, οὐχὶ ὅμως καὶ νὰ ἐφελκύσῃ τὴν ἐκτίμησιν καὶ τὴν ἀγάπην τῶν συγχρόνων. Οἱ ἐκ παιδὸς γνωρίσαντες καὶ δι' ἰσοβίου φιλίας συνδεδεμένοι αὐτῷ, Ξιφιλῖνος καὶ Μαυροπόδης, θαυμάζουσι τὴν γλῶσσαν, οὐδόλως ὅμως ἐκτιμῶσι τὸν χαρακτῆρα τοῦ Ψελλοῦ· καὶ αὐτὸς μάλιστα οὗτος αἰσθάνεται πολλάκις τύψιν συνειδότος διὰ τὸ παρελθόν, ἐκ μέσης ψυχῆς εὐχόμενος ὅπως μὴ ἔβλεπόν ποτε τὸ φῶς πολλοὶ τῶν λόγων αὐτοῦ (1), καὶ πικρῶς παραπονεῖται ὅτι οὐδεὶς τῶν πολυαρίθμων φίλων, μαθητῶν καὶ ἄλλων ὑπ' αὐτοῦ εὐεργετηθέντων συνέταξε, κατὰ τὸ τότε ἐπικρατοῦν ἔθος, ἐγκωμιαστικὸν ὑπὲρ αὐτοῦ λόγον, ἐν ᾧ αὐτὸς οὐδένα τῶν γνωρίμων ἀφῆκεν ἀνεγκωμίαστον (2).

Οὕτω δὲ καὶ μετὰ θάνατον ἐκρίθη ὁ Ψελλός. Οἱ χρονογράφοι κατακρίνοντες, ἀδίκως πολλάκις, τὴν ἐν τῇ πολιτικῇ ἀνάμιξιν αὐτοῦ, τὸν διακρίνουσι διὰ τοῦ χαρακτηριστικοῦ ἐπιθέτου «ὁ πολὺς τὴν γλῶτταν». Ὁ συγγραφεὺς τοῦ εὐφυοῦς διαλόγου «Τιμαρίων» παριστᾷ ἐν τῷ ᾅδῃ τὸν Ψελλὸν προεδρεύοντα τῶν σοφιστῶν, οἵτινες ἐν ᾧ θαυμάζουσι «τῆς ἀπαγγελίας αὐτοῦ τὸ χάριεν, τὸ γλυκύ, τὸ σαφὲς τῆς λέξεως, τὸ κοινόν, τὸ σχέδιον τοῦ λόγου καὶ πρόχειρον, τὸ πρὸς πᾶν εἶδος λόγου ἐπιτήδειον καὶ οἰκεῖον», σκώπτουσιν οὐδὲν ἧττον τοὺς πολιτικοὺς αὐτοῦ λόγους (3). Ἐπὶ τέλους δὲ Θεοδώρητος ὁ Βουλγαρίας ἀρχιεπίσκοπος, καλῶς γνωρίσας ζῶντα τὸν τὴν γλῶτταν ἀπαράμιλλον, περίφοβος συλλογίζεται μὴ ἐμ-

(1) Μεσ. Βιβλ. Τόμ. Δʹ, σελ. 370.
(2) Τόμ. Εʹ, σελ. 167.
(3) Notices et extraits des manuscrits, tom. IX, 2e partie, 238.

φανισθῇ αὐτῷ κατ' ὄναρ τὸ φάντασμα τοῦ Ψελλοῦ καὶ ἐπαφήσῃ τὴν δωδεκάκρουνον ἐκείνην γλῶσσαν (1).

Τὰ πρὸς μόνην τὴν γλῶσσαν τοῦ Ψελλοῦ ἐπιδαψιλευόμενα ἐγκώμια ὑπεννοοῦσιν ὅτι καὶ οἱ τότε ἄνθρωποι ἀποτροπιαζόμενοι τὴν πολιτικὴν τύρβην, ἐπροτίμων ἵνα ἴδωσι τὸν λόγιον μᾶλλον σταδιοδρομοῦντα ἐν τῷ ἐνδόξῳ τῶν γραμμάτων ἀγῶνι, ἀληθῆ τῆς ἐπιστήμης δᾳδοῦχον καὶ ἱεροφάντην, ἢ κυλιόμενον ἐν τῇ ἀδόξῳ ἐκείνῃ παλαίστρᾳ ἐξ ἧς ἡ κοινωνικὴ νέμεσις παραλαμβάνει τοὺς ἀποπομπαίους τράγους τῆς πολιτικῆς καθάρσεως.

Ἡ πολιτικὴ ὁμοιάζει πρὸς τὸν ἀποτρόπαιον τῆς Καρχηδόνος θεὸν τὸν ἐξευμενιζόμενον διὰ μόνης τῆς θυσίας τῶν κρατίστων τῆς πολιτείας παίδων. Οὐδεὶς πώποτε ἀφωσιώθη εἰς τὸ ἀκανθῶδες τοῦτο στάδιον, ἐὰν μὴ πρότερον συνησθάνθη ὅτι ἐγκλείει ἐν ἑαυτῷ τὸν ἑρμαφρόδιτον δαίμονα τοῦ πατριωτισμοῦ καὶ τῆς φιλοδοξίας· οὗτος, καθὼς τὰ μυθευόμενα δαιμόνια τῆς Σολομωνικῆς σφραγῖδος, ἀχώρητος ἐν τῷ ἀτόμῳ, ζητεῖ ἵνα διανοιχθῇ εἰς τὸ ἀπέραντον τῆς κοινωνίας πέλαγος. Ἐν τῇ πολυκλύστῳ ταύτῃ πελαγοδρομίᾳ ὁ πολιτικὸς βλέπει κατὰ μὲν τῆς κεφαλῆς αὐτοῦ ἀγρίως ὠρυόμενα τὰ κύματα τοῦ φθόνου καὶ τῆς ἀχαριστίας, κάτωθεν δὲ μηκωμένην τὴν ἀπέραντον ἐκείνην ἄβυσσον, τὴν καλουμένην Κοινὴν Γνώμην, τῆς ὁποίας τὴν μὲν ἐπιφάνειαν χρωματίζει ὁ ποικιλόμορφος Πρωτεὺς τοῦ συμφέροντος, τὰ δὲ βάθη συνταράσσει, ὡς ὁ τῶν Ψαλμῶν δράκων, ὁ τυφὼν τοῦ ἐγωϊσμοῦ. Ἐν μέσῳ τοιούτου φοβεροῦ κλυδωνισμοῦ, ἀδύνατον ὅπως ἀναγνωρισθῇ ἡ τοῦ πολιτικοῦ ἀρετή, ἔστω καὶ ἂν εἰς ταύτην καὶ μόνην ὀφείλεται ἡ διάσωσις τοῦ κράτους ἀπὸ προφανοῦς ναυαγίου, διότι ἡ κοινὴ γνώμη ζηλοτύπως οἰκειοποιοῦται τὰς δάφνας αὐτοῦ, ἀπαραλ-

(1) Opera, ed. Meursii, VIII, 817.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λάκτως ὡς ἡ ἄτεκνος Γελλὼ ἡ καταπίνουσα τὰ τέκνα τῶν ἄλλων μητέρων, μόνον δὲ ὁπόταν ἴδῃ τοῦτον προσφερόμενον ἀληθὲς ὁλοκαύτωμα εἰς τὸν βωμὸν τῆς πατρίδος, ἀπαθανατίζει τὴν μνήμην αὐτοῦ, μὲ τὴν μονομερῆ πρόθεσιν ὅπως ἔχῃ πρόχειρον ἕνα καλάμινον γίγαντα ἵνα τὸν ἀντιπαρατάξῃ εἰς τοὺς περιφρονουμένους νάνους διαδόχους αὐτοῦ.

Τοιαύτη ἡ πολιτικὴ εἱμαρμένη καθ' ὅλην τὴν μακρὰν τοῦ Ἑλληνισμοῦ διαβίωσιν· ἡ δόξα εἰς τὴν κοινωνίαν, τὸ ὄνειδος εἰς τὸν πολιτικόν. Οἱ Βυζαντινοὶ ἡμῶν πρόγονοι, οἱ πρὸς ταῖς ἄλλαις ἀρεταῖς στερούμενοι καὶ τῆς λεπτότητος τῶν ἀρχαίων πρὸς ἐρατεινὸν ψιμυθισμὸν τῆς μοχθηρίας, ἐχαρακτήρισαν διὰ βαναύσου εὐφυολογίας τὴν πολιτικήν, διότι διὰ τοῦ αὐτοῦ ὀνόματος ἀπεκάλουν καὶ τὴν λειτουργίαν καὶ τὴν ἑταίραν· κατ' αὐτοὺς κοινὴ ἀμφοτέρων τῶν ἐπιτηδευμάτων καὶ ἡ λάμψις καὶ τὸ τέλος. Ἐὰν δὲ ἐστερούμεθα ἄλλων παραδειγμάτων εἰς ἀπόδειξιν τῆς κοινότητος τῆς τύχης τῶν δύο Βυζαντινῶν πολιτικῶν, αὐτὸς ὁ Ψελλὸς ἤρκει πρὸς τοῦτο.

Αὐτὸς ὁ διατελέσας ὑπουργὸς πέντε αὐτοκρατόρων, ὁ ἐπιδαψιλεύσας τὰ ἀξιώματα καὶ τὰ πλούτη εἰς τοὺς ἀπειραρίθμους θαυμαστὰς τοῦ πολιτικοῦ αὐτοῦ μεγαλείου, μόλις ἐκβληθεὶς τῆς αὐλῆς, λιμοκτονῶν ἐπικαλεῖται τὴν συνδρομὴν τῶν διαδόχων αὐτοῦ εἰς ἀπόλαυσιν θέσεώς τινος παρεχούσης τὰ πρὸς διατροφὴν τοῦ λιτοῦ γήρατός του ἀναγκαῖα (1). Οὕτω δὲ ἐν παραβύστῳ τινὶ γωνίᾳ, ἢ τὸ πιθανώτερον ἐν πτωχοτροφείῳ, διῆλθεν ἐλεεινῶς τὸ ὑπόλοιπον τοῦ πολυταράχου βίου αὐτοῦ, ὁ πρὸ μικροῦ περιλάλητος ὕπατος τῶν φιλοσόφων, ὁ βεστάρχης, ὁ βασιλικὸς ἀρχιγραμματεύς, ὁ παντοδύναμος ὑπουργός, ὁ πρόεδρος τῆς συγκλήτου! Καὶ αὐτὸς δὲ ὁ μόνος ἐπιζήσας τῶν ἀπογόνων αὐτοῦ, φοβερᾷ πενίᾳ ταλαιπωρούμενος, μάτην

(1) Ἐπιστολαὶ πρὸς Ψηρᾶν, σελ. 490-493.

ἐθυροκόπει ἐξαιτούμενος τὴν προστασίαν τῶν πατρικῶν φίλων, μέχρις οὗ ὁ προρρηθεὶς Θεοδώρητος λυπηθεὶς τὸν ἄνθρωπον συνέστησεν εἰς τὸ ἔλεος ἄλλου φίλου· οὕτω δὲ πράττων ὁ καλὸς ἀρχιεπίσκοπος νομίζει ὅτι ἐξοφλεῖ ἐντελῶς τὰς πρὸς τὸν Ψελλὸν ὀφειλομένας εὐεργεσίας καὶ ἐξευμενίζει τὴν παρωργισμένην σκιὰν αὐτοῦ κατὰ τῆς βυζαντινῆς ἐκείνης ἀχαριστίας.

Ὡς πολιτικὸς ὁ Ψελλὸς διέπραξεν ἀναντιρρήτως μεγάλα λάθη καὶ τὸ πάντων πρώτιστον, ὅτι δὲν κατώρθωσεν ἵνα ἐφαρμόσῃ ἑαυτῷ πρώτῳ τὴν φιλοσοφικὴν ἐκείνην ῥήτραν, τὴν ὁποίαν ὡς ἀρχὴν ἀπαρέγκλιτον εἰς τοὺς ἄλλους ἐδίδασκεν, ὅτι δηλαδὴ ὁ λόγος δαμάζει τὰ πάθη, ἀλλὰ παρεδόθη ἕρμαιον τοῦ συνοίκου αὐτῷ πολιτικοῦ δαίμονος· ὁμολογητέον ὅμως ὅτι συγχρόνως ἀνέδειξε καὶ ἐξόχους ἀρετάς, αἵτινες δέον ἵνα ληφθῶσιν ὑπ' ὄψιν ἐν τῇ δικαίᾳ ἐκτιμήσει τῆς εὐθύνης, τὴν ὁποίαν φέρει ἐπὶ τῶν τότε πεπραγμένων.

Ἀπὸ τοῦ θανάτου Βασιλείου τοῦ Βουλγαροκτόνου μέχρι τῆς ἀναρρήσεως Ἀλεξίου τοῦ Κομνηνοῦ (1025-1081) ἀνέβησαν τὸν βυζαντινὸν θρόνον δέκα βασιλεῖς καὶ τρεῖς βασίλισσαι. Ἐὰν δ' ἐκ τούτων ἐξαιρεθῶσιν ὁ Ἰσαάκιος Κομνηνὸς καὶ ὁ Ρωμανὸς Διογένης, οἱ ὑπόλοιποι, ἐν ᾧ παρίστανται πρότυπα νωθρότητος, παραφροσύνης, λαγνείας καὶ ἄλλων ἀκατονομάστων κακιῶν, ἐστεροῦντο καὶ τῆς βασιλικῆς ἐκείνης ἀρετῆς, ἥτις ἀρκεῖ εἰς ἀντισήκωσιν ἁπασῶν τῶν κακιῶν, τῆς στρατιωτικῆς φιλοτιμίας. Καὶ ὅμως τὰ χρονικὰ τῆς περιόδου ταύτης ἀναγράφουσι συνεχῆ κατὰ ξηρὰν καὶ θάλασσαν ἀνδραγαθήματα, ἀντάξια τῶν ἐνδοξοτέρων σελίδων τῆς βυζαντινῆς ἱστορίας· ἀντίθεσις, τῆς ὁποίας μάτην ἤθελε ζητηθῆ ἡ ἐξήγησις ἐν τοῖς χρονογράφοις. Ἐὰν ἡ ἀκριτομυθία τῶν τελευταίων τούτων δὲν ἐδίδασκεν ἡμᾶς ὅτι, ὁ μὲν τῶν βασιλέων ἐκείνων ἔτρεχεν εἰς τοὺς θαυματουργοὺς ναοὺς πρὸς ἐξόρκισιν τοῦ τυραννοῦντος αὐτὸν δαιμονίου τῆς ἐπιληψίας, ὁ δέ, παράδοξον εἶδος δαιμονολήπτου, εἶχε τὴν μα-

νίαν ἵνα τυφλῇ τοὺς ἀνδραγαθοῦντας στρατηγούς, καὶ ἄλλος, κατάκλειστος ἐν τῇ βιβλιοθήκῃ ἐταλάνιζε τὸ πτωχὸν αὐτοῦ πνεῦμα εἰς γέννησιν ἰάμβων, ἠθέλομεν πιστεύσει ὅτι οἱ ἀπόγονοι τοῦ Βουλγαροκτόνου ἐνδεδυμένοι ἀείποτε τὴν πολεμικὴν πανοπλίαν διέτρεχον τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην ἵνα ἀντιμετρηθῶσι πρὸς τοὺς ἐχθρούς.

Οἱ βασιλεῖς τῶν χρόνων ἐκείνων ἦσαν ἁπλᾶ ἀνδρείκελα, τὰ ὁποῖα κατέκειντο ἐν τῷ παλατίῳ μετὰ τῶν ἄλλων τοῦ στέμματος θησαυρῶν· μόνον δέ, ὅταν ἕτερος τοῦ θρόνου μνηστὴρ κατώρθου ἵνα ἐπαναστατήσῃ τὸν στρατὸν καὶ ὁδηγήσῃ αὐτὸν πρὸ τῶν τειχῶν τοῦ Βυζαντίου, τὰ ἀνδρείκελα ἐκεῖνα ἐσύροντο ἐπὶ τῶν ἐπάλξεων καὶ μηχανικῶς ἐκινοῦντο, ἵνα οὕτως ἐπιδεικνύμενοι πείσωσι τοὺς πολιορκητὰς ὅπως ἐπαναστρέψωσιν εἰς τὰ ἴδια, διότι ὁ θρόνος ἦν ἔτι καταλελειμμένος (1).

Ἀλλ' ἡ κινοῦσα τὰ βασιλικὰ ἀνδρείκελα χεὶρ καὶ ὁ ἐν ὀνόματι αὐτῶν ἐργαζόμενος νοῦς ἀνῆκον εἰς ἀφανῆ πολιτικὸν γίγαντα, ἐκ τῶν νευμάτων τοῦ ὁποίου ἐξηρτῶντο καὶ στρατοὶ καὶ στόλοι καὶ πρὸ πάντων ὁ πολύπλοκος διοικητικὸς μηχανισμὸς ὁ τοσοῦτον ἀκριβῶς λειτουργῶν ἀπὸ τοῦ Καυκάσου μέχρι τῶν Ἀπεννίνων καὶ ἀπὸ τοῦ Εὐφράτου μέχρι τοῦ Δουνάβεως.

Οἱ πολιτικοὶ ἄνδρες τῶν χρόνων ἐκείνων ἦσαν ἀληθεῖς τοῦ καθήκοντος ὑπουργοί· διότι καλῶς γνωρίζοντες, ὅτι ἐν τῷ ἑλληνισμῷ ἡ μὲν δημοκρατία σημαίνει ἀποσύνθεσιν, ἡ δὲ βασιλεία ἦν ὁ μόνος δεσμὸς τῆς ἐθνικῆς ἑνότητος, εἶχον τὸν πατριωτισμὸν ἵνα θυσιάζωσι τὴν ἀτομικὴν φιλοδοξίαν ὑπὲρ τῆς λάμψεως τοῦ στέμματος, καὶ τὴν οὐχ ἧττον μεγάλην ἀρετὴν ὅπως ἀποκρύπτωσι τὰς βασιλικὰς παρεκτροπὰς ἀπὸ τῆς βασκανίας τῆς κοινῆς γνώμης, αὐτοὶ καὶ μόνοι ἀναδεχόμενοι τὴν εὐθύνην τῶν δυστυχημάτων, τὰ ὁποῖα ὡς ἐπὶ τὸ πλεῖστον

(1) Μεσ. Βιβλ. Δ', σελ. 153-154, καὶ 399-402.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐπροκάλει ἡ ἐν τῇ διοικήσει ἀνόητος ἐπέμβασις τῆς βασιλικῆς ἰδιοτροπίας.

Ἀγνοοῦμεν τίνες οἱ πρωτεύοντες ὑπουργοὶ τοῦ Κωνσταντίνου Η' καὶ Ρωμανοῦ Γ' (1025-1034), διότι οἱ χρονογράφοι φιλοτιμούμενοι ὅπως ἐκπλύνωσι δι' ὕβρεων τοὺς δευτερεύοντας, ὑπαλλήλους τῶν βασιλέων τούτων, ἀποκαλοῦντες αὐτοὺς «οἰνόληπτα καὶ ἐκτετμημένα ἀνδράρια, καὶ πάσης μιαρίας καὶ βδελυρίας ἐμπεπλησμένα (1)», παρέρχονται ἀμνημόνευτον τὸν πρωθυπουργόν, ἢ ὡς ἔλεγον τότε, τὸν παραδυναστεύοντα τῷ βασιλεῖ· δυνάμεθα ὅμως ἵνα εἰκάσωμεν, ὅτι εἷς τῶν ὑπουργῶν τούτων ἦν καὶ ὁ πολυμήχανος Παφλαγὼν Ἰωάννης ὁ Ὀρφανοτρόφος· οὗτος, ἀφ' οὗ κατώρθωσεν ἵνα ἀναβιβάσῃ ἐπὶ τοῦ θρόνου τὸν ἴδιον ἀδελφόν, Μιχαὴλ τὸν Ἐπιληπτικόν, περιζωσθεὶς ἐν ὀνόματι τούτου τὴν τῶν ὅλων διοίκησιν, ἀνέπτυξε δραστηριότητα καὶ ὀξύνοιαν οὐ τὴν τυχοῦσαν· διότι καὶ τοὺς κατὰ τῶν Ἀράβων τῆς Ἀσίας καὶ Ἀφρικῆς πολέμους ἐπιτυχῶς ἐξηκολούθησε, καὶ τοὺς ἐπαναστάντας Σέρβους καὶ Βουλγάρους καθυπέταξε, καὶ τὰς ἐν Βυζαντίῳ ῥᾳδιουργίας καὶ συνωμοσίας ἐγκαίρως ἐπρόλαβε καὶ κατέπνιξε. Τὸ μόνον λάθος τῆς πολιτικῆς τοῦ παραδυναστεύοντος Ὀρφανοτρόφου ἦν ὅτι, τετυφλωμένος ὑπὸ τοῦ συγγενικοῦ φίλτρου, ἔκρινεν ἐξ ἑαυτοῦ περὶ τῆς διανοητικῆς καταστάσεως τῶν οἰκείων, καὶ μὴ συνετισθεὶς ἐκ τῆς πρώτης ἀποτυχίας, ἠθέλησεν ἵνα μεταβιβάσῃ τὸν θρόνον εἰς ἕνα τῶν βλακωδῶν καὶ χυδαίων αὐτοῦ ἀνεψιῶν, υἱὸν ἑνὸς καλαφάτου. Τὸ λάθος ὅμως τοῦτο πικρῶς ἐπλήρωσε, διότι μετὰ τοῦ Καλαφάτου βασιλέως ἔπεσε καὶ τὸ ἄλλο γένος θῦμα τῆς δικαίας τοῦ λαοῦ ἐκδικήσεως.

Τὴν δευτέραν περίοδον τῆς βασιλικῆς παρακμῆς (1042-1078) λαμπρύνει ἡ πρωθυπουργία τοῦ Λειχούδη καὶ τοῦ Ψελλοῦ. Ὁ

(1) Κεδρηνός, ἔκδ. Παρισίων, 480.

πρῶτος κατὰ πᾶσαν πιθανότητα καὶ πρὸ τῆς βασιλείας τοῦ Καλαφάτου ὑπουργήσας, ἀνέλαβεν ἀπὸ τούτου ἰδίως τὴν τῶν ὅλων διοίκησιν, καὶ εὐδοκίμως ἐπὶ δεκαπενταετίαν τὸ κράτος διευθύνας, ἀπεσύρθη τῆς πρωθυπουργίας, ὡς προερρέθη, ἅμα ἀναγνωρίσας ὅτι ἠδυνάτει ἵνα θέσῃ φραγμὸν εἰς τὰς αἰσχρὰς παρεκτροπὰς τοῦ παλίμπαιδος Μονομάχου, αἵτινες πρὸς τοῖς ἄλλοις κακοῖς εἶχον τὸ χείριστον ἀποτέλεσμα ὅτι παρέδιδον εἰς τὴν χλεύην τοῦ ὄχλου τὸ γόητρον τοῦ θρόνου. Ἵνα γνωσθῇ ὁπόσον ὁ Λειχούδης ἐνδιεφέρετο εἰς τὴν λάμψιν τοῦ στέμματος ἀρκεῖ τὸ ἑξῆς· ἐν ᾧ δηλονότι οἱ ἀπὸ τῆς ἱδρύσεως τοῦ Βυζαντινοῦ κράτους πρωθυπουργήσαντες ἔφερον τὸν κομπώδη τίτλον « παραδυναστεύοντες τῷ βασιλεῖ », ὁ μετριόφρων οὗτος ἀνὴρ ἐπενόησεν ἄλλον, ὅστις οὐ μόνον οὐδὲν ἀφῄρει τῆς βασιλικῆς μεγαλοπρεπείας, ἀλλὰ καὶ παρίστα τὸν πρωθυπουργὸν ὡς ἁπλοῦν ὄργανον, ἀληθῆ τοῦ στέμματος ὑπουργόν· ὅθεν ὁ ἀληθῶς παραδυναστεύων τῷ βασιλεῖ ἐπωνομάσθη « μεσάζων », δηλαδὴ τὸ μέσον πρόσωπον δι᾽ οὗ ἐπεδαψιλεύοντο εἰς τὸ κράτος αἱ βασιλικαὶ διαταγαὶ καὶ χάριτες (1).

Ἡ μετὰ τὴν ἀποχώρησιν τοῦ Λειχούδη ἐπελθοῦσα παραλυσία ἤνοιξεν ἐπὶ τέλους τοὺς ὀφθαλμοὺς τοῦ ἑτοιμοθανάτου ἤδη Μονομάχου, ὅστις καταρώμενος τοὺς ὑπαγορεύσαντας αὐτῷ τὴν ἀσύγγνωστον ἀδικίαν, ἐδείχθη πλήρης τρυφερότητος πρὸς τὸν τέως μεσάζοντα αὐτοῦ, πρὸς ὃν καὶ εὐγνωμονῶν ἐδωρήσατο εἰς ἀναφαίρετον κτῆμα τὴν ὑπ᾽ αὐτοῦ τότε οἰκοδομηθεῖσαν πλουσιωτάτην τῶν Μαγγάνων μονήν (2).

Ἡ βασιλεύσασα Θεοδώρα ἐπανειλημμένως παρεκάλεσε τὸν

(1) Ψελλοῦ, ἐπιτάφιος εἰς Λειχούδην, σελ. 398, 401-402. Μιχαὴλ Ἀτταλειάτου ἱστορία σελ. 66.

(2) Ζωναρᾶς, XVIII, 5. Ἐπιτάφιος εἰς Λειχούδην, σελ. 406.

Λειχούδην ἵνα ἀναλάβῃ τὴν διοίκησιν τῶν κοινῶν (1), ἀλλ' ὁ ἀνὴρ ζωηρὰν διατηρῶν τὴν μνήμην τῶν χθεσινῶν παθημάτων ἐπροτίμησεν ὅπως ἡσυχάζῃ ἐν τῇ μονῇ αὐτοῦ· καίτοι δὲ ἀποποιηθεὶς τὴν πρωθυπουργίαν, οὐχ ἧττον προθύμως παρέσχε τὴν συνδρομὴν τῆς πολυπειρίας αὐτοῦ, ἐν ὅσῳ οἱ ἐν τῇ αὐλῇ ἰσχύοντες ἐπεκαλέσθησαν αὐτήν. Τὸ παράδειγμα δὲ τούτου ἐμιμήθη καὶ ὁ Ψελλός, συνεχῶς ὑπὸ τῆς Θεοδώρας συμβουλευόμενος καὶ τὰ ἰδιαίτερα αὐτῆς γράμματα συντάττων, ἀλλ' ἐν ὅσῳ ἔβλεπε τοὺς αὐλικοὺς ἀνεχομένους τὴν τοιαύτην ἀσύμφορον ὑπηρεσίαν (2).

Ὁ πρωθυπουργὸς τῆς Θεοδώρας Λέων ὁ Στραβοσπόνδυλος εἶχεν ἀρκετὴν πεῖραν τοῦ διοικητικοῦ μηχανισμοῦ, ἀλλ' αὕτη καὶ μόνη δὲν ἤρκει εἰς αἰσίαν ἐξομάλυνσιν τῶν ἐσωτερικῶν καὶ ἐξωτερικῶν δυσχερειῶν τοῦ κράτους, τὸ ὁποῖον ἀφ' ἑνὸς μὲν ἡ ἀβεβαιότης τῆς διαδοχῆς τοῦ θρόνου ἠδύνατο ἵνα ῥίψῃ εἰς τὸ χάος τῆς ἀνταρσίας, ἀφ' ἑτέρου δὲ ἡ θρασύτης τῶν βαρβάρων ἠπείλει ἵνα ταπεινώσῃ καὶ κολοβώσῃ. Εἰς ἐπισφράγισιν δὲ τοῦ κακοῦ ὁ Στραβοσπόνδυλος εἶχε στραβὸν ὄχι τὸν σπόνδυλον, ἀλλὰ τὸν χαρακτῆρα· ὅθεν ἀντὶ νὰ ἐπικαλεσθῇ εἰλικρινῶς τὴν συνδρομὴν τῆς πείρας τοῦ Λειχούδη καὶ τοῦ Ψελλοῦ, ἀπέκλεισεν ἐπιδεξίως τὴν εἰς τὰ ἀνάκτορα εἴσοδον αὐτῶν, καὶ μετὰ τῆς περὶ αὐτὸν συμμορίας ἔλυσε τὸ ζήτημα τῆς διαδοχῆς κατὰ τὰ ἴδια αὐτοῦ συμφέροντα.

Οὕτω δὲ ὁ θρόνος διπλῆν ὑπέστη προσβολήν, διὰ μὲν τοῦ θανάτου τῆς Θεοδώρας ἀποβαλὼν τὸν τελευταῖον ἀντιπρόσωπον τῆς νομιμότητος, διὰ δὲ τοῦ πραξικοπήματος τοῦ Στραβοσπονδύλου ἀπολέσας καὶ αὐτὴν τὴν σκιὰν τῆς ἀξιοπρεπείας αὐτοῦ. Ὁ πρωθυπουργὸς δὲν ἦν πλέον παραδυναστεύων καὶ μεσάζων τοῦ ἡγεμόνος, ἀλλ' ἀπόλυτος κύριος βασιλέως δούλου, ἐνόρκως μάλιστα ὑποσχεθέντος τὴν ἀτιμωτικὴν αὐτοῦ εὐπεί-

(1) Ψελλοῦ ἑκατονταετηρίς, σελ. 201-206.

θειαν. Ἀλλ' ἐπὶ πολὺ δὲν ἀπήλαυσεν ὁ Στραβοσπόνδυλος τοῦ ἀδόξου θριάμβου αὐτοῦ, διότι, ὡς γνωστόν, ἡ ἀπὸ πολλοῦ ὑποβράζουσα κατ' αὐτοῦ δυσαρέσκεια ἐξερράγη εἰς φοβερὰν στρατιωτικὴν καὶ πολιτικὴν ἀνταρσίαν, ἥτις ἀναιμωτεὶ καθήρεσε καὶ τὸν μωρὸν Μιχαὴλ καὶ τὸν μωρότερον αὐτοῦ πρωθυπουργόν.

Οἱ χρονογράφοι οἱ τοσοῦτον ἀσμενιζόμενοι ἵνα ἐπαναλαμβάνωσι καὶ ἐπὶ τὸ χεῖρον παραμορφῶσι τὰς σπερμολογίας τοῦ ὄχλου περὶ τῶν ἐλαττωμάτων τῶν πολιτικῶν ἀνδρῶν, ἐν ᾧ συνήθως ἀποκρύπτουσι τὰς ἀρετὰς αὐτῶν, ἀφηγούμενοι τὰ τελευταῖα ταῦτα συμβάντα θεωροῦσι συνυπευθύνους αὐτῶν καὶ τὸν Λειχούδην καὶ τὸν Ψελλὸν καὶ ἄλλους. Καὶ πρῶτον ὁ σύγχρονος Ἀτταλειάτης (1) δι' ἀορίστου ἐκφράσεως θεωρῶν τὴν πρωθυπουργίαν τοῦ Λειχούδη ἀδιακόπως παραταθεῖσαν ἀπὸ τοῦ Μονομάχου μέχρι τῆς ἀναρρήσεως Ἰσαακίου τοῦ Κομνηνοῦ, ἤθελεν ἐπιβαρύνει τὴν μνήμην τοῦ πολιτικοῦ τούτου διὰ τῆς εὐθύνης τῶν ἐπὶ τῆς Θεοδώρας καὶ τοῦ Μιχαὴλ πολιτικῶν ἀνοησιῶν, ἐὰν ἔλειπον οἱ ἄλλοι χρονογράφοι, οἵτινες ῥητῶς ὀνομάζουσι τὸν ἀληθῆ τῆς πολιτικῆς κωμῳδίας ἥρωα. Ὁ Σκυλίτσης (2) εἰδικώτερον ἀφηγούμενος τὰ τότε διαδραματισθέντα ὑπὸ τοῦ Στραβοσπονδύλου, ἐπαναλαμβάνει φήμην τινὰ καθ' ἣν οἱ πρὸς τὸν Ἰσαάκιον Κομνηνὸν τῇ ἐπιμόνῳ παρακλήσει τοῦ βασιλέως Μιχαὴλ πρεσβεύσαντες Λειχούδης καὶ Ψελλὸς ἐπρόδωκαν τὴν ἀποστολὴν αὐτῶν, ἄλλα ἀναγγείλαντες εἰς τὸν βασιλέα καὶ ἄλλα κρυφίως πρὸς τὸν ἀντάρτην παραγγείλαντες. Ἐπὶ τέλους ὁ Ζωναρᾶς, μὴ ἐπαναλαμβάνων τὰ παρὰ Σκυ-

(1) Ἱστορία, σελ. 66.

(2) Κεδρηνός, σελ. 634 ἔκδ. Παρισίων. Ἀναφέρω τὸν Σκυλίτσην ἀντὶ τοῦ Κεδρηνοῦ, διότι ἀληθῶς ἐξ ἐκείνου παρέλαβεν οὗτος τὸ χρονογραφικὸν τοῦτο τμῆμα, ὡς ὁ ἴδιος ὁμολογεῖ· ἀλλὰ περὶ τούτου διὰ μακρῶν λόγος γενήσεται ἐν τῇ ἐκδοθησομένῃ ἀληθεῖ ἱστορίᾳ τοῦ Σκυλίτση.

λίτσῃ λεγόμενα, προστίθησιν ἴδιον λέγεται καθ' ὃ ὁ τὴν πολιτικὴν ὑποκινήσας ἀνταρσίαν πατριάρχης Μιχαὴλ ὁ Κηρουλάριος συνεννοεῖτο πρὸς τὸν ἀρχηγὸν τῆς στρατιωτικῆς ἀνταρσίας τὸν Κομνηνόν (1)· αἱ διάφοροι καὶ τοσοῦτον ἀντιφατικαὶ αὗται φῆμαι, ἀποδεικνύουσιν ὅτι ἡ κοινὴ γνώμη τῶν χρόνων ἐκείνων ἐν τῇ πολιτικῇ αὐτῆς παραζάλῃ δὲν ἠδύνατο ἵνα διακρίνῃ τὸν πατριώτην ἀπὸ τοῦ προδότου.

Ἐν τούτοις αἱ φῆμαι αὗται ἀναιροῦνται ὑπὸ αὐθεντικῶν ἐγγράφων, ἤτοι τῆς ἐκθέσεως αὐτοῦ τοῦ Ψελλοῦ, ὅστις τοὐναντίον κομπάζει ἐπὶ τῇ παρρησίᾳ μεθ' ἧς πρὸς τοὺς ἀντάρτας ὡς πρέσβυς ἐλάλησε, καὶ περιγράφει τὸν μετὰ τὸν θρίαμβον αὐτῶν τρόμον του, ἀποδίδων εἰς μεγαλοφροσύνην τοῦ Κομνηνοῦ οὐ μόνον τὴν σωτηρίαν, ἀλλὰ καὶ τὴν ὕστερον ἰδιάζουσαν ἐκτίμησιν (2). Τὸ δεύτερον τῶν ἐγγράφων τούτων εἶναι αὐτὸ τὸ κατὰ τοῦ πατριάρχου Κηρουλλαρίου κατηγορητήριον, τὸ ὁποῖον κατ' ἀπαίτησιν τοῦ αὐτοῦ βασιλέως ὁ Ψελλὸς συνέταξεν· αὐτὴ ἡ ὑπὸ τοῦ πατριάρχου ὑποκινηθεῖσα ἐν Βυζαντίῳ ἀνταρσία κατὰ τοῦ βασιλέως Μιχαὴλ τοῦ Στρατιωτικοῦ χρησιμεύει ὡς μία τῶν κυριωτέρων κατ' αὐτοῦ κατηγοριῶν, ὅπερ σημαίνει ὅτι ὁ Κηρουλλάριος οὐδεμίαν εἶχε πρὸς τὸν Κομνηνὸν συνεννόησιν, διότι τότε οὗτος σύρων ὑπόδικον ἐκεῖνον εἰς ὃν ὤφειλε τὸν θρόνον, οὐ μόνον ἀγνώμων ἀνεδείκνυτο, ἀλλὰ καὶ ἐπισήμως ἀνεγνώριζεν ὅτι διὰ ληστρικοῦ πραξικοπήματος, ὡς χαρακτηρίζεται ἡ πρᾶξις ἐκείνη, ἐπέβη τῆς βασιλείας.

Ἀλλὰ καὶ πάλιν ἀδικοῦσι τὴν μνήμην τοῦ Λειχούδη καὶ τοῦ Ψελλοῦ οἱ χρονογράφοι παρασιωπῶντες τὴν συμμετοχὴν ἀμφοτέρων τῶν πολιτικῶν τούτων ἐν τῇ βραχυχρονίῳ μέν, πλὴν τοσοῦτον ἐνδόξῳ βασιλείᾳ τοῦ πρώτου τούτου τῶν Κομνηνῶν.

(1) Ζωναρᾶς, XVIII, 3.

(2) Μεσ. Βιβλ. Δ', σελ. 216 - 233.

Κατὰ τὸν Ψελλὸν (1) ὁ Ἰσαάκιος ἐνεκαίνισε τὴν βασιλείαν αὐτοῦ προσλαβὼν ὡς πρωθυπουργὸν τὸν Λειχούδην, ὅστις ἐπὶ διετίαν μετὰ τῆς διακρινούσης συνέσεως διοικήσας τὰ κοινά, μετετέθη ἐκ τοῦ βασιλικοῦ βήματος εἰς τὸν πατριαρχικὸν θρόνον (1059).

Ὁ Ψελλὸς τιμηθεὶς τῷ ἀξιώματι τοῦ προέδρου τῆς συγκλήτου (2) διετέλεσε συνυπουργῶν τῷ Λειχούδῃ, μετὰ τὴν ἀποχώρησιν τοῦ ὁποίου ἀνήχθη εἰς τὴν πρωθυπουργίαν. Ἐκ τῶν δημοσιευομένων νῦν ἐπιστολῶν αὐτοῦ δηλοῦται ὁπόσον ὁ Κομνηνός, ὁ τοσοῦτον πρὸς τοὺς ἄλλους καὶ αὐτοὺς τοὺς οἰκείους ὑπερόπτης καὶ ἀπότομος (3), ἐτίμα καὶ ἠγάπα τὸν πρωθυπουργὸν αὐτοῦ. Ἀναλαβὼν αὐτῇ τῇ συστάσει τοῦ Ψελλοῦ αὐτοπροσώπως τὴν κατὰ τῶν Οὔγγρων καὶ Πατσινακῶν ἐκστρατείαν, πρὸς μόνον τὸν πρωθυπουργὸν αὐτοῦ γράφει, καὶ δι' αὐτοῦ μανθάνουσι τὰ περὶ τοῦ βασιλέως καὶ ἡ βασίλισσα καὶ τὰ τέκνα αὐτοῦ, καὶ ἡ σύγκλητος καὶ αὐτὸς ὁ τοῦ Βυζαντίου δῆμος, ὅστις ἄγνωστον δυνάμει τίνος προνομίου ἀπῄτει ὅπως ὁ ἐν ἐκστρατείᾳ ἀπερχόμενος βασιλεὺς τῷ γράφει ἰδιαίτερα γράμματα (4). Ὁ Ψελλὸς τὸ πρῶτον συνίστα (5) τὴν πέραν τοῦ Δουνάβεως μετοίκησιν τῶν συνεχῶς ἐνοχλούντων τὸ κράτος βαρβάρων· ὁ δὲ βασιλεὺς ἀναγγέλλει αὐτῷ ὅτι κατετρόπωσε μὲν αὐτούς, ἐξακολουθεῖ δὲ καταζητῶν κρυβέντας εἰς τὰ ἕλη. Ὁ πρωθυπουργὸς ἀντεπιστέλλων συγχαίρεται αὐτῷ ἐπὶ τῷ τροπαίῳ, παρακαλεῖ δὲ ἵνα περιορισθῇ ἐπὶ τοῦ παρόν-

(1) Μεσ. Βιβλιοθ. Δ', σελ. 409.

(2) αὐτ. σελ. 233. Ὁ διορισμὸς οὗτος διήγειρε τὴν χολὴν τινῶν, τοὺς ὁποίους παντοιοτρόπως προσπαθεῖ ἵνα ἐξευμενίσῃ ὁ Ψελλός. Ἐπιστ. 108.

(3) Μεσ. Βιβλ. Δ', σελ. 249.

(4) Ἐπιστολαὶ 69, 81, 161 καὶ 191.

(5) Ἐπιστολὴ 161.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τος εἰς τοῦτο καὶ ἐπιστρέψῃ εἰς Βυζάντιον, ἔνθα σπουδαιότεραι τοῦ κράτους ὑποθέσεις ἀπῄτουν τὴν παρουσίαν αὐτοῦ. Οὐ μόνον δὲ πρὸς τὸν βασιλέα, ἀλλὰ καὶ πρὸς τὴν βασίλισσαν Αἰκατερίναν καὶ τοὺς ἄλλους Κομνηνοὺς ἀντεπιστέλλει ὁ Ψελλὸς μετὰ ὕφους δεικνύοντος τρυφερὰν οἰκειότητα.

Ὁ μετὰ τὸν Ἰσαάκιον βασιλεύσας Κωνσταντῖνος ὁ Δούκας συνεδέετο τῷ Ψελλῷ διὰ παλαιᾶς φιλίας καὶ πρὸ πάντων δι' εὐγνωμοσύνης, διότι εἰς τολμηρὸν πραξικόπημα τοῦ πολυμηχάνου φιλοσόφου ὤφειλε τὸν θρόνον (1). Ὁ βασιλεὺς οὗτος, καίτοι ἀνήκων εἰς στρατιωτικὸν οἶκον ἐν ᾧ πατροπαράδοτος ἤνθει ὁ ἡρωϊσμὸς καὶ ἡ φιλοτιμία, προτιμᾷ ἵνα οἰκουρῇ τρυφῶν, καὶ ἐξαγοράζῃ διὰ χρημάτων τὴν εἰρήνην ἀπὸ τῶν βαρβάρων. Τῶν θλιβερῶν συνεπειῶν τοῦ τελευταίου τούτου ἀτόπου συνυπεύθυνος ἠδύνατο ἵνα θεωρηθῇ καὶ ὁ τότε παραδυναστεύων αὐτῷ, ἢ μᾶλλον πρώτιστος σύμβουλος καὶ ὁμοτράπεζος Ψελλός, ἐὰν μὴ ἐγκατέλιπε ῥητὴν περὶ τῆς ἀθωότητος αὐτοῦ διαμαρτύρησιν (2)· καὶ αὗται δὲ αἱ νῦν δημοσιευόμεναι πρὸς τὸν βασιλέα τοῦτον ἐπιστολαὶ αὐτοῦ καλῶς ἐξεικονίζουσι τὰ αἰσθήματα αὐτοῦ· ἐν αὐταῖς δὲν λαλεῖ ὁ ἐνθουσιώδης πατριώτης, ὁ συγχαιρόμενος τῷ βασιλεῖ « ὅστις ἀνέστησε τὴν εἰς γῆν κειμένην βασιλείαν τῶν Ῥωμαίων καὶ τὸ ἀρχαῖον αὐτῇ ἐπανέσωσε κάλλος καὶ μέγεθος, ἀπαλλάξας αὐτὴν τοῦ τελευταίου ὀνείδους (3) », ἀλλ' ὁ παράσιτος φιλόσοφος ὁ θαυμασίως γινώσκων τὴν τέχνην τοῦ ἀφομοιοῦσθαι πρὸς πᾶσαν ἀδυναμίαν τοῦ σιτίζοντος αὐτόν· διὸ καὶ ἐπανειλημμένως εὔχεται ὑπὲρ τῆς εὐζωΐας τοῦ βασιλέως, ὅστις παραγνωρίζων τὰ ὁποῖα τὸ στέμμα ἐπιβάλλει καθήκοντα, ἐθεώρει τὸν θρόνον ὡς ἁπλοῦν μέσον ἀνέτου βίου καὶ κτηνώδους παχύνσεως.

(1) Μεσ. Βιβλ. Δ', σελ. 264.
(2) Αὐτ. σελ. 266.
(3) Ἐπιστολὴ 69.

Τὸ κατὰ τοῦ Ἰσαακίου πραξικόπημα τοῦ Ψελλοῦ, ἡ ἐπὶ τοῦ οἴκου τῶν Δουκῶν ἀπέραντος αὐτοῦ ἐπιρροή, αἱ πολυειδεῖς γνώσεις καὶ ἡ πολιτικὴ πεῖρα, ἡ μαγευτικὴ γλῶσσα, αἱ πρὸς πᾶσάν τῆς κοινωνίας τάξιν καὶ αἱ πρὸς αὐτὸν τὸν δῆμον σχέσεις αὐτοῦ, ἀνέδειξαν τὸν περιλάλητον φιλόσοφον ὡς τὸν ἄνθρωπον τὸν ὁποῖον οὐδεὶς ἠδύνατο ἵνα παραβλέψῃ ἀκινδύνως.

Αὐτὸς ὁ ἡρωϊκὸς καὶ τραχὺς Ρωμανὸς ὁ Διογένης, εἰς τὸν ὁποῖον ἡ Εὐδοκία προσήνεγκε τὴν χεῖρα καὶ τὸ στέμμα, καίτοι καλῶς γνωρίζων ὅτι παρὰ τὴν θέλησιν τοῦ Ψελλοῦ ἀνέβη εἰς τὸν θρόνον, περιποιεῖται οὐδὲν ἧττον μέχρι ταπεινώσεως τὸν ἐπικίνδυνον φιλόσοφον (1). Διὰ τῆς γλώσσης τοῦ Ψελλοῦ οἱ πανηγυρίζοντες Βυζάντιοι συγχαίρονται τῷ βασιλεῖ καὶ προπέμπουσιν αὐτὸν εἰς τὰς κατὰ τῶν βαρβάρων ἐκστρατείας (2)· πρὸς τὸν Ψελλὸν δὲ οὗτος ἀναγγέλλει τὰς κατὰ τῶν Κούρδων νίκας αὐτοῦ, καὶ διὰ τούτου πληροφορεῖ τὴν βασίλισσαν καὶ τοὺς οἰκείους τὰ περὶ τῆς ὑγείας αὐτοῦ (3). Διὰ τοῦ αὐτοῦ δὲ προσώπου προσπαθεῖ ἡ ἀτυχὴς Εὐδοκία ἵνα ἀναζωογονήσῃ τὴν πρώτην τρυφερότητα εἰς τὴν σκληρὰν καρδίαν τοῦ ἀποτόμου αὐτῆς συζύγου, καὶ φιλοπόνημα αὐτοῦ τοῦ Ψελλοῦ εἶναι ἡ Ἰωνιά (4) τὴν ὁποίαν ἡ βασίλισσα προσφέρει μετὰ τρυφερᾶς προσφωνήσεως εἰς τὸν ἐκ τοῦ πολέμου ἐπανεστρέφοντα σύζυγον αὐτῆς.

Ἀλλ' ὁ τοσοῦτον θαυμάζων τὸν ἡρωϊσμὸν τοῦ Διογένους φιλόσοφος οὐδέποτε ἐλησμόνησεν ὅτι οὗτος ἦτο ἐπείσακτος βασιλεύς, καὶ ὅτι ἡ Εὐδοκία ἀμνηστεύσασα τὸν συνωμότην τῆς Σαρδικῆς, παρέλαβε τοῦτον παρὰ τὴν θέλησιν αὐτοῦ τοῦ Ψελλοῦ,

(1) Μεσ. Βιβλ. Δ', σελ. 275.
(2) Ἐπιστολαὶ 2, 4, 5, 90.
(3) Ἐπιστολαὶ 3, 6.
(4) Περὶ τῆς Ἰωνιᾶς λόγος γενήσεται κατωτέρω.

οὐχὶ συμμέτοχον τοῦ θρόνου, ἀλλ' ὡς προσωρινὸν τοῦ κράτους σωτῆρα καὶ ἁπλοῦν κηδεμόνα τοῦ ἀνήλικος διαδόχου, ὅστις ἦτο καὶ υἱὸς ἐκείνης καὶ μαθητὴς τοῦ Ψελλοῦ, ἀγαπῶν μάλιστα τὸν διδάσκαλον πλειότερον τῆς μητρός· διὸ καὶ ἀνέχεται τὸν συμβασιλεύοντα ὡς ἄνθρωπον τῆς ἀνάγκης, δυνάμενον ἵνα ἐξασφαλίσῃ τὴν εἰρηνικὴν βασιλείαν τοῦ νομίμου διαδόχου. Ἅμα ὅμως αὐτὸς ὁ Διογένης, ἐπαρθεὶς ἐκ τῶν κατὰ τῶν Κούρδων προσωρινῶν θριάμβων, πρῶτος κατεπάτησε τὰς ἐνόρκους αὐτοῦ ὑποσχέσεις, καὶ δι' ἀχαριστίας ἀντήμειψε τὴν πατριωτικὴν θυσίαν τῆς τρυφερᾶς Εὐδοκίας, πρὸ πάντων δὲ ὅτι, ὡς ἴδιον κτῆμα θεωρῶν τὸν θρόνον, διεπραγματεύθη συνοικέσια τῶν ἰδίων παίδων (1) πρὸς ἄλλους ἡγεμόνας, ὁ Ψελλὸς πρῶτος ἐκήρυξε τὸν κατ' αὐτοῦ πόλεμον, ἀπολήξαντα εἰς τὴν τραγικὴν σκηνὴν τῶν Ἀδάνων (2).

Ἐνταῦθα λήγει τὸ πολιτικὸν τοῦ Ψελλοῦ στάδιον, δυστυχῶς ἐπεσφραγισμένον διὰ πολιτικοῦ λάθους, εἰς ἀντισήκωσιν

(1) Ὅταν ὁ Ρωμανὸς ἐνυμφεύθη τὴν Εὐδοκίαν ἦν χῆρος καὶ οὐχὶ ἄγαμος, ὡς λέγει ὁ κ. Muralt (Chron. Byz. 13) ἐπικαλούμενος τὴν τοῦ Ἀτταλειάτου μαρτυρίαν. Ὁ χρονογράφος οὗτος (σελ. 101) ἁπλῶς λέγει τὸν Ρωμανὸν «γυναικὸς ἀμοιροῦντα»· ἐκ δὲ τῶν νῦν δημοσιευομένων ἐπιστολῶν τοῦ Ψελλοῦ (3, 143, 144) πληροφορούμεθα ὅτι καὶ υἱὸν εἶχεν ἐκ τῆς πρώτης αὐτοῦ γυναικός, τὸν ὁποῖον καὶ ἐμνήστευσε πρὸς μίαν τῶν θυγατέρων τοῦ Ροβέρτου Γυσχάρδου· τὴν μνηστείαν ταύτην ἅμα βασιλεύσας ὁ Μιχαὴλ Ζ' ἔσπευσεν ἵνα διαλύσῃ, ἀντιπροτείνας ὡς γαμβρὸν τὸν ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον τὸν πορφυρογέννητον· βλέπε τὰς ὑπ' ἐμοῦ δημοσιευθείσας Deux lettres inédites de l'empereur Michel Ducas à Robert Guiscard, Paris 1875.

(2) Κατὰ τῆς τυφλώσεως τοῦ Διογένους διαμαρτύρεται ὁ Ψελλὸς ἔν τε τῇ ἱστορίᾳ αὐτοῦ (σελ. 287) καὶ ἰδίως διὰ τῆς ὑπ' ἀριθμὸν 82 ἐπιστολῆς· ἐν τούτοις ἐν προγενεστέρᾳ ἐπιστολῇ (145) φαίνεται ἐγκαρδίως εὐχόμενος τὴν ἐξόντωσιν τοῦ δυστυχοῦς βασιλέως, ὃν ἀποκαλεῖ θῆρα καὶ δράκοντα.

τοῦ ὁποίου δὲν ἐξαρκεῖ ὁλόκληρος ἡ πολιτικὴ αὐτοῦ εἰκοσιπενταετηρίς, καθ' ἣν ὁμολογουμένως ἀνέδειξε καὶ σύνεσιν καὶ πατριωτικὰς ἀρετάς, αἵτινες τοσοῦτον σπανίζουσιν ἐν τοῖς χρόνοις ἐκείνοις τῆς κοινωνικῆς διαφθορᾶς καὶ τῆς πολιτικῆς ἐξαχρειώσεως. Διὸ καὶ βαρεῖα κατ' αὐτοῦ ἐπέπεσεν ἡ Νέμεσις, καὶ ὁ ἄθλιος πολιτικὸς ἐν κρυπτῷ καὶ παραβύστῳ, λιμώττων καὶ ὑπὸ πάντων ἀποβαλλόμενος, ἀπέτισε τὸ πολιτικὸν ἐκεῖνο λάθος, εἰς τὸ ὁποῖον ὀφείλεται ἡ διαδοχικὴ ὑποδούλωσις τῆς ἑλληνικῆς Ἀσίας ὑπὸ τῶν Κούρδων, τῶν Μογγόλων καὶ τῶν Τούρκων.

Καὶ ἀνθρωπίνως μὲν δικαιολογεῖται ἡ κατὰ τοῦ Διογένους ἀντιπολίτευσις τοῦ Ψελλοῦ, ἐκ τῆς ἀφοσιώσεως αὐτοῦ πρὸς τὰ κεκτημένα δικαιώματα οἰκογενείας πρὸς ἣν συνέδεον αὐτὸν παλαιοὶ δεσμοὶ φιλίας καὶ εὐγνωμοσύνης, πολιτικῶς ὅμως μένει ἀδικαιολόγητος. Τὴν καρδίαν τοῦ ἐκτάκτου ἐκείνου ὄντος εἰς τὸ ὁποῖον ἀνατίθεται ἡ τύχη ὁλοκλήρου κοινωνίας δέον ἵνα περικλείῃ χαλύβδινος ὑμὴν ὑπ' οὐδεμιᾶς ἀνθρωπίνης ἀδυναμίας ἐπηρεαζόμενος, ἀλλ' εἰς ἓν καὶ μόνον ἐνδίδων ἐλατήριον, τὸ συμφέρον τῆς πατρίδος, ἄλλως ὁ πολιτικὸς εἶναι κοινὸς ἄνθρωπος, ἄδοξος ἐπιβάτης θέσεως εἰς ἣν οὔτε ἡ πρόνοια προώρισεν αὐτόν, οὔτε αὐτὴ ἡ ἐξηπατημένη κοινωνία δύναται ἐπὶ πολὺ ἵνα τὸν ἀνεχθῇ. Τοῦ δὲ πολιτικοῦ τούτου ἀξιώματος ὁ Ψελλὸς εἶχε δύο πρὸ ὀφθαλμῶν συγκινητικὰ παραδείγματα, πρῶτον μὲν τὸν μεγάθυμον Ἰσαάκιον τὸν Κομνηνόν, ὅστις ἄκαμπτος εἰς τὰ δάκρυα καὶ τὰς παρακλήσεις συζύγου καὶ ἀδελφῶν, ἐπροτίμησεν ἵνα μεταβιβάσῃ τὸν θρόνον οὐχὶ εἰς τὰ ἴδια σπλάγχνα, ἀλλ' εἰς ἕνα ξένον ἀπὸ τοῦ ὁποίου ἤλπιζε τὴν σωτηρίαν τοῦ κράτους, καὶ δεύτερον τὴν ἡρωϊκὴν Εὐδοκίαν, ἥτις ἐθυσίασε καὶ σωφροσύνην καὶ δυναστικὰ συμφέροντα εἰς τὸν βωμὸν τῆς πατρίδος.

Ο Ψελλὸς δὲν ἦν μόνον πολιτικός, ἀλλὰ πρὸ πάντων ἔξοχος λόγιος, ἢ μᾶλλον ἡ τελευταία κορωνὶς τῆς Ἑλληνικῆς φιλολογίας· ὡς τοιοῦτος δὲ ὁπωσοῦν ὑπὸ τῶν ἑλληνιστῶν γιγνώσκεται, γνωσθήσεται δὲ κάλλιον, ὅταν φιλόψελλός τις ἀποδυθῇ εἰς τὸν ἀγῶνα τῆς συμπληρώσεως τοῦ ἀτελεστάτου φιλοπονήματος τοῦ Ἀλλατίου.

Τὰ νῦν πρῶτον δημοσιευόμενα ἱστορικὰ πονήματα, ἰδίᾳ δὲ αἱ ἐπιστολαὶ αὐτοῦ ἔχουσι τὸ ἐξαίρετον πλεονέκτημα ὅτι εἰσὶν ἐκ τῶν σπανιωτέρων προϊόντων τῆς βυζαντινῆς φιλολογίας· ἐν ᾧ δηλονότι αἱ ἄλλαι τῶν ἐγνωσμένων βυζαντινῶν ἐπιστολῶν περιστρέφονται εἰς φιλοσοφικὰς καὶ θεολογικὰς συζητήσεις, ἐξ ὧν ἥκιστα ἡ ἱστορία διδάσκεται, αὗται ἐξεικονίζουσι τὸν βυζαντινὸν βίον ὑπὸ ποικίλας ἐπόψεις. Ὡς ἐπιστολογράφος ὁ Ψελλὸς δύναται ἵνα συγκριθῇ πρὸς μόνον τὸν Συνέσιον καὶ τὸν Φώτιον, ἰδίᾳ δὲ τὸν πρῶτον πρὸς ὃν ἀναγνωρίζεται καὶ στενωτέρα ὕφους συγγένεια.

Ὡς ὑπουργὸς καὶ σύμβουλος τῶν βασιλέων ἀποτείνει συμβουλὰς πρὸς τοὺς κατὰ τόπους στρατηγούς, διοικητὰς καὶ κριτάς, οἵτινες, ὡς φαίνεται, δὲν ἦσαν τυχαῖοι ὑπάλληλοι, ἀλλὰ λόγιοι καὶ φιλόσοφοι, ἰδιαζόντως ἀφωσιωμένοι εἰς τὸν Ἀριστοτέλην καὶ τὸν Πλάτωνα, περὶ ὧν καὶ συζητοῦσι πρὸς τὸν προϊστάμενον αὐτῶν ἐν ὥραις σχολῆς.

Ἀλλὰ καὶ ὑπ' ἄλλην ἔποψιν δικαιοῦται ὁ βυζαντινὸς ἐπιστολογράφος ἐξαιρετικῆς τινος γνωριμότητος· ἐν ᾧ οἱ ἄλλοι βυζαντινοὶ λόγιοι, μόνον τὴν Πόλιν πρὸ ὀφθαλμῶν ἔχοντες, ἀδιαφοροῦσι περὶ τῶν ἐκτὸς τῶν τειχῶν αὐτῆς συμβαινόντων, ὁ Ψελλὸς ἀριθμεῖ ἐν ἑκάστῳ θέματι ἐκλεκτὴν μερίδα θαυμαστῶν τῆς πολυμαθείας αὐτοῦ καὶ ἁπλοϊκῶν χωρικῶν εὐλογούντων τὸ ὄνομά του· διὸ καὶ πᾶσα πόλις φιλοτιμεῖται ἵνα ανακηρύξῃ αὐτὸν πολιοῦχον, ὅπως δικαιωματικῶς ἐπικαλῆται τὴν ἰσχυρὰν αὐτοῦ προστασίαν εἰς ἐξευμένισιν τοῦ αὐτοκράτορος,

καὶ λύσιν ἐκκρεμοῦς πρὸς τὸ δημόσιον κοινοτικῆς διενέξεως, ἢ καὶ σωφρονισμὸν τῶν λυμαινομένων αὐτὰς ἀπλήστων φορολόγων (1).

Αἱ πλεῖσται τῶν ἐπιστολῶν τούτων εἰσὶ συστατικαὶ πρὸς βασιλεῖς, ὑπουργοὺς καὶ ἄλλους ἀνωτέρους ὑπαλλήλους, οὐ μόνον ὑπὲρ πόλεων, ἀλλὰ καὶ ὑπὲρ ἀνθρώπων πάσης τάξεως, τῶν ὁποίων τὰ δίκαια κατεπάτει ἡ αὐθαιρεσία. Πρὸς τὸν Ψελλὸν ἀποτείνονται καὶ ἐπίσκοποι, καὶ πτωχοὶ μοναχοὶ ἐξαιτούμενοι ἐγκύκλιον γράμμα ὅπως περιέλθωσι τὸ κράτος καὶ ζητήσωσι τὸ ἔλεος τῶν ὁμοθρήσκων (2). Τὸ ἀξιοσημείωτον δὲ ὅτι ὁ πολυάσχολος πολιτικὸς καὶ λόγιος εἰς οὐδένα κλείει τὴν θύραν ἢ καὶ ἀρνεῖται τὴν συνδρομήν του· ὑπὲρ πάντων γράφει, ἢ μᾶλλον ἐπαιτεῖ, ὡς λέγει, ἡ δὲ ἐπαίτησις ἐκείνη ἐπὶ μᾶλλον τιμᾷ αὐτόν, ὅσον οὔτε εἰς ἀτομικὰ συμφέροντα ἀφορᾷ, οὔτε ὑπαγορεύει αὐτὴν ἡ δωροδοκία ἢ ἄλλη τις ἀμοιβή. Παρ' οὐδενὸς ζητεῖ τὴν καταπάτησιν τοῦ νόμου χάριν τοῦ συνισταμένου προσώπου, ἀλλὰ τὴν δικαίαν αὐτοῦ ἐφαρμογήν, χάριν αὐτῆς τῆς δικαιοσύνης καὶ αὐτοῦ τοῦ αἰτοῦντος. Καὶ τρελλοὶ καλόγηροι πολιορκοῦσιν αὐτὸν ἐξαιτούμενοι τὴν μεσολάβησίν του ὑπὲρ φαντασιώδους καταπατήσεως τῶν ἀνυπάρκτων δικαίων αὐτῶν ὑπὸ αὐστηροῦ κριτοῦ· οὐδὲ τούτους ἀποδιώκων γράφει πρὸς τὸν ὑποτιθέμενον ἄδικον ὑπάλληλον καὶ παρακαλεῖ αὐτόν, ἵνα σεβόμενος τὴν δυστυχίαν ἐπινοήσῃ θεατρικήν τινα λύσιν τῆς διενέξεως τοῦ φαντασιοπλήκτου ἀπαιτητοῦ, ἵνα οὕτως ἱκανοποιηθῇ ὁ παραπεμπόμενος τρελλός (3). Ἡ πρὸς τὴν δυστυχίαν συμπάθεια αὐτοῦ δὲν ἔχει ὅρια· οὐ μόνον ἐνθέρμως συνιστᾷ τὰς ὑποθέσεις, ἀλλ' ἀνέχεται ὅπως αὐτοὶ οἱ δυστυχεῖς

(1) Ἐπιστολαὶ 95, 180 καὶ ἕτεραι.

(2) Ἐπιστολαὶ 149, 153, 154.

(3) Ἐπιστολὴ 119.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θεσιθῆραι καταλύωσι καὶ τρέφωνται ἐν τῷ ἰδίῳ οἴκῳ μέχρι τῆς ἐπιτυχίας τοῦ ποθουμένου· πολλάκις ὅμως ἡ ὀχληρὰ αὕτη θυσία ἀναγκάζει αὐτόν, ὅπως ἐπαναλαμβάνη τὴν αἴτησιν περὶ ἐπισπεύσεως τοῦ διορισμοῦ, διότι οἱ πολυβορώτατοι οὗτοι ἄνθρωποι κατέφαγον τὸν οἶκον αὐτοῦ, ἢ ἂν βραδύνῃ ἡ ἐπιτυχία τοῦ αἰτήματος. τότε πρέπει ἵνα καὶ αὐτοὶ οἱ ἰσχυροὶ συμμετάσχωσι τῆς χριστιανικῆς θυσίας (1).

Ἡ ἐπιτομωτάτη αὕτη συγκεφαλαίωσις τῶν ἐν ταῖς δημοσιευομέναις ἐπιστολαῖς περιεχομένων σκοπεῖ, ἵνα ἁπλῶς ὑποδείξῃ τὴν σπουδαιότητα τῶν ἱστορικῶν τούτων μνημείων, τὰ ὁποῖα, ὅταν συμπληρωθῶσι καὶ ἐπισταμένως μελετηθῶσι, θέλουσιν ἐπιχύσει ἱκανὸν φῶς ἐπὶ τοῦ ἀγνοουμένου βυζαντινοῦ βίου καὶ ἰδίως τοῦ διοικητικοῦ ὀργανισμοῦ. Οὕτω πρὸς τοῖς ἄλλοις ἐκ τούτων μανθάνομεν ὅτι ἐπὶ ἑκάστης μὲν βασιλικῆς μεταβολῆς ἐτροποποιεῖτο τὸ προσωπικὸν τῶν ἐμπεπιστευμένας θέσεις κατεχόντων ὑπαλλήλων (2), ἀλλὰ συγχρόνως ὅτι καὶ οἱ ἱκανοὶ ὑπάλληλοι οὐ μόνον ἔφθανον ἀνενόχλητοι εἰς βαθὺ γῆρας, ἀλλὰ καὶ ἐπανειλημμένως ζητοῦντες τὴν ἀποχώρησιν αὐτῶν, προβάλλοντες μάλιστα πρὸς τοῦτο ἀθεράπευτον νόσον καὶ ἰδίως τὸ ἰσχυρότατον διὰ τοὺς χρόνους ἐκείνους ἐπιχείρημα, τὴν εἰς τὸν μοναχικὸν βίον μετάθεσιν, οὐ μόνον ἔβλεπον ἀπορριπτομένην τὴν αἴτησιν αὐτῶν, ἀλλὰ καί πως ἐδιδάσκοντο ὅτι ὤφειλον μᾶλλον τὴν πολιτείαν ἢ τὰ μοναστήρια νὰ ὑπηρετήσωσι (3). Πρὸς δὲ τούτοις ὅτι εἰς ἀπολαυὴν θέσεώς τινος, οὔτε ἡ ἀτομικὴ ἱκανότης, οὔτε αὐτὴ ἡ τοῦ ὑπουργοῦ, ἢ καὶ μέλους τῆς βασιλικῆς οἰκογενείας σύστασις ἐξήρκει, ἀλλὰ προσαπητοῦντο καὶ ἄλλαι ὑλικώτεραι ἐγγυήσεις ἐξασφαλίζουσαι

(1) Ἐπιστολαὶ 128, 151.
(2) Ἐπιστολὴ 146.
(3) Ἐπιστολὴ 190.

τὸ κράτος ἀπὸ ἐνδεχομένης καταχρήσεως (1), διότι, ὡς φαίνεται, οἱ τότε τῶν ἐπαρχιῶν διοικηταὶ ὑπεχρεοῦντο ἵνα συνεισφέρωσιν εἰς τὸ δημόσιον κατ' ἀποκοπὴν ὅλα τὰ ἐπαρχιακὰ τέλη, ὁ δὲ σκληρότερος τῶν ἀπαιτητῶν τοῦ καιροῦ ἐκείνου ἦν τὸ δημόσιον ταμεῖον (2). Ὁ αὐτὸς ὅμως κανὼν δὲν φαίνεται τηρούμενος καὶ ἐπὶ τῶν ὑποδεεστέρων διοικητῶν, καὶ ἰδίως τῶν νοταρίων, ἢ γραφέων, οἵτινες ὡς ἐπὶ τὸ πλεῖστον ἦσαν παῖδες εὐγενῶν οἴκων ἀποστελλόμενοι εἰς τὰς ἐπαρχίας πρὸς ἀπόκτησιν τῆς δι' ἀνώτερα ἀξιώματα ἀπαιτουμένης πείρας· εἰς διορισμὸν τούτων πολλάκις ἐξήρκει καὶ αὐτὴ ἡ προστασία ἰσχυούσης ἐν τῇ αὐλῇ γυναικός. Τούτους ἀποκαλῶν πρωτοζεύκτους πώλους ὁ Ψελλὸς συνοδεύει ὡς ὑπουργὸς διὰ συστάσεων εὐφυῶν πρὸς τοὺς προϊσταμένους αὐτῶν ὑπαλλήλους, οἵτινες δυσαρέστως διὰ τοιούτου βάρους ἐπεφορτίζοντο (3). Ἀλλ' οἱ νοτάριοι οὗτοι, μὴ ὄντες ὡς ἐπὶ τὸ πλεῖστον ἀμίαντοι τὰς χεῖρας, ὅταν ἠδυνάτουν ἵνα ἐκ τῶν ἐνόντων συμπληρώσωσι τὸ χρηματικὸν ἔλλειμμα, ἔφευγον λάθρα καὶ ἐρχόμενοι εἰς Κωνσταντινούπολιν προσεπάθουν ἵνα εὕρωσι τὰ χρήματα, καὶ ὀδυρόμενοι σὺν γυναιξὶ καὶ τέκνοις ἀπελάμβανον ὑπουργικῆς συστάσεως πρὸς τὸν προϊστάμενον αὐτῶν, παρακαλούμενον ἵνα προσενεχθῇ ἐπιεικῶς πρὸς τὸν μετανοοῦντα ὑπάλληλον αὐτοῦ (4).

Πρὸς τούτοις δὲ μανθάνομεν ὅτι καί τινα τῶν ἀξιωμάτων ἐδωροῦντο ὑπὸ τοῦ βασιλέως εἰς ἀναφαίρετον κτῆμα ἀτόμου, δυναμένου μάλιστα ἵνα μεταβιβάσῃ ταῦτα εἰς τὰ τέκνα αὐτοῦ ὡς προῖκα· τοῦτο πληροφοροῦσιν ἡμᾶς καὶ δύο ἔγγραφα, τὰ ὁποῖα ἔχουσι τὸ ἰδιάζον πλεονέκτημα ὅτι εἰσὶ τὰ μόνα γνωστὰ μνη-

(1) Ἐπιστολὴ 128.
(2) Ἱστορία, σελ. 185.
(3) Ἐπιστολαὶ 100, 136.
(4) Ἐπιστολαὶ 24, 47.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μεῖα τῆς βυζαντινῆς διαδικασίας, ἤτοι τέλειοι τύποι δικαστικῶν ἀποφάσεων (1).

Ἀλλ' ἂν αἱ ἐπιστολαὶ καὶ τὰ ἄλλα ἱστορικὰ τοῦ Ψελλοῦ πονήματα τὰ μάλιστα συμβάλλουσιν εἰς τὴν διαφώτισιν τῆς καθόλου ἱστορίας τῶν χρόνων ἐκείνων, ἐξαιρετικὰ ἔχει ὁ βυζαντινὸς οὗτος πρόγονος δικαιώματα ἐπὶ τῆς ἡμετέρας εὐγνωμοσύνης, διότι παρίσταται ὁ πρωτοστάτης τοῦ βυζαντινοῦ ἑλληνισμοῦ.

Ὁ Ψελλὸς δὲν μυκτηρίζει, ὡς Ἰωάννης ὁ Γεωμέτρης καὶ ὁ Φώτιος, πρὸ πάντων δὲ Κωνσταντῖνος ὁ Πορφυρογέννητος, τοὺς ἐπὶ τῇ ἑλληνικῇ αὐτῶν καταγωγῇ σεμνυνομένους ἀτυχεῖς τῆς Ἑλλάδος κατοίκους, ἀλλὰ συνηγορεῖ ὑπὲρ αὐτῶν μετὰ τῆς αὐτῆς ἐκείνης γλώσσης τὴν ὁποίαν μίαν μετὰ τὸν Ψελλὸν χιλιετηρίδα ἀπήγγειλαν τὰ συμπαθῆ τῶν φιλελλήνων χείλη (2). Δυσανασχετεῖ ὅτι οἱ εἰς Ἀθήνας πεμπόμενοι ὑπάλληλοι θεωροῦσι τοὺς τόπους τῶν ἱερῶν ἀναμνήσεων ἀληθῆ ἐξορίαν καὶ Σκυθικὴν ἐρημίαν, καὶ παρακαλεῖ τοὺς διοικητὰς ἵνα φροντίσωσι καὶ καταστήσωσιν εὐάρεστον τὴν ἐν τῷ τόπῳ διαμονήν (3). Συνιστᾷ εἰς τοὺς κριτὰς καὶ διοικητὰς τῆς Πελοποννήσου τὴν εὐσπλαγχνίαν πρὸς τοὺς ἀπὸ τοῦ ληστρικοῦ συντάγματος τῶν φορολόγων αὐτῶν ἀπογυμνουμένους κατοίκους, καὶ γράφων ἰδίᾳ πρὸς τὸν διαβόητον Νικηφορίτσην, τότε πραίτορα τῆς Ἑλλάδος, συμβουλεύει τὴν κατάπαυσιν τῶν ληστρικῶν αὐτοῦ ἔργων, τῶν ὁποίων ἡ φήμη περιηχεῖ καὶ τὰς τοῦ βασιλέως ἀκοάς (4).

(1) Δικαστικά, σελ. 197-212. Ἐκ δὲ τῶν ἐπιστολῶν αὐτοῦ (165, 192) μανθάνομεν ὅτι, κατὰ προνόμιον δωρηθὲν αὐτῷ ὑπὸ Κωνσταντίνου τοῦ Μονομάχου, ὁ Ψελλὸς ἐδικαιοῦτο τῆς εἰσπράξεως ὡρισμένου τινὸς τέλους τῆς τούρμας Ἁπλοκονήσου.

(2) Ἐπιστολὴ 20.

(3) Ἐπιστολαὶ 26, 32, 33, 34, 135.

(4) Ἐπιστολαὶ 103, 134.

Ὁ Ψελλὸς ἠγάπα τὴν κλασικὴν γῆν, ὡς οἱ σημερινοὶ ἀρχαιολόγοι, διότι καὶ τοιοῦτος ἦν· ἐν ᾧ οἱ ἐν τῷ ἄλλῳ κράτει τυχόντες τῆς προστασίας αὐτοῦ πέμπουσιν αὐτοπροαιρέτως βούτυρον, περδίκια ὠά, βρώσιμα, καὶ ἄλλα τοιαῦτα εὐτελῆ δῶρα, ἀπὸ τῶν ἐν Ἑλλάδι ὑπαλλήλων ἐπανειλημμένως ζητεῖ τὴν ἀποστολὴν ἀγαλμάτων (1). Ἀποτείνει πρὸς τοὺς οἰκείους καὶ μαθητὰς ἐπιστολὰς περὶ τῆς τοπογραφίας τῶν Ἀθηνῶν καὶ τῆς ἄλλης Ἑλλάδος καὶ ἑρμηνεύει αὐτοῖς τὸ Ἀττικὸν δίκαιον (2).

Ἐπὶ τέλους δὲ πρῶτος ὁ Ψελλὸς ἀναβιβάσας τὴν τέως ἀπόβλητον δημοτικὴν ἡμῶν γλῶσσαν εἰς ἐπιστημονικὴν περιωπήν, ἑρμηνεύει ἀπὸ τῆς ἀκαδημαϊκῆς αὐτοῦ ἕδρας τὰς προλήψεις, τὰ ἔθιμα καὶ τὰς παροιμίας τοῦ δήμου, μετὰ τοῦ αὐτοῦ ζήλου μεθ' οὗ ἐδίδασκε καὶ τοὺς κλασικοὺς συγγραφεῖς καὶ τοὺς πατέρας τῆς ἐκκλησίας (3).

Ἀλλὰ ταῦτα δύνανται μὲν ἵνα ἐπισπάσωσι τὸν πρὸς τὴν μνήμην τοῦ Ψελλοῦ ἡμέτερον σεβασμόν, δὲν ἀρκοῦσιν ὅμως ἵνα ἐνθουσιάσωσιν ὑπὲρ τοῦ βυζαντινοῦ φιλοσόφου καὶ τοὺς νῦν ὑπὲρ τῶν ἑλληνικῶν γραμμάτων, οὐχὶ δὲ καὶ ὑπὲρ τοῦ σημερινοῦ ἑλληνισμοῦ ἐνδιαφερομένους ἑλληνιστάς. Ἀλλ' ὁ Ψελλὸς ἦν φιλέλλην, οὐ μόνον κατὰ τὴν σημερινὴν τῆς λέξεως σημασίαν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν παλαιάν, ἢ μᾶλλον ἦν αὐτόχρημα Ἕλλην κατ' αὐτὴν τὴν παρεφθαρμένην βυζαντινὴν ἑρμηνείαν τῆς λέξεως. Ἀληθὴς τοῦ ἑλληνισμοῦ ἐνσάρκωσις, διετέλεσεν ὁ τελευταῖος τῶν ἑλληνικῶν γραμμάτων ταμίας· ὑπὸ τὸ μοναχικὸν αὐτοῦ ῥάσον σφαδάζει καρδία αὐτόχρημα ἑλληνική. Ἂν ὁ Ψελλὸς ἔζη εἰς τοὺς χρόνους τοῦ Πλωτίνου, ὁ ἀρχηγὸς τοῦ νεοπλατωνισμοῦ ἤθελεν ἀπαντήσει ἐν αὐτῷ ἀμεί-

(1) Ἐπιστολὴ 141.
(2) Ψελλὸς ed. Boissonade, σελ. 44-48, 95-110.
(3) Σελὶς 525-73.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λικτον ἀντίπαλον. Ἀδυνατῶν ἵνα ἐννοήσῃ πῶς ὁ χριστιανισμὸς τοσοῦτον ἀποτόμως διεζεύχθη τοῦ Πλάτωνος, εἰς ὃν ὀφείλει τὰ κυριώτερα τῶν δογμάτων αὐτοῦ, ἐξεγείρεται δριμὺς τοῦ νεοπλατωνισμοῦ ἐπικριτής, εἰς τὸν ὁποῖον ἀνῆκον οἱ πρῶτοι τῶν αἱρεσιαρχῶν, καὶ ὅστις κακῇ μοίρᾳ συνεδέθη πρὸς τὴν χριστιανικὴν θρησκείαν διὰ τῶν ἀποκρύφων συγγραμμάτων Διονυσίου τοῦ Ἀρειοπαγίτου (1). Ἕνα μόνον ἐπιδιώκει σκοπὸν καὶ ὡς καθηγητής, καὶ ὡς πολιτικός, καὶ ὡς θεολόγος, ἵνα ἀθωώσῃ

(1) Ἐν τῇ θολερᾷ τοῦ διεφθαρμένου νεοπλατωνισμοῦ ἰλύϊ ὁ Ψελλὸς οὔτε τὴν πλατωνικὴν φιλοσοφίαν ἀναγνωρίζει, οὔτε αὐτὸν τὸν ἐκλεκτικισμὸν τοῦ Πλωτίνου, ἀλλὰ μᾶλλον τὸν μυστικισμὸν τῶν δύο Ἰουλιανῶν, τῶν ἐπιλεγομένων Θεουργῶν (περὶ ὧν πολυτίμους διέσωσε βιογραφικὰς εἰδήσεις), καὶ πρὸ πάντων τὰ ὑπ' αὐτῶν ἐμμέτρως ἐκτεθειμένα Χαλδαϊκὰ Λόγια, τὰ ὁποῖα ἀποτελοῦσι τὸ εὐαγγέλιον τῆς νεωτέρας αἱρέσεως. Ὡς γνωστὸν ἐν τῇ πατρολογίᾳ ἐπέχουσι τόπον ἱερῶν βιβλίων καὶ τὰ ὑπὸ τὸ ὄνομα Διονυσίου τοῦ Ἀρειοπαγίτου θεουργικὰ συγγράμματα· κατὰ τῆς αὐθεντικότητος τούτων ἐξηγέρθη ἡ νεωτέρα κριτική, καὶ ἐπὶ τέλους ἀπεδείχθη ὅτι ταῦτα οὐδὲν ἕτερόν εἰσιν ἢ ἀπόκρυφα βιβλία πονηθέντα ὑπὸ νεοπλατωνίζοντος χριστιανοῦ τῆς πέμπτης ἑκατονταετηρίδος· ἀλλὰ πολὺ πρὸ τῆς νεωτέρας κριτικῆς ὁ Ψελλὸς ἐτόλμησεν ἵνα καταδείξῃ τοῦτο, οὐχὶ βεβαίως μετὰ τῆς προσηκούσης εὐκρινείας, ὡς φοβούμενος μὴ χορηγήσῃ νέα ὅπλα εἰς τὸν κατ' αὐτοῦ ἀγῶνα, ἀλλὰ μετ' ἀμφιβόλου τινὸς λεπτότητος, γράφων ὅτι ἀγνοεῖ ὁπότερον ἵνα διακρίνῃ ἐν αὐτοῖς τὸν νεοπλατωνικὸν Ἰάμβλιχον, ἢ τὸν χριστιανὸν Διονύσιον. Ἰδοὺ τὸ περὶ τούτου ἀπόσπασμα ἀνεκδότου αὐτοῦ πραγματείας «Περὶ δὲ τῆς ἀπολυομένης ἀπὸ τοῦ σώματος (ψυχῆς) οὐδὲν τέως ἂν εἴποιμι, μέχρις ἂν τὰ τοῦ Χαλκιδέως Ἰαμβλίχου πρὸς τὰ τοῦ Διονυσίου συναγαγών, καὶ πρὸς τὴν λοιπὴν ἱερολογίαν ἀντεξετάσας, εὕροιμι εἰ καλῶς διατετύπωται. Εἰ μὲν οὖν ἕτερός τις ἔχοι τι κρεῖττον ὑμῖν τούτων εἰπεῖν ὧν αὐτὸς εἴρηκα, ἐκείνῳ προσθήσεσθε· ἕως δ' ἂν οὗτος ἐν τῷ ἀφανεῖ πέφυκε, καὶ τὸ τῆς ἰσημερίας περιέχῃ κλίμα, ὥσπερ που πάλαι τὸν Ὠάνην, ὃς δὴ ἐκεῖθεν εἰς Αἴγυπτον παρεγένετο ἰχθύος ἠμφιεσμένος δοράν, τούτοις ἐμμένετε». Παρισινὸς κῶδιξ 1182, φύλ. 300.

τὴν μνήμην τοῦ ὑπάτου τῶν φιλοσόφων, ἀπὸ πάσης δυσφημίας καὶ ἰδίως τοῦ χριστιανικοῦ ἀναθέματος.

Οἱ ἀτελῶς τὸν Ψελλὸν γνωρίσαντες ἀνομολογοῦσιν αὐτὸν Platonicae disciplinae studiosissimum (1), τοσοῦτον διαλάμπει ἐν ἅπασι τοῖς συγγράμμασιν αὐτοῦ τὸ πλατωνικὸν πνεῦμα, ἀγνοοῦσιν ὅμως καὶ τὰ ἐπεισόδια τοῦ μεγάλου ἀγῶνος ὃν ὑπὲρ τοῦ Πλάτωνος ἀνέλαβε πρὸς τοὺς τότε ἀριστοτελίζοντας, ἢ μᾶλλον χαλδαΐζοντας θεολόγους, τῶν ὁποίων αἱ ἀπειλαὶ ἦσαν τοσοῦτον μᾶλλον ἐπίφοβοι, ὅσον ὑπεδείκνυον εἰς τὸν ἑλληνίζοντα μοναχὸν ὅτι ὁ συμπαθῶν τῷ Πλάτωνι παύει ἀποτελῶν μέλος τοῦ χριστιανικοῦ πληρώματος (2).

Ὁ ὑπὲρ τοῦ Πλάτωνος ἀγὼν ὑπέστη διαφόρους περιπετείας, πρὸς τὰς ὁποίας ἐξ ἀνάγκης συμμορφούμενος ὁ Ψελλός, ἄλλοτε μὲν σιωπᾷ, ἄλλοτε δὲ προσπαθεῖ ἵνα συμβιβάσῃ τὴν χριστιανικὴν πίστιν πρὸς τὴν ἑλληνικὴν φιλοσοφίαν, εὐνοϊκῆς δ' εὐκαιρίας ἐπιλαμβανόμενος δὲν λείπει ἵνα ἐκσφενδονίσῃ κατὰ τῆς ἐκκλησίας τὸν Πλατωνικὸν δαυλόν. Ὡς ἐν τῇ πρὸς τὸν πατριάρχην Ἰωάννην Ξιφιλῖνον νῦν δημοσιευομένῃ ἐπιστολῇ, οὕτω καὶ ἐν ἄλλοις αὐτοῦ συγγράμμασι δείκνυται ὁ πλατωνικὸς φιλόσοφος παλαίων πρὸς τὴν ἑλληνικὴν αὐτοῦ συνείδησιν καὶ τὰς ἀντιπλατωνικὰς τῆς ἐκκλησίας προλήψεις· διὸ ἀλλαχοῦ μὲν θεωρεῖ τὴν πλατωνικὴν φιλοσοφίαν ὡς ὅλως χριστιανικήν, ἀλλαχοῦ δὲ ὡς ἀντιστρατευομένην πρὸς τὰ χριστιανικὰ δόγματα.

Μὴ σκοπῶν ἵνα ἐξετάσω τὸν Ψελλὸν ὡς φιλόσοφον, ἁπλῶς μνημονεύω τὸ ἄγνωστον τοῦτο ἐπεισόδιον τῆς βυζαντινῆς ἱστορίας, εἰς μελέτην τοῦ ὁποίου προτρέπω ἄλλους εἰδικωτέρους, ἀφοῦ μάλιστα διὰ τῶν πολλῶν περισωθέντων μνημείων διαφω-

(1) Gaulminus ἐν Ψελλῷ Boissonade, p. XV.

(2) Ἐπιστολὴ 175.

τίζονται πρὸς τούτῳ καί τινες ἄγνωστοι τῆς Ἀλεξανδρινῆς φιλοσοφίας σελίδες.

Μετὰ τοῦ αὐτοῦ ἐνθουσιασμοῦ (ἢ σεμνῆς βακχείας, ὡς λέγει) ὁ Ψελλὸς ἑρμηνεύει καὶ τὰ Ὁμηρικὰ ποιήματα, δογματίζων ὅτι, οἱ Ἕλληνες καὶ ἰδίᾳ ὁ ποιητής, οὐδὲν ἕτερόν εἰσιν ἢ ἀληθεῖς τοῦ χριστιανισμοῦ προφῆται, ἀλλ' ὅτι φύσει τῆς ἀλληγορίας ἐρασταὶ ὑπέκρυψαν τὰς χριστιανικὰς ἀληθείας ὑπὸ πέπλον, καὶ ὅτι τούτου αἰρομένου ἀμέσως ἐξαστράπτει τὸ ὑποκεκρυμμένον χριστιανικὸν φῶς.

Ὁ Ψελλὸς διετέλεσεν, ὡς καὶ ἀλλαχοῦ διὰ μακρῶν ἀπεδείξαμεν, ἀληθὴς τοῦ ἑλληνισμοῦ ταμίας· ἄν που δὲ ἀνακαλυφθῶσί ποτε τὰ εἰς τὸν Μένανδρον καὶ τοὺς ἄλλους κωμικοὺς ὑπομνήματα αὐτοῦ, αἱ ὁμηρικαὶ μελέται καὶ ἡ ἄλλη σειρὰ τῶν εἰς τοὺς πεζογράφους καὶ ποιητὰς ἑρμηνειῶν αὐτοῦ, τότε ἀποκτήσει μεγαλείτερα ἐπὶ τοῦ σεβασμοῦ τῶν ἑλληνιστῶν δικαιώματα (1).

Κατὰ πόσον ἐπηρέασεν ὁ ἑλληνίζων Ψελλὸς τὰς ἰδέας τῶν Βυζαντινῶν, οἵτινες ἐν ᾧ τὴν ἑλληνικὴν ἐλάλουν καὶ ἑλληνικῶς ἐσκέπτοντο ἤθελον ἵνα ἀποκαλῶνται Ρωμαῖοι, ἔχομεν ἐπίσημον τῶν χρόνων ἐκείνων μνημεῖον, τὴν ἐπιστολὴν τῆς βασιλίσσης Εὐδοκίας πρὸς τὸν σύζυγον καὶ συμβασιλέα Ρωμανὸν τὸν Διογένην. Ἡ διὰ τοῦ στόματος τοῦ Ψελλοῦ ὁμιλοῦσα βασίλισσα ἀναγγέλλει εἰς τὸν νικητὴν τῶν Τούρκων ὅτι οὐχ ἧττον ἔνδοξον ἐξετέλεσεν ἐν Βυζαντίῳ θρίαμβον, τὴν ἐξελλήνισιν τοῦ κράτους, τὸ ὁποῖον διὰ μόνης τῆς ἑλληνικῆς παιδείας ἠδύνατο ἵνα σωθῇ· ἡ ἕνεκα τοῦ πλατωνικοῦ ἰδίως ζητήματος κεκλεισμένη ἀκαδημία ἐκ νέου ἀνοίγεται, τὰ ἑλληνικὰ χειρόγραφα

(1) Βλέπε τὴν ἐμὴν πραγματείαν sur les commentaires de Ménandre et les allégories homériques. Annuaire de l'association pour les études Grecques, en France, 1875.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μετὰ ζήλου ἀναζητοῦνται ἵνα ἀποθησαυρισθῶσιν εἰς τὴν βασιλικὴν βιβλιοθήκην, καὶ ἡ νέα Ἑλλὰς προσφέρει εἰς τὸν νικητὴν βασιλέα τὸ περὶ τῶν ἡρώων τῆς ἀρχαίας Ἑλλάδος πόνημα τοῦ Ψελλοῦ ὡς ἀντάξιον γέρας τῶν κατὰ βαρβάρων τροπαίων αὐτοῦ (1). Δυστυχῶς ὅμως ἡ Ἑλλὰς τοῦ Ψελλοῦ καὶ τῆς Εὐδοκίας ἦν ἐφήμερος· οἱ μεταγενέστεροι ἐπανῆλθον εἰς τὰς πρώτας Ρωμαϊκὰς παραδόσεις (2), μόνον δὲ ἐν τῷ στόματι τοῦ τελευταίου τῶν βυζαντινῶν βασιλέων ἀκούεται τὸ ὄνομα Ἕλληνες (3), ἀλλὰ καὶ τοῦτο ἡνωμένον μετὰ τῆς Ρωμηοσύνης, διότι πραγματικῶς Γραικορρωμαϊκὴ αὐτοκρατορία ἦν τὸ δῦσαν κράτος, καὶ οὐχὶ Ἑλλάς, ὡς ὁ Ψελλὸς ὠνειρεύθη.

Τὴν ἀξιοσημείωτον ταύτην ἐπιστολὴν ἐπισυνάπτομεν οὐχὶ μόνον ὡς ἐξεικονίζουσαν μίαν τῶν περιεργοτέρων φάσεων τοῦ βυζαντινοῦ ἑλληνισμοῦ, ἀλλὰ καὶ ὡς χρησιμεύουσαν εἰς λύσιν σπουδαίου φιλολογικοῦ ζητήματος.

«Καὶ τοῦτό γε τοῖς πολλοῖς ἄλλοις τοῖς εὐφραινομένης σε εἰς τὰ βασίλεια ἐπανήξοντα, τροπαιοῦχε βασιλεῦ, συγκαταριθμήσεσθαι εὔελπίς εἰμι· οὐχ ὅπως γὰρ τὴν βασιλείαν εὖ διοικουμένην εὑρήσεις τὸ κατ' ἐμέ, ἀλλὰ καὶ τὴν πόλιν πάσῃ ἀρετῇ καὶ ἤθεσι χρηστοῖς κεκοσμημένην, παιδείᾳ τε, ἧς οὐδὲν τιμιώτερον, τῇ τῶν λογίων ἀνδρῶν ἀναγνώσει, καὶ τῇ τῶν σπουδαίων μελέτῃ· ἥτις, δίκην Ἀδώνιδος κήπου παντοδαποῖς ἄνθεσιν εὐώδεσι βρύοντος, τῇ καλλονῇ τῶν ἀρετῶν αὐτὴν ἐνηγλάϊσεν, ἐφά-

(1) Ὅτι ἡ Ἰωνιὰ εἶναι σύγγραμμα οὐχὶ τῆς Εὐδοκίας, ἀλλὰ τοῦ Ψελλοῦ κατωτέρω ὑποδειχθήσεται.

(2) Δύο μετὰ τὸν Ψελλὸν ἑκατονταετηρίδας ἕτερος πρωθυπουργὸς καὶ πλατωνίζων φιλόσοφος, Θεόδωρος ὁ Μετοχίτης, εἶπεν ὅτι οἱ Βυζαντινοὶ «ἦσαν τοῦ γένους καὶ τῆς γλώττης αὐτοῖς (τοῖς Ἕλλησι) κοινωνοὶ καὶ διάδοχοι». Μεσ. Βιβλ. Α', οζ'.

(3) «ἀπόγονοι Ἑλλήνων καὶ Ρωμαίων». Φραντζῆς σελ. 275, ἐκδ. Βόννης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μιλλον τῷ Μακεδονικῷ ἄστεϊ, τῷ πολλοὺς ἐσχηκότι λογίων ἀνδρῶν, γενομένην, καὶ πάντα τρόπον τὰς πάλαι κλεινὰς Ἀθήνας, ὧν τὸ κλέος οὐρανόμηκες, ἐζηλωμένην. Οὕτω γὰρ ἡ παιδεία καλῶς τὰ πάντ' ἐπανορθοῦν οἶδε, ὥστε καὶ τὸ βάρβαρον σβεννύειν, καὶ τὸ εὔφραδὲς τῆς φωνῆς ἀνακαινίζειν, καὶ πάντα κατὰ κόσμον ῥυθμίζειν δύνασθαι· ἧςπερ ὄργανον, αἱ τῶν λογίων ἀνδρῶν ὁσημέραι παραινέσεις δι' ἀναγνώσεως τῶν τὴν τῆς ψυχῆς ἀπαιδευσίαν ἀποσπώντων καὶ κατάληψιν σταθερὰν ἐμφυτευόντων, καὶ τόδ' οὐ μόνον ἐν τῇ τῶν πόλεων βασιλίδι, ἀλλὰ καὶ ἐν πάσῃ τῇ Ἑλλάδι· φιλεῖ γὰρ τὸ ὑπήκοον φύσει τῇ τοῦ ἡγεμόνος γνώμῃ διαιτᾶσθαι, ἀεὶ πρὸς αὐτὸν ὡς ἐπὶ σκοποῦ στοχαζόμενον. Ὁρῶμεν γὰρ ὡς αὐτῆς φανείσης, ἡ στάσις (1) πέπαυται καὶ αἱ τῆς εἰρήνης διαλλαγαὶ βέβαιαι ἀδιστάκτως ἐγένοντο. Καὶ τί πέραν τοῦ μετρίου δεῖ λέγειν, καὶ τὴν ἐπαινουμένην τοῖς πᾶσιν ἐπαινεῖν; οὐκ αὐτὴ τὴν ἐμφύλιον ζάλην πειθοῖ ἐξευδίασεν ἔναγχος; οὐ μηχανὰς καὶ παρατάξεις ἐφεῦρε, καὶ τὸ παρακρούεσθαι τοὺς ἀντιπάλους, ἡνίκα τούτου δέῃ, καὶ σώζειν τοὺς φίλους, καὶ πάντα ὅσα πρόσφορα τῷ ἐπικήρῳ τουτῳῒ τῷ ἀνθρωπίνῳ βίῳ; οὐδ' ὅσοι αὐτὴν ἀσμένως δεξάμενοι λίαν εὐδαιμονήσαντες ὑψώθησαν, τὴν ἑαυτῶν βασι-

(1) Τὴν τοῦ Πελτιανοῦ στάσιν λέγει καὶ τὴν τοῦ ἀκολάστου Μαΐουμᾶ, οἳ τῇ βασιλείᾳ ἐπιθέμενοι, ἀπόντος τοῦ φιλοχρίστου βασιλέως, οὓς ὁ σοφώτατος Ἀσσωρῖνος, παρακλήσει τε καὶ προστάξει τῆς ἐλλογιμωτάτης βασιλίδος, ῥητορεύσας, τῆς ἐπιθέσεως κατέπαυσε καὶ τοῦ ἐμφυλίου πολέμου, περὶ οὗ καὶ Παλατιανὸς μνείαν ἐποιήσατο [Τῶν ἐν τῇ σημειώσει ταύτῃ φερομένων γεγονότων οὐδενὸς μνημονεύει ἡ βυζαντινὴ χρονογραφία, οὔτε Παλατιανοῦ τινος σύγγραμμα γιγνώσκεται. Ἂν τὰ γεγονότα εἰσὶν ἀληθῆ, τότε δυνάμεθα εἰκάσαι ὅτι τὰ ὀνόματα τερατωδῶς παρεμορφώθησαν, καὶ ἐν τῷ ἀγνοουμένῳ σοφωτάτῳ Ἀσσωρίνῳ εὐκόλως ἀναγνωρίζεται ὁ Ψελλὸς ὁ (πρωτο)ασηκρῆτις, ἢ ὁ (πρωτο)πρόεδρος. Σ. Ε].

λείαν εἰς ἄκρον αὐξήσαντες, αὐτῆς δὲ ὀλιγωρήσαντες μεγάλοις κινδύνοις τῆς ἀπαιδευσίας περιπεσόντες, τὸ παράπαν ἀπώλοντο, τρόπον ἑαυτοῖς βοηθῆσαι μὴ δυνηθέντες. Ἐγγυῶνται δέ μου τῷ λόγῳ πολλαὶ τῶν βασιλειῶν, αἱ τέως εὐδαιμονήσασαι, ἕως πολυωροῦσαι τῆς ἀρετῆς οὐκ ἐπαύοντο.

« Ταῦτα κατὰ νοῦν ἀδιαλείπτως ἀναπολοῦσα, τὸν σπινθῆρα τῆς ἀρετῆς, τῇ ἀνακαινίσει τῶν φροντιστηρίων, τῷ τε τοὺς λόγους ἀνακαλέσασθαι, καὶ τὸ πάντας ἐποτρύνειν σπουδάζειν, ἀναζωπυρῆσαι δεῖν ᾠήθην. Ἐν οἷς καὶ αὐτή, ἵνα μὴ δόξω τοῖς ἄλλοις κηρύττουσ' ἀδόκιμος, τῇ τὰ πάντ' αὐξούσῃ μελέτῃ, ᾗ καὶ αὐτὸς τροπώσασθαι τοὺς πολεμίους κέχρησαι, μεταξὺ ταυτηνὶ τὴν παῖδα ἐκ στέρνων ἐγεννησάμην, παντοίαις ἱστορίαις καὶ γενεαλογίαις θεῶν τε καὶ Νυμφῶν, ἡρώων τε καὶ ἡρωΐνων πεποικιλμένην, ἅτε τινὰ Ἰωνιὰν ἀκμὴν ἐξηνθηκυῖαν· περιέχει γὰρ καὶ πολλοὺς σοφοὺς κατὰ διαφόρους χρόνους ἀνθήσαντας, μύθους τε καὶ ἀλληγορίας καὶ ἐξηγήσεις αὐτῶν, κατὰ τὴν τῶν παλαιῶν δόξαν, χρησίμους ὄντως τοῖς φιλολόγοις, καὶ ἄλλα τινὰ οὐχ ἧττον χρήσιμα ἐφόσον καὶ τοῖς σπουδαίοις ἀναγκαῖα· οἷς περ ἐσπαργανώθη ἐκ τῆς τιμαλφεστάτης ἡμῶν βιβλιοθήκης ἐρανισαμένη· ἧτινι καὶ πολλὰ τῶν βιβλίων προσέθηκα ἐκ διαφόρων μοι χωρῶν συναθροισθέντα μελέτῃ καὶ δαπάνῃ πολλῇ· βασιλικὸν ἡγησαμένη τὸν νοῦν ἔγγραφον ἀνθρώπων συναγείρειν καὶ μὴ καταλιπεῖν ἀκηδίᾳ διαφθαρῆναι. Τῆς σῆς τοίνυν βασιλείας κρινάσης ἐκδοθήσεται, καὶ μετὰ τῶν ἀδελφῶν (1) παρέσεται (2) ».

---

(1) Λέγει ὅτι καὶ ἄλλα τινὰ συνέθετο ἡ ἀοίδιμος βασίλισσα τόν τε πλόκαμον τῆς Ἀριάδνης ἐπικῶς, καὶ τὰς τῶν γυναικῶν χρείας, καὶ τί δεῖ τὰς βασιλίδας ἀσκεῖν, καὶ περὶ διαίτης μοναζουσῶν, ὅπερ καὶ νῦν καθ' ἡμᾶς ἐν τῷ τῆς Προικονήσου σεμνείῳ σώζεται.

(2) Villoison, Anecdota Graeca, II.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ταῦτα συνδυαζόμενα πρὸς τὰ ἐν τῷ τετάρτῳ τόμῳ εἰρημένα παρέχουσιν ὁπωσοῦν ἀκριβῆ ἰδέαν περὶ τοῦ τέως ἀγνοουμένου πολιτικοῦ καὶ ἑλληνιστοῦ Ψελλοῦ· λέγω δὲ ὁπωσοῦν, διότι μένουσιν ἔτι ἀνέκδοτοι πλεῖσται ἄλλαι ἐπιστολαὶ καὶ ἔγγραφα ἀφορῶντα εἰς τὸ πολιτικὸν αὐτοῦ στάδιον· ὅταν δὲ καὶ ταῦτα δημοσιευθῶσι, τότε ἐντελῶς γνωσθήσεται ὁ ἐξοχώτατος τῆς βυζαντινῆς φιλολογίας, ἢ μᾶλλον ὁ μόνος τοῦ μεσαιωνικοῦ ἑλληνισμοῦ ἀντιπρόσωπος.

Οἱ τρίβωνες τῶν τοιούτων ἐρευνῶν καλῶς γινώσκουσιν ὅτι τὰ ἱστορικὰ σκότη διαφωτίζονται διαδοχικῶς διὰ τῆς ἐπιμόνου πολλῶν συνεργασίας, καὶ ὅτι πολλάκις ὁ αὐτὸς ἐρευνητὴς ἀναγκάζεται ἵνα τροποποιήσῃ τὰς πρώτας εἰκασίας κατὰ τὰ ἱστορικὰ ἐξαγόμενα τῶν δευτέρων φροντίδων· ἐν οὐδεμιᾷ ἄλλῃ ἐπιστήμῃ ἢ ἐν ταύτῃ καταλληλότερον ἐφαρμόζεται τὸ σοφὸν τοῦ Γαληνοῦ παράγγελμα «Χαλεπὸν μὲν ἄνθρωπον ὄντα μὴ διαμαρτάνειν ἐν πολλοῖς, τὰ μὲν ὅλως ἀγνοήσαντα, τὰ δὲ κακῶς κρίναντα, τὰ δὲ ἀμελέστερον γράψαντα». Τοῦτο καὶ ἐγὼ ἐπαναλαμβάνω ἀποχαιρετῶν πρὸς καιρὸν τὸν Ψελλόν, τὸν ὁποῖον ἄλλως παραλαβών, ἀλλοῖον παραδίδω εἰς τὴν ἐπιστήμην, οὐχὶ μὴ ἀνεχόμενον, ἀλλὰ μάλιστα καὶ ἀναμένοντα νέαν ἐπεξεργασίαν εἰς τελικὴν αὐτοῦ διαφώτισιν.

---

Ἀλλ' ἡ περὶ Ψελλοῦ μελέτη οὐδέποτε συμπληρωθήσεται ἄνευ τῆς κριτικῆς ἐπεξεργασίας τῶν ἐπ' ὀνόματι αὐτοῦ φερομένων πολυαρίθμων πονημάτων περὶ παντὸς τοῦ ἐπιστητοῦ εἴδους. Ἐν τῇ εἰδικῇ περὶ Ψελλῶν πραγματείᾳ ὁ Ἀλλάτιος κατέστρωσε τὰ τότε γνωστὰ συγγράμματα τοῦ βυζαντινοῦ πολυγράφου ἀνερχόμενα εἰς ἑκατὸν καὶ πεντήκοντα, μικρά τε καὶ μεγάλα, ἐκδεδο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μένα καὶ ἀνέκδοτα. Ἀλλ' ὁ πολυμαθὴς Χῖος ὀλίγα τούτων ἰδίοις ὄμμασιν ἐγίνωσκε, καὶ αὐτὰ δὲ τὰ πρὸ ὀφθαλμῶν ἐπιτροχάδην διῆλθε, δικαιολογῶν οὕτω τὰς ἀτελείας τῆς Ψελλικῆς βιβλιογραφίας. « Haec sunt, lector, Pselli monumenta, quae hactenus, ut mihi videtur, in istis bibliothecis reposita latent, quae non solum videre, sed etiam queas, ut ita dicam, usurpare: usurpabis enim, dum conferendi, interpretandi, edendique copia data, ipse in tantum scriptorem studium et tempus insumes. Scriptioni meae finem hic imponere peropportunum videbatur; habes enim, ni fallor, exactam Pselli scriptorum enumerationem; tamen ne rempublicam litterariam fraudare videar, de qua bene mereri semper sollicitus sum, en tertium hic ascribam catalogum librorum Pselli, quos, dum semper aliquid novi avidus capto, mihi legisse contigit. Mirum enim est, ut animus ad res novas semper gestiat, nullis laboribus, nullis succumbens vigiliis. Scio aliam hominibus beatitatem paratam, ad quam totis conatibus contendere unusquisque debet: quod si nescirem, in sola optimorum scriptorum lectione collocandam esse existimarem: et in illis conservandis occupatum summam ducerem felicitatem. In quibus omnem nostram diligentiam indulgentiamque consumi jucundissimum ac dignissimum est. Mihi sane lumen solis, dies, vitaque ipsa erunt ingrata et amara, si, quae legam, non habeam: si monumenta clarissimorum virorum defecerint; prae illorum namque dignitate, et suavitate, divitiae, voluptates, et quidquid apud homines in pretio est, sordes sunt et nugae. Haec itaque sitis, sive furor (liceat propensi ad litteras animi cupiditatem, quae nesciat modum, ita appellare) dum mihi assidue novos auctores investigandi studium ingerit, semper novum quid ingenio objicit; quod postquam didici, angor et doleo, me illo, tanto tempore frustratum fuisse. Hinc magis ac magis impellor concitatioribus stimulis. Dabo igitur tibi, lector, sine fuco et fallaciis numerum librorum manuscriptorum Pselli,

qui jam latent in bibliothecis, nec lucem viderunt, et eorum simul principia, ut rerum harum tibi notitiam habeas dilucidiorem. Ad Rhodum ipsam et saltum (1) ».

Τὰ νῦν ὅμως γνωστὰ τοῦ Ψελλοῦ πονήματα εἰσὶ τοσαῦτα, ὥστε εἰς καταγραφὴν καὶ ἐπιστημονικὴν αὐτῶν ἀνάλυσιν ἀπαιτεῖται εἰδικὴ καὶ πολυχρόνιος μελέτη. Ὁ Ἀλλάτιος μόλις ἐγίνωσκε τρεῖς δεκάδας ἐπιστολῶν τοῦ Ψελλοῦ, νῦν δὲ αὗται ἀνέρχονται εἰς τὸν καταπληκτικὸν ἀριθμὸν ἡμισείας χιλιάδος· ὁμοία δὲ ἀναλογία παρατηρεῖται καὶ ἐπὶ τῶν ἄλλων τοῦ πανεπιστήμονος λογίου πονημάτων. Ἐντεῦθεν δὲ γεννᾶται καὶ ἡ εὔλογος ἀπορία, πῶς εἶναι δυνατὸν εἷς καὶ μόνος ἄνθρωπος, καὶ μάλιστα τοσοῦτον πολυάσχολος, νὰ συγγράψῃ τοσαύτας πραγματείας, εἰς ἁπλῆν τῶν ὁποίων ἀντιγραφὴν ἀπῃτεῖτο ὁλόκληρος ἀνθρώπου βίος; Ἀλλὰ τὸ περίεργον τοῦτο φαινόμενον λυθήσεται διὰ τῆς ἐπισταμένης μελέτης ἑνὸς ἑκάστου τῶν συγγραμμάτων, τῶν ὁποίων μόνους τοὺς τίτλους γιγνώσκομεν. Εὐχαρίστως δὲ ἀναγγέλλω ὅτι, εἰς τὸν ἀληθῶς ἐπίπονον ἀγῶνα τῆς Ψελλικῆς βιβλιογραφίας πρὸ πολλοῦ ἀποδέδυται καὶ εὐθαρσῶς σταδιοδρομεῖ ὁ τῶν φιλοψέλλων ὕπατος Ch. Em. Ruelle, ὁ πολυειδῶς καὶ πολυτρόπως τιμήσας τὴν μνήμην τοῦ βυζαντινοῦ πολυγράφου, καὶ μάλιστα ὅτι ὁ καλὸς κἀγαθὸς φίλος συνήνεσεν ἵνα δημοσιευθῇ τὸ φιλοπόνημα αὐτοῦ ἐν ἡμετέρᾳ νέᾳ Ψελλικῶν ἀνεκδότων συλλογῇ.

Ὅτι δὲ ἡ Ψελλικὴ βιβλιογραφία δεῖται κριτικῆς ἐπεξεργασίας εἰς ἐκκάθαρσιν αὐτῆς καὶ εἰς τελικὴν λύσιν τῶν πρὸς αὐτὴν συνδεομένων πολλῶν φιλολογικῶν ζητημάτων, ἀρκοῦμαι ἀναφέρων τὰ ἑξῆς δύο παραδείγματα.

Ὁ Ἀλλάτιος καὶ πάντες οἱ μέχρις ἡμῶν ἀντιγράψαντες αὐτόν, καταπλαγέντες ἐκ τοῦ ἀριθμοῦ τῶν ἐπ' ὀνόματι τοῦ Ψελ-

(1) De Psellis LX.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λοῦ φερομένων συγγραμμάτων, ἐθεώρησαν καλὸν ἵνα καταμελίσωσι τὸν βυζαντινὸν λόγιον, ἐπινοήσαντες καὶ τρεῖς τέσσαρας ἄλλους ὁμωνύμους αὐτῷ· διὰ τὸν λόγον τοῦτον καὶ τὰ ἐπ' ὀνόματι τοῦ ἡμετέρου πολιτικοῦ καὶ φιλοσόφου καταγραφόμενα ἰατρικὰ πονήματα ἀποδίδονται εἰς ἕτερον Ψελλὸν τὸν ἰατρὸν ἐπαγγελλόμενον. Ἀλλ' ἰδοὺ ὁ Ψελλὸς αὐτὸς διεκδικῶν καὶ τὴν τιμὴν ταύτην, διότι ῥητῶς λέγει ὅτι οὐ μόνον τὴν ἰατρικὴν ἐμελέτησεν, ἀλλὰ καὶ ἐξήσκησεν αὐτήν (1). Ὡς τοιοῦτος δὲ συνέγραψε καί τινας ἰατρικὰς διατριβὰς καὶ ἰδίως ἀνατομικὴν περιγραφὴν τοῦ ἀνθρώπου, ἔχουσαν πρὸς τοῖς ἄλλοις τὸ πλεονέκτημα ὅτι ἀνήκει εἰς τὰ ἀρχαιότερα μνημεῖα τῆς καθωμιλημένης ἡμῶν γλώσσης· ἡ διατριβὴ αὕτη οὐ μόνον ἔδωκεν ἀφορμὴν εἰς φιλολογικὴν συζήτησιν, ἀλλὰ καὶ κακῶς ἐκτιμηθεῖσα ἐπλούτισε διὰ τοῦ ἀνυπάρκτου ἰατροῦ Ὑπάτου τὰ βιογραφικὰ λεξικά. Ὡς γνωστὸν ὁ Ψελλὸς ἰδιαζόντως ἀρέσκεται τιτλοφορούμενος τῷ ἀξιώματι « ὕπατος τῶν φιλοσόφων », ὅπερ καὶ ὡς διακριτικὸν αὐτοῦ ἐπώνυμον παρέμεινεν· ὑπὸ τὸν τίτλον δὲ τοῦτον περιῆλθεν ἡμῖν καὶ ἡ προρρηθεῖσα ἀνατομικὴ διατριβὴ αὐτοῦ. Ὁ πρῶτος ἐκδότης αὐτῆς Στέφανος ὁ Le Moyne (2), ἀγνοῶν τὴν σημασίαν τοῦ ἀξιώματος ὕπατος, ἔπλασεν ἰατρόν τινα ὀνομαζόμενον Ὕπατον. Στέφανος δὲ ὁ Βερνάρδος μετὰ κριτικῶν καὶ ἄλλων σημειώσεων ἀναδημοσιεύσας αὐτὴν ἐνόμισεν ὅτι ἀνεῦρεν ἐν τῷ Ὑπάτῳ τούτῳ τὸν Κύπριον ἰατρὸν Γεώργιον Σαγγινάτιον ἀκμάσαντα ἐν ἔτει 1450, χωρὶς κἂν νὰ παρατηρήσῃ ὅτι ὁ περιέχων αὐτὴν κῶδιξ ἐγράφη μίαν ὅλην ἑκατονταετηρίδα πρὸ τῆς γεννήσεως τοῦ Σαγγινα-

(1) Ἱστορία σελ. 251. Ἐπιτάφιος εἰς ἀδελφὸν Ἀκτουαρίου, σελ. 99 τοῦ παρόντος τόμου.

(2) Varia Sacra, Lugd. Batav. I, 513-516.

τίου (1). Ὁ Λαμπέκιος καὶ ὁ Κολλάριος ἔχοντες ὑπ' ὄψιν ἕτερον τῆς Βιενναίας βιβλιοθήκης κώδικα προέτειναν τὴν εἰκοτολογίαν ὅτι ὁ ἐν λόγῳ Ὕπατος οὐδεὶς ἕτερός ἐστιν ἢ ὁ Ψελλός (2). Ἀλλ' ὁ Φαβρίκιος ἀπορρίψας τὴν γνώμην ταύτην συνετάχθη τῷ Βερνάρδῳ, καὶ ἔκτοτε πάντες οἱ βιβλιογράφοι καὶ οἱ λεξικογράφοι καλῇ τῇ πίστει ἀναγράφουσι τὸν βίον Ὑπάτου τοῦ ἰατροῦ. Εἰς ἐπαύξησιν δὲ τῆς περὶ ὑπάτου συγχύσεως οἱ συντάκται τοῦ καταλόγου τῶν ἐν τῇ Παρισινῇ βιβλιοθήκῃ ἀποτεθησαυρισμένων χειρογράφων ἀπέδωκαν εἰς αὐτὸν τὸν Ἱπποκράτην τὴν διατριβήν (3), πλάσαντες οὕτω τὸν Κῷον ἰατρὸν σχολάρχην τῆς συγκρίσεως τῆς δημοτικῆς ἡμῶν γλώσσης πρὸς τὴν ἀρχαίαν.

Ἀλλ' ἡ τοιαύτη διένεξις ὁριστικῶς λύεται, ἂν ἁπλῶς λάβωμεν ὑπ' ὄψιν ὅτι ὁ μὲν Ὕπατος ὁ Σαγγινάτιος τῶν βιογραφικῶν λεξικῶν ἤκμασεν ἐν τῇ δεκάτῃ καὶ ἕκτῃ ἑκατονταετηρίδι, ὁ δὲ περιέχων τὴν εἰς αὐτὸν ἀποδιδομένην ἀνατομικὴν διατριβὴν ἐγράφη ἐν τῷ τεσσσαρεσκαιδεκάτῳ αἰῶνι (4). Εἰς τὴν σύγχυσιν δὲ ταύτην ἀφορμὴν ἔδωκεν ἡ εἴδησις ὅτι πραγματικῶς ὁ ἐν

(1) « Vixit Hypatus anc. 1450. Fuit autem consul Romanus ac comes Lateranensis, unde Hypatus dictus, quod est nomem dignitatis, ut Ioannes Zachariae fil. Actuarius adpellatur· vocatur enim Hypatus noster Georgins Sanginatius ». Introductio anatomica etc. ed. Dan. Wilh. Tillerus et Io. Steph. Bernard. Lugd. Batav. 1744, praef.

(2) Commentarii Biblioth. Vindobon. VII, 297.

(3) « Hippocratis de corporis partibus ». Catalogus cod. Manuscript. Bibliothecae Regiae, II, p. 378. N.° 110.

(4) « Is codex saeculo decimo quarto exaratus videtur ». 379. Ὁ κῶδιξ οὗτος περιέχει πολλὰς καὶ περιέργους διατριβὰς διαφόρων λογίων, ἐν οἷς καὶ τοῦ Ψελλοῦ, τοῦ ὁποίου τὸ ὄνομα ἀναγιγνώσκεται ἐν τῇ μετὰ τὴν ἀνατομικὴν ταύτην διατριβὴν ἐπισυνημμένῃ ἑτέρᾳ ἰατρικῇ πραγματείᾳ « Τοῦ σοφωτάτου Ψελλοῦ περὶ καινῶν ὀνομάτων τῶν ἐν τοῖς νοσήμασι ».

λόγῳ Κύπριος ἰατρὸς συνέγραψε παραπλησίαν τῇ τοῦ Ψελλοῦ διατριβήν, ἣν οὐδεὶς εἶδε. Ταύτην δ' εὑρὼν ἐν τῇ Παρισινῇ βιβλιοθήκῃ ἐκδίδωμι νῦν μετὰ τῆς τοῦ Ψελλοῦ, ἵνα οὕτω τελικῶς τὸ ζήτημα λυθῇ.

## (1) Ἑρμηνεία τοῦ ὑπάτου [τῶν φιλοσόφων Μιχαὴλ τοῦ Ψελλοῦ] περὶ τῶν τοῦ σώματος μερῶν.

Βρέγμα, τὸ λεγόμενον ἁπαλόν· ἰνίον δέ, ὁ ὀπισθόλακκος. Κρόταφος, αἱ μήνιγγες. Ἐγκέφαλος, ὁ μυελὸς τῆς κεφαλῆς. Βλέφαρα, τὰ ὀμματόφυλλα. Ἐπιβλεφαρίδες, αἱ τρίχες τῶν ὀμματοφύλλων. Μέγας κανθός, ἡ κοιλότης τοῦ ὀφθαλμοῦ, ἡ πλησίον δηλονότι τῆς ῥινός· μικρὸς δὲ κανθός, ἡ πλησίον τοῦ κροτάφου κοιλότης τοῦ ὀφθαλμοῦ· τὸ δὲ ὅλον τοῦ ὀφθαλμοῦ κοῖλον, λέγεται ταρσός. Ὑπώπια, τὰ μῆλα τῶν μαγούλων, δηλονότι τὰ ὑποκάτω τοῦ ὠπός. Σιαγόνες καὶ παρειαί, τὰ μάγουλα. Ρώθωνες καὶ μυκτῆρες, τὰ ῥωθώνια. Γένυες, τὰ χείλη. Λωβός, τὸ ἄκρον τοῦ ὠτός.

Τῶν ὀδόντων οἱ μὲν πρόσθιοι, γόμφοι, οἱ δὲ μεταξὺ τῶν προσθίων καὶ τῶν ὀπισθίων, οἱ τέσσαρες ὀξεῖς, κυνόδοντες, οἱ δὲ ὀπίσθιοι, ἀλήθοντες. Ὁ οὐρανίσκος, ὑπερῴα· σφαγή, ὁ λάκκος τοῦ τραχήλου. Ὅλμος, τὸ ἀπὸ τοῦ τραχήλου μέχρι τῶν κώλων, τὸ αὐτὸ καὶ θώραξ. Στέρνα, τὰ στήθη. Μασθὸς ἐπὶ ἀνδρός, ὁ μὴ ἐσθιόμενος δηλαδή, μαστὸς ἐπὶ γυναικός, ὡς μασητὸς τῷ βρέφει.

Ἐπισκήνιον, ἡ τοῦ μετώπου ῥυτίς, ἤγουν ἡ σούφρα. Κύστις, τὸ ὑπογάστριον. Μετάφρενα, ἡ ῥάχις. Ἰξὺς καὶ ὀσφύς, ἡ ζώνη,

(1) Κῶδιξ Παρισινῆς βιβλιοθήκης 1630, φ. 200.

οὐ μόνον ἡ πλευρά, ἀλλὰ καὶ τὸ πλευρόν. Ψόαι καὶ ψοιαί, αἱ σάρκες αἱ ἐπικείμεναι τοῖς νεφροῖς, τὰ λεγόμενα ἀπάκια. Λαγόνες, αἱ λαπάραι. Γλουτά, αἱ σφαιροειδεῖς σάρκες αἱ ἐπικείμεναι τοῖς κώλοις. Κῶλον καὶ ἱερὸν ὀστοῦν, τὸ ἀπὸ τῶν γλουτῶν μέχρι τοῦ γόνατος ὀστοῦν. Γόμφος, ὁ ὑποκάτω τοῦ λαγόνος σύνδεσμος. Πόσθη, τὸ σπερμογόνον μόριον. Βάλανος, τὸ ἄκρον τῆς πόσθης. Ἀκροποσθία, τὸ δέρμα τὸ καλύπτον τὴν βάλανον.

Σφυρά, τὰ ἀπὸ τοῦ γόνατος μέχρι τῶν ἀστραγάλων. Κνήμη, τὸ ἔμπροσθεν τοῦ σφυρίου. Ἀντικνήμιον, ἡ ἄντζα. Ἰγνύες, τὸ ὑποκάτω τοῦ γόνατος. Πέλμα, τὸ ὑποκάτω τοῦ ποδός· ταρσός, τὸ ἐπάνω. Βραχίονες, τὰ ἀπὸ τῶν ὤμων μέχρι τοῦ ἀγκῶνος. Ὠλέκρανον, τὸ ἐκ τοῦ ἀγκῶνος. Ὠλένη, τὸ ἐντός· πῆχυς, τὸ ἀπὸ τοῦ ἀγκῶνος μέχρι τοῦ καρποῦ. Καρπός, τὸ ἀπὸ τοῦ πήχεως μέχρι τοῦ σχίσματος τοῦ μεγάλου δακτύλου· μετακάρπιον, τὸ ἀπὸ τοῦ σχίσματος τοῦ μεγάλου δακτύλου μέχρι τῶν ἄκρων δακτύλων. Τὸ συναμφότερον, ὁ καρπός, καὶ τὸ μετακάρπιον, ταρσός.

Πρωκτός, ὁ κῶλος. Καὶ κοτύλη, τὸ κοῖλον τῆς παλάμης.

(1) Διὰ στίχων πολιτικῶν ὀνομασίαι τῶν μελῶν τοῦ ἀνθρώπου πρὸς τὸ κοινότερον.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Νικολάῳ ἄκρῳ ἀρχιερεῖ πρεσβυτέρας Ῥώμης Γεώργιος Σαγγινάτιος, κόμης παλατῖνος Λατερανένσης εὖ πράττειν.

Ὀνόμαζέ μοι κεφαλὴν κάρη, σήντα καὶ κέβλην,
κόβη, ὀγύρη, κύμβην τε, κόρση, τριτώ, κρᾶς, κόρρη.
Τὸ ἁπαλὸν οὖν λέγεται, βρέγμα, καὶ βρόγμον πάλιν,
κροτάφους δὲ τοὺς μήνιγγας, καὶ κόρσα καὶ μηλίγγους
ταρσόν, τὸ ὀμματώφρουδον, νεῖλον, κοιλάς, τοὺς λάκκους.
Τὸ στόμα δὲ ὀνόμαζε στράγγος, καὶ μάταξ εἶναι·
τὴν σιαγόνα, γαμφυλήν, καὶ παρειὰν καὶ γνάθον.
Οὔατα τὰ ὠτία δέ, λοβοὺς τὰ πέριξ κύκλῳ,
καὶ ἐπισκήνιον φασι τὸ μέτωπον τινὲς ἄλλοι.
Καὶ ῥὶς ἡ μύτη μέν ἐστι, καὶ κλίνεται ῥινός τε.
Μύλας, κρατῆρας, καὶ ὀδούς, τοὺς ὀδόντας μοι φράζε.
Ῥέθος φασὶ τὸ πρόσωπον, καὶ παρειά, καὶ κόρρη.
Τὸ χεῖλος, ἕρκος λέγεται· ἀνθερεών, πιγούνι,
τὸν σφόνδυλον δὲ στροφέα, ἰνίον, κορυφήν τε.
Λαιμός ἐστι παρηγορεών, ἀσπάραξ, λευκανία,
τὸ ὠμοκόπιον λέγουσι, μετάφρενα τὄπισθεν.
Καὶ ἴγγρος ὁ ἐγκέφαλος, λαιμὸς ὁ βρόγχος ἔστι·
οὔλιξ ὁ οὐρανίσκος, οὐλαπισμὸς τὰ οὔλη.

(1) Κῶδιξ Παρισινῆς βιβλιοθήκης 2242, πιθανῶς αὐτόγραφος. Τοῦ αὐτοῦ εὕρηται καὶ ἕτερον σύγγραμμα «Βιβλίον εὐσύνοπτον περὶ σφυγμῶν συντεθὲν παρὰ Γεωργίου Σαγγινατίου ὑπάτου Ῥωμαίων καὶ κόμητος. Ἀρχ. Ὅταν εἰς παρόντα μετακληθῇς». Ἀμφότερα τὰ πονημάτια ταῦτα τοῦ Σαγγινατίου εὕρηνται καὶ ἐν ἑτέρῳ κώδικι τῆς αὐτῆς βιβλιοθήκης 2276, φύλ. 208-213.

Κοτύλη, τὰ σφαιρώματα, γλουτοὺς τὸν κατονομάζει·
παρίσθμια, τὸν φάρυγγα, ἐντόσθια, τὰ σπλάγχνα.
Ἴριγγας καὶ ἀορτάς, λέγε τὰς ἀρτηρίας.
Νῶτος, ἡ ῥάχις λέγεται, καὶ ἄκνηστις, καὶ ψόα·
περίαλλος, ἰσχίον δέ, καὶ μήκωνες αἱ πλάται,
κυρίως τὸ ἰσχίον δέ, ὑπονέφριος τόπος.
Μαζοί, οὔθατα, πάλαθοι, ὑπήτριαι, μασθοί τε·
ὀφρῦς καλοῦσι τοὺς γλωτοὺς τοὺς ὄπισθεν τῆς ῥάχης,
καὶ ἐν τρισὶν ὀνόμασιν ὀνομάζεται αὕτη.
Ὀσφύς, ψοιὰ δέ, καὶ ἰξύν, ὅπερ ἐστιν ἡ ζῶσις.
Κύβη, ἀγκοίνη, καὶ εἰ ἀκάς, ὠλήν, ἀγκώνας ἔστι.
Ὠλέκρανον δὲ λέγουσι τὸ μέσον τοῦ ἀγκῶνος·
ὀνομάζεται καὶ ἱερὸν ὀστοῦν, τὸ τῆς ῥάχεως ἄκρος.
Ἴπους, παγίδας τῶν πλευρῶν ἐν ἑνὶ πῖ μοι γράφε.
Μάλη, μασχάλη λέγεται, καὶ βαλμὸς δὲ ὁ πνεύμων.
Λαπάρα, ψοία, κενεών, καὶ ἀγκύλη, λαγκόνη.
Στηθήνιον, καὶ κίθαρον, θώραξ, ἐστὶ τὸ στῆθος·
ψόαι καὶ ψίαι καὶ ψοιά, τὰ λαγγώνια λέγε.
Νηδύν, οἶστρον, εὔχατην, κύστιν, κοιλίας φύσκα,
νηδὺν δέ, τὴν τῆς γυναικὸς μητροδόχον γαστέρα.
Φολίς ἐστιν ὁ στόμαχος, ἦτρον, καρδίας τόπος.
Καμπύλη, μάρη, χείρ ἐστι, καρπός, ἔξω παλάμης,
ἀντίχειρ, μέγας δάκτυλος, μύωψ, ὁ δεύτερός τε,
σφάκελος, ὁ τρίτος δάκτυλος, τέταρτος, ἐπιβάτης·
καὶ λιχανός, πέμπτος ἐστι, κοῖλον χειρός, κοτύλη.
Πυρῆνα, ποσθή, βάλανος, δίδυμοι δὲ οἱ ὄρχεις,
πέριλλος δὲ καὶ δόρυλλος, τῆς γυναικὸς αἰδοῖον.
Χόντρος, καὶ πρότμησίς ἐστι, τοῦ ὀμφαλοῦ ὁ τόπος,
Ἴτρον, ἄτρον ὑπόγαστρον, ἐφήβαιον, ποκοίλη (1)·

(1) Γραπτέον, προκοίλη, ἢ μᾶλλον προκοῖλι ὡς καὶ νῦν λέγομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

παλάμης μέσον, γυίαλον, μετακάρπιον πάλιν
Καρθμόν, καὶ πέζαν, καὶ προιὰ ὀνόμαζε τοὺς πόδας·
χόριον, σύνυστρον, χολάς, κωλήν, ἔντερα φράζε.
Ἐπιγουνίδες, ἄντζαι δέ, γαστροκνήμιον πάλιν,
κυλῶναι τὰ μετάσκελα, γνῦξ, γυῖαι δέ, τὸ γόνυ.
Ἄντυγες, καμαρόποδες, ταρσοί, ποδῶν τὰ στήθη.
Ἄρδιον, τὸ πλατύποδον, καὶ χήλη δὲ ἡ ὄνυξ,
ψελίδωνες καὶ ἴσματα, βήματα ἰχνοπόδων.

---

Ἕτερον δὲ περιεργότερον ζήτημα τῆς Ψελλικῆς βιβλιογραφίας ἔσεται καὶ τὸ περὶ τοῦ ἀληθοῦς συντάκτου τῆς γνωστῆς Γωνιᾶς, ἥτις φέρεται μὲν ἐπ' ὀνόματι τῆς βασιλίσσης Εὐδοκίας τῆς Μακρεμβολιτίσσης, ἰσχυροὶ ὅμως λόγοι πείθουσιν ὅτι μᾶλλον ὁ Ψελλὸς συνέταξεν αὐτήν.

Καὶ πρῶτον αὐτὸς οὗτος γράφων πρὸς τὸν βασιλέα Ρωμανὸν τὸν Διογένην ἐν καιρῷ τῆς πρώτης κατὰ τοῦ σουλτάνου Ἀρπ-ἀσλὰν ἐκστρατείας (1), ὑπόσχεται ἵνα προσφέρῃ αὐτῷ τροπαιοφόρῳ ἐπανακάμπτοντι τὴν Ἰωνιάν· παρεντίθημι δὲ τὸ σχετικὸν τῆς ἐπιστολῆς χωρίον, ὡς δεόμενον κριτικῆς τινος διορθώσεως· «ὥσπερ γὰρ σύ μ' ἐποίησας ζηλωτὴν διὰ πάσης ἡμέρας ἐγκωμιάζων καὶ τῶν ἄλλων ἀσυγκρίτως προκρίνων, οὕτω δή σε κἀγὼ τῶν ἄλλων βασιλέων ὑψηλότερον θήσω βιβλίον ἐξενεγκὼν ἐπὶ

(1) Ἡμαρτημένος ὁ κ. Muralt (chronographie Byzantine, Genève, I, Genéve) λέγει ὅτι τὴν Ἰωνιὰν προσήνεγκεν ἡ Εὐδοκία τῷ Ρωμανῷ μετὰ τὸ πέρας τῆς δευτέρας αὐτοῦ ἐκστρατείας, ἐπικαλούμενος εἰς πίστωσιν τὴν μαρτυρίαν τοῦ Ζωναρᾶ καὶ τοῦ Γλυκᾶ, ἐν ᾧ οὐδεὶς τῶν χρονογράφων τούτων λέγει τι περὶ τούτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σοί, οἷόν τινα λειμῶνα γέμον ἀνθέων καὶ χάριτος (1) ». Νομίζω ὅτι ἡ τελευταία φράσις ἔχει κάλλιον οὕτω « ἴων τινα λειμῶνα, γέμον (τὸ βιβλίον δηλαδὴ) ἀνθέων καὶ χάριτος »· τοσοῦτον δὲ μᾶλλον δυνάμεθα ὅπως διὰ τῶν λέξεων ἴων τινα λειμῶνα ὑπεννοήσωμεν τὴν Ἰωνιάν, ὅσον ὁ Σουΐδας γράφει « Ἰωνιά, ὁ λειμὼν τῶν ἴων, ὥςπερ ῥοδωνιὰ τῶν ῥόδων, καὶ κρινωνιὰ τῶν κρίνων ».

Δεύτερον, αὐτὸς ὁ Ψελλὸς ἀπαριθμῶν ἐν τέλει τοῦ ἐγκωμίου τῆς μητρὸς τὰ διάφορα φιλοπονήματα αὐτοῦ ἀναφέρει καί τι σύγγραμμα ἐν ᾧ ἐξέθετο τοὺς βίους τῶν ποιητῶν καὶ πεζογράφων « τίνες μὲν ἐν ἔπεσι συνεγράψαντο, τίνες δὲ τῇ κατὰ λογάδην λέξει ἐχρήσαντο (2) »· τοιαύτη δὲ πραγματικῶς ἐστι καὶ ἡ ἐν τῇ Ἰωνιᾷ διαίρεσις ὑπὸ χωριστὸν τίτλον ἀλφαβητικῶς φερομένων τῶν ποιητῶν καὶ τῶν πεζογράφων.

Τρίτον, πάντα τὰ ἐν τῇ Ἰωνιᾷ περιεχόμενα ἄρθρα ἀφορῶσιν εἰς τὰς μελέτας περὶ ἃς ὁ Ψελλὸς ὡς καθηγητὴς καὶ φιλόσοφος ἰδίᾳ ἠσχολήθη.

Εἰκάζεται δὲ ὅτι ἡ φιλόμουσος βασιλὶς θέλουσα ἵνα προσφέρῃ φιλολογικόν τι δῶρον εἰς τὸν τραχὺν Καππαδόκην, ἵνα, ἂν μὴ δι' ἄλλο, ὡς λογία τοὐλάχιστον ἐφελκύσῃ τὸν σεβασμὸν αὐτοῦ, τῇ συναινέσει τοῦ πολυμηχάνου Ψελλοῦ προσήνεγκεν ὡς ἴδιον φιλοπόνημα τὸ ἔργον ἐκείνου.

Διὰ τῶν ἀνωτέρω προεθέμην ἁπλῶς ἵνα ὑποδείξω ὅτι ἡ Ψελλικὴ βιβλιογραφία δὲν εἶναι ἔργον ἁπλῆς ταξινομήσεως, ἀλλ' ἀπαιτεῖ γνῶσιν ἀκριβῆ τῶν πραγμάτων καὶ πρὸ πάντων μελέτην ἐπισταμένην περὶ ἑνὸς ἑκάστου τῶν φιλοπονημάτων τοῦ βυζαντινοῦ πολυγράφου.

(1) Τόμ. Ε'. σελ. 226.

(3) Αὐτ. σελ. 59.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πάντα σχεδὸν τὰ ἐν τῷ παρόντι τόμῳ περιεχόμενα πονήματα τοῦ Ψελλοῦ ἐλήφθησαν ἐκ τοῦ ὑπ' ἀριθμὸν 1182 ἑλληνικοῦ κώδικος τῆς ἐν Παρισίοις Ἐθνικῆς βιβλιοθήκης· ὁ κῶδιξ οὗτος γεγραμμένος ἐν τῇ δωδεκάτῃ ἑκατονταετηρίδι ὑπὸ λογίας καὶ ἐξησκημένης ἐν τῷ ἀντιγράφειν χειρός, ἀπέκειτο σηπόμενος ἐν τῇ μονῇ τῆς ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας (1) μέχρι τῶν μέσων τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, ὅτε ἄγνωστός τις ἁρπάσας αὐτὸν ἔσωσεν ἀπὸ προφανοῦς καταστροφῆς, καὶ κομίσας εἰς Παρισίους προσήνεγκεν εἰς τὸν φιλόμουσον καρδινάλιον Μαζαρῖνον (2). Ὁ διάσημος Φραγκῖσκος ὁ Combefis πρῶτος μελετήσας τὸν κώδικα τοῦτον (3) ὑπεσχέθη τὴν δημοσίευσιν ἐνίων τῶν ἐν αὐτῷ περιεχομένων λόγων καὶ ἐπιστολῶν, πλὴν διάφοροι περιστάσεις ἐκώλυσαν τὴν ἐκπλήρωσιν τῆς ὑποσχέσεως τοῦ φιλοπόνου ἀνδρός, ὡς καὶ τοῦ ὕστερον ἀναλαβόντος τὴν ἐκπλήρωσιν αὐτῆς Μιχαὴλ τοῦ Lequien. Ἀπὸ τῆς βιβλιοθήκης τοῦ Μαζαρίνου μετήχθη τὸ χειρόγραφον εἰς τὴν βιβλιοθήκην ἐν ᾗ μέχρι τοῦ νῦν ἀποτεθησαύρισται.

Ἡ ἀρχικὴ τοῦ κώδικος ἀρίθμησις ἐγένετο κατὰ ὀκτάδια, σημειούμενα δι' ἀλφαβητικῶν χαρακτήρων· ἀλλὰ ταῦτα, καλῶς βαίνοντα μέχρι τοῦ ε, ἐπὶ τοσοῦτον ὕστερον συγχέονται, ὥς τε οὐ μόνον ἡ συνέχεια μεταπηδᾷ ἀπὸ τοῦ ἑνὸς εἰς τὸ ἕτερον,

(1) Ἐν τῇ δευτέρᾳ ἀγράφῳ σελίδι ἀναγινώσκεται « βιβλίον τῆς ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας τῆς ἐν τῷ μεγάλῳ Βουνῷ ». Εἰκάζω ὅτι ἡ μονὴ αὕτη ἐστὶν ἡ αὐτὴ ἐν Θεσσαλονίκῃ καὶ ἐν τῇ ἐπισκοπῇ Ἀρδαμερίου ἀνήκουσα ἁγία Ἀναστασία ἡ Φαρμακευτρία (βλ. Μεσαιωνικὴν Βιβλιοθ. Γ', 568).

(2) Ἐν ἀρχῇ τοῦ κειμένου ἀναγινώσκεται « Ex bibliotheca cardinalis Mazarini ».

(3) « Ejus (Ψελλοῦ) operum spissisimum volumen haud ita pridem recepit cardinalis Mazarinus, sed carie et vetustate foedatum ». Combefis, Theophanis Chronographia, 45, n. 83.

καὶ τὰ ὀκτάδια, ἄλλοτε μὲν εἰς ἐννεάδια, ἄλλοτε δὲ εἰς τριάδια καὶ μέχρις ἑνὸς φύλλου περιορίζονται, ἀλλὰ καὶ δὶς ταῦτα σημειοῦνται διὰ τοῦ αὐτοῦ ἀλφαβητικοῦ χαρακτῆρος, καὶ τὰ τελευταῖα ὡς πρῶτα λογίζονται. Ἐν τούτοις ἄγνωστός τις, πιθανῶς ὁ φιλοπονώτατος Combefis, ἐπισταμένως τὸν κώδικα μελετήσας, καὶ λύσας αὐτὸν ἐτακτοποίησε κάλλιστα, ὥστε καὶ ἡμεῖς ἐπιμελῶς μελετήσαντες αὐτὸν εὕρομεν ἄριστα ἔχοντα, πλὴν μικρῶν τινων ἐν τῇ σελιδαριθμήσει σφαλμάτων· οὕτως ἡμαρτημένως μὲν μετρεῖται τὸ φύλλον 40, ἀντὶ 39, καὶ τοῦτο, ἀντὶ 40, ὡς ὑπεδείξαμεν ἐν τῷ ἐκδεδομένῳ ἐπιταφίῳ εἰς Ξιφιλῖνον (Δ', σελ. 459), ἐπίσης δὲ κατὰ λάθος ἐσημειώθη ὁ ὁλικὸς ἀριθμὸς τῶν φύλλων 319, ἀντὶ τῶν πραγματικῶν 320, ὡς δὶς ἐξ ἀβλεψίας μετρηθέντος τοῦ φύλλου 194.

Ἐπειδὴ δὲ ὁ κῶδιξ, ἀποτελῶν τὴν κυριωτέραν βάσιν τῆς Ψελλικῆς βιβλιογραφίας, ὑπ' οὐδενός ποτε περιεγράφη, θεωροῦμεν ἀπαραίτητον ἵνα ἐπισυνάψωμεν λεπτομερῆ καταγραφὴν τῶν ἐν αὐτῷ περιεχομένων.

## Ἑλληνικὸς κῶδιξ τῆς ἐν Παρισίοις βιβλιοθήκης 1182, μεγάλου σχήματος.

1 φύλ. 1. Λόγος πρῶτος. Εἰς τό, ἐν ἀρχῇ ἦν ὁ λόγος. Ἀρχ. Ἔδει μὲν αὐτὸν ἐκεῖνον τὸν πρόδρομον τῆς θειοτέρας Χριστοῦ παρουσίας.

2 φ. 1*. Εἰς τὸ εὐαγγελικὸν ῥητόν, Πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἀρχ. Ἰδοὺ καὶ αὖθις ἐπὶ τὰς εὐαγγελικὰς ἡμᾶς μετακαλεῖται φωνάς.

3 φ. 2*. Εἰς τό, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τῆς γῆς. Ἀρχ. Πῦρ φησιν ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν.

4 φ. 3*. Ἐκ τοῦ εἰς τὴν Πεντηκοστὴν θεολογικοῦ λόγου, Οἶδε μὲν τρέφειν καὶ πέντε ἄρτοις. Ἀρχ. Οἶδε μὲν τρέφειν καὶ πέντε ἄρτοις πεντακισχιλίους.

5 φ. 4. Εἰς τό, Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι. Ἀρχ. Πῶς φασι τῆς κατὰ τὴν γένεσιν βίβλου.

6. φ. 4.* Εἰς τὸ εὐαγγελικὸν ῥητὸν τό, Ἀπάρτι ἐγὼ οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου. Ἀρχ. Ἐπειδὴ πρὸς τῷ πέρατι γέγονε τῆς μετὰ τοῦ σώματος ἐν τῷ βίῳ διαγωγῆς.

7 φ. 5*. Εἰς τό, Ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας. Ἀρχ. Ζητεῖτε οἷα εἰκός, τί μὲν τὸ ἀνεῳγέναι τὸν οὐρανόν.

8 φ. 6. Εἰς τό, Προέκοπτεν ὥσπερ ἡλικίᾳ, οὕτω δὴ καὶ σοφίᾳ καὶ χάριτι. Ἀρχ. Καὶ τοῦτο τῶν δυσκαταμαθήτων καὶ λίαν ἐργώδη κεκτημένων τὴν νόησιν.

9 φ. 6*. Περὶ μύθων [ὁ αὐτὸς λόγος ἐν φύλλῳ 157 ὑπὸ τὴν ἐπιγραφήν, Λόγος ἀλληγορῶν τὴν τοῦ Διὸς γένεσιν

καὶ τὸν καταποθέντα λίθον τῷ Κρόνῳ τὴν Διὸς ἀνατροφὴν ὑπὸ τῶν Κουρήτων καὶ τὴν τοῦ Κρόνου ἀναίρεσιν]. Ἀρχ. Μῦθος μὲν ὡς ἀληθῶς ἅπας μῦθος Ἑλληνικὸς [Ἐδημοσιεύθη ἐν τῷ Annuaire pour les Etudes Grecques en France, 1875].

10 φ. 7. Ἔκφρασις ἢ ἀλληγορία. Ἀρχ. Βούλεται μὲν ἡ Κίρκη καὶ τὸν Ὀδυσσέα μεταμορφοῦν. [Ἐξεδόθη ὑπ' Ἀρσενίου Μονεμβασίας, μετ' ἄλλων πονηματίων ἐν τέλει τῶν Ἀποφθεγμάτων [Ρώμη 1505] καὶ ἐν τέλει Heraclidis Pontici allegoriae in Homeri fabulas. Basilae 1544].

11 φ. 7.* Ἐκ τῆς πρὸς Φιλιππησίους, εἰς τό, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος. Ἀρχ. Τρεῖς ἐμφαίνει τὰς ἀτοπίας τὸ ἀποστολικὸν τοῦτο ῥητόν.

12 φ. 8. Πρὸς τοὺς λέγοντας ὅτι ἀνακόλουθον τό, μή μου ἅπτου, πρὸς τό, οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα μου. Ἀρχ. Προπετὲς ἄλλως εἴ τις ἀποροίη πρός τινα γραφικὴν ῥῆσιν ἢ ἔννοιαν.

13 φ. 8*. Εἰς τό, ὅστις ἐρεῖ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ, τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ἀρχ. Ἔστι μὲν κἂν τοῖς Μωσαϊκοῖς διδάγμασιν ὁ λόγος ἀπόρρητος.

14 φ. 9. Εἰς τό, ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον. Ἀρχ. Τρία ταῦτα προσμαρτυρεῖ ὁ μέγας πατὴρ τῷ θεῷ.

15 φ. 9*. Εἰς τό, κἄν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως ἢ τελέως ἄληπτον. Ἀρχ. Τὸ κἄν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως ἢ τελέως ἄληπτον, ἢ τελέως ληπτόν, οὐ πρὸς τὸ προσεχές μοι δοκεῖ ἀναφέρεσθαι.

16 φ. 10. Εἰς τό, Τὸ γὰρ ἦν καὶ ἔσται τοῦ καθ' ἡμᾶς χρόνου τμήματα καὶ τῆς ῥευστῆς φύσεως. Ἀρχ. Δοκεῖ μὲν οὕτως κατὰ τὸ τυχὸν προσερρῖφθαι τῷ μεγάλῳ πατρί.

17 φ. 10*. Εἰς τό, Αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι

μέρος. Ἀρχ. Παντάπασί μοι δοκεῖ ὁ μέγας οὗτος πατὴρ ἐν τῷ περὶ τοῦ αἰῶνος λόγῳ καὶ χρόνου.

18 φ. 11*. Εἰς τό, Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τὸ κινεῖσθαι. Ἀρχ. Ἄγαμαι ὑμῶν ὦ παῖδες, οὐ τὸ ἁπλῶς ἐρωτᾷν.

19 φ. 12. Εἰς τό, Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις. Ἀρχ. Ἐοίκασί μοι τῶν ἐξηγητῶν ἔνιοι.

20 φ. 12.* Εἰς τό, Τὸ μὲν ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην. Ἀρχ. Οὐ τοσοῦτον ἐπὶ τοῖς μεγάλοις ζητήμασι, τῆς εὐπαιδευσίας ὑμᾶς ἄγαμαι.

21 φ. 13*. Εἰς τό, Ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον. Ἀρχ. Δείκνυσι καὶ φυτὸν τῆς ῥίζης τὴν δύναμιν, καὶ καλάμη σίτου τοῦ σπέρματος τὴν καταβολήν.

22 φ. 14. Εἰς τό, καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς θεὸν νεύσει θεούμενον. Ἀρχ. Οὔτε πηγὴ ἐλευθέρα καὶ προκειμένη καὶ ἄφετος.

23 φ. 14*. Εἰς τό, λεῖπον τοῦ λαμπροτάτου θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν. Ἀρχ. Χθές που μετὰ Μωϋσέως τῷ τῆς θεωρίας ὄρει προσπελάσαι τολμήσαντες.

24 φ. 15*. Εἰς τό, θεωρία γὰρ ἦν τὸ φυτόν, ὡς ἡ ἐμὴ θεωρία. Ἀρχ. Ἑώρων ὑμᾶς καὶ πάλαι περὶ τοῦτο λιχνευομένους τὸ ζήτημα.

25 φ. 16*. Εἰς τό, διὰ πασῶν ὅδευσον τῶν ἡλικιῶν Χριστοῦ καὶ δυνάμεων. Ἀρχ. Κινεῖ μὲν ἡμᾶς πρὸς τὴν ἐπίλυσιν τοῦ νῦν προβληθέντος ῥητοῦ τὸ ὑμέτερον πρόθυμον.

26 φ. 17. Εἰς τό, τί ἐστιν ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος. Ἀρχ. Ζητεῖται τί ποτέ ἐστιν ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, παρὰ τῷ πατρὶ ῥηθὲν περὶ τοῦ υἱοῦ.

27 φ. 17*. Εἰς τό, ὧν τοὺς ἐπαίνους οἶδα τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις. Ἀρχ. Οὐδὲν ἀπεικὸς φιλοσόφους ὄντας ὑμᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

28 φ. 18*. Εἰς τό, καὶ ἡμῖν μὲν βρωθήσεται ὁ ἀμνός, οἱ δέ, θρηνείτωσαν. Ἀρχ. Τῷ κατὰ τὴν ἱστορίαν τοῦ ἀμνοῦ πράγματι προσαρμόζων ὁ μέγας πατὴρ τὸν τῆς ἀναγωγῆς λόγον.

29 φ. 19*. Εἰς τό, ἔστι τοίνυν ἐξετᾶσαι πρᾶγμα καὶ δόγμα. Ἀρχ. Ἔδει μέν, ὦ φίλτατοι παῖδες, μὴ πολυπραγμονεῖν τὴν τοῦ μεγάλου πατρὸς λύσιν.

30 φ. 20*. Εἰς τὸ εὐαγγελικὸν ῥητὸν τό, γρηγορεῖτε ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ἔρχεται, καὶ τὰ ἑξῆς. Ἀρχ. Γρηγορεῖτε ὡς ἀληθῶς, μᾶλλον δὲ γρηγορήσωμεν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ἔρχεται.

31 φ. 22. Ἐξήγησις γλαφυρὰ εἰς τὸν τῷ μεγάλῳ πατρὶ Γρηγορίῳ τῷ θεολόγῳ σχεδιασθέντα λόγον τῇ μεγάλῃ καὶ λαμπρᾷ ἡμέρᾳ τῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσεως. Ἀρχ. Πολλοὶ τῶν καταστησαμένων τὰς θεολογικὰς τέχνας, οὐ γὰρ θεολόγος μέγας.

32 φ. 23. Διήγησις εἰς τὸν θεολογικὸν δεύτερον λόγον οὗ ἡ ἀρχή, ἐπὶ τῆς φυλακῆς μου στήσομαι. Ἀρχ. Οἱ τῷ μεγάλῳ θεολόγῳ τὴν περὶ τοῦ πάσχα ὀπτασίαν ὡς ἀληθῶς χαριζόμενοι, κόλακές μοι δοκοῦσιν εἶναι.

33 φ. 24. Ἐκ τοῦ εἰς τὸν μέγαν Ἀθανάσιον εἰς τό, ᾧ τινι μὲν οὖν εξεγένετο. Ἀρχ. Τῆς θείας ὁ πατὴρ μακαριότητος ἀξιοῖ τοὺς διὰ λόγου καὶ θεωρίας διασχόντας τὴν ὕλην.

34 φ. 24*. Ἐκ τοῦ, πάλιν Ἰησοῦς ὁ ἐμός· εἰς τό, πατὴρ ὁ πατὴρ καὶ ἄναρχος. Ἀρχ. Ἑλλήνων μὲν οἱ φιλοσοφώτατοι περὶ τὴν παρ' ἐκείνων θρυλλουμένην μοναρχίαν.

35 φ. 25. Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου· εἰς τό, Σαδδουκαῖοι μὲν οὐδ' εἶναι. Ἀρχ. Παρὰ τοῦ πνεύματος ὁ θεολόγος πατὴρ περὶ αὐτοῦ δὴ τούτου τοῦ πνεύματος διαλέγεσθαι εἰληφώς.

36 φ. 26*. Εἰς τὸ Σολομώντειον ῥητὸν τό, ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται καὶ κυκλοῖ πρὸς βορρᾶν· καὶ εἰς τὸ θεολογικὸν ῥητὸν τό, ὁ μὲν οὖν ἡμέτερος λόγος, ὥς περ ἵππου καὶ βοὸς καὶ ἀνθρώπου καὶ ἑκάστου τῶν ὑπὸ τὸ αὐτὸ εἶδος εἷς λόγος ἐστίν. Ἄρχ. Οὐ δύο μοι γλῶσσαι ἵνα κατὰ ταὐτὸν τοῖς ἐρωτήσασιν ὑμῖν χαρίσωμαι.

37 — [Εἰς τὸ θεολογικόν, Ὁ μὲν ἡμέτερος λόγος ὥς περ ἵππου καὶ βοός. Ἄρχ. Εἶτα πῶς οὐκ ἐσκότωνται οἱ μὴ τὸν τοῦ πατρὸς λόγον κυρίως θεὸν ὀνομάζοντες]. Ὁ αὐτὸς λόγος καὶ ἐν φύλλῳ 303*, ὑπ' ἀριθ. 207.

38 φ. 27*. Περὶ τοῦ κατὰ τὸν σταυρὸν καὶ ταφὴν τοῦ Χριστοῦ μυστηρίου. Ἄρχ. Ἡ τοῦ λόγου οἰκονομία μυστήριον μέν ἐστιν οὐσιώδους πρὸς τὴν ἡμετέραν φύσιν ἑνώσεως.

39 φ. 27*. Περὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, τοῦ ἱλαστηρίου καὶ τῶν λοιπῶν. Ἄρχ. Ἡ κιβωτὸς τοῦ μαρτυρίου ἐκ ξύλων ἀσήπτων ἐγεγόνει τῷ Μωϋσῇ.

40 φ. 28*. Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν. Ἄρχ. Αὐτίκα ἡ περιτομὴ οὐκ ἔστι τῆς ἐκ θεοῦ κατὰ φύσιν ἀρτιότητος περιαίρεσις.

41 φ. 29. Περὶ τῶν καθ' ἡμᾶς θείων ἀριθμῶν. Ἄρχ. Δοκεῖς μοι θαυμάζειν ἀεὶ τὴν Πυθαγόρειον φιλοσοφίαν, ἀδελφὲ φίλτατε.

42 φ. 30. Περὶ δογματικῶν ὀνομάτων. Ἄρχ. Σὺ μὲν περὶ τῆς σημασίας τοῦ ἐνυποστάτου ἐζήτησας.

43 φ. 30*. Περὶ τῶν μετὰ θεὸν καὶ περὶ θεὸν τεταγμένων διακόσμων καὶ τάξεων. Ἄρχ. Οὐδὲν προοιμιασάμενος, διὰ τὸ πολλὰ δεῖν ἐν ὀλίγοις εἰπεῖν.

44 φ. 31*. Περὶ τῶν ἐν τῷ Νομοκανόνῳ. Ἄρχ. Ἡ περὶ τοῦ Νομοκανόνου περὶ οὗ μαθεῖν ἐζήτησας διάταξις τοιαύτη ἐστίν.

45 φ. 32. Περὶ τῶν ἀλληνάλλως ἐγκειμένων προθέσεων τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἁγίᾳ Τριάδι. Ἄρχ... καὶ τῶν πρὸ ἡμῶν φιλοσόφων ἐζήτηται ὅ,τι ποτὲ αἱ προθέσεις καθαροῖς ὀνόμασιν.

46 φ. 32*. Περὶ τῆς κατὰ Χριστὸν γενεαλογίας τοῦ Ἀδάμ. Ἄρχ. Δεῖ τὸν φιλόσοφον παντοδαπὸν εἶναι καὶ φιλοτιμεῖσθαι μὴ μόνον ἐπιστήμας καὶ τέχνας εἰδέναι.

47 φ. 33. Τοῦ αὐτοῦ· ἐπιτάφιος εἰς τὸν μακαριώτατον πατριάρχην κῦρ Ἰωάννην τὸν Ξιφιλῖνον [ἐξεδόθη ἐν τόμῳ Δ' τῆς Μεσαιωνικῆς Βιβλιοθήκης σελ. 421-62].

48 φ. 41. Τέλος τοῦ εἰς Ἀνδρόνικον Δούκαν ἐπιταφίου, οὗ ἡ ἀρχὴ ἐν φύλλῳ 179*. ὑπ' ἀριθμόν 133.

49 φ. 41*. [Μονῳδία] εἰς τὸν σοφώτατον μητροπολίτην Μελιτηνῆς. Ἄρχ. Οὐ τὸν Μελιτηνῆς σεμνῦναι βουλόμενοι τὴν ἐνταῦθα μετηλλαχότα ζωήν· [ἐλλείπει τὸ τέλος].

50 φ. 42. Σημείωμα [δημοσιεύεται ἐν τῷ παρόντι τόμῳ σελ. 203-212].

51 φ. 43*. Τοῦ αὐτοῦ, ὑπόμνημα ἕτερον [ὁμοίως σελ. 197-203].

52 φ. 45. Τοῦ αὐτοῦ, εἰς τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον. Ἄρχ. Τῷ χρυσῷ καὶ τὴν ψυχήν, καὶ τὴν γλῶτταν Ἰωάννῃ.

53 φ. 46*. Τοῦ αὐτοῦ, ἀπόκρισις σχεδιασθεῖσα πρὸς τὸν κῦρ Ἀνδρόνικον ἐρωτήσαντα περὶ τοῦ τῆς γεωμετρίας μαθήματος, ποῖον τὸ τέλος αὐτῆς. Ἄρχ. Πολλοί μοι πολλάκις διηνωχλήκασι περὶ τῶν δυοῖν τούτων μερῶν τῆς ὅλης μαθηματικῆς [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλός, Norimbergae 1838, σελ. 159].

54 φ. 47. Τοῦ αὐτοῦ, περὶ νοητοῦ κάλλους. Ἄρχ. Τὸ πρῶτον καὶ νοητὸν κάλλος, ὁ θεῖός ἐστι καὶ πολύτιμος νοῦς.

55 φ. 47*. Τοῦ αὐτοῦ, περὶ τῶν ψαλμῶν, πρὸς τὸν βασιλέα κῦρ Μιχαὴλ τὸν Δούκαν, καὶ περὶ τῶν ἐπιγραφῶν αὐτῶν, καὶ λοιπῶν. Ἄρχ. Τῷ ἐμῷ βασιλεῖ καὶ θεῷ, τῇ κρείττονι ὄντως καὶ ψυχῇ καὶ φύσει.

56 φ. 50. Τοῦ αὐτοῦ, εἰς τὸν Λογγίβαρδον Ἰωάννην ἐπαινε-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τικός. Ἀρχ. Ὡς εὖ τῷ Ἰταλῷ, εἰ δὲ βούλοιτο Λατίνῳ καὶ Αὔσονι.

57 φ. 51. Πρὸς Πόθον τὸν βεστάρχην ἀξιώσαντα γράψαι περὶ τοῦ θεολογικοῦ χαρακτῆρος. Ἀρχ. Μὴ θαυμάσῃς, Πόθε μοι φίλτατε, εἰ τῶν πρὸ ἐμοῦ ῥητόρων [ἐξεδόθη ὑπὸ τοῦ Κ. Coxe ἐν Catalogus Cod. Bibliothecae Bodleianae, III, σελ. 743-751].

58 φ. 54*. Πρὸς αὐτὸν ἐρωτήσαντα, ποῖος ἐγκωμίων κρείττων· [ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 497-499].

59 φ. 55. Περὶ τοῦ κλέμματος οὗ πέπονθεν [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλός, σελ. 117].

60 φ. 55*. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος. Ἀρχ. Εἰ μὲν οὖν ἕτερός τις, ὦ θεία καὶ ἱερὰ σύνοδος.

61 φ. 59. Πρὸς τοὺς μαθητὰς περὶ τῶν ὀνομάτων τῶν δικῶν. Ἀρχ. Ὁρῶν ὑμῶν ἐνίους [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλὸς σελ. 95, καὶ μετὰ λατινικῆς μεταφράσεως ὑπὸ Migne, Patrologia Graeca, vol. CXXII, σελ. 1007].

62 φ. 61. Εἰς τὸν δρουγγάριον τῆς βίγλης κῦρ Κωνσταντῖνον τὸν Ξιφιλῖνον ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ τοῦ Ἀριστοτέλους λογικὸν ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές. [Ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 499-502].

63 φ. 61*. Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα, οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι; Ἀρχ. Τοῖς μὲν ἄλλοις, πάντων ἀνδρῶν ἐμοὶ λογιώτατε, περί τινος τῶν κατὰ φιλοσοφίαν διαπορουμένων πυνθανομένοις [Ἐλλείπει τὸ τέλος].

64 φ. 62. Οἴνου ἐγκώμιον. [Ἐλλείπει ἡ ἀρχή].

65 φ. 62*. Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα. [Ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ, σελ. 502-505].

66 φ. 63*. Τοῦ αὐτοῦ, εἰς τὴν τῆς ἁγίας Σοφίας σύμπτω-

σιν. Ἄρχ. Ἦν ἄρα καὶ συμφορὰ συμφορᾶς καὶ πάθος πάθους [ἐξεδόθη ὑπὸ Ἀλλατίου ἐν σημειώσεσιν εἰς Γεώργιον Ἀκροπολίτην, σελ. 281, καὶ ὑπὸ Migne, Patrol. Graeca, CXXII, σελ. 912].

67 φ. 64. Τοῦ αὐτοῦ· πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς [Ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 168-170].

68 φ. 64*. Τοῦ αὐτοῦ· ἀλληγορία τοῦ, Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο. Ἄρχ. Τοῦτο μάλιστα ῥητορικὸν ἐγὼ καὶ τεχνικὸν τίθεμαι [Ἐδημοσιεύθη ἐν τῷ Annuaire our les études Grecques en France, 1875].

69 φ. 65. Τοῦ αὐτοῦ· ἀλληγορία εἰς τὸν Τάνταλον. Ἄρχ. Πάλιν ἡμᾶς ἐπὶ τὰς ποιητικὰς θύρας ἀνθέλκετε [ἐξεδόθη ὑπὸ Ἀρσενίου Μονεμβασίας ἐν τέλει Ἀποφθεγμάτων (ἐν Ῥώμῃ) καὶ ὑπὸ Γεσνέρου ἐν τέλει Heraclidis Pontici Allegoriae in Homeri fabulas, Basileae, 1544].

70 φ. 66*. Τοῦ αὐτοῦ· εἰς τὴν Σφίγγα. Ἄρχ. Ἐπὶ τῶν λεγομένων τελετῶν τὰ μὲν ἄδυτα [Συνεξεδόθη τοῖς ὑπ' ἀριθμὸν 10 καὶ 69 ὁμοειδέσι πονήμασιν ἐν τέλει τῶν εἰρημένων συλλογῶν].

71 φ. 67. Τοῦ αὐτοῦ· εἰς τὸ ἐν Νικομηδείᾳ ἠχεῖον. Ἄρχ. Θαυμάζουσιν οἱ πολλοὶ τὸ ἐν Νικομηδείᾳ ἠχεῖον [Ἐξεδόθη ὑπὸ Boissonade, Ψελλός, σελ. 58].

72 φ. 68. Τοῦ αὐτοῦ· ἐπιλύσεις διαφόρων ἐρωτημάτων. Ἄρχ. Ἑτέροις λόγοις ὁ τοῦ ἀρτίου ὅρος προείληπται.

73 φ. 69. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων, συγγραφεῖσα καὶ ἐκτεθεῖσα πρὸς τὸν βεστάρχην κῦρ Ἰωάννην τὸν λιβελλίσιον, ὃς καὶ τὴν περὶ τούτων ἐρώτησιν πρὸς αὐτὸν ἐποιήσατο. [Ἄρχ. Οὐ μετρίαν σοι χάριν ἀποτιννύς, φίλτατέ μοι πάντων ἀνδρῶν λιβελλίσιε].

74 φ. 74. Τοῦ αὐτοῦ· ἐγκώμιον εἰς τὴν μητέρα αὐτοῦ [ἐν τῷ παρόντι τόμῳ σελ. 3-61].

75 φ. 84. Τοῦ αὐτοῦ· εἰς τὴν θυγατέρα Στυλιανὴν πρὸ ὥρας γάμου τελευτήσασαν [ὁμοίως σελ. 62-87].

76 φ. 90. Τοῦ αὐτοῦ· ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου [ὁμοίως σελ. 87-96].

77 φ. 91*. Τοῦ αὐτοῦ· ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν [ὁμοίως σελ. 171-176].

78 φ. 93. [Ἐπιτάφιος εἰς Πατρίκιον· ἐξεδόθη ἐν Jahn's Archiv. 1845, Bd. 11, 347].

79 φ. 93*. Εἰς τὸν σεισμὸν τὸν γενόμενον τῇ εἰκοστῇ τρίτῃ τοῦ σεπτεμβρίου μηνὸς τοῦ Προδρόμου. Ἀρχ. Ἡ μὲν τοῦ λόγου ὑπόθεσις, ὦ θεῖον καὶ θεῷ φίλον ἀκροατήριον.

80 φ. 95. Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως. Ἀρχ. Οὐ μικρὸς ὁ λόγος τῆς ἀπορίας, οὐδὲ βραχεῖα ἡ τοῦ προβλήματος ζήτησις.

81 φ. 96. Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων. Ἀρχ. Οὐ πόρρω τοῦ προτεθέντος σκοποῦ τὸ ἐρώτημα.

82 φ. 97*. Εἰς τό, οὐσία πρᾶγμα αὐθύπαρκτον. Ἀρχ. Οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον.

83 φ. 98*. Περὶ τοῦ πῶς δεῖ ἀντιλέγειν τὸν λογικῶς ἀντιλέγοντα. Ἀρχ. Τοὺς γραφικοὺς τὴν τέχνην πρὸς τοὺς λόγους ἐγὼ μεμίμημαι, βέλτιστε.

84 φ. 99*. Ὅτι οὐκ ἀρκεῖ ἡ φύσις, κἂν γενναία ᾖ, πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν ἄνευ παιδεύσεως. Ἀρχ. Ἐγὼ δὲ οὐδὲ τὴν πρώτην συνορᾶν δύναμαι.

85 φ. 100. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν. Ἀρχ. Οἱ τὸ τῆς Λευκίππης βιβλίον καὶ τὸ τῆς Χαρικλείας καὶ εἴ τι ἄλλο ἐπιτερπὲς [Ἐξεδόθη ὑπὸ Boissonade, Ψελλὸς σελ. 48. Περὶ τοῦ αὐτοῦ δὲ ἀντικειμένου ἕτερος λόγος τοῦ αὐτοῦ Ψελλοῦ ἐδημοσιεύθη ὑπὸ d'Orville ἐν Miscel-

laneae observationes criticae in auctores veteres et recentiores, Amstelaedami 1736, vol. VII, p. 366-279. Εἰκάζω δὲ ὅτι ἀμφότεροι οἱ λόγοι οὗτοι ἓν καὶ τὸ αὐτὸ ἀποτελοῦσι πόνημα, ἐξ ἀμελείας τῶν ἀντιγραφέων διχοτομηθέν, διότι ἀληθῶς τὸ παρὰ Boissonade οὐδὲν ἕτερόν ἐστιν ἢ αὐτὸ τὸ προοίμιον τοῦ ὑπὸ d' Orville προεκδεδομένου κυρίου λόγου].

86 φ. 100*. Χαρακτῆρες Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Χρυσοστόμου, καὶ Γρηγορίου τοῦ Νύσσης. Ἄρχ. Ἠρώτησας, λογιώτατε ἀδελφέ, τίνες τε καὶ πόσοι [Ἐξεδόθη ὑπὸ Boissonade, Ψελλὸς σελ. 124, καὶ ὑπὸ Migne, μετὰ λατινικῆς μεταφράσεως **Patrologia Graeca CXXII**, σελ. 902].

87 φ. 101*. Εἰς Λογγίβαρδον Ἰωάννην, καταναγκάζοντα αὐτὸν εἰς τὸ ἑρμηνεῦσαι τάχιον τὰ μαθήματα. Ἄρχ. Ἡ περὶ τὰς ἐπιστήμας προθυμία σου πολλοῦ ἂν ἀξία ἦν· [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλός, σελ. 164].

88 φ. 102. Μονῳδία εἰς τὸν τοῦ Ἀκτουαρίου ἀδελφὸν [ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 96-102].

89 φ. 103*. Εἰς δύο τινὰς τῶν μαθητῶν αὐτοῦ λογογραφήσαντας πρὸς ἀλλήλους. Ἄρχ. Οὐδεὶς παρ' ὑμῖν οὔτ' αἰχμητής, οὔτε ἀκοντιστὴς [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλός, σελ. 131].

90 φ. 104. Ὅταν ἔβρεξε καὶ οὐκ ἀνῆλθον οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν σχολήν. Ἄρχ. Ἀλλ' οὐχὶ θέρους μὲν ἐσθίετε, χειμῶνος δὲ ἐγκρατεύεσθε [ὁμοίως, σελ. 135].

91 φ. 104*. Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει. Ἄρχ. Οὐδὲν καινὸν ποιεῖτε οἵ τε δοκοῦντες ὑμεῖς φιλοσοφεῖν [ὁμοίως, σελ. 140].

92 φ. 105. Ἑρμηνεία τῶν δασέων καὶ ψιλῶν καὶ μέσων στοιχείων. Ἄρχ. Κομψοὺς ἡγοῦμαι καὶ περιττούς, ἀδελφὲ λογιώτατε. [ὁμοίως σελ. 69].

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

93 φ. 105*. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου. Ἄρχ. Ἐζήτησας τίνα ποτὲ νοῦν τὸ ἐν τῇ Ὀδυσσείᾳ τῶν Νυμφῶν ἄντρον αἰνίττεται [ὁμοίως σελ. 52].

94 φ. 106. Περὶ τῶν Ἀθηναϊκῶν τόπων καὶ ὀνομάτων. Ἄρχ. Σὺ δὲ ἄρα οὐκ αὐτῆς μόνον τῆς Ἀθηναίων ἐρᾷς πόλεως [ὁμοίως σελ. 44].

95 φ. 106*. Περὶ πολεμικῆς συντάξεως. Ἄρχ. Φιλοσόφῳ δὲ οὐ πολεμητέον μέν, ἐπιστατέον δὲ καὶ πολέμοις καὶ στρατοπέδοις [ὁμοίως σελ. 120].

96 φ. 107. Περὶ σεισμοῦ καὶ κινήσεως γῆς. Ἄρχ. Τὸ μὲν ἡμέτερον δόγμα, λογιώτατε ἀδελφέ, περὶ σεισμοῦ.

97 φ. 107*. Περὶ συνθήκης τῶν τοῦ λόγου μερῶν. Ἄρχ. Ἠρώτησας, λογιώτατε, τί ποτε [ἐξεδόθη ὑπὸ Walz, Rhetores Graeci, vol. V, p. 598-601].

98 φ. 108. Σύνοψις τῶν ῥητορικῶν ἰδεῶν. Ἄρχ. Τεχνύδριόν σοι ἐπιτομώτατον [ἐν τῷ αὐτῷ τόμῳ σελ. 601-605] (1).

99 φ. 108*. Ὅτι φιλοσοφίας μέτοχος ἡ νομικὴ ἐπιστήμη. Ἄρχ. Ἐμοί, οὐ μόνον οὐκ ἀντίθετος τῇ φιλοσοφίᾳ ἡ τῶν νόμων ἐπιστήμη δοκεῖ [εὕρηται μόνον τὸ προοίμιον].

100 φ. 109. Ἐπιτάφιος εἰς βασιλέα [Κωνσταντῖνον τὸν Μονομάχον? Εὕρηται μόνον τὸ τέλος.

101 φ. 109*. Πρὸς τὸν βασιλέα τὸν Μονομάχον [Ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 106-117].

102 φ. 111*. Τοῦ αὐτοῦ· πρὸς τὸν βασιλέα Μονομάχον [ὁμοίως σελ. 117].

103 φ. 116. Τοῦ αὐτοῦ· ἐγκωμιαστικὸς εἰς τὸν μακαριώτατον πατριάρχην κῦρ Μιχαὴλ τὸν Κηρουλάριον [ἐξεδόθη ἐν Δ' τόμῳ τῆς Μεσ. Βιβλ. σελ. 303-387].

104 Πρὸς τὴν σύνοδον, κατηγορία τοῦ ἀρχιερέως [γραπτέον,

(1) Ἀμφότερα τὰ πονημάτια ταῦτα ἀντέγραψεν ὁ Walz ἐκ τοῦ αὐτοῦ Παρισινοῦ κώδικος.

πατριάρχου Μιχαὴλ τοῦ Κηρουλαρίου]. Ἀρχ. Ὁ μὲν τοῦ λόγου σκοπός, ὦ θεία καὶ ἱερὰ σύνοδος, ἀληθείας ἐστὶ βάσανος καὶ ἐξέτασις.

105 φ. 149. Ἀπολογία ὑπὲρ τοῦ Νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ [ἐκδέδοται ἐν τῷ παρόντι τόμῳ, σελ. 181-196].

106 φ. 151*. Πρὸς τοὺς μαθητὰς βραδύνοντας. Ἀρχ. Πρὸς τοὺς ἀπολειφθέντας ὁ λόγος ὑμᾶς [Ἐδημοσιεύθη ὑπὸ Boissonade, Ψελλός, σελ. 144].

107 — [Ὅτι τὰ κινήματα τῆς ψυχῆς ἐοίκασι ταῖς τῶν οὐρανίων κινήσεσι, στίχοι 31, δημοσιευθέντες ὑπὸ Boissonade,, Ψελλός, σελ. 56, καὶ Migne Patrologia Graeca CXXII, σελ. 1075].

108 — Εἰς τὸν χαλκοῦν ἵππον τὸν ἐν τῷ Ἱπποδρομίῳ ἀπηωρημένον τὸν πόδα ἔχοντα ἐπίγραμμα [ἐδημοσιεύθη ὑπὸ Banduri, Imperium Orient. I, 178, καὶ ἐν Migne Patr. Gr. CXXII, σελ. 1161].

109 φ. 152. Περὶ τῆς χρυσῆς ἁλύσεως τῆς παρ' Ὁμήρῳ. Ἀρχ. Ὁ μὲν Ὅμηρος ἴσως μέχρι τοῦ μυθικῶς εἰπεῖν [Ἐδημοσιεύθη ἐν τῷ Annuaire, 1875].

110 φ. 152*. Χρυσόβουλλον ὑπὲρ Ἐπιφανίου πρωτοασηκρῆτις [ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 213-217].

111 φ. 153. Πρὸς τὸν πρωτοσύγκελλον ἀξιώσαντα ἱστορῆσαι τὰ θαύματα τοῦ θαυματουργοῦ Γρηγορίου. Ἀρχ. Χαρακτηρίζειν τὸν ἄνδρα, ἔστω γὰρ τέως ἀνώνυμος.

112 φ. 153*. Ὀνειδίζει τοὺς μαθητὰς ἀμελοῦντας. Ἀρχ. Σιγᾶτε καὶ τὴν τήμερον οὐ προβάλλετε; [ἐδημοσιεύθη ὑπὸ Boissonade, Ψελλός, σελ. 147].

113 φ. 154. Περὶ φιλίας, πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαὴλ [ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ, σελ. 513-523].

114 φ. 155*. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν. Ἀρχ. Χαρακτηρίζειν τὸν ἄνδρα, ἔστω γὰρ τέως ἀνώνυμος.

115 φ. 156. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ τὸν Κηρουλάριον [Δημοσιεύεται ἐν τῷ παρόντι τόμῳ σελ. 505-513].

116 φ. 157. Λόγος ἀλληγορῶν τὴν τοῦ Διὸς γένεσιν καὶ τὸν καταποθέντα λίθον τῷ Κρόνῳ, τὴν Διὸς ἀνατροφὴν ὑπὸ τῶν Κουρήτων καὶ τὴν τοῦ Κρόνου ἀναίρεσιν [ὁ αὐτὸς ὑπὸ τὴν ἐπιγραφήν, Περὶ μύθων, ἐν φύλλῳ 6*. βλέπε ἀριθμὸν 9]. Ἐδημοσιεύθη ἐν τῷ Annuaire, 1875.

117 φ. 157*. Περὶ τοῦ, πῶς οἱ μὲν τῶν ἀνθρώπων γίνονται φρόνιμοι, οἱ δέ, μωροί. Ἄρχ. Ὑμεῖς μὲν εὐθὺς ἐγελάσατε εἰρηκότος ἐμοῦ ὑπόθεσιν.

118 φ. 158*. Τί ἐστὶ τὸ Πανδάρου τόξον. Ἄρχ. Ἔστι μὲν οὐδ' ὅπερ εἰρήκειν εὐθὺς ἐρωτηθεὶς [Ὁ αὐτὸς λόγος ἐν Βιενναίῳ κώδικι ἐπιγέγραπται « Εἰς τὸ λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν ». Ἰλιάδος Δ'. στ. 125. Ἐδημοσιεύθη ἐν τῷ Annuaire, 1875].

119 φ. 159*. Ἐγκώμιον εἰς τὴν ψύλλαν. Ἄρχ. Καὶ ὡς ἀληθῶς ἄπορον, εἰ πάντων μὲν ὑποκειμένων [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλός, σελ. 73].

120 φ. 160. Τοῦ αὐτοῦ· ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν. Ἄρχ. Χαλδαϊκὸν λόγιον. Ἔστιν εἰδώλῳ μερὶς [ἐξεδόθη πολλάκις, καὶ τελευταῖον ἐν Migne Patrologia Graeca CXXII, σελ. 1123].

121 φ. 163*. Τοῦ αὐτοῦ· ἔκθεσις κεφαλαιώδης καὶ σύντομος τῶν παρὰ Χαλδαίοις δογμάτων. Ἄρχ. Ἑπτά φασι σωματικοὺς κόσμους [ὁμοίως, σελ. 1149].

122 φ. 165. Τοῦ αὐτοῦ· ἐγκώμιον εἰς τὴν ψύλλαν ἕτερον. Ἄρχ. Τὸν κώνωπά φασιν ὡς ἐλέφαντα· [ἐξεδόθη ὑπὸ Boissonade, Ψελλὸς σελ. 78].

123 φ. 165*. Ἐγκώμιον τῆς φθειρός. Ἄρχ. Ἀλλ' ἡ φθεὶρ ἴσως τῇ ψύλλῃ τῆς εὐφημίας ἐπιδασκήνειν [ὁμοίως, σελ. 85].

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

124 φ. 166*. Περὶ κόρεως. Ἄρχ. Οἱ δὲ πολλοὶ τοὺς κόρεις κακίζουσιν [ὁμοίως σελ. 91].

125 φ. 168. Περὶ τῆς γυναικείας πανηγύρεως τῆς Ἀγάθης [ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 527-531].

126 φ. 168*. Εἰς τὴν φωνὴν τὴν λέγουσαν, Σήμερον τὰ ἅγια κόντουρα καὶ αὔριον ἡ ἀνάληψις [ὁμοίως σελ. 532-536].

127 φ. 169*. Πρὸς τό, ἴδε καὶ ἐξέστηκεν [ὁμοίως σελ. 536-37].

128 — Εἰς κοινολεξίαν, τό, ὅτι ἔφθασεν [ὁμοίως σελ. 537-541].

129 φ. 170. Ἕτεραι ἐξηγήσεις καὶ τῶν παρ' ἡμῖν ἀστείων λόγων καὶ δημωδῶν, καὶ μετάφρασις τούτων ἐκ τοῦ ἀστείου εἰς τὸ βέλτιον καὶ ὑψηλότερον [ὁμοίως σελ. 541-543].

130 φ. 171. Ἐγκώμιον εἰς τὸν ὁσιώτατον κῦρ Κωνσταντῖνον πατριάρχην Κωνσταντινουπόλεως τὸν Λειχούδην [ἐξεδόθη ἐν Δ' τόμῳ Μεσ. Βιβλ. σελ. 388-421].

131 φ. 175*. Ἐγκώμιον εἰς Ἰωάννην τὸν θεοσεβέστατον μητροπολίτην Εὐχαΐτων καὶ πρωτοσύγκελλον [ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 142-167].

132 φ. 179. Μονῳδία εἰς τὸν πρωτοσύγκελλον καὶ μητροπολίτην Ἐφέσου κῦρ Νικηφόρον· [ὁμοίως σελ. 102-105].

133 φ. 179*. Ἑτέρα μονῳδία, εἰς τὸν βασιλέα κῦρ Ἀνδρόνικον τὸν Δούκαν. Ἄρχ. Τί ποτε ταῦτα, καὶ τίς ὁ κλόνος τῆς πόλεως. [Καθὰ ἐσημειώθη ἐν ἀριθμῷ 48, τὸ τέλος εὕρηται ἐν φύλλῳ 41].

134 φ. 180. Τοῦ Ψελλοῦ. Περὶ προτελείων τῆς τῶν νόμων ἐπιστήμης. Ἄρχ. Ἐπιβατήριά σοι ταῦτα τῆς νομικῆς, εἶτά σε εἰσαγάγω καὶ εἰς τὰ ἄδυτα.

135 φ. 180*. Περὶ τῆς τῶν ἀγωγῶν διαιρέσεως. Ἄρχ. Προάγωνές σοι καὶ ταῦτα τῶν μεγάλων ἀγώνων τῶν νομικῶν.

136 φ. 181. Περὶ κονδικτικίων κοινῶς πάντων περὶ ἀγωγῶν διαιρέσεως. Ἄρχ. Ἀποδίδωμι μέν σοι ὥς περ ἔλλειμμα ὧν ἀπωφλήκαμεν, καὶ τὰ τῶν κονδίκτων κοινά.

137 φ. 181*. Περὶ καινῶν δογμάτων καὶ ὅρων τῶν νομικῶν Ῥωμαϊστὶ λεγομένων λέξεων. Ἄρχ. Ἀδριάνειον δόγμα, ὅπερ βούλεται τὸν καλῇ πίστει νομέα [Ἐξεδόθη ὑπὸ Boissonade, Ψελλὸς σελ. 110, καὶ ὑπὸ Migne μετὰ λατινικῆς μεταφράσεως Patr. Gr. CXXII, σελ. 1023].

138 φ. 182*. Περὶ τῆς τῶν Διγέστων διαιρέσεως. Ἄρχ. Τοῦ νομικοῦ πτυχίου παντός, τὸ μέν εἰσι κώδικες, τὸ δέ, δίγεστα.

139 φ. 182. Περὶ διαφόρων νομίμων. Ἄρχ. Ἡ τῶν καλῇ πίστει ἀγωγῶν ἀπαρίθμησις, αὕτη, πρᾶσις, ἀγορασία.

140 φ. 182*. Σύντομος διαίρεσις τῶν Νεαρῶν τοῦ Ἰουστινιανοῦ. Ἄρχ. Ἐδεήθης μαθεῖν παρ' ἡμῶν, ποῖαι μὲν τῶν Νεαρῶν τοῦ Ἰουστινιανοῦ νομοθεσιῶν.

141 φ. 183*. Τοῦ αὐτοῦ Ψελλοῦ, σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν, περὶ πασῶν τῶν ἐπιστημῶν, γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦρ Μιχαὴλ τὸν Δούκαν, ἐκ προστάξεως τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως, ὥς τε διὰ εὐκολίας καὶ ἡδύτητος ἐναχθῆναι τοῦτον εἰς τὴν μάθησιν τῶν ἐπιστημῶν. Ἄρχ. Μελέτω σοι γραμματικῆς καὶ τῆς ὀρθογραφίας. [Ἐξεδόθη ὑπὸ Boissonade, Anecdota Graeca vol. III, σελ. 200, ἐξ ἄλλου ἀτελοῦς χειρογράφου].

142 φ. 189-239. Ἐπιστολαὶ διάφοροι πρὸς διαφόρους τὸν ἀριθμὸν 215. [Ἐκ τούτων ἐννέα πρὸς Καίσαρα τὸν Δούκαν διευθυνόμεναι (φ. 189*. — 191, καὶ 215*.) ἐξεδόθησαν ὑπὸ Boissonade, Ψελλὸς σελ. 170-188, καὶ ὑπὸ Migne μετὰ λατινικῆς μεταφράσεως Patr. Gr. CXXII, σ. 1169-1185· τρεῖς δὲ πρὸς τὸν μητροπολίτην Θεσσαλονίκης (φ. 201* καὶ 214) ὑπὸ Tafel de Thessalonica ejusque agro, καὶ ἐν τῇ προρρηθείσῃ συλλογῇ τοῦ Migne, σ. 1162-1169· αἱ δὲ λοιπαὶ 203 ἐκδίδονται ἐν τῷ παρόντι τόμῳ σελ. 219-497]. Ἐν τέλει τοῦ φύλλου 236* εὕρηται τὸ ἑξῆς μόνον προοίμιον ἑτέρας ἀνεπιγράφου ἐπι-

στολῆς τοῦ Ψελλοῦ «[Ἡ] περὶ τὰς ἐπιστήμας προθυμία σου πολλοῦ ἂν ἀξία ἦν, εἰ, καθάπερ ἐπὶ ζυγοῦ σταθμουμένη πραγμάτων ἐναντίων, ὅλῳ βάρει καὶ ὅλαις ῥοπαῖς πρὸς τὸ κρεῖττον ἀπένευεν· ἐπεὶ δὲ μεῖζον τῆς ἀληθείας τὸ ὑπονοούμενόν σοι πεφώρακται, καὶ οὐχ ὥσπερ αἱ λάκαιναι κῦνες λαγῷ καὶ λοπάδος προτεθειμένων ἐπὶ τὸ ζῶον ὁρμᾷς, ἀλλ' ὡς ......

143 φ. 238*. Τοῦ Εὐχαΐτων [ἐπιστολῆ πρὸς Ψελλόν]· ἐκδίδοται ἐν τῷ παρόντι τόμῳ σελ. 495-496.

144 φ. 239-253*. Τοῦ πανιερωτάτου μητροπολίτου Θεσσαλονίκης κῦρ Εὐσταθίου ἐπιστολαὶ [τὸν ἀριθμὸν 48]· ἐξεδόθησαν ὑπὸ Tafel, ἐν Eustathii opuscula, Lipsiae 1838, καὶ Migne Patr. Gr. CXXXVI, σ. 1245-1317. Αἱ ἐν φύλ. 245*-248* πρὸς Γρηγόριον τὸν Ἀντίοχον καί τινα ἀνώνυμον δύο ἐπιστολαί, ἡμαρτημένως ὡς μία καὶ μόνη ἀριθμηθεῖσαι ἐσημειώθησαν δὶς ὡς ιθ'. διὰ τὸν λόγον τοῦτον, τόσον ἐν τῷ χειρογράφῳ, ὡς καὶ ἐν τῇ ἐκδόσει τοῦ Tafel καὶ τοῦ Migne, ὁ ἀριθμὸς τῶν ἐπιστολῶν τούτων ἀναβιβάζεται εἰς 47, ἀντὶ τῶν πραγματικῶν 48, ἢ μᾶλλον 49, ἐὰν ὡς ἐπιστολὴ καταλογισθῇ καὶ ἡ κατὰ Μωκησῶνος ἠθοποιΐα].

145 φ. 254-257. Μιχαὴλ Ψελλοῦ ἐπιστολαὶ εἴκοσι καὶ ἑπτὰ [Ταύτας ὁ Tafel, ἀπατηθεὶς ἐκ τοῦ χειρογράφου, μὴ φέροντος διακριτικήν τινα ἐπιγραφήν, ἐξέλαβεν ὡς τοῦ Εὐσταθίου Θεσσαλονίκης καὶ ἐπ' ὀνόματι τούτου ἐξέδωκεν ἐν συνεχείᾳ τῶν προρρηθεισῶν ἐπιστολῶν αὐτοῦ (ΜΗ-ΟΔ). ἐξ αὐτοῦ δὲ παραλαβὼν καὶ ὁ ἀβᾶς Migne, ἐπ' ὀνόματι ὁμοίως τοῦ Εὐσταθίου ἐδημοσίευσεν ἐν Patrologia Graeca CXXXVI, σ. 1317-1334. Αἱ ἐπιστολαὶ αὗται διευθύνονται πρὸς γνωστοὺς ὡς ἐπὶ τὸ πλεῖστον φίλους καὶ συγχρόνους τοῦ Ψελλοῦ, ἤτοι αἱ μὲν πέντε πρὸς τὸν καί-

σαρχ Ἰωάννην τὸν Δούκαν (48, 49, 50, 51, 74), μία πρὸς τὸν πατριάρχην Κωνσταντῖνον τὸν Λειχούδην (63), ἑτέρα πρὸς τὸν κριτὴν Θρᾴκης καὶ Μακεδονίας Πόθον τὸν μάγιστρον (68), αἱ δὲ λοιπαὶ 18 πρὸς διαφόρους ἀνωνύμους (52 - 59; 62, 64, 67, 69 - 73). Ἐν μέσῳ τῶν τελευταίων ἐπιστολῶν 73 καὶ 74 παρεντίθεται καὶ ἐγκώμιον εἰς τὸν Βιθυνικὸν Ὄλυμπον, ποιηθὲν κατὰ πᾶσαν πιθανότητα ὑπὸ Ψελλοῦ ὅτε ἐξελέξατο τὸ ὄρος τοῦτο ὡς προσωρινὸν ἀσκητήριον].

146 φ. 258. Τοῦ αὐτοῦ [Ψελλοῦ], εἰς τό, ἀκολουθήσατε αὐτῷ καὶ τῷ οἰκοδεσπότῃ εἴπατε. Ἀρχ. Πολλοῖς πολλάκις ἐζήτηται τὸ τοῦ οἰκοδεσπότου ὄνομα ὑφ' ὃν ὁ Χριστὸς δύο τῶν μαθητῶν.

147 φ. 258*. Ὁ Πατὴρ οὐσίας ἢ ἐνεργείας ὄνομα; Ἀρχ. Πρὸς ἕτερον αὖθις πρόβλημα τῶν τοῦ Εὐνομίου ὁ πατὴρ διαμάχεται.

148 φ. 259*. Εἰς τό, ἐὰν δὲ λεγόντων ἡμῶν. Ἀρχ. Ἐὰν δὲ λεγόντων ἡμῶν, φησὶν ὁ πατήρ, ὅτι τῷ αἰτίῳ μείζων ὁ πατὴρ τοῦ υἱοῦ.

149 φ. 261. Εἰς τό, γινώσκοντες καλῶς τὸν ποιμένα καὶ γινωσκόμενον. Ἀρχ. Τὴν ἐργασίαν ἐνταῦθα τοῦ παραδείγματος κατὰ τὸ εὐαγγελικὸν ῥητὸν πρὸς ὃ ἐβούλετο.

150 φ. 262. Εἰς τὸ ἀποστολικὸν ῥητὸν τό, πᾶν ἁμάρτημα ὃ ἂν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστι. Ἀρχ. Καὶ μὴν καὶ τἆλλα τῶν ἁμαρτημάτων σώματος δεῖται ὥςτε προχωρῆσαι τὴν δύναμιν αὐτῶν εἰς ἐνέργειαν.

151 φ. 262*. Εἰς τὸ ῥητὸν τῆς πρώτης ὁμιλίας τῆς Ἑξαημέρου τοῦ μεγάλου Βασιλείου τὸ λέγον, Διὰ τοῦτο οἱ μέν, ἐπὶ τὰς ὑλικὰς ὑποθέσεις κατέφυγον, τοῖς τοῦ κόσμου στοιχείοις τὴν αἰτίαν τοῦ παντὸς ἀναθέντες, οἱ δέ, ἄτομα καὶ ἀμερῆ σώματα καὶ ὄγκους καὶ πόρους συνέχειν τὴν φύσιν τῶν ὁρατῶν ἐφαντάσθησαν. Ἀρχ. Ἱκανῶς ἐννεάσας τοῖς ἐκ τοῦ περιπάτου δόγμασιν ὁ μέγας Βασίλειος.

152 φ. 263*. Εἰς τὸ παροιμιακὸν ῥητόν, τό, ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλοις ἑπτά. Ἀρχ. Ἔγραψε μὲν ὁ Σολομῶν κατὰ τὴν ἐν τοῖς βασιλείοις εὑρισκομένην ῥῆσιν.

153 φ. 264*. Τὰ λειπόμενα τῆς προηγησαμένης ἐξηγήσεως. Ἀρχ. Κατὰ τὴν τοῦ Σολομῶντος ἐν παροιμίαις παραίνεσιν [μόνον ἡ ἀρχὴ εὕρηται].

154 φ. 265. Τὸ τέλος ἑτέρου λόγου.

155 φ. 265*. — Εἰς τό, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ Ἀρχ. Σολομῶν μὲν ὁ σοφώτατος, τό, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ.

156 φ. 266. Εἰς τὸ τροπάριον τοῦ κανόνος τῆς Μεταμορφώσεως ἐκ τῆς πέμπτης ᾠδῆς. Ἀρχ. Τὸ ἀρχέτυπόν σού φησι τὸ τῆς Δαμασκοῦ κάλλιστον θρέμμα Ἰωάννης ὁ μελῳδός.

157 φ. 267. Εἰς τό, ὡς ἄνθρωπος ὑπάρχω, οὐσία, οὐ φαντασία, οὕτω θεὸς τῷ τρόπῳ τῆς ἀντιδόσεως ἡ φύσις ἡ ἑνωθεῖσά μοι. Χριστὸν ἕνα διό με γνῶτε, τὰ ἐξ ὧν ἐν οἷς ἅπερ πέφυκα σώζοντα. Ἀρχ. Πρὸ τῆς κατὰ μέρος τοῦ, ὡς ἄνθρωπος, ὑπάρχω, ζητήσεώς τε καὶ ἐξηγήσεως.

158 φ. 268. Εἰς τὸ αὐτὸ διὰ στίχων ἰαμβικῶν. Ἀρχ. Ὥσπερ βροτὸς πέφυκα καὶ θεὸς πέλω.

159 φ. 268*. Τοῦ αὐτοῦ, εἰς τό, Κύριε ἐλέησον. Ἀρχ. Δοκεῖ τισιν ἁπλοῦν εἶναι καὶ ταῖς προχείροις ἡμῶν ἐννοίαις.

160 φ. 269. Τοῦ αὐτοῦ· εἰς τό, σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Ἀρχ. Σοί φησιν ὁ Δαυὶδ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, πρὸς τὸν θεὸν τοὺς ἱλαστηρίους ποιούμενος.

161 φ. 270*. Τοῦ αὐτοῦ, εἰς τό, εὐαγγελικόν, Μαρία, στραφεῖσα ἐκείνη λέγει αὐτῷ. Ἀρχ. Ὅπερ τοῖς ἀποστόλοις ἦν ὁ Θωμᾶς, ἀμφιρρεπὴς τὴν διάνοιαν, καὶ κατὰ τοῦτο μᾶλλον δίδυμος καὶ ὢν καὶ καλούμενος.

162 φ. 271. Εἰς τὸ θεολογικόν, τό, ταῦτα τοῖς αἰνιγματισταῖς παρ' ἡμῶν. Ἄρχ. Λύσας ἱκανῶς ὁ μέγας οὗτος πατὴρ τὰς τῶν ἐριστικῶν ἀντιθέσεις, ἃς κατὰ τῆς ἐκκλησίας μεμελετήκασι.

163 φ. 272. Περὶ αἰῶνος καὶ χρόνου. Ἄρχ. Ὁ ἡμεδαπὸς θεολόγος Γρηγόριος τὸν αἰῶνα ὅ, τί ποτε ἐστιν ὁριζόμενος.

164 φ. 273. [Εἰς τὰς ἐρωτήσεις, τίς ὁ ἐπενδύτης ὃν ὁ κορυφαῖος περιζωσάμενος Πέτρος ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν, καί, τίνες αἱ ἀκρίδες καὶ τὸ ἄγριον μέλι ὅπερ ἡ πρόδρομος τοῦ Λόγου φωνὴ ἀποχρῶσαν ἐκέκτητο δίαιταν, καί, τίς ὁ ἐπικείμενος ἄρτος τῇ ἀνθρακιᾷ]. Ἄρχ. Τρία ταῦτα εἰώθασιν ὁ πολὺς ὅμιλος ἐρωτᾷν, τίς ὁ ἐπενδύτης.

165 φ. 273*. Εἰς τό, ἐπλήγη ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου. Ἄρχ. Εἰ φαμὲν τρέφεσθαι τὴν ψυχὴν καὶ αὐξάνειν καὶ θεωριῶν κρειττόνων ἐμπίπλασθαι.

166 — Εἰς τὸ θεολογικὸν ῥητὸν ὅτι, δέον τὰ ἐναντία τῷ ἐναντίῳ καρποῦσθαι. Ἄρχ. Κἀμὲ πολλάκις ἔθραττε τὸ θεολογικὸν τοῦτο ῥητὸν περὶ οὗ συνετῶς.

167 φ. 274*. Ἐκ τοῦ περὶ υἱοῦ· εἰς τό, διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη. Ἄρχ. Οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς, ὦ φίλτατοι παῖδες, οὓς διὰ τῆς φιλοσοφίας ὠδίνησα, ὅ, τί ποτε πέπονθα.

168 φ. 275*. Ἐκ τοῦ αὐτοῦ λόγου. Ἄρχ. Ἴσως ὁ μὲν Πλάτων ἀσυκοφάντητος ἰδίαις ἐννοίαις ἁρμόζων τὸν περὶ τῆς ὑπερχύσεως λόγον.

169 φ. 276. Ἐκ τοῦ αὐτοῦ λόγου. Πῶς οὐ συνάναρχα εἰ συναΐδια; Ἄρχ. Πῶς οὖν εἰ συνάναρχα, οὐ συναΐδια; ἤρετό τις ὑμῶν.

170 φ. 277. Ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ υἱοῦ· εἰς τρεῖς αἱ ἀνωτάτω τάξεις (γρ. δόξαι) περὶ θεοῦ. Ἄρχ. Τρεῖς τὰς ἀνωτάτω δόξας περὶ θεοῦ φάμενος ὁ πατήρ.

171 φ. 278. Εἰς τό, ἀλλ' εἰ ταὐτὸν τῷ πατρὶ ὁ υἱὸς κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ πατήρ, ἔσται τοῦτο καὶ ὁ υἱός. Ἀρχ. Ἀλλ' εἰ ταὐτὸν τῷ πατρὶ ὁ υἱός, φησί.

172 φ. 279. Εἰς τό, τρισσὴν γέννησιν οἶδεν ὁ λόγος. Ἀρχ. Οὐδὲν καινὸν εἰ διαποροῦσιν ἡμῖν συμβέβηκε περὶ τοῦ θεολογικοῦ ῥητοῦ.

173 φ. 280. Εἰς τό, ὄψει τὰ ὀπίσθια. Ἀρχ. Τὴν μὲν οἰκονομίαν δι' ἣν οὐ τὸν Μωϋσῆν μόνον, ἢ τὸν δεῖνα στρατηγόν.

174 φ. 281. Εἰς τό, εἶδον ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων. Ἀρχ. Τὴν μὲν οἰκονομίαν δι' ἣν ὁ μακάριος Παῦλος τῆς οἰκείας ἀποκαλύψεως τὸ μυστήριον.

175 φ. 282*. Εἰς τό, ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας. Ἀρχ. Πρὸς τὸν Ναθαναὴλ τεθαυμακότα ὅτι περ αὐτῷ εἰρήκει ὁ Κύριος.

176 φ. 283*. Εἰς τό, οἱ μὲν ἄνθρωποι τρεπτοί, οἱ δὲ δαίμονες ἄτρεπτοι. Ἀρχ. Τοῖς μεγάλοις καὶ τοῦτο συνηρίθμηται ζητήμασί τε καὶ δόγμασι.

177 φ. 284*. Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος. Ἀρχ. Ὃ μεμάθηκα, ἀλλ' οὐχ ὃ πέπονθα ἐπηγγειλάμην διδάσκειν ὑμᾶς.

178 φ. 285*. Εἰς τό, ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. Ἀρχ. Ὅσοι, φησὶν ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, καὶ ὅσοι ἐννόμως ἥμαρτον, διὰ νόμου κριθήσονται· εἶτα ζητεῖτε.

179 φ. 286. Εἰς τὸ ῥητὸν τοῦ Ἰώβ, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐνώπιον τοῦ Κυρίου, καὶ ὁ διάβολος σὺν αὐτοῖς. Ἀρχ. Οὐκ ἐβουλόμην τοῦτο μόνον διαλύσασθαι τὸ ἀπόρημα, διότι φάραγγες αὐτῷ.

180 φ. 287*. Εἰς τό, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐν ἡμῖν, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

νον. Ἄρχ. Πεφιλοσόφηται τοῦτο θαυμασίως τῷ θείῳ Δαυῒδ νῦν μὲν πληθυντικῶς εἰρηκότι.

181 φ. 288. Εἰς τό, ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Ἄρχ. Εἴτε πνεῦμα βούλοιτό τις τὴν ψυχὴν ὀνομάζειν, εἴτε τὸ ἐξ ἀέρος εἰσπνεόμενον.

182 φ. 288*. Ἐξήγησις σύντομος κατὰ ἀλληγορίαν τοῦ νθ' ψαλμοῦ. Ἄρχ. Εὐεπιχείρητος πρὸς ἀλληγορίαν ἣν ἐζήτησας ἐπιγραφὴν τοῦ πεντηκοστοῦ ἐνάτου ψαλμοῦ.

183 φ. 289. Εἰς τὰ ζητούμενα τοῦ ἑξηκοστοῦ ἑβδόμου ψαλμοῦ. Ἄρχ. Τί μοι τάδε, ἢ τάδε τοῦ παρόντος ψαλμοῦ; ξύμπας οὗτος οὐδέν τι τῶν αἰνιγμάτων ἀπέοικε.

184 φ. 290. Ἑτέρα ἐπίλυσις ψαλμικῆς ῥήσεως. Ἄρχ. Ὃ δοκεῖς ἀκατάλληλον καὶ ἀνακόλουθον εἶναι παρὰ τῷ ἑβδομηκοστῷ ψαλμῷ ῥητόν.

185 — Λύσις προφητικοῦ λόγου, ἐκ τοῦ Ἡσαΐου. Ἄρχ. Ἐκ μέρους ἠρώτηκας τὸν τῆς προφητείας χρησμόν, δεῖ δὲ ὅλην εἰπεῖν τὴν περικοπήν.

186 φ. 291*. Ἑτέρα λύσις προφητικῆς ῥήσεως. Ἄρχ. Ἀσαφέστατον μὲν καὶ τοῦτο παντάπασιν ὅπερ ἠρώτησας τοῦ προφήτου Ἡσαΐου ῥητόν.

187 φ. 292. Εἰς τὸ θεολογικὸν ρητόν, τὸ ὥς περ στέφανος δόξης οὕτω καὶ στέφανος ὕβρεως. Ἄρχ. Οὐκ ἔστι τῆς τοῦ θεολόγου Γρηγορίου γλώττης πρώτης, ὅπερ ἠρώτησας.

188 — Εἰς τὸ δρέπανον ὃ τεθέαται Ζαχαρίας πετόμενον. Ἄρχ. Τὸ δρέπανον ὃ τεθέαται Ζαχαρίας πετόμενον, τὸ δεκάπηχυ τὸ πλάτος.

189 φ. 292*. Περί τινων γραφικῶν ῥήσεων ἐναντίως ἔχειν ὑπειλημμένων. Ἄρχ. Οὐ χρή σε θαυμάζειν εἰ τὸ αὐτὸ διαφόροις καὶ ἐναντίοις δηλοῦται ὀνόμασιν.

190 φ. 293. Τῶν εἰς τὸ ἅγιον Πάσχα ἀλληγορουμένων κρυφίως

τῷ θεολόγῳ Γρηγορίῳ ἐξήγησις. Ἄρχ. Ὁ μὲν μέγας πατὴρ Γρηγόριος ὁ τῆς θεολογίας φωστὴρ τοῖς εὐαγγελικοῖς ἑπόμενος ῥήμασι.

191 φ. 293*. Ἐκ τοῦ περὶ υἱοῦ λόγου· τό, καὶ πολλούς, ὃ φρίττω λέγων, Χριστοὺς ἀνθ' ἑνὸς ἡ μετὰ θάρσους θερμότης πεποίηκεν. Ἄρχ. Κατατρέχων οὗτος ὁ μέγας πατὴρ τῆς θερμῆς μετὰ θράσους φύσεως.

192 φ. 294. Εἰς τὸ θεολογικὸν ῥητόν, τό, ὁ μὲν χαλκοῦς ὄφις. Ἄρχ. Δοκεῖ πως ὁ μέγας οὗτος πατὴρ ἐναντία τῷ νόμῳ καὶ τῷ Μωϋσῇ φθέγγεσθαι.

193 φ. 295. Εἰς τό, τὰ μὲν δὴ σωματικὰ τοῦ Χριστοῦ. Ἄρχ. Εἰπὼν ὁ μέγας οὗτος ἀνὴρ ὅτι, τὰ μὲν δὴ σωματικὰ τοῦ Χριστοῦ τέλος ἔχει.

194 φ. 295*. [Εἰς τὸ θεολογικόν, τί φήσω πρὸς τοὺς τὴν Ἀστάρτην προσκυνοῦντας]; Ἄρχ. Τί φήσω, φησὶν ὁ μέγας, πρὸς τοὺς τὴν Ἀστάρτην προσκυνοῦντας, ἢ τὸ Χαμὼς βδέλυγμα Σιδωνίων.

195 φ. 296. [Τί σημαίνει τὸ πρωτότοκος]; Ἄρχ. Ὑμεῖς μὲν τὸ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς ἠρωτήκατε, ὅ, τί ποτε σημαίνει τοὔνομα πολυπραγμονοῦντες.

196 φ. 297. Ἐκ τοῦ περὶ θεολογίας λόγου· εἰς τό, τί ποτέ ἐστι τὸ θεῖον; Ἄρχ. Ἡ διαλεκτικὴ οὐχ ὡρισμένα τινὰ ἔχει, ὥςπερ αἱ λοιπαὶ ἐπιστῆμαι.

197 φ. 298. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, εἰ δὲ ἄϋλον φήσομεν. Ἄρχ. Καὶ πάλιν ὁ μὲν περὶ τοῦ ἀσωμάτου λόγος ἀναμεινάτω.

198 φ. 298*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, πῶς δὲ οὐκ ἐν τόπῳ πάντως φησί. Ἄρχ. Πῶς δὲ οὐκ ἐν τόπῳ φησὶν εἴγε φερόμενον· οὐκ οἶδα μὲν ὡς τί τοῦτο εἰρηκὼς ὁ πατήρ.

199 φ. 299. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, ἐπεὶ γὰρ φησιν οὐ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σῶμα ὁ θεός. Ἀρχ. Πρὸς τὸν αὐχοῦντα διαλεκτικαῖς μεθόδοις τὸν θεὸν κατειληφέναι οἴεσθαι.

200 φ. 300, Ἐκ τοῦ περὶ υἱοῦ πρώτου λόγου· εἰς τό, ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ. Ἀρχ. Θρυλλούμενόν ἐστιν ἀνὰ τὰς ἁπάντων γλώσσας τουτὶ τὸ ἐρώτημα.

201 φ. 300*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, τοῦ δὲ νῦν ἐγὼ ψεύδομαι, δὸς τὸ ἕτερον. Ἀρχ. Πρὸς τὸν εἰρηκότα τὸ διλήμματον ἐκεῖνο, μᾶλλον δὲ ἀσεβές τι πρόβλημα.

202 φ. 301*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, ἓν ἔτι μοι λύσον τῶν αἰνιγμάτων. Ἀρχ. Οὕτω μέν φησι πρὸς τὸν ἀντίδοξον ὁ πατήρ· σὺ δὲ αἰνίγματα οἴου.

203 φ. 302. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, τίς οὐσία θεοῦ. Ἀρχ. Ταῖς λογικαῖς τοῦ μεγάλου πατρὸς λύσεσιν, ἃς δὴ πρὸς τὰς ἐπαγωγὰς τῶν διαπορήσεων.

204 φ. 302*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, τίς ἔτι λόγος αὐτοῖς τῶν ἀφύκτων. Ἀρχ. Ὁ μέγας πατὴρ τοῦτο προτείνεται προστιθείς· τάχα δ' ἂν ἐπ' ἐκεῖνο καταφύγοι εντελευταῖον.

205 φ. 303*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, ὁ μὲν ἡμέτερος λόγος ὥς περ ἵππου καὶ βοός. Ἀρχ. Εἶτα πῶς οὐκ ἐσκότωνται οἱ μὴ τὸν τοῦ πατρὸς λόγον κυρίως θεὸν ὀνομάζοντες [Ὁ αὐτὸς λόγος καὶ ἐν φύλλῳ 26*, ὑπ' ἀριθμὸν 37].

206 φ. 304. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, ἔστω δὲ ὑμῶν χάριν καὶ οὐσία τις ὁ πατήρ. Ἀρχ. Φιλοσόφως ἄγαν ὁ μέγας οὗτος πατὴρ τὴν ἀμφίβολον τοῦ Εὐνομίου ἀνασκευάσας ἐρώτησιν.

207 φ. 304*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, οὗτος ὁ νῦν καταφρονούμενος ἦν ὅτε καὶ ὑπὲρ σὲ ἦν. Ἀρχ. Ἐπειδὴ ὡς περὶ ψιλοῦ ἀνθρώπου ὁ Εὐνόμιος διελέγετο τοῦ Χριστοῦ.

208 φ. 306. Ἐκ τοῦ τῆς Πεντηκοστῆς λόγου· εἰς τό, ἔστι διαφορὰ χαρισμάτων. Ἀρχ. Ἠρωτήκατε τίς ἡ τῶν χαρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σμάτων διαφορά, καὶ πῶς τὰ μέν, ἑτέρων δεῖται πρὸς διάκρισιν.

209 φ. 306*. Ἐκ τοῦ, ἔμελλεν ἄρα· εἰς τό, καὶ εἰ τὸ πάντα ἐν πᾶσι κεῖσθαι. Ἀρχ. Εἰ καὶ πόρρω τοῦ καιροῦ τὸ ἐρώτημα, καὶ μὴ μετὰ τῆς ἀκριβείας τοῦ δόγματος καὶ τὸ εὔκαιρον ἔχον.

210 φ. 307. Εἰς τό, ἣ βούλεται μοῖραν ἡμᾶς ὄντας θεοῦ. Ἀρχ. Ἀλλὰ πῶς ἡμεῖς μοῖρα θεοῦ; ἤρετό τις τῶν συνειλεγμένων ἐνταῦθα τὸ θεολογικὸν ῥητὸν προβαλλόμενος.

211 φ. 307*. Εἰς τό, τοσοῦτον διὰ σὲ ἄνθρωπος, ὅσον γίνῃ σὺ δι' ἐκεῖνον θεός. Ἀρχ. Περὶ τῆς θείας ἐνανθρωπήσεως ὁ λόγος.

212 — Εἰς τό, θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος. Ἀρχ. Επειδὴ καὶ ὁ μέγας οὗτος ἐτόλμησε πατὴρ τῶν ἀνεφίκτων ἐφάψασθαι.

213 φ. 308*. Εἰς τό, θεὸν σταυρούμενον βλέπειν. Ἀρχ. Τοιοῦτόν ἐστιν, ὦ φίλτατοι παῖδες, τὸ μὴ θείοις λόγοις προσομιλεῖν.

214 φ. 309. Ἐκ τοῦ, πάλιν Ἰησοῦς ὁ ἐμός· εἰς τό, δεινὸν γὰρ ἦν ὡς παιδίον κλαυθμυρίζεσθαι. Ἀρχ. Δέον ἐστὶν ὡς ἀληθῶς καὶ ὑμᾶς παιδίων δίκην πρὸς τὸν διδάσκαλον κλαυθμυρίζεσθαι.

215 φ 309*. Ἐκ τοῦ, ἥττημαι καὶ τὴν ἧτταν ὁμολογῶ. Εἰς τό, μὴ φαινώμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι. Ἀρχ. Κακός ἐστι ζωγράφος τῆς ἀρετῆς ὁ μὴ ἐξεικονίζων ταύτην ἐν τῇ ψυχῇ.

216 φ. 310. Εἰς τό, οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας. Ἀρχ. Τὰ περὶ τῶν προσώπων ἄριστα θεολογήσας ἡμῖν ὁ μέγας οὗτος πατήρ.

217 φ. 310*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, καινοτομοῦνται φύσεις. Ἀρχ. Ὑμεῖς τὸ καινοτομοῦνται φύσεις ἀκούσαντες, τίς ἡ καινοτομία τῆς φύσεως ἠρωτήκατε.

218 φ. 311*. Ἐκ τοῦ εἰς τὰ Φῶτα δευτέρου λόγου· εἰς τό, οἶδα καὶ πῦρ οὐ καθαρτήριον, ἀλλὰ κολαστήριον. Ἀρχ. Ὥσπερ εἰσι παρὰ τῷ Σολομῶντι, εἴτε τῷ τοῦ Δαυῒδ προσεχῶς υἱῷ.

219 φ. 312*. Ἐκ τοῦ αὐτοῦ λόγου· εἰς τό, θέλω τὸν πατέρα μείζω εἰπεῖν. Ἀρχ. Ταῦτα μὲν ἃ βούλεται μὲν εἰπεῖν ὁ μακάριος, ὀκνεῖ δὲ διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν.

220 φ. 313. Εἰς τό, περιεπάτει ὁ θεὸς τὸ δειλινὸν ἐν τῷ παραδείσῳ. Ἀρχ. Εἰκὸς τί μοι πεποιηκέναι δοκεῖ καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης.

221 φ. 314. Εἰ μνημονεύουσιν αἱ ψυχαὶ τῶν σωμάτων ἀπορραγεῖσαι. Ἀρχ. Πολλοῖς τοῦτο οἶδα ἐρωτηθὲν καὶ τῶν ἐπὶ τῆς ἐμῆς ἡλικίας καὶ οὓς ὁ χρόνος προέλαβεν.

222 —Ὅτι οὐκ ἔστιν ὁ νοῦς ὀφθαλμὸς τῆς ψυχῆς. Ἀρχ. Τοῦτο δὴ τὸ ἐρώτημα νῦν μὲν σὺ πεποίηκας πρόβλημα.

223 φ. 314*. Εἰς τὰ ὑποκείμενα ῥητὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ. Ἀρχ. Ἀνέβη φησί, καπνὸς ἐν ὀργῇ αὐτοῦ καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεχθήσεται.

224 φ. 315*. Εἰς τό, ἐπλήσθησαν οἱ ἀπόστολοι πνεύματος ἁγίου καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἀρχ. Πολλοὶ τὸ ἐναντίον οὗ περὶ τῶν πυρίνων γλωσσῶν ἡ θεολόγος φωνὴ διηρμήνευκε θαυμάσιον ἥγηνται.

225 φ. 317. Τοῦ ὑπερτίμου καὶ ὑπάτου τῶν φιλοσόφων κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ ἀπόδειξις ἀπὸ διαφόρων λόγων τῆς τοῦ Κυρίου ἐνσωματώσεως· ἐστάλη πρὸς τὸν σουλτάνον ἀπὸ τοῦ βασιλέως. Ἀρχ. Ἐν πολλοῖς μὲν καὶ ἄλλοις μεγαλοδοξότατε φίλε, κατανενόηκά σου τῆς ψυχῆς τὴν εὐγένειαν [Ἀτελὴς ἐν πολλοῖς διὰ τὴν διαφθορὰν τοῦ χειρογράφου, καὶ ἐλλειπὴς τὸ τέλος].

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

## ΙΣΤΟΡΙΚΑ ΑΝΕΚΔΟΤΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

## Λόγοι ἐπιτάφιοι, Ἐγκώμια, καὶ ἕτερα.

---

## Α.

| Τοῦ αὐτοῦ. Ἐγκώμιον εἰς τὴν μητέρα αὐτοῦ. φ. 74.

Τῇ μητρὶ τὸ ἐγκώμιον, ἀλλ᾽ οὐχ ὡς τεκούσῃ τὸν λόγον καταχαρίζομαι, οὐδὲ τὴν εὐφημίαν πεφιλοτίμημαι· ἀλλὰ καὶ τῇ φύσει τὸ δίκαιον ἀποδίδωμι ὄφλημα, καὶ τῇ ἀρετῇ τὴν πρέπουσαν εἰσάγω συνεισφοράν, οὐχὶ διαιρῶν ἑκάτερα, ἀλλ᾽ οὕτω τυχὸν διὰ μιᾶς ὑποθέσεως, τὸ εἰκὸς ἀμφοῖν ἐπιμεριζόμενος· εἰ γὰρ καὶ διῃρημένον ἑκάτερον τοὺς ἐπαινέτας λόγους ἐφέλκεται, ἐκεῖνο μὲν διὰ τὸ ἀναγκαῖον τῆς φύσεως, τοῦτο δὲ διὰ τὸ τῆς οὐσίας ἀξίωμα, πῶς οὐ δεῖ συμπλακεῖσιν ἀλλήλοις, καὶ γενομένοις παρ᾽ ἑκατέρων καλλίοσι, καὶ τοὺς ἐκ τῶν λόγων ἐπαίνους μετὰ τοῦ κρείττονος συνεισενεγκεῖν σχήματος; οἷς γὰρ παρ᾽ ἑαυτῶν ἐν μεγέθει τὸ ἀγαθόν, τούτοις καὶ παρὰ τῶν εὐδοκιμούντων ἐν λόγοις λαμπροτέραν δεῖ προσεῖναι τὴν εὐφημίαν, καὶ τόσῳ μᾶλλον, ὅσῳ περ καὶ ὁ τὸν λόγον ἐξεργαζόμενος οὐκ ἀλλοτρίᾳ χρῆται τῇ πείρᾳ, ἀλλ᾽ οἰκείᾳ καὶ συγγενεῖ, ὅπερ καὶ ἡμῖν συμβέβηκεν εὖ ποιοῦν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὐ γὰρ δεῖ τοὺς μὲν ἀλλοτρίους καὶ πόρρω τοῦ γένους ἐγκωμιάζειν θαρρούντως, λαμπρὰς ἀφορμὰς τοῖς ἐγκωμίοις παρεσχηκότας, κατολιγωρεῖν δὲ τῶν οἰκειοτάτων, καὶ διὰ τοὺς ἔξωθεν ὑποπτεύοντας ἀποστερεῖν ἐκείνων τὴν προσήκουσαν τῆς εὐφημίας ἀξίωσιν, ἵν' οὕτως ἡ ἀλλοτρίωσις νικῴη τὴν οἰκειότητα, καὶ πλέον ἔχῃ τὸ ξένον τοῦ συγγενοῦς· καλοῦ γὰρ ὁμολογηθέντος πατράσι τε καὶ μητράσι καὶ τοῖς ἄλλως οἰκειοτάτοις χάριν ἐκτίνειν ὁπόση δυνατή, πῶς ἀναλυτέον ἡμῖν τὴν τοιαύτην ὁμολογίαν, ἐν μὲν τοῖς ἄλλοις ἴσως τὰς συνθήκας φυλάττουσιν, ἐν δὲ τοῖς καιρίοις ἐλλείπουσι, καὶ ζῶσι μὲν ἐκείνοις παρέχουσι τὰς εὐλόγους συνεισφοράς, ἀποθανοῦσι δὲ τῆς ὁσίας καταμελοῦσι καὶ τὸν κοσμοῦντα λόγον ἀφαιροῦσι, μόνον ἐκείνοις καταλελειμμένον πρὸς ἑτέραν ζωὴν μεταλλάξασιν;

Ἔπειτα τοῦτον μὲν φοβητέον τὸν φόβον ἐκείνοις οἷς ἐς τοὺς ἄνω τοῦ γένους πεποίηται τὰ ἐγκώμια, ὧν ἴσως τὰς ἀρετὰς οὐκ ἴσασιν οἱ τῶν λόγων ἀκροαταί, ἀλλὰ νῦν πρῶτον ἀκούουσι τῆς εὐφημίας, ὁμοῦ μὲν ἱστορούσης, ὁμοῦ δὲ καὶ κοσμούσης·
φ. 74ᵛ. ἐγὼ δὲ κἀνταῦθα τεθάρρηκα | ἐν εἰδόσι τῇ μητρὶ τὸν λόγον διδούς, καὶ ὧν πολλοὶ μάρτυρες ταῦτα ἐκείνῃ ἀνατιθείς· ἅμα δὲ καὶ ἀδικοίην ἂν τὴν μητέρα ἐλλείπων τοῦτον τὸν ἔρανον, ἐξ ἐκείνης μὲν τοὺς λόγους λαβών, ὡς προϊόντες ἐροῦμεν, καὶ μηδὲ βραχύ τι μέρος τοῦ χρέους ἀποπληρῶν. Οὐ τοίνυν τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, μή τις ἡμᾶς ὑποπτεύσειε ψεύδεσθαι τὰ πλείω τῶν ἐγκωμίων, ἀλλὰ μὴ πολλοὶ καταγνοῖεν τῆς ἀτελοῦς τῶν λόγων δυνάμεως, ὁρμήσαντας μὲν τὸ ἐγγενὲς χρέος τῇ μητρὶ διαλύσασθαι, ἐλάττους δὲ ὀφθέντας τῆς προθυμίας, καὶ διδόντας οὐχ ὅσον δέον διδόναι, ἀλλ' ὅσον ἡμεῖς βεβουλήμεθα ἢ δεδυνήμεθα. Καὶ ἀπώκνησα ἂν τὴν ἐγχείρησιν, εἰ μὴ καὶ τοῦτο τῇ μητρὶ ὑπόληψιν ἐδίδου μείζονος ἀρετῆς, κρείττονι φανείσῃ τῆς ἡμετέρας βουλήσεως καὶ δυνάμεως.

Ἐπεὶ οὖν ἐκ πάντων ἡμῖν ὁ πρὸς ἐκείνην λόγος ἀσφαλέστατος

ἀπεδείχθη καὶ πρεπωδέστατος, ἀρκτέον τῶν ἐγκωμίων· σὺ δέ μοι ἵλαθι μῆτερ, εἰ μή σοι τῇ ἀρετῇ ἐξισώσω τὴν εὐφημίαν, οὐ γὰρ τοῦτο ποιεῖν ἐπιβέβλημαι, ἀλλ' ὥς τε παρασκευάσαι τοῖς ἀγνοοῦσι τὴν εἰκόνα τῶν σῶν ἀρετῶν· οἱ γὰρ εἰδότες, οὐ τῷ λόγῳ προσέξουσιν, ἀλλὰ τῇ ἀληθείᾳ προσμαρτυρήσουσι· τοῖς δέ γε μεθ' ἡμᾶς τοσοῦτον προδιαστέλλομαι, ὅτι οὐ τῷ σῷ μέτρῳ καὶ τῇ σῇ τοῦ καλοῦ δυνάμει, τῷ δέ γε τῆς ἐμῆς προθυμίας ὁ λόγος παραμεμέτρηται.

Τῇ ἐμῇ τοίνυν μητρὶ ἄνωθεν καὶ παρὰ τοῦ γένους κατὰ κλῆρον ὥσπερ προῆλθεν ἡ ἀρετή, ἐκ τῆς ἀμφοῖν τῶν γεννησαμένων συζυγίας ὥσπερ ἐκ δυοῖν ποταμῶν εἰς μίαν συρρεύσασα θάλασσαν· τοσοῦτον γὰρ ἐκείνῃ δίδωμι πρὸς τοὺς ἀρχηγέτας τῆς φύσεως· φροντὶς γὰρ ἐκείνοις οὐ περιφανεστέρας ζωῆς καὶ λαμπροτέρας διαγωγῆς, λέγω δὲ περιφάνειαν καὶ λαμπρότητα ἅπερ οἱ πολλοὶ οὕτω κατονομάζουσι τάχα καὶ διὰ τὴν πλάνην οἰόμενοι· οἱ γὰρ κρείττους ἐφ' ἕτερα μεταφέρειν εἰώθασι τὰ ὀνόματα, οἷς οὐκ ἐπικέχρωσται τὸ περιφανὲς καὶ λαμπρόν, οὐδ' ἔξωθεν ταῦτα ἐφάπτεται, ἀλλὰ κάτωθεν καὶ ἀφ' ἑαυτῶν ἡ τῆς λαμπρότητος ἀναβλύζει πηγή· οὔκουν ἐκείνοις λόγος τῶν ἐπαινετῶν μέχρις ὀνόματος, ἀλλ' ἐκ τῶν ἀντιθέτων τούτοις ἐκοσμοῦντο καὶ κατελάμποντο· ᾔδεισαν δὲ μόνον ἀλλήλους ἀμφότεροι, καὶ δι' ἑκατέρων ὡς οἰκειοτάτων παραδειγμάτων πρὸς τὸ καλὸν ἐρρυθμίζοντο, μορφοῦντες ὁμοῦ καὶ μορφούμενοι, πρωτότυπά τε ὄντες ἀλλήλοις καὶ μιμήματα, τὸ θαυμασιώτατον, καὶ λαμβάνοντες μὲν ὃ διδόασι, διδόντες δὲ αὖθις τὸ λαμβανόμενον· τῇ μὲν μεγαλωνύμῳ ταύτῃ πόλει ὡς πατρίδι περιγραφόμενοι, ἀπερίγραφοι δὲ τῷ παντὶ τῷ μεγέθει πεφυκότες τῶν ἀρετῶν· ἴσοι τὸ μέτρον ἑκατέρας ζωῆς, τῆς τε ἱσταμένης καὶ λυομένης, τῆς ἑτέρας τὴν ἑτέραν εἰκονιζούσης, τῆς ἄχρι πολλοῦ προϊούσης τὴν ἀόριστον καὶ ἀπέραντον· καταταυτὸ γὰρ ὥσπερ ἐς τὴν τῇδε προεληλυθότες ζωὴν καὶ δι' ὁμοίας τῆς ἡλικίας ἐπανατείλαντες,

ἐν ταὐτῷ δὴ σχεδὸν χρόνου μέρει καὶ τὸ λαχὸν αὐτοῖς τοῦ αἰῶνος μέρος καταλελύκασι, τοσοῦτον θατέρου προδραμόντος μέρους, ὅσον θατέρῳ τὴν προσήκουσαν ἄνω ζωὴν ἑτοιμάσασθαι ἐν προσηκούσῃ παρασκευῇ.

Ἐκ τοιούτων καὶ τηλικούτων γεννητόρων ἡ ἐμὴ προελήλυθε μήτηρ, πρώτη μὲν τὰς μητρικὰς ὠδῖνας λύσασα, πρώτη δὲ καὶ τῶν πατρικῶν εὐχῶν κληρονομήσασα ὥςπερ εἰκὸς ἦν. Εἰ μὲν οὖν μὴ φιλόσοφος ἦν, τοῦ κεκρυμμένου μόνου κάλλους ἐπαινέτης καὶ ἐραστής, τὸ δὲ ἐν συμμετρίᾳ καὶ χρώμασιν οὐ πάνυ προσοικειούμενος, εἴρηκα ἂν ὁπόσον φασὶ τὸ κάλλος εὐθὺς γεννωμένῃ διὰ παντὸς διέρρει τοῦ σώματος· τὸ γὰρ ἐν ψυχῇ τέως ἀθέατον ἦν, οὔπω τῆς ἡλικίας χωρούσης τὴν δύναμιν· ὥςπερ ἔνια τῶν ἀνθέων εὐθὺς τῆς γῆς ἀνατέλλοντα βαφὴν ὅλην τοῦ κάλλους δείκνυσι, καὶ ἔστι τὸ πρώτως φανὲν τοιοῦτον, οἷον δὴ καὶ ἀκμᾶσαν ὁρᾶται, οὕτω δή μοι καὶ τῇ μητρὶ λέγουσι περικεχύσθαι τὸ κάλλος, ἐν συμμετρίᾳ μελῶν, ἐν ἄνθῃ τριχῶν, ἐν στίλψει χρωτός, καὶ εἴρηκα δ' ἂν πλείονα ὁπόσα τῆς μητρὸς ἐκείνης καὶ τοῦ πατρὸς ἤκουσα, ἐπισκιρτώντων τῷ εἴδει τῆς θυγατρός· ἐπεὶ δέ μοι πεδοῖ τὴν γλῶτταν τὸ ἐπιτήδευμα, τοῦτο μὲν ἀφήσειν μοι τὸ μέρος δοκῶ, ἐπὶ δὲ τὰ ἑξῆς τοῦ λόγου τρέψομαι· εἰ δέ που καὶ τούτῳ φανήσομαι παραχρώμενος, συγγνώμη τῷ λόγῳ, ἐντεῦθεν ὅπῃ παρήκοι, τὰ ἀναγκαιότατα διϊόντι τῆς ὑποθέσεως· εἰ δὲ μή, ἃ μηκέτι σύνοιδα ταῦτα ἐπικεχείρηκα διηγεῖ-
φ. 75. σθαι | ἅμα καὶ ἐπαινεῖν, θαυμάζειν οὐ χρή· τὰ μὲν γὰρ πλείω παρ' αὐτῆς τῆς μητρὸς διηγουμένης ἀκήκοα, τὰ δ' ἄλλα ὅσα κομψόν τι ἔχει καὶ γλαφυρὸν παρὰ τῶν προσηκόντων τῷ γένει μεμάθηκα.

Ἔφασαν οὖν ὅτι ὥςπερ τινος μεγάλου λαμπτῆρος, ἢ διαφανοῦς καὶ ἀερίου πυρσοῦ, ἢ διαφεγγοῦς φωστῆρος ἀνατολῆς ἀκτῖνές τινες καὶ διαύγειαι προεφαίνοντό τε καὶ τὴν ἐκείνης προκατήγγελλον ἀρετήν, οὐ τοῦ σωματικοῦ μόνον κάλλους τὸ τῆς ψυχῆς εἶδος ἐξεικονίζοντες, οὐδὲ τοῦ γοργοῦ ὄμματος τὸ ἕτοιμον

τοῦ ἤθους διασημαίνοντες, οὐδὲ τοῦ λευκοῦ χρώματος τὸ καθαρὸν τῆς γνώμης διατυποῦντες, οὐδὲ τῆς εὐσταθοῦς γλώττης τὸ στάσιμον, ἀλλὰ καὶ αὐτῆς τῆς ψυχῆς τοὺς οἰκείους χαρακτῆρας ἐν ἀτελεῖ ἐπιλαμπούσης τῷ σώματι, ὥςτε μὴ δὲ ἐξεῖναι τοὺς πολλοὺς διαγινώσκειν, πότερον ἡ τῆς ἡλικίας ὥρα τῶν ψυχῆς προτρέχει χαρίτων, ἢ αὗται τῆς σωματικῆς προανατέλλουσι χάριτος, ἢ σύνδρομα ἄμφω καὶ τὸ οἰκεῖον τάχος ἰσόδρομα καὶ ἰσόμετρα τὸ ἀξίωμα, ἀνταυγάζοντος θατέρου θατέρῳ, καὶ τοῦ μέν, τοὺς τῶν ἁπάντων ὀφθαλμοὺς εἰς ἑαυτὸ ἕλκοντος, τοῦ δέ, τὰς διανοίας ἐκπλήττοντος.

Τὰ μὲν γὰρ πρὸς ἱστὸν καὶ ὅσα γυναικῶν χεῖρες ὑφαίνουσιν, ἢ ὅσα γνῶμαι εὐφυεῖς ἀναπλάττουσιν, ὧν καὶ αὐτὸς πολλάκις γέγονα θεατής, οὐδεμία τῶν ἁπασῶν γυναικῶν ἐκείνῃ ἐρίσειεν, οὐδ' ἡ παρὰ τῷ Σολομῶντι ἐπὶ τούτοις μαρτυρηθεῖσα· τοσοῦτον γάρ φημι, ὅτι ἅπερ ἐκείνῃ ὁ τοῦ σοφοῦ λόγος ἀνέπλασε, ταῦτα τῇ ἐμῇ μητρὶ διπλῷ τῷ μέτρῳ προσμεμαρτύρηται· ἡ δέ, τούτων μὲν ἧττον ἐφρόντιζεν, ὅτι μὴ καὶ κατωλιγώρει τὰ πλείω· ὅτι δὲ μὴ ἄρρενα τὴν φύσιν ἔλαχε, μὴ δὲ ἐξῆν ταύτῃ ἀδεῶς λόγοις προσομιλεῖν, ἐν δεινῷ ἐποιεῖτο· ὅπου δὲ τὴν μητέρα λάθοι τὰς τῶν γραμμάτων ἀρχὰς παρά του μόνας λαβοῦσα, εἶτα δὴ ἀφ' ἑαυτῆς συνετίθει, καὶ συλλαβὰς ἐποίει καὶ λόγους, μηδὲν προσδεομένη τοῦ στοιχειώσοντος.

Ἦν δὲ καὶ τοῖς θείοις ναοῖς οὐ παρὰ τῆς μητρὸς δεδομένη, οὐδ' ὥςπερ ἄψυχον ἀνατεθειμένη ἀνάθημα, ἀλλὰ προσιοῦσα ἐκ προαιρέσεως, καὶ φθάνουσα τῆς μητρὸς τὴν ὑπόσχεσιν, καὶ οἴκοθεν λειτουργοῦσα θεῷ καὶ λατρεύουσα. Ἐντεῦθεν ἡ μέν, ἠμέλει τοῦ σώματος, τὸ δέ, οὐκ ἐδεῖτο τῆς προσποιήσεως, ἀλλ' ἦν ὥςπερ τὰ ῥόδα ἐπιθέτου κάλλους μὴ προσδεόμενον· καὶ ἦν αὐτῇ τὸ ἠμελημένον καὶ ἀσχημάτιστον, προσθήκη μᾶλλον ἀνεπιτήδευτος καὶ φυσική τις ἐπαύξησις. Καὶ τὸν μὲν ἥλιον παρασκιάζει ἀχλὺς ὑποτρέχουσα, καὶ τὴν ἀκτῖνα ἐπέχει νέφους ὑποδρομή,

ὅθεν τηνικαῦτα οὐδ' ἴσμεν ὅπη φωτίζει τοῦ οὐρανοῦ ὁ φωστήρ, ἐκείνη δὲ τὸ κάλλος οὐδὲν ἐπεκάλυπτεν, οὐδὲ ἡ ἐπιμελεστάτη τῆς ὥρας ἀμέλεια, ὅθεν ὥςπερ λαμπτῆρος φέγγος ἁπανταχῆ κατεφαίνετο, ὥςτε πάντας σχεδὸν τὸ ἐκείνης εἶδος ἢ ἰδόντας που ἵστασθαι θαμβηθέντας, ἢ ἀκούοντας καταπλήττεσθαι· ἐνίοις μέντοι γε καὶ εὐτύχημα ἄλλως ἐδόκει εἴ που ἐκείνην θεάσαιντο· λέγω δὲ οὐκ ἐραστὰς μόνον τοῦ προβεβλημένου κάλλους, ἀλλὰ καὶ ὅσοι φιλοσόφως ἀπὸ τοῦ αἰσθητοῦ καὶ ἐνταῦθα ἐπὶ τὸ νοητὸν καὶ ἀόρατον παραπέμπονται.

Ἀλλ' ὢ τῆς ἐκτροπῆς τοῦ λόγου, ὅπη με τὸ ἀναγκαῖον τῆς συνεχείας ὑφεῖλε καὶ παραξένευσεν! ὃ γὰρ ὅσον ἐπὶ τῷ λόγῳ κάλλος ἠτίμακα, τοῦτο τῇ γειναμένῃ ὥςπερ ἐσχάτην κορωνίδα προσμαρτυρῶ, οὐ τοῦτο βουλόμενος, ἀλλ' ὅτι ἐντεῦθεν αὐτῇ τὸ πρὸς βίον νεῦσαι προσγέγονε· ξυνεῖχε γὰρ ἅπαντας ἡ περὶ αὐτὴν φήμη καὶ συνεδέσμει ἄλλον ἐπ' ἄλλῳ ἐφελκομένη, καὶ πάντας κεχηνότας ἵστη, μᾶλλον δὲ ἀνηρτημένους, τοὺς μὲν πλείους τῆς ἀκοῆς, ἐνίους δὲ τῆς ὁράσεως· ἀλλὰ τί μὴ τὸ ἕτερον λέγω, καὶ ὃ μάλιστά μοι λέγειν καθήκει; οὐ γὰρ τὸ θεατὸν αὐτῆς εἶδος τοσοῦτον ὑπήγετο τοὺς πολλούς, ὅσον τὸ κεκρυμμένον τε καὶ ἀθέατον, φημὶ δὴ τῆς ψυχῆς, ὥς τε συμβαίνειν, εἰ καὶ μὴ θάτερον παρῆν, διά γε θάτερον ἐκπεπλῆχθαι τοὺς ἀκροατάς, ἢ θεατάς· λέγω δὲ διῃρημένως ὅσοι τε ἐκτὸς ὁρῶσι καὶ ὅσοι ἐς ψυχὴν παρακύπτουσιν· ἐπεὶ δ' ἄμφω ἤστην, καὶ ἑκατέρα μερὶς τῶν ἀνθρώπων παρῆν, οἵτε τὸ φαινόμενον ἀσπαζόμενοι, καὶ οἱ περιπτυσσόμενοι τὸ νοούμενον, ἀλλὰ δὴ καὶ ἡ τρίτη καὶ μέση, οἱ ἀμφοτέρων ἐχόμενοί τε καὶ ἐξεχόμενοι, πρῶτα τοίνυν ὁ ἐκείνης πατὴρ πεῖράν τινα κοινωνίας αὐτῇ προβαλόμενος, καὶ λόγους κινήσας πολλούς, ἐπεὶ μὴ πειθομένην εἶχεν, ἀφεὶς τὴν ἐκ τῶν λόγων πειθώ, ἐπὶ τὴν βίαν ἀπέκλινεν· ὡς δὲ καὶ ἀρὰν αὐτῇ προσεποιεῖτο, φθάνει τῇ κατανεύσει τὴν προσποίησιν· ἠγνοεῖτο γὰρ αὐτῇ τὸ πλάσμα, ὡς ὕστερον διεξήει τὸ δρᾶμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πολλῶν τοιγαροῦν ἐπ' αὐτὴν συντρεχόντων, ἢ προτρεχόντων, νικᾷ οὐχ ὁ μείζων τὴν τύχην, ἀλλ' ὁ πλείων τὴν ἀρετήν, λέγω δὴ τὸν ἐμὸν πατέρα, ᾧ δὴ τοῦτο ἔλλειμμα πρὸς εὐδαιμονίαν ἦν, εἰ τοιαύτης ἀπεστέρητο γυναικός, ὥςπερ δὴ πλήρωμα ταύτης τετυχηκότι.

Ἦν μὲν οὖν ὥς φασι τηνικαῦτα πρῶτος ὑπηνήτης καὶ ἀγαλματίας | τὸ εἶδος, οὐ μὴν ταύτῃ μόνον ἐκείνῃ προσόμοιος, φ. 75ʳ. ἀλλὰ καὶ ἡ τῶν ἠθῶν κοινωνία βραχὺ τὸ διάφορον ἔχουσα· καὶ ἦν ὥςπερ συνδρομὴ ψυχῶν ἐπεγνωκυιῶν ἀλλήλας διὰ μέσου τοῦ σώματος· οὕτω γοῦν συνηλθέτην ἀλλήλοιν ἐκ τῆς αὐτῆς ὁμοιότητος εἰς τὴν ἴσην ὁμόνοιαν. Ἑκάστη μὲν οὖν τῶν ἡλικιῶν οὐ παντὶ κατάλληλός ἐστι πράγματι· ἀλλ' ἡ μὲν ἀτελής, παιδιᾷ, καὶ ἡ ἀκμάζουσα, βίῳ, καὶ ἡ τελεία, κρείττοσιν ὑποθέσεσι· καὶ αὖθις, ἡ μέν τις, πρὸς τόδε μᾶλλόν ἐστιν ἐπιτήδειος, ἡ δέ, πρὸς ἕτερον· καὶ τῶν βίων διῃρημένων εἴς τε πρᾶξιν καὶ λόγον, ἡ μέν τις πρακτικωτάτη ἐστίν, ἡ δέ τις θατέρῳ προσνένευκε· τῇ δὲ ἐμῇ μητρὶ οὔτε διαίρεσιν ταῦτα ἔσχηκε, καὶ ὁμοῦ πάντα συννένευκε, καὶ ἐν ταυτῷ καιρῷ, καὶ ταῦτα ἤδη τῆς ὥρας τὸ ἄνθος ἔχοντι, ἥ τε φρόνησις παρῆν καὶ ἡ σύνεσις, ἥ τε πρὸς τὸν λόγον τάξις, καὶ ὁ πρὸς τὴν πρᾶξιν λόγος, καὶ τὸ διῃρῆσθαι πρὸς τἀναντία καὶ μὴ διῃρῆσθαι, καὶ ἑκατέρου μὲν ἔχεσθαι, δοκεῖν δὲ θατέρου, ὡς μήτε θεοῦ ἀπολελεῖφθαι ποτέ, μήτε τῆς ἀκριβοῦς οἰκουρίας· ἀλλὰ θεῷ μὲν προσιοῦσα, μᾶλλον δὲ προσοῦσα ἀεί, οὐδὲν ᾤετο δεῖν μεμνῆσθαι πραγμάτων, τούτοις δὲ οὐκ ἄλλως προσῆν ἢ μετὰ θεοῦ. Αὐτή τε γοῦν ηὐξάνετο, καὶ τὸν οἶκον ἐπηύξανε, τοῖς τε οὖσι δεξιῶς χρωμένη, καὶ τὰ οὐκ ὄντα προστιθεῖσα ἐπιμελῶς.

Τῷ τοίνυν ἐμῷ πατρί, τὸ μὲν ἄνωθεν γένος ἐς ὑπάτους ἀνῆκτο καὶ πατρικίους, τὰ δὲ κατ' ἐκεῖνον πράγματα οὐχ οὕτω δεξιῶς εἶχεν· ἀλλ' εἴ τις ὥςπερ ἐπὶ ζυγοῦ αὐτὸν μὲν ἐπὶ τῆς μιᾶς πλάστιγγος μετὰ τῆς ἐμῆς θείη μητρός, τὸ δὲ λοιπὸν

γένος ἐπὶ τῆς ἑτέρας, νικῴη δ' ἂν οὗτος παρὰ πολὺ τῷ σταθμῷ τῆς μητρὸς τἄλλα ἐκείνων ἐλλελειμμένος. Ἡ μὲν οὖν παρὰ τοῦ σοφοῦ ἐπαινουμένη γυνὴ γλίσχρως μοι δοκεῖ καὶ ἰδιωτικῶς ἧφθαι τῶν πράξεων, ὅσον ἄτρακτον μεταχειρίσασθαι, καὶ δισσὰς τῷ ἀνδρὶ χλαίνας ἐργάσασθαι, ὡς μὴ βούλεσθαι πλέον, ἢ μὴ δὲ δύνασθαι καὶ τἄλλα τοιαῦτα ποιεῖν, ἡ δὲ ἐμὴ μήτηρ μεγαλοπρεπεστέρα ἐκείνης πολλῷ, οὐκ ἄτρακτον μόνον στρέφουσα, ἀλλὰ καὶ εἴ τι ἕτερον ὄργανον μεταχειριζομένη, προσῆκον γυναικωνίτιδι. Χλαίνας δὲ τῷ ἀνδρὶ μὲν οὐκ ἐποίει, οὐ γὰρ οὕτως ἀτυχῶς εἶχεν ἐκεῖνος, ἑαυτῇ δὲ καὶ ταῖς θεραπαινίσι καὶ τῶν ἐκ γένους πολλοῖς, καὶ τῶν ἄλλως ἀτυχησάντων τοῖς πλείοσι συνεξύφαινεν, ὧν αἱ πλείους μετὰ τοῦ περιττοῦ κάλλους οὖσαι ἐτύγχανον.

Ἐπεὶ δὲ καὶ παῖδα ἔτεκε, θυγάτριον δὲ τὸ τεχθὲν ἦν οἷον οὐκ ἄλλο, εἴ τις τὴν τεκοῦσαν ἐξέλοι καὶ οὐ κόμπος ὁ λόγος· διὰ θάμβους γὰρ ἔτι τοῖς πλείοσιν ἡ ἐκείνης ὥρα, περὶ ἧς ὁ λόγος προϊὼν τρανότερον γνωριεῖ· ἐπεὶ τοιγαροῦν μήτηρ ὤφθη, καὶ ἡ ἀπαρχὴ τοῦ τόκου πρέπουσα τῷ δόντι θεῷ, ἔτι μᾶλλον πρὸς ἑαυτὴν συνείλεκτο καὶ πλέον τῷ βίῳ συντέτατο, οὐχ ὡς αἱ πλείους τῶν γυναικῶν, ἐντεῦθεν πρὸς τὸν σύντονον βίον ὀλιγωρήσασα καὶ καταρραθυμήσασα τὴν ζωήν, ἀλλὰ ῥωσθεῖσα πλέον ἢ ἀτονήσασα, καὶ ῥωμαλεώτερον διατεθεῖσα καὶ τὴν φύσιν ὁμοῦ καὶ τὴν γνώμην. Ἡ μὲν οὖν φύσις ὥσπερ ἑαυτὴν ἀγαπήσασα, καὶ θαυμάσασα ὅτι τοιοῦτον κάλλος ἐξήνεγκε, τὴν ἐμὴν μητέρα φημί, εἶτα δὴ καθαπερεὶ λογισαμένη ὡς οὐκ ἂν τοιοῦτον ἐνδείξηται, εἰμὴ παρ' ἐκείνης, ἐκεῖθεν ἐξεικονίζει τὴν ἐμὴν ἀδελφήν, ὡς ἂν ἔχοι καὶ τοῦ πρωτοτύπου διαρρυέντος ὁμοιότατον τὸ εἰκόνισμα· ἡ μὲν οὖν φύσις οὕτως, ὁ δέ γε θεὸς ἑτέρως τὸ πρᾶγμα ποιεῖ, καὶ ὁ λόγος ἐρεῖ τοῦτο κατὰ καιρόν.

Δεύτερος αὖθις τόκος, καὶ πάλιν τὸ τεχθὲν θῆλυ, καὶ οὐ πάνυ τοῦτο πρὸς ἡδονὴν οὔτε τοῖς τεκοῦσιν, οὔτε τῷ λοιπῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γένει· ἀλλ' ὥςπερ αἱ ἄτοκοι καὶ τοῦ τυχόντος τόκου ἱμείρουσιν, οὕτως ἐκείνη θατέρου πλέον τοῦ ἄρρενος· ἀλλ' αἱ ὠδῖνες ἐπ' ἀμφοῖν τοῖν γενοῖν ἐπεσχέθησαν, ὥςπερ τῆς φύσεως παρασκευαζομένης καὶ χρόνου τινὸς πρὸς τὸν τοκετὸν δεομένης. Ἐπεὶ δὲ ἔδει ἐπήκοόν ποτε τὸ θεῖον τῶν ἐκείνης γενέσθαι δεήσεων, ἥ τε νηδὺς ἐπετάχθη τὴν πλάσιν, καὶ ὁ τῆς ὠδῖνος παρῆν καιρός, καὶ ὁ συγγραφεὶς ἐξερράγη τῆς φύσεως, πολλῶν μὲν εὐχῶν, πολλῶν δὲ ἐλπίδων προηγησαμένων, μεγάλου δὲ παιᾶνος καὶ θείου ἐπὶ τῷ τόκῳ ᾀσθέντος, εἰ καὶ μὴ τοιοῦτος ὁ τόκος, οἷα δὴ τὰ αἴτια τῆς γεννήσεως.

Τὸ μὲν οὖν ἐμὸν μέρος ἀφείσθω νῦν, ἐχέσθω δὲ τῆς μητρὸς ὁ λόγος· εἰ δέ τι καὶ περὶ ἐμαυτοῦ διηγοίμην, μεμφέσθω μηδείς, οὐ γὰρ περιαυτολογία τὸ πρᾶγμα, ἀλλ' αἰτιολογία ὅπη παρήκοι τῶν τῆς μητρὸς καλῶν· ἀδικοίην γὰρ ἂν ἐκείνην πάντη τῶν ἐλπίδων δεικνύων ἐστερημένην καὶ τῶν εὐχῶν ἀτυχῆ· οὐχ οὕτω δὲ ταῦτα ἕξει, εἰ μὴ τὸ ἐλπισθὲν ἔχον τι τῶν προηγησαμένων φανείη καὶ μὴ πάντη πρὸς ἐκείνην ἀπᾷδον. Ὅσα μὲν οὖν μοι τὸ γένος ἐπιφημίζει τεχθέντι, τὸ μήτε κλαυθμυρίσαι ποτὲ μὴ δ' ἐν ταῖς ἀναγκαιοτάταις χρείαις τῆς φύσεως, μήτ' ἄλλην θηλὴν καταδέχεσθαι ἢ τὴν τῆς μητρός, γνωρίζειν τε ταύτην ὡς γειναμένην, ὥςπερ ἀπὸ γνώμης, οὐκ ἀπὸ συνηθείας, καὶ τἆλλα περὶ ὧν οὐδὲν δέομαι λέγειν, ἀφίημι τῇ γυναικωνίτι|δι, ὅσα φ. 76.
δ' αὐτὸς τυγχάνω εἰδὼς τῆς φρονούσης ἡλικίας ἁψάμενος, περί τε ἐμαυτοῦ καὶ τῆς μητρός, αὐτὰ δὴ λέξω σαφέστερον μηδὲν ἐνδοιάσας, μὴ δὲ τὰς τῶν βασκαινόντων ὑπειδόμενος γλώσσας.

Τὴν ἐμὴν τοίνυν μητέρα ἐπήγετο μὲν πρὸς λόγου παραδοχὴν αὐτό τε τὸ περὶ τοὺς λόγους ἐραστὸν καὶ ἡ ἐπιθυμία τοῦ πράγματος, μᾶλλον δὲ πρὸς τοῦτο καὶ ἡ ἐμὴ φύσις ἐπέρρωσεν, αὐτόθεν τε θαυμαζομένης τῷ ἑτοίμῳ τῆς γνώμης, κἂν τοῖς πράγμασι δὲ βεβαιουμένης τῷ εὐροοῦντι περὶ τὴν μάθησιν. Φασὶ γοῦν τῶν παρὰ τὸ γένος οἱ πλείους, ὅτι μοι καὶ παιδὶ ὄντι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οὐδὲν τῶν λεγομένων μάτην ἐπέρρει τῇ ἀκοῇ, ἀλλ' ἅπας λόγος ἐκσφράγισμα τῆς ψυχῆς ἦν. Ἐντεῦθεν οὖν ἡ μήτηρ πρὸς τὰ κρείττω χειραγωγουμένη, εἰς πέμπτον ἔτος τελέσαντα διδασκάλῳ ἐφίστησι· καὶ ἦν μοι τὸ μάθημα οὐ μόνον εὐχερές, ἀλλὰ καὶ ἡδύ, ἀντ' ἄλλης τινὸς παιδιᾶς· ἠνιώμην γοῦν εἰ μή μοι διὰ πάσης ἡμέρας διδοίη τὰ παιδικά, καὶ ἦν μοι παιδιὰ μὲν ἡ σπουδή, σπουδὴ δὲ ἡ παιδιά, οὐχ ὡς ταῦτα παίζοντι, ἐκεῖνα δὲ σπουδάζοντι, ἀλλ' ἐκείνων μὲν ἐχομένῳ διὰ τὸ ἡδύ, τούτων δὲ ἀπεχομένῳ διὰ τὸ τραχύ. Λέγω γοῦν ταῦτα οὐκ ἐμαυτὸν βουλόμενος ἐπαινεῖν, ἀλλ' ἐνδεικνύμενος ὁπόθεν μοι ἡ περὶ τοὺς λόγους ἐγεγόνει σπουδή.

Βραχὺς ἐπὶ τούτοις χρόνος ἐπέρρευσε, καί μοι ὄγδοος τῆς ἡλικίας ἐνειστήκει καιρός, καὶ πρὸς τὰ κρείττω μαθήματα ἡ φύσις ἀνῆγε· πολλοῖς μὲν οὖν τοῦ γένους παρίστατο μὴ εἰς τοῦτό με ἐφεῖναι τὸ πέλαγος, μᾶλλον δὲ ἀφεῖναι, ἀλλ' εἰς ἄλλό τι τῶν ῥᾴστων μεθέντας καὶ διαπεραιωσαμένους ἐπὶ λιμένος ἐγκαθορμίσαι· ἐμοὶ δὲ δυσχερὲς ἦν ἄλλως καὶ μέχρις ἀκοῆς ἄλλό τι πρὸ τῶν λόγων ἐμπορεύεσθαι· ἐπεκλίνετο δέ μοι τῇ γνώμῃ καὶ ἡ μήτηρ μάλα ἀσμένως· καὶ τέως ἀμφισβητήσιμος ἦν τῇ τε ἐμῇ προθυμίᾳ, ταῖς τε τῶν πολλῶν ἐπιτροπείαις καὶ διατάξεσιν, ἔκρινε δὲ τὸ ἀμφίβολον, εἶπεν ἂν ὅς τις, εἰ ἀνάστασιν εὑραμένη παρά του τῶν κρειττόνων ἡ μήτηρ τῷ λόγῳ παρῆν· ἐκείνη γὰρ ἂν κάλλιον ἣν εἶδεν ὄψιν ἡρμήνευσε· τὰ δὲ ὀφθέντα, διττά· καὶ τὸ μὲν παρ' αὐτῆς ἠκηκόειν, τὸ δέ, πεπυσμένος ᾧ ἐκείνη ἐπίστευσεν, ἐγνώκειν ὕστερον. Ἔλεγε γοῦν μοι ἡ μήτηρ ὡς ἅπαξ ποτὲ εἰς ὕπνον διαχυθεῖσα, ἔδοξεν αὖθις περὶ τῶν ἐμοὶ καθηκόντων ἀμφισβητεῖν· ὡς δὲ πολλάκις τοῖς λογισμοῖς ἀντιπίπτουσι κατακεκλόνητο, ἀνήρ τις τῶν ἀφωμοιωμένων θεῷ, συνήθης ἐκείνῃ καὶ πρὸς τὸν χρυσοῦν τὴν γλῶτταν Ἰωάννην παρεικασμένος, λέγω δὴ τὸν Ἀντιοχέα τε καὶ ἡμέτερον, « μὴ δῆτα κυμαίνου, φησίν, ὦ γύναι ταῖς ἐνθυμήσεσιν, ἀλλὰ

μιᾷ νικώσῃ ψήφῳ λόγοις συμβίβαζε τὸν υἱόν· ἐγὼ δὲ καὶ ὡς παιδαγωγὸς ἕψομαι τούτῳ, καὶ ὡς διδάσκαλος ἐμπλήσω παιδεύσεως ».

Ταύτην μὲν οὖν τὴν ὄψιν παρὰ τῆς μητρὸς ἐδεδέγμην, ἣν δὲ μέλλω ἐρεῖν ἅτερος τῶν ἐκείνης ἀδελφῶν, μεταλλαξάσης ἐκείνης, ὑφηγήσατό μοι ὅρκους ἀρρήτους ὀμνύς· ἔφησε γὰρ ὡς διηγεῖτο αὐτῷ ἅπαξ ἡ ἀδελφή, ὅτι διαιρουμένοις τοῖς περὶ ἐμὲ λογισμοῖς, τοιοῦτος ἐπῆρεν ὄνειρος ἐπὶ μίαν διάνοιαν· ἐδόκει γὰρ τὸν σηκὸν εἰσιέναι τῶν Ἀποστόλων, μάλα σεμνῶς δορυφορούντων αὐτὴν ἐνίων οὕς περ ἠγνόει· ἐπεὶ δὲ πρὸς τῷ βήματι γένοιτο, ἐθάρρει γὰρ τὰ κρείττω κἀν ταῖς σκιαῖς, γυναῖκά τινα τῶν δυσθεάτων ἰδεῖν, ἔσωθεν ἀπαντήσασαν, καὶ παρακελευομένην ἐκτὸς ὑπομεῖναι ὡς ἐξιοῦσαν· ἡ δέ, ἐπεὶ ἐνταῦθα γεγόνοι, πρὸς μὲν τὴν μητέρα μηδὲν εἰπεῖν, πρὸς δὲ τοὺς ἑκατέρωθεν ἐφεστηκότας στραφεῖσά τε καὶ μεταστραφεῖσα « ἐμπλήσατέ φησι τὸν ταύτης παῖδα γραμμάτων, ὁρᾶτε γὰρ ὥς με κατασπάζεται »· ἀπήγγελλε δὲ καὶ τῶν ἑκατέρωθεν ἑστηκότων τὸ εἶδος· ἄμφω γάρ φησι πολιὼ ἤστην, ἀλλὰ τῷ μὲν ἡ κεφαλὴ μεγάλη τε καὶ στρογγύλη καὶ ἀκριβῶς λευκὴν ἀναβλαστάνουσα τρίχωσιν, ἥ τε ῥὶς οὐκ ἀπεκρέματο, καὶ τὸ γένειον οὐ πάνυ καθεῖτο· τῷ δέ, καὶ ἡ κεφαλὴ καὶ τὸ λοιπὸν σῶμα βραχύτερον, πλὴν ὅσον ὁ πώγων μακρῷ θατέρου μακρότερος. Ταύταις οὖν ταῖς δυσὶν ὄψεσιν ἐπ' ἐμοὶ ἡ μήτηρ ἀναθαρρήσασα, τὴν ὑπὲρ ἐμοῦ ψῆφον ἐκφέρει, καὶ ἐς τὰ προτέλειά με ἄγει τῶν παιδευμάτων.

Ἀλλ' οὐκ οἶδα τί πάθοιμι, πῶς δ' ἂν τῷ λόγῳ χρησαίμην; ἑτέραν γὰρ ὑπόθεσιν ἐνστησάμενον, ἐφ' ἑτέραν με ὁ λόγος ἄγει φερόμενος· καὶ βούλομαι μὲν μηδὲν τῶν ἐμῶν ἐγκαταμίξαι τοῖς ἐκείνης καλοῖς, οὐκ ἔχω δὲ ἄλλως ἐκπληρῶσαι αὐτῇ τὸ ἐγκώμιον, μᾶλλον δὲ τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀλήθειαν, μὴ τὸ ἐμαυτοῦ παρενείρων· ἢ πῶς ἂν αἰτίαν αὐτὴν ἀποδείξω τῆς ἐμῆς ἐν τοῖς λόγοις εὐδοκιμήσεως, μὴ ταῖς ἀρχαῖς ἐφιεὶς ἀφ' ὧν

εἰς τοῦτο ὑπήχθην; καὶ ἣν βούλοιτό τις τοσοῦτον ἑκατέροις ἀπομεριζέσθω, ἐκείνῃ μέν, τὸ τὰ κρείττω ἐμοὶ καὶ γνῶναι καὶ
φ. 76*. διελέσθαι, ἐμοὶ δὲ τὸ μὴ ἐπεξιέναι τούτοις εἰς | [τέ]λος. Διαιτῶμαι δὲ φιλοσκώμμοσιν ἀνδράσι καὶ φιλαιτίοις· ἐπεὶ ὅ γε μὴ βασκαίνων ἀκροατὴς οὐδὲν ἄν μοι προσάψοι αἰτίαμα ἀπολαύοντι τῆς μητρικῆς ἀρετῆς κἀν ταῖς περὶ ἐκείνην ἱστορίαις καὶ διηγήσεσιν.

Ἀλλ' ἀνακτέον αὖθις τὸν λογον ἐπὶ τὴν οἰκείαν ἀρχήν, καὶ προσεκτέον τῇ ὑποθέσει τὰ ἐφεξῆς, μᾶλλον δὲ ἐνταῦθά μοι γενομένῳ αὐτοί μοι προσμαρτυρείτωσαν οἱ τὰ πρῶτα δεδωκότες μαθήματα, ὡς διῄειν ἐπιτροχάδην αὐτά, ὡς συνίην τῶν πολλῶν πλέον, ἵνα μηδὲν πλέον ἐρῶ, ὡς εὐφυῶς ἀνελάμβανον, ὡς ἐμμόνως κατεῖχον, ὡς ἀπήγγελλον εὐφραδῶς, ὡς ἐπὶ μιᾶς τοῦ φωστῆρος περιόδου τά τέ μοι τῆς ὀρθογραφίας ἠκρίβωτο, καὶ ἡ πᾶσα ἀπήγγελτο Ἰλιάς, οὐ τὴν ἐποποιΐαν ἁπλῶς εἰδότι, ἀλλὰ καὶ σχῆμα καὶ τρόπον, καὶ λέξιν, καὶ μεταφορὰν εὔκαιρον, καὶ ἁρμονίαν συνθήκης· ἢν δέ με μὴ πάνυ φαίητε ὀνειρόφρονα, κἀγώ τι βραχὺ τῶν ἐμῶν ὑμῖν διηγήσομαι ὄψεων.

Οὔπω δεκέτης ἦν, ἢ ἴσως ἐπιβεβήκειν τοῦ ἔτους, καί με νυκτὸς θήρα τις ἐπῆρε καὶ εἰς ἐλεύθερον ἀέρα μετήνεγκεν· εἰ μὲν οὖν ἐθήρων οὐκ οἶδα, τεθηρακέναι δὲ ᾤμην ὄρνιθε δύο τῶν μουσικῶν, ὧν ἡ μὲν ψιττακίῳ ἐῴκει, ἡ δέ, ἦν ἀκριβῶς κίττα, καὶ ὑπὸ τὸν κόλπον ἄμφω ἐνεδεδύκει· καί μοι ἐπὶ τούτοις διεχεῖτο καὶ ἐγαννύσκετο ἡ ψυχή, καὶ πολλάκις ταῖς χερσὶ διωμάλιζον καὶ προσήρμοττον τοῖς πτεροῖς· ἀλλά τά γε ὄρνεα « μὴ τυράννει, ἀνθρωπικῶς ἔφασαν, μὴ δὲ βίᾳ λαβὼν οἷα δὴ νόμῳ δεσπότης κυρίευε, ἀλλ' ἐξελών, λογικῶς τε συγγίνου καὶ διαλέγου· κἂν μὲν πείσῃς, ἐκεῖθεν ἡμῶν ἄρξαι, εἰ δ' οὖν, ἄφες ἡμῖν ἐλεύθερον τὸ πτερόν ». Ἔδοξα γοῦν αὐτὰ λέγειν τι τῶν δεόντων, καὶ ἑκατέρας ἀπρὶξ ἀμφοτέρων δραξάμενος τῶν πτερῶν, φιλοσόφους τινὰς ᾤμην πρὸς ἐκεῖνα λόγους ἀνακυκλεῖν,

ὥς περ τότε πρώτως ἀφαιρεθείσης μοι τῆς ἀχλύος ἣν ἡ γένεσις ἐπιτίθησι τῇ ψυχῇ. Τὰ μὲν οὖν πρῶτα ἰσόρροπος ἀμφοῖν ὁ λόγος καθίστατο, ἐνθυμουμένων ὥςπερ κἀκείνων καὶ συλλογιζομένων καὶ πρὸς τὰς ἐμὰς ἀντιθέσεις ἀντιπιπτόντων· ὡς δ' ἡ συνουσία ἐπὶ μήκιστον παρεξέτεινε τὸν διάλογον, κἀγώ τι πλέον ἐκείνων ἐστωμυλλόμην, « πέπαυσο, ἔφασαν, ἐπειδή σοι καὶ παρ' ἡμῶν τὸ νικᾷν ἡμᾶς ἐπεψήφισται ». Τότε μὲν οὖν οὐ πάνυ συνίην τῆς ὄψεως, ἀλλὰ τοῦ ἀλογωτέρου μέρους τῆς ψυχῆς ἀνάπλασιν ᾤμην τὸ ὄραμα, ὕστερον δέ, ἐπειδὴ μουσικῆς ἡψάμην καὶ τῆς ἀκριβεστέρας μαθήσεως, εἰς τοὺς λόγους τὰς ὄψεις ἐτεκμαιρόμην· ἐπειδὴ κἀκεῖνα κωτίλα καὶ μουσικά, καὶ ἀνθρωπικὴν πολλάκις ἱέντα φωνήν.

Ἀλλ' ἐπειδή μοι ἐς τόδε ὁ λόγος ἀπετελεύτησε, νῦν τὴν ἀρχὴν τοῖς ἐγκωμίοις ἐφίστημι τῆς μητρός· οὔπω γὰρ ἡψάμην ἐπεγνωκώς, ἀλλὰ τὰ μὲν πατρός, τὰ δὲ μητρὸς ἤκουσα τῶν ἐκείνην γεννησαμένων, τὰ δὲ ἑτέρων τῶν εἰδότων αὐτὴν ἀκριβῶς, τὰ δὲ αὐτὸς ἀνεμνήσθην καὶ εἴκασα, τὰ δ' ἐντεῦθεν καὶ ἑωράκειν καὶ ἠκηκόειν καὶ συνίην φιλοσοφώτερον. Καὶ ἀποφήσαιμ' ἂν ἐν κεφαλαίῳ τὸ ξύμπαν ποιούμενος, ὡς οὔτις ἐκείνῃ τῶν θνητῶν ἐρίσειε γυναικῶν· ἐῶ γὰρ ἐκείνας αἷς δὴ μόναις ἐπιπεφήμισται τὸ ἀθάνατον· τίς γὰρ ἐκείνης ἢ τὴν γνώμην ἑτοιμοτέρα, ἢ εὐσχημονεστέρα τὸ ἦθος, ἢ τίς ἢ σταθηροτέρα τὸν λογισμόν, ἢ κριτικωτέρα τῶν λαλουμένων ἢ πραττομένων; μέτρα δὲ γλώσσῃ καὶ λαλούσῃ καὶ σιωπώσῃ τίς μᾶλλον ἐπέθηκεν; αἰδοῖ δὲ τίς οὕτως ἄλλη κεκόσμητο; τὰς δὲ τῶν ἐναντίων μίξεις τίς καταλλήλως ἐκέρασεν, ἀκρίβειαν φημὶ καὶ ἁπλότητα, ἐπιστασίαν τε εὔκαιρον καὶ πρᾳότητα ἔμμετρον, ὑψηλόν τε φρόνημα καὶ ὑπεσταλμένην διάνοιαν; Ὦ σώφρων ἐκείνης ὀφθαλμὸς ἐς γῆν μὲν κεκυφὼς καὶ τὰ πόρρω κατειληφώς! ὦ χεῖρες ἁπαλαὶ μὲν τῇ φύσει καὶ τῇ ἡλικίᾳ, ταῖς δὲ πρὸς τὸ θεῖον ἐς γόνυ κλίσεσί τε καὶ ὑποκλίσεσι τὴν τραχύτητα εἰσδε-

ζάμεναι! ὢ πᾶσα μὲν αἴσθησις πρὸς τὸ φίλον θεῷ ἀπηκριβωμένη, πᾶσα δὲ νεῦσις πρὸς ἐκεῖνο μόνον συντεταμένη! Ὢ γραφαὶ καὶ ὑπογραφαὶ τῇ ἐμῇ μητρὶ μόνῃ μὴ γινωσκόμεναι! ὢ δολερὸν ἄνθος καὶ λευκότης ἐπείσακτος, ἐκείνῃ κοινῶς ὑποσταλέντα τε καὶ ὑποχωρήσαντα! ὢ κόμης προσθέσεις, οὐκ ἔχουσαι ᾧ προσθήσεσθε, ἀλλ' ἀσυγκρίτως ἡττώμεναι! ὢ νοῦς ὀμμάτων καὶ ἦθος ὀφρύων, καὶ φρόνημα πάσαις αἰσθήσεσιν ἐγκαθήμενον! ὢ μηδὲν εἰδυῖα θῆλυ, πλὴν ὅσον τῆς φύσεως, τὰ δ' ἄλλα ῥωσθεῖσα τὴν ψυχὴν καὶ ἀρρενωθεῖσα, μᾶλλον δὲ στερροτέρα φανεῖσα καὶ τῆς ἑτέρας μερίδος τοῦ γένους, καὶ πάντας καὶ πάσας νικήσασα, τὰς μὲν τῷ ἀσυγκρίτῳ, τοὺς δὲ τῷ πλείονι! Ἀλλὰ πῶς ἄν σου τίς διηγήσαιτο τὴν κεκρυμμένην σὺν τῷ θεῷ ζωὴν καὶ διαγωγήν, τὰς νυκτερινὰς στάσεις καὶ ἐπορθρίους, τὴν πτέρωσιν τῆς ψυχῆς, τὴν ἔκστασιν τοῦ νοός, τὴν ἔλλαμψιν, τὴν ἀνάβασιν; Ὢ πῶς ἂν μηδενὸς ἐφεισάμην τῶν σῶν! Ἐβουλόμην ἀλλοτρίους εἰδέναι τὰ σά, εἶτα δὴ καὶ ἐγκωμιάζειν βούλεσθαι, ἵνα μή σου ὁ ἔπαινος ὑπωπτεύετο· ὤφελον ὑπὸ ἀδεκάστοις λέγειν κριταῖς καὶ ἀνυπόπτοις διαιτηταῖς, ἵνα μηδεὶς τὸν λόγον ὑφεωρᾶτό μοι· νῦν δὲ δύο τῶν μειζόνων διαμαρτάνω καὶ βάλλομαι ἑκατέρωθεν· πεφεισμένως γὰρ τὰ σὰ διηγούμενος, καὶ τὰ πλείω καὶ κρείττω σιγῶν, ἔτι καὶ περὶ τῶν ἐλαττόνων διαμφισβητοῦμαι, πλὴν τῶν εἰδότων, τοῖς πλείοσιν· οὐκ οἶδα δὲ ἐς τὸν βυθὸν τῶν σῶν ἐμπεπτωκὼς ἀρετῶν, ποῖον πρῶτον ἀπώσο-
φ. 77. μαι τῶν | ἐπεισρεόντων κυμάτων, ἢ ποῖον εἰσδέξομαι ὁμαλῶς· πῶς δέ γε διανηξάμενος πόρρω τῆς ἑκατέρωθεν ἐπιρροῆς στήσομαι; οὐκ οἶδα δὲ καὶ τίνι δώσω τὰ πρῶτα, πάντων πρώτων εἶναι νενικηκότων, καὶ κύκλῳ περιϊσταμένων με, καὶ ἑκάστου πρὸς ἑαυτὸ ἀντισπῶντός τε καὶ ἐφέλκοντος· βούλομαί σου τὴν σωφροσύνην θαυμάσαι, καὶ ἀνθέλκει με ἡ πρὸς τὰ κρείττω ἀναγωγὴ τῆς ψυχῆς· ἀνῆγμαι ἐκεῖσε, καὶ καθέλκει με τὸ βάθος τῆς σῆς ταπεινώσεως· ἐντεῦθεν πάλιν ἡ πραότης πρὸς ἑαυτὴν

μετατίθησι, καὶ αὖθις ἄλλη, καὶ πάλιν ἑτέρα μεταβιβάζει καὶ μεθιστᾷ, ὥς τε μηδέν τι μέρος τῶν σῶν εὐφημεῖν ἱκανῶς δύνασθαι, ἀνθελκόμενον καὶ μετατιθέμενον, καὶ χορείαν ταύτην κενὴν ἀνελίττοντα, μᾶλλον δὲ πορείαν ἀνήνυτον· ἡ γὰρ ἄπειρος πληθὺς τῶν σῶν ἀρετῶν ὑποστροφὴν ἐπὶ τὰς πρώτας οὐ δίδωσιν.

Ἐγὼ μὲν οὖν πολὺ τῶν σῶν ἐλπίδων ἐλάττων γενόμενος, εὐθύναις σοι ὑποκείσομαι μὴ κατὰ τὰς ὑποθήκας πολιτευσάμενος, σὺ δέ γε ἐξ ἀρχῆς ὥςπερ αἱ μαῖαι τὰ ἄρτι γεννώμενα πᾶσαν μέν μοι ἐρρύθμιζες αἴσθησιν, πᾶσαν δέ μοι θείαν ἐνήχεις φωνήν, οὐδὲ καταμυθολογεῖσθαί με παρὰ τῆς τίτθης ἐῶσα· ἀναμιμνήσκομαι γὰρ ἀναφέρων ὥςπερ ἀπὸ βυθοῦ, ὅτι με καὶ κλαυθμυρίζοντα χαλάσαι βουλομένη πρὸς ὕπνον, ἀντὶ τῶν μύθων καὶ τῆς μορμολυττούσης λαμίας, διήεις νῦν μὲν τὸν Ἰσαὰκ ἀγόμενον ὑπὸ τοῦ πατρὸς καὶ θυόμενον, καὶ πάντα πειθόμενον τῷ γεννήτορι, νῦν δὲ τὸν Ἰακὼβ εὐλογίας τυγχάνοντα πατρικῆς, ὅτι κατὰ τὰς ὑποθήκας πεποίηκε τῆς μητρός, νῦν δ' ἄλλό τι τῶν θειοτέρων, καὶ ἐπὶ πᾶσι τὸν νέον Ἀδάμ, τὸν σὸν φημὶ θεὸν καὶ δεσπότην, ὑποτασσόμενον τοῖς τοκεῦσι· μέμνημαί σου καὶ τῶν περὶ παρθενίας λόγων, καὶ τῶν ἀκηράτων ἐκείνων συμβουλιῶν, εἰ καὶ μὴ οὕτως τὰ καθ' ἡμᾶς γέγονεν· οὐκ ἐπιλέλησμαί σου οὔτε τοῦ πυρός, οὔτε τοῦ φωτός, ὧν τῷ μέν, τοὺς σωφρονοῦντας κατέλαμπες, τῷ δέ, τοὺς ἀκολάστους κατέφλεγες, παρήσω δέ σοι οὐδ' ἐκεῖνο τὸ ἔργον ὅ με λαθεῖν βουλομένη οὐκ ἔλαθες· ἐπόθει μὲν γὰρ ἡμᾶς ἡ μήτηρ πῶς ἂν εἴπῃ τις σφοδρῶς καὶ περικαῶς, καὶ ἐζήτει πολλάκις τῷ τραχήλῳ περιφῦναι καὶ κατασπάσασθαι, ἐπεῖχε δὲ τὸν πόθον νόμῳ κρείττονι καὶ κρίσει καλλίονι, ἵνα μὴ καταθαρρήσας αὐτὸς ἀπειθέστερος ἐπιγενοίμην ταῖς ἐκείνης ἐπιταγαῖς· ὡς δὲ τὸ φίλτρον ἠνάγκαζεν, ἐγὼ μὲν ἐῴκειν ὑπνώττειν, ἦν δὲ τὸ πρᾶγμα μέχρι τῆς ἐπιμύσεως τῶν βλεφάρων, ἡ δέ, ἀγνοήσασα καθάπαξ τὸ σχῆμα, πρόσεισί μοι καὶ ὁμαλῶς πάνυ περιλαβοῦσα τοῖς πήχεσι, πολλάκις

ἐφίλει τὸ πρόσωπον, εἶτα δὴ καὶ δακρύσασα ἀστακτί, « ὦ σπλάγχνον ποθούμενον, ἔφη, ποθῶ μέν σε, φιλεῖν δέ σε πολλάκις οὐ δύναμαι! » οὕτω μοι καὶ τὴν σχέσιν ἐφύλαττε, καὶ τὴν παίδευσιν παρεφύλαττεν· ἦν γὰρ ὡς ἀληθῶς καὶ τὸν τῆς ψυχῆς χαρακτῆρα τοιαύτη, ἀλλὰ πρὶν τοῦτο εἴποιμι, κοινότερον περὶ τούτου διέλωμαι.

Οὐ μίαν ἐγὼ τὴν ἰδέαν ὁρῶ τῶν πρὸς ἀρετὴν τεταμένων ψυχῶν, ἀλλ' αἱ μέν, ἁπλαῖ τινές εἰσι καὶ χάριτος γέμουσαι, καὶ τοῖς προσιοῦσιν ἥμερον ἐπιβλέπουσιν, αἱ δέ, δριμεῖαι δὲ αὗται καὶ σκυθρωπαὶ καὶ τὸ πλεῖστον μέρος τοῦ βίου ἐπιστυγνάζουσαι, τραχύτεραί τε τὸ ἦθος καὶ ἀπρόσιτοι τοῖς πολλοῖς, καὶ πρὸς πᾶν ὁ,τιοῦν τῶν ἀβουλήτων παροξυνόμεναί τε καὶ δυσχεραίνουσαι, κακίαν δὲ μισοῦσαι μᾶλλον ἢ πρὸς ἀρετὴν μεταβάλλουσαι. Τῇ δέ γε ἐμῇ μητρὶ ἐξ ἀμφοῖν τούτων ἡ ἀρετὴ συνεκέκρατο· τίς γὰρ ἐκείνης ἢ ἱλαρώτερον ἔβλεψεν, ἢ χαριέστερον προσωμίλησεν, ἢ πρᾳοτέρῳ τῷ ἤθει τὸ ἁμαρτανόμενον διωρθώσατο; τοῦτο μὲν οὖν αὐτῇ τὸ μέρος ἔμφυτον ἦν, θάτερον δὲ πολλοῖς καὶ πολλάκις ἐπιτετήδευτο, καὶ ἦν τὸ φοβοῦν μέχρι τῆς τῶν ὀφρύων συννεύσεως. Ὃ δὲ τοῖς ἄλλοις ἤθους σκαιότητι ἢ τραχύτητι πρόσεστι, φημὶ δὴ τὸ ἀπρόσιτον ἢ δυσπρόσιτον, καὶ τὸ ἐνίους τῶν προσιόντων καταπτοοῦν, τοῦτο ἐκείνῃ διὰ τὸ τῆς ἀρετῆς ὑπερέχον ἐδέδοτο· ἀμέλει οὐχ οἱ πολλοὶ μόνον ἐδεδίεσαν ταύτην καὶ ὑπεστέλλοντο, ἀλλὰ καὶ οἱ τεκόντες, καὶ ταῦτα ἐν βαθείᾳ τῇ πολιᾷ ὥςπέρ τινα κρείττονα φύσιν προσεκύνουν καὶ ἐσεβάζοντο, καὶ νόμον ἐκείνην ἐλογίζοντο ἔμψυχον, παράδειγμά τε εἶχον καὶ πράξεως καὶ λόγου καὶ σιωπῆς, εἰ καὶ πολὺ τῆς ἀρχετυπίας ἀπελιμπάνοντο· εἴ τε γοῦν ταραττομένοις αὐτοῖς ἐξαπίνης ὤφθη, τὸ ἀστατοῦν αὐτοῖς κατέταττε τῆς ψυχῆς, εἴ τε θυμουμένοις διέλυε τὸν θυμόν, εἴ τ' ἄλλό τι ποιοῦσιν ἢ πάσχουσι πρὸς τὸ κρεῖττον αὐτοῖς τὴν ἕξιν μετέβαλλεν· εἰ δέ τι ἐκείνην ἔλαθον πλημμελήσαντες, παρεφυλάττοντο μὴ γνῶ-

ναι ταύτην τὸ γεγονός· λέγω δὲ ταῦτ' οὐχ ὡς ἐκείνης τῆς τῶν τεκόντων κατεπαιρομένης ψυχῆς· ποία γὰρ οὕτως τῶν ἁπασῶν γυναικῶν γονέας τεθεράπευκε καὶ τετίμηκεν; ὑπήρειδέ τε γὰρ αὐτοὺς γεγηρακότας, καὶ παρεμυθεῖτο καὶ λόγοις καὶ πράξεσι, νοσοῦσί τε παρεκάθητο καὶ ἀλγυνομένοις συνήλγει, καὶ ἀγρυπνοῦσιν ἀνύστακτον εἶχε τὸ ὄμμα. Οὐ τοίνυν μεῖζον δεῖν ᾠήθη τῶν γονέων φρονεῖν, ἀλλ' ἐκεῖνοι καὶ οὕτως ἔχουσαν διαφερόντως ἐτίμων, οὐ πρὸς τὴν ἐκείνης περὶ ἐκείνους γνώμην ὁρῶντες, ἀλλὰ τὸ ὑπερέχον αὐτῇ τῆς ἀρέτῆς ἐκπληττόμενοι. Εἶχε δὲ καὶ πᾶσι τὸ ἦθος καταλληλότατον καὶ | ταῖς διαφόροις τῶν φ. 77ᵛ. συνόντων ἢ τῶν ὁμιλούντων ἐπιμεριζόμενον ἕξεσιν, οὐχ ὡς σοφιστεύουσα τὴν πρὸς τοὺς πολλοὺς ὁμιλίαν, ἀλλ' ὡς ἑκάστῳ τὸ πρόσφορον κρίνουσα καὶ διατυποῦσα κατὰ καιρόν.

Τῷ δέ γε ἐμῷ πατρὶ οὐ συνεργὸς μόνον καὶ βοηθὸς ἐτύγχανεν οὖσα κατὰ τὴν θείαν διάταξιν, ἀλλὰ καὶ πρωτουργὸς τῶν καλλίστων καὶ εὑρετής. Ἦν δὲ κἀκείνῳ τὸ ἦθος, οἷον οὔπω παρὰ τοῖς ἄλλοις τεθέαμαι, καίτοι γε πολλοὶ τὸν ἄνδρα συνίσασι, καὶ εἰ βούλοιντο, μαρτυρήσουσι· τὸ δέ, ἦν ἁπλοῦν ὁμοῦ καὶ γενναῖον, θῆλυ μὲν ἔχον οὐδέν, ἀπλάστῳ δὲ συγκεκραμένον πρᾳότητι, ἀκίνητον πρὸς ὀργήν, ἀθόρυβον πρὸς πᾶν ὁ,τιοῦν τὸ συμπίπτον. Ἔγωγ' οὖν οὔτε θυμουμένῳ, οὔτε ταραττομένῳ ποτὲ ἐντετύχηκα, ἀλλ' οὐδ' ἔπληξέ τινα πώποτε τῇ χειρί, οὐδ' ἄλλοις τοῦτο παρεκελεύσατο· χαρίεις ἀεὶ τὴν ψυχήν, καὶ τὴν γλῶτταν οὐ πρόχειρος μέν, σὺν ἡδονῇ δὲ ὁπότε δέοι τοὺς λόγους ποιούμενος· τά τε περὶ τὸν βίον καὶ λίαν δραστήριος, τήν τε χεῖρα οὐκ ὄργανον ὀξυγράφου, ἀλλὰ πτηνὸς μᾶλλον ἢ λόγος, καὶ οὐδετέρῳ ὀργάνῳ, ἀλλ' ἑαυτῷ χρώμενος· κούφως τε διϊὼν καὶ ἀπταίστως καὶ ὁμαλῶς, οἷον ἐλαίου ῥεῦμα ῥέον ἀψοφητί. Τὰ δὲ τοῦ σώματος, ἀλλὰ πῶς ἂν εἴποιμι ταῦτα, πῶς δὲ πάρεργον τοῦ λόγου ποιήσομαι, οἷς ἔργον ἡ εὐφημία, παγχάλεπον; Τὴν μὲν γὰρ ἡλικίαν, εὐμεγέθει κυπαρίττῳ ἐῴκει, εἰς ἶσόν τε

ἀνατρέχων, καὶ ὅπῃ δεῖ τοῖς μέρεσι μεγεθυνόμενός τε καὶ πλατυνόμενος· τοὺς δὲ ὀφθαλμούς, ἱλαραὶ τούτοις αἱ βολαί, καὶ ὡς ἂν ἕτερος εἴπῃ χάριν ἀφροδίσιον ἀποπνέοντες· ἐπεβέβλητο δὲ τούτοις ὀφρῦς οὐκ ἐπηρμένη καὶ ἀλαζών, ἀλλ' εὔγραμμος καὶ ὀρθή, χρηστὸν ἦθος ἐπισημαίνουσα· ἦν γὰρ ὡς ἀληθῶς καὶ ἀπὸ ψιλῆς ὄψεως κατήγορος τῆς οἰκείας ψυχῆς· καὶ εἴ γέ τις εἶδε τῶν γνωματεύειν εἰδότων ἀπὸ σωμάτων ψυχάς, πρὶν ἢ λαλοῦντος ἀκούσειε, πρὶν ἄλλως χρήσαιτο, ἀπεφήνατο ἂν περὶ τῶν τέως κρυφίων, ὅτι τῆς ἀρχαίας ἁπλότητος ζώπυρον ἐκεῖνος τῷ βίῳ περίεισιν· ὥς τε εἴπερ δή που καὶ ἡμῖν τοιοῦτον κέχρωσται, ἐκεῖθεν ὡς ἐκ παραδείγματος μετενήνεκται· τῆς μὲν γὰρ μητρικῆς ἀρχετυπίας, πάντῃ δὴ ὑστερῶ τε καὶ ἀπολέλειμμαι, ἐπεὶ μὴ δὲ εἰς μίμησιν ἐκείνη τῷ βίῳ καθίστατο, ἀλλ' εἰς ἔκπληξιν, τῷ δὲ πατρὶ ὥςπερ ἀετιδὴς συμπαρίπταμαι, ἢ μᾶλλον συνέπομαι ὡς σκιά, ἢ καὶ τούτου ἔλαττον μὴ πάντα ἐκείνῳ συναρμοζόμενος καὶ μεταστρεφόμενος.

Τὸν τοίνυν ἐμὸν πατέρα τοιοῦτον ὄντα πᾶς μὲν ἐθάρρει διὰ τὴν ὁμαλότητα τῆς ψυχῆς, καὶ οὐδεὶς τῶν πάντων ἐδεδίει προσιέναι καὶ διαλέγεσθαι, μόνη δὲ ἡ μήτηρ ἐξ ὑπερυψήλου τῆς ἀρετῆς, οὐ δὲ ἐκ τοῦ ἴσου, ἀλλ' ἐκ τοῦ ἐλάττονος συνῆν τε καὶ διελέγετο, μόνον ἐνταῦθα φυλάττουσα τὸ ἀνάρμοστον καὶ μὴ καταλλήλως συνομιλοῦσα, ὅτι μὴ πρὸς τὸ ἦθος ἐκείνου ἑώρα, ἀλλὰ πρὸς τὴν ἀρχαίαν διάταξιν.

Ἀλλ' ὢ τί ἂν εἰπών, τῶν ἐκείνης καλῶν ἀκροθιγῶ; ἅψωμαι; βούλομαι μὲν γὰρ μὴ πολὺ ἀπολελεῖφθαι τὸν λόγον αὐτῆς, καὶ ἐπιχειρῶ καὶ συμπροθυμοῦμαι, καί γε οὕτως οἴομαι πρὸ τῆς πλάσεως· ἀψάμενος δέ, ὥςπερ παλαιστὴς ἄτεχνος ἡττῶμαι τοῦ συμπαλαίοντος, καὶ τοῖς μὲν πολλοῖς ἴσως δόξω τι λέγειν περὶ ἐκείνης κομψότερον, ἐμοὶ δὲ ὁ λόγος οὐδὲ κατὰ βραχὺ τοῖς ἐκείνης καλοῖς πρόσεισιν, εἴτε τῷ ὑπὲρ μέτρον ἐκείνης, εἴτε τῷ ἐλάττονι τοῦ τοῖς λόγοις ἐπιβάλλοντος μέτρου· καίτοι σύ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

με, ὦ μῆτερ, πρὸς τούτους ἐπαιδοτρίβεις ἀεί, οὐ σύμβουλος μόνον καθισταμένη μοι δεξιός, ἀλλὰ καὶ συμπράττουσα τὴν παίδευσιν καὶ συμπνέουσα, ὁπότε με ἀνέκρινες τοῦ διδασκαλείου ἐπαναστρέψαντα, τίνα μὲν παρὰ τῶν παιδευτῶν εἴληφα, τίνα δὲ ἢ συνήνεγκα τοῖς συνομιληταῖς, ἢ παρ' ἐκείνων ἐμπεπόρευμαι· εἶτα δὴ καὶ συμβιβάζουσά με πρὸς τὴν μνήμην ὧν ἐμεμαθήκειν, προσεποιοῦ ἡδέως ἀκούειν, εἴ τι περὶ ὀρθογραφίας λέγοιμι, εἴ τι περὶ ποιήσεως, καὶ πόθεν ἕκαστον παρῆκται καὶ πῶς ἥρμοσται, τίς τε ἡ ἐν αὐτοῖς κοινωνία, καὶ τί παρὰ ταῦτα τὸ διαλλάττον. Οἶδά σου κἀκεῖνο καὶ μάλα τεθαύμακα, ὁπηνίκα μοι μέσων νυκτῶν συνηγρύπνεις ἀναγινώσκοντι ἐπὶ τῆς αὐτῆς κλίνης καθεύδουσα, καὶ μένος μοι καὶ θάρσος ἐμπνέουσα μᾶλλον ἢ τῷ Διομήδει ἡ Ἀθηνᾶ· καὶ οὐδὲ τοῦτο ἠγνόησα, ὁπηνίκα ἐγὼ μὲν τὸν αὐτὸν πολλάκις ἀνελάμβανον λόγον, ἢ ἔμμονον ποιῶν τῇ ψυχῇ, ἢ θηρώμενος εἴ τι τούτου δυσθήρατον, σὺ δὲ ὡς ἀγωνιῶντι περὶ τὸ πάλαισμα, ἐτεκμαίρου δὲ τῇ ἀναδιπλώσει τοῦ ἔπους, συμπαρίστασο καθαπερεὶ καὶ συνήσπιζες, τὼ χεῖρε πρὸς θεὸν αἴρουσα, καὶ πὺξ τῇ χειρὶ τὸ στῆθος πατάσσουσα, τοῦτο δὴ τὸ σὸν ἐν ταῖς προσευχαῖς, καὶ ἄνωθέν μοι τὴν τοῦ ἀμφιβόλου ἐπισπωμένη διάγνωσιν.

Πᾶσι μὲν οὖν παισὶν ἐπώφληταί τι πρὸς τοὺς τεκόντας, μᾶλλον δὲ τὸ πᾶν, ὅτι ἐκεῖθεν τούτοις τὸ εἶναι, ἀλλ' ἐπώφληται τὸ παρὰ τῆς φύσεως μόνον, ἐμοὶ δὲ διττὴ πρὸς τὴν μητέρα ἡ ὀφειλή, ὅτι με καὶ οὐσίωσε, καὶ τῷ τῶν λόγων κάλλει κατήστραψεν, οὐκ ἐγκελευσαμένη τοῦτο τοῖς παιδευταῖς, ἀλλ' αὐτὴ ὑποθεμένη καὶ κατασπείρουσα· ἀλλὰ τὸ μὲν ὄφλημα ἀναγκαῖον, | οὐ πάνυ δὲ καὶ φορολογούμενον, οὐχ ὡς ἀγνωμονοῦντος τοῦ φ. 78
εἰσπραττομένου, ἀλλ' ὡς οὐκ ἔχοντος δοῦναι ὅπερ ὁ εἰσπράττων βεβούληται· καὶ περιΐσταται τῇ ἐμῇ μητρὶ μόνῃ πολλὰς δεδωκυίᾳ τῶν εὐφημιῶν ἀφορμὰς μηδεμιᾶς ἐπιτυγχάνειν· οὐ γὰρ ἐτέμετο τὰς ὁδοὺς διὰ πεδιάδος, οὐδὲ διὰ λείας αὐτῇ πρόσι-

μεν, ἀλλ' ἀστιβῆ πάντα τὰ τμήματα καὶ ὄρεια καὶ ὑ..... Καὶ οἶδα μὲν ὅτι οὐδέν σοι δεῖ τῶν κάτωθι λόγων, ἐχούσῃ τὴν ἄνωθι σιωπὴν τὴν μυστικὴν καὶ ἀπόρρητον, ἀλλ' ἡμῖν τὸ πρᾶγμα δεινόν, εἰ παρὰ σοῦ τὸν λόγον συνειληφότες, μηδέν τί σοι ἐντεῦθεν εἰς εὐφημίαν συνερανίσαιμεν, ὥςπερ ἀβαθὴς γῆ καὶ ἀπόκροτος μηδέν τι τῷ γεωργῷ εἰς τὴν τῶν σπερμάτων καταβολὴν συντελέσασα· πλὴν διάφορον τὸ ἡμέτερον· οὐ γὰρ τοσοῦτον διεφθείραμεν τὴν σποράν, ἀλλὰ τὸν μὲν στάχυν ἀναδεδώκαμεν, οὐ πάνυ δέ σοι κατάλληλος ἡ τροφή, τὴν θείαν τρυφώσῃ τρυφήν, ἧς δὴ καὶ ζῶσα ὅσον προσῆκον καὶ τρόφιμον τῇ ψυχῇ παρεῖχες, καὶ πρὸς τὴν τελεωτέραν ἐπιθυμίαν ῥωννύντως ἐρρώννυες.

Ἡ γὰρ ἐμὴ μήτηρ τῷ νόμῳ μὲν ἀποχρησαμένη, σαρκὶ καὶ αἵματι συνεδέδετο· λέγω δὲ νόμον τὸν μετὰ τὴν ἔκπτωσιν τοῦ πρώτου καλοῦ· τὸ δὲ τῆς ψυχῆς γενικὸν ἀξίωμα, καὶ τί μὲν αὐτῆς τὸ πρὸς τὸ σῶμα ἄμικτον, τί δὲ τὸ μιγνύμενον, καὶ τίς μὲν ταύτῃ ἡ πρὸς τὰ τῇδε ῥεῦσις ἢ νεῦσις, τίς δὲ ἡ ἄνοδος καὶ ἀνάβασις, καὶ ὁ πόθος καὶ πῶς ἀφίπταται, ποῖ τε πρόεισι καὶ ποῦ καταλήγει, καὶ τίς ὁ μετὰ ταῦτα κλῆρος, καὶ τίνες οἱ ἀποκληροῦντες, τί τε τὸ δεδομένον, καὶ τί τὸ ταμιευόμενον, ταῦτα δὴ καὶ τἄλλα ταῖς θείαις συμφιλοσοφοῦσα γραφαῖς, ὥςπερ αἱ διψητικώταται τῶν ἐλάφων, ἀκαθέκτως ἐπὶ τὰς τῶν τοιούτων ναμάτων πηγὰς ἵετο· καὶ ἐβούλετο μὲν ῥαγῆναι κόσμου καὶ προσχωρῆσαι Θεῷ, οὐκ εἶχε δὲ ὅ,τι καὶ δράσειεν, ἔτι τοῦ ἀνδρὸς περιόντος, καὶ τὸ διαζυγῆναι ἐκείνης, ἴσον οἰομένου καὶ αὐτοῦ ἀποστῆναι θεοῦ· ἐκυμαίνετο γοῦν ἐπὶ τούτῳ τοῖς λογισμοῖς, πολλὰς ἐνθυμήσεις κυκλοῦσα καὶ ἀνελίττουσα, εἴποθεν εὕροι τοῦ ἐρωμένου κατάληψιν· ἐβούλετο δὲ ὥςπερ ὁδοῦ διττὰ καὶ ἴσα τμήματα τὴν ὁμοίαν ἀμφοτέρους δραμεῖν καὶ πρὸς τὸ αὐτὸ καταλῆξαι πέρας, καὶ ἦν αὕτη εὐχὴ ἡμερινή τε ὁμοῦ καὶ νυκτερινή, καὶ τὰ πολλὰ κρύφιος καὶ λανθάνουσα, εἰς τὸν μο-

ναδικὸν βίον τελέσαι καὶ τὴν ἀπαθῆ μετιέναι ζωήν· ἦρα γὰρ ἐκ πολλοῦ τοῦ τριχίνου ῥάκους καὶ τῆς ἐρημικῆς ζώνης, καὶ τοῦτο τῶν πάντων αὐτῇ τὸ μελετώμενον καὶ φιλοσοφούμενον ἦν, κεῖραι τὴν κόμην ἐν χρῷ, καὶ τραχῦναι τὸ σῶμα, καὶ τύλοις καταλιθῶσαι τὸ γόνυ, καὶ τοὺς δακτύλους σκληρῦναι, καὶ καθαρῶς τῷ καθαρῷ βιῶναι θεῷ. Ὅθεν καὶ ἀποτυγχάνουσα τῆς προθέσεως, τοῖς οὕτως ἔχουσιν ἀνδράσι τε καὶ γυναιξὶν ὁμοίως, τοῖς μὲν ὑπέσταλτο, ταῖς δὲ καὶ συνήει, καὶ συνεκάθευδεν ἐπὶ τῆς αὐτῆς δορᾶς, ἐπὶ ταὐτοῦ λίθου τὴν κεφαλὴν ἀναπαύουσα· ἐδυσχέραινε γὰρ πᾶσαν εὐνὴν μαλακὴν καὶ τὴν περιττὴν τῶν περιβλημάτων τρυφήν, καὶ οὔτε χρόας αὐτὴν ἀνθηρὸν ἄνθος, οὔτε μαλακότης ὑφάσματος, οὐ λαμπρότης ἐσθῆτος, οὐκ ἄλλό τι τῶν τοιούτων ἐδυσώπει καὶ ἔθελγεν, ἀλλ' ἦν αὐτῇ καὶ περίβλημα καὶ ἐντρύφημα ἡδύ τε καὶ ποθούμενον ἡ τοῦ τριβωνίου τραχύτης, καὶ τὸ θεῖον σχῆμα, καὶ ὁ σταυρός, καὶ ὁ ἐπὶ τῇ κεφαλῇ πνευματικὸς λόφος, καὶ ὅσα δὴ ἄλλα σύμβολα ἡμῖν καθεστήκοι τῶν ἀρρήτων καὶ θειοτάτων.

Ἐπεὶ δὲ τέως οὐκ ἐξῆν ἀπολαύειν αὐτὴν τούτων, ἀλλ' ἐν τοῖς περιττοῖς στενοῦσθαι καὶ πένεσθαι, καὶ πτωχεύειν ἐν τοῖς χρυσαυγέσι καὶ καταστέροις ἐσθήμασι, καὶ τοῦτο ἅπαξ ποτὲ τοῦ ἔτους, ἵνα μὴ ἀπαίσιος τῷ ἀνδρὶ φαίνοιτο, ἕως οὖν οὐκ ἐξῆν αὐτῇ τῆς ἐνδείας καταπολαύειν, ἀνεκεράννυέ πως αὐτὴν τοῖς ἐπειλημμένοις τῆς ἀκροτάτης περιωπῆς, ὥσπερ συμπραγματευομένη τούτοις τὴν ἀρετὴν καὶ τοῦ κέρδους καθαρῶς συμμετέχουσα· τὰ μὲν γὰρ ἐδίδου, τὰ δὲ ἐλάμβανε, χειρῶν ἐπαφὰς παρ' ἐκείνων, εὐχὰς ἐκτενεῖς, ἐλπίδας τοῦ μέλλοντος, θεραπείαν παρ' ἑαυτῆς, καὶ τὸ τὰ ὄντα αὐτοῖς συμμερίζεσθαι, καὶ χερσὶν αὐταῖς ὑπηρετεῖν καὶ λατρεύειν, καὶ ῥύπτειν μὲν τὼ πόδε, ἀναπαύειν δὲ ἐπὶ τῆς εὐνῆς, καὶ τὰ μέλη τούτοις καταφιλεῖν, ὁπόσα ἢ τετρύχωται, ἢ καθήλκωται. Ἀλλὰ τί μὴ μεγαλοπρεπέστερον ἀπαγγέλλω τὰ τῶν ἐκείνης πράξεων ἀξιώματα; τί

δὲ μὴ χρωματουργῶ τῷ λόγῳ τὰς αὐτόθεν λαμπρὰς εἰκόνας τῶν ἀρετῶν; Ἐπτωχοτρόφει γάρ, οὐχ ὥσπερ οἱ πολλοὶ ὡς ἀργυρωνήτοις τοῖς πένησι παραχρώμενοι, ἄνωθεν ἐπικύπτοντες καὶ τὴν δυστυχίαν αὐτοῖς πολλάκις ἐπονειδίζοντες, ἀλλ' ὥς περ οὐ διδοῦσα, ἐκεῖθεν δέ τι παρακερδαίνουσα καὶ λαμβάνουσα, αἰδεσίμως προσεῖχε τοῖς ἐφ' ὁτῳοῦν κάμνουσιν· ὅθεν ἐχειραγώγει διὰ τῆς κλίμακος, καὶ δεξιὰν ἐδίδου, καὶ προσεκύνει βαθύτερον, εἶτα πᾶν μέλος πλύνασα καὶ καθάρασα, καὶ χρισαμένη οἷα μύρῳ τῷ ὕδατι, οὐ τῇ ταμίᾳ προσέταττεν, ἀλλ' αὐτὴ παρατιθεῖσα τράπεζαν, εἶτα δὴ καὶ τὰς χεῖρας ἐπὶ τοῦ στήθους συμπλέξασα, καὶ περιδεῶς ὡς δεσπόταις διακονησαμένη, πολλάκις τε τὸ κυπέλλιον ἐπικλύσασα ὡς ἂν στίλβον ὀφθείη, καὶ τοῖς δακτύλοις
φ. 78ᵛ. ὀχήσασα | δεξιῶς ἐδίδου τῷ πένητι, εὐφυῶς κεραννῦσα ἵν' εὔχυτον εἴη τῷ πίνοντι καὶ ἐράσμιον. Οὕτως ᾔδει πτωχοτροφεῖν, καὶ μετὰ τοιᾶσδε τῆς ἀκριβείας ἑκάστης τῶν ἀρετῶν ἐπεμέλετο.

Τὰ μὲν οὖν ἄλλα ἀπράγμονι συνέζη ζωῇ, καὶ οὐκ ἐβούλετό τι τῶν πάντων εἰδέναι, οὐχ ὅσα ἐπ' ἀγορᾶς πράττοιτο, οὐχ ὅσα ἐπὶ τῶν βασιλείων, οὐκ εἴ τις σιτώνης, ἢ ταμίας προβέβληται, οὐδ' εἴ τῳ τῶν ἐγγειτόνων προσῆν ἢ προσεγένετο· ἀπέφραττε γὰρ πρὸς πάντα περιττὸν λόγον τὴν ἀκοήν, καὶ οὐδὲ πλήθουσαν ἀγορὰν ᾔδει, οὐδ' εἴ τις εἴη δῆμος κυμαίνων· τούτων μὲν οὖν καὶ πάντη κατωλιγώρει· εἰ δέ τις ἐργάζοιτο ἀρετὴν ἔν τε ἀνδράσιν, ἔν τε γυναιξίν, ὁμοίως πάντας πόρρωθεν συνήθρει καὶ συνελάμβανεν ὅπου ποτ' ἂν εἶεν, εἴ τε κόλπους οἰκοῦντες καὶ καταδύσεις, εἴ τ' ἐπὶ τοῦ ἀέρος ἱστάμενοι ἢ αἰρόμενοι.

Ἐπεὶ δὲ οὐκ ἔμελλεν ὁ τῶν αἰτήσεων κύριος ἐπὶ πολὺ αὐτῇ τὰς εὐχὰς ὑπερθήσεσθαι, ἀλλὰ δοῦναι κατὰ καιρὸν τὸ ζητούμενον, γίνεταί τι τοιοῦτον· ἀλλὰ δεῖ τὸν λόγον ἄνωθεν ἀποστήσαντας, οὕτως ἐπ' αὐτὸ τὸ κεφάλαιον ἰέναι τῆς ὑποθέσεως. Ὁ πρῶτος τῆς ἐμῆς μητρὸς τόκος, τὸ ὡραῖον ἐκεῖνο θυγάτριον, περὶ οὗ τι εἰρηκὼς ἄνωθεν ἐπαυσάμην, ὥς περ ἐκ κάλυκος ἀκμά-

σαν εἰς ὥραν ἐξήπλωτο, καὶ ἤδη πρόσηβον ἦν καὶ οἷον εἰς κῆδος ἐκδίδοσθαι· καὶ ἵνα τὰ ἐν μέσῳ ἐάσω, ὁπόσα καὶ τῇ μητρὶ ξυμβεβήκει ἐπὶ τῷ κάλλει, τὴν φήμην, τὴν ξυνδρομήν, τὴν ἐπὶ τῷ καλλίστῳ κρίσιν καὶ πρόκρισιν, καὶ τούτων τὰ κρείττω ὁπόσα ἐς τὰς ψυχικὰς ἀνάγεται χάριτας, τοσοῦτον εἴποιμι, ὅτι συζυγία τις ἦμεν, εἰ καὶ μὴ τοῖς ἄλλοις, τοῖς γοῦν γονεῦσι καὶ τῷ λοιπῷ γένει, περιφανὴς καὶ διάσημος· ἡ μέν, καὶ ὡς ἀληθῶς οὖσα καλλίων, ἐγὼ δὲ νομιζόμενος· κἀκείνης μὲν τὸ κάλλος ἀπήντα τοῖς ἰδοῦσιν εὐθύς, καὶ διὰ τοῦ φαινομένου καὶ τὸ κρυπτόμενον εἰκονίζετο, τὸ δὲ ἐμόν, ἴσως οὐ τοιοῦτον, οὗ δή μοι καὶ βραχὺς ὁ λόγος, ἀλλ' οἵγε τεκόντες καὶ τῷ μὴ ὄντι περιπεπλάνηντο, δεκάζοντες τὰς κρίσεις διὰ τὴν εὔνοιαν· καὶ οὐχ οἱ μὲν γεννήσαντες οὕτως περὶ ἡμᾶς, ἡμεῖς δὲ ἀλλοιότερον πρὸς ἀλλήλους διατιθέμεθα, ἀλλ' ὥςπερ ἐκ ταὐτοῦ πρέμνου δύω ἀνιόντε κλάδω συνεπεφύκειμεν ἀλλήλοις διαιρούμενοί τε ἅμα καὶ μὴ διαιρούμενοι, πλὴν ὅσον τῇ μὲν πρωϊαιτέρα ἡ ἔκφυσις, ἐγὼ δὲ ἀνέδραμον ἁπαλώτερον· κἀκείνῃ μὲν ὁ χρόνος τὰ πρεσβεῖα ἐδίδου τῆς φύσεως, ἐμοὶ δὲ τὸ ἔλαττον ἀντανίσου πρὸς ἐκείνην ἡ κρείττων τοῦ γένους μερίς· ἀλλ' ἐγὼ μὲν πατρώζων ἀτεχνῶς ἦν, ἡ δὲ πρὸς τὴν γεννησαμένην ἀναπεφύκει, δυεῖν τῶν ἐκείνης ὥςπερ ἀποσπασθεῖσα μερῶν, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ πρὸς ἄμφω τὴν ὁμοιότητα διασώζουσα, ὅθεν ἀμφοῖν ἐκράτει πασῶν, πλὴν τῆς γε μητρός· πρὸς γὰρ ἐκείνην οὐδὲ κατὰ βραχύ τι διήλλαττεν, ὅθεν ἑκάστῃ διὰ τῆς ἑτέρας προσῆν τὸ νικᾶν· εἴτε γὰρ ἡ μήτηρ κρατεῖν ἐδόκει, ἡ ἀδελφὴ τὸ κράτος ἀνήρητο, εἴτε κρείττων αὕτη τῶν ἄλλων ὦπτο, ἡ μήτηρ τὸ καλλιστεῖον ἐλάμβανε· καὶ τοσοῦτον ἦν τὸ παρ' ἀμφοῖν ὅμοιον, ὡς ἀριθμῷ μόνῳ τὸ παρ' αὐταῖς εἶναι διάφορον· εἰ γὰρ μή τις ἴδοι θάτερον μέρος, περὶ θάτερον ἐπεπλάνητο· κἂν ἄμφω θεάσαιτο, οὐκ εὐθὺς τοῦ βαθμοῦ τὴν γνῶσιν ἐλάμβανεν· οὕτως ἄρρητος αὐταῖς ἡ ὁμοιότης παντάπασιν ἦν· ἐπ' ἀνθούσῃ γὰρ

τῇ ἡλικίᾳ ἡ μήτηρ αὐτὴν ὠδινήσασα, καὶ βραχεῖ τῳ μέρει προλαβοῦσα ἐτῶν, ἀδιάφορος καὶ τὴν ἄνθην πρὸς τὸ γέννημα ἦν. Ἀλλ' ἀπ' ἀλλήλων μὲν κατ' οὐδὲν ἄρα διῄρηντο, ἐμοὶ δὲ ἐπρέσβευεν ἡ ἀδελφὴ καὶ τῇ ὥρᾳ καὶ ταῖς τῆς ψυχῆς χάρισι, καὶ ἦν αἰδέσιμος ἐκ πολλοῦ, πλὴν οὐχ ὥςπερ ἡ μήτηρ ἐπεῖχέ μοι δι' οἰκονομίαν τὴν σχέσιν, οὐδὲ τὸ σπλάγχνον ὑπήνοιγεν, ἀλλὰ καὶ πυκνὰ κατεφίλει καὶ ἠγκαλίζετο, καὶ ἐκοινώνει μοι πάντων, καὶ βουλῆς, καὶ γνώμης, καὶ πράξεων, ἐρρύθμιζε δὲ καὶ πρὸς σωφροσύνην· καὶ τἆλλα μὲν ἐξ ὁμοίας μοι προσωμίλει τῆς ἀξιώσεως, τὸ δὲ σωφρονεῖν δεσποτικῶς ὥςπερ ἐπέταττεν. Ἀλλ' ἡ μέν, οὕτως ἀδελφικῶς ἅμα καὶ φιλικῶς· ἐγὼ δὲ πάντα ὑποπεπτώκειν αὐτῇ, καὶ σὺν αἰδοῖ προσῄειν, καὶ ὁπότε με μάλιστα ἀγκαλίζοιτο. Ταύτην οὐ τὸ γένος μόνον ἐθαύμασεν, οὐδ' ὅθεν ἐξεδόθη, ἀλλὰ καὶ ὅπη κεκήδευτο· ἐρῶ δέ τινα βραχεῖαν περὶ ἐκείνης διήγησιν, ἵν' ἐντεῦθεν ἐνδείξαιμι ὁπόσον ἐκείνη τῆς σωφροσύνης τὸ περιόν.

Γυνή τις τῶν ἐγγειτόνων μισθὸν τοῖς βουλομένοις τῆς ὥρας ἐλάμβανε, καὶ φαύλως περὶ τοῦτο ἔζη, ἑταιρικῶς ἑαυτὴν ὑπογράφουσα καὶ τῷ ἐπιποιήτῳ κάλλει τοὺς πολλοὺς καταθέλγουσα· ἀμέλει, καὶ νεότης νοσοῦσα περὶ αὐτὴν ἐπερρώννυντο, καὶ διημφισβήτουν αὐτῆς τοῖς ἄλλοις οἱ κρείττους καὶ γενναιότεροι· ταύτην ᾐτιᾶτο πολλάκις ἡ ἀδελφὴ καὶ προσωνείδιζε τὸ ἀκόλαστον, καὶ κατεμέμφετο τῆς ἀσχημοσύνης, καὶ τέλος οἰκεῖν πόρρω προσέταττεν· ἡ δέ, πρῶτα μὲν ἐξεκώφει πρὸς πᾶσαν καὶ αἰτίασιν καὶ παραίνεσιν, καὶ ἀμεταθέτως εἶχεν οὗ ἐνεστήσατο βίου· ἐπεὶ δὲ ἡ ἀδελφὴ οὐκ ἀνίει πλήττουσά τε καὶ ἐπιπλήττουσα, ἡ δέ, « ἀλλ' ἂν τοῦ ἑταιρεῖν, φησίν, ἀποστήσωμαι, πόθεν τὰς ἀναγκαίας τοῦ ζῆν λήψομαι ἀφορμάς; » Ἁρπάζει τὸν λόγον ἡ φιλόκαλος ἐκείνη φύσις, ἢ μᾶλλον φιλόσοφος, καὶ δίδωσιν ὅρκους ἀρρήτους, ἦ μὴν οὐ τοῖς ἀναγκαίοις
φ. 79. μόνον ἐκθρέψειν, ἀλλὰ | καὶ τοῖς περιττοῖς. Ἐπὶ τούτοις πεί-

θεται ἡ γυνή, καὶ συντίθενται πρὸς ἀλλήλας, ἡ μέν, μηκέτι μὴ δ' ὀφθαλμὸν ἀνασχέσθαι ἀρρένων, ἀλλὰ παντάπασι τῆς προτέρας ἀποστήσεσθαι ὁμιλίας καὶ συνηθείας, ἡ δέ, κοινωνήσειν αὐτῇ πάντων ὧν ἐνδεῶς ἔχοι, οἰκίας, ἐσθῆτος, τροφῆς, εἰ βούλοιτο καὶ τρυφῆς· ἔχαιρε γοῦν ὡς ἀφελομένη ψυχὴν τῷ πονηρῷ θηρὶ γενομένην κατάβρωμα. Οὕτω γοῦν περιεῖπε ταύτην καὶ λιπαρῶς ἐθεράπευεν, ὡς καὶ πολλὰς ἐκ τοῦ γένους ἐπ' ἐκείνῃ ζηλοτυπεῖν, καὶ τὴν σώτειραν καταμέμφεσθαι, τῶν οἰκείων τὴν ἀλλοτρίαν προκρίνουσαν· ἡ δέ, εἰδυῖα ἐφ' ὅτῳ προετίμα ἐκείνην, οὐ μάλα τοὺς ὀνειδισμοὺς ἐδυσχέραινεν, ἀλλ' ἡμέρως καὶ προσηνῶς μειδιῶσα ἐφ' οἷς ἐκεῖναι πληκτικώτατα αὐτῇ προσήεσαν, αὔραις τοὺς λόγους ἐδίδου. Χρόνον μὲν οὖν τινα ἡ γυνὴ ταῖς συνθήκαις ἐμμένουσα, μετήλλαξε τὴν φαύλην ζωὴν καὶ σωφροσύνης ἐκεκόσμητο κάλλεσι. Κἀγὼ γοῦν αὐτὴν ἐθεασάμην αὐτομάτως σώφρονα καὶ καλήν· τό τε γὰρ ὄμμα κατήνεγκε, καὶ ξύμπαν τὸ πρόσωπον αἰδοῖ κατεκάλυψε, θείοις τε προσήει ναοῖς, καὶ τὴν κεφαλὴν εἶχεν ὑπὸ καλύπτρᾳ, καὶ εἴ τινα ἴδοι ἐξαπιναίως, εὐθὺς ἠρυθραίνετο· ἀτημελήτως τε εἶχε τοῦ σώματος, οὔτε τὰς χεῖρας δακτυλίοις καταποικίλλουσα, οὔτε τοὺς πόδας περιέργοις καὶ ἀνθοβαφέσι σκύτεσιν ὑποδέουσα· οὕτως ὅλη μεταπεποίητο, καὶ ἀκριβῶς εἰς τὴν ἐναντίαν ἕξιν μετακεκίνητο. Ἀλλ' ὥριστο καιρῷ ἡ μεταβολή, καὶ πρινὴ πῆξιν τὸ ἔθος λαβεῖν, εἰς τὸ ἀρχαῖον εἶδος τῆς ζωῆς ὑπωλίσθησεν· ὢ τῆς πλάνης, ὢ τῆς ἀθρόας αὖθις μεταποιήσεως! ἐλάνθανε δὲ τοῦτο ἄρα τὴν ἀδελφήν, καὶ ἡ μέν, ἑταιρήσεως εἶχεν αἰτίαν, ἡ δέ, ὡς καθάπαξ μεταβεβλημένῃ, διαφερόντως ἔστεργέ τε καὶ ἐθεράπευεν· ἔμελλε δὲ ἄρα κἀκείνην γνῶσιν τοῦ κεκρυμμένου λαβεῖν, κἀνταῦθά μοι τὸ τῆς διηγήσεως ἥδιστόν τε καὶ σκυθρωπότατον, διαιτήσει δὲ ὁ λόγος ἀμφοῖν.

Κύουσα τηνικαῦτα ἡ ἀδελφὴ πρὸς ταῖς ὠδῖσιν αὐταῖς ἐγεγόνει· ἐδυστόκει δὲ ἄρα καὶ πονήρως εἶχε τῆς ἀποτέξεως, αἱ δὲ περὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὰς ὠδῖνας περιεῖπόν τε καὶ ἀμφιπόλευον, ἐγείρουσαι ταύτας καὶ ἀνιεῖσαι, καὶ τοῖς ὀλίσθοις τὸ βρέφος διευπρεπίζουσαι· ἐκοινώνει δὲ τῆς μαιείας αὐταῖς καὶ ἡ τὸ πλάσμα τῆς σωφροσύνης περικειμένη, καὶ ἡ ἀδελφὴ ἐκείνη μᾶλλον ἢ ταῖς μαίαις προσανεπαύετο· περὶ ὅ τις ἐκείνων ζηλοτυπήσασα « ἀλλ' ἐκ ταύτης σοι, φησί, τὸ δυστοκεῖν! ἐγκύοις γὰρ οὐκ ἀνεῖται διδόναι τὰς χεῖρας ταῖς ἐν ὠδῖσι· τοῦτο γὰρ ἴσως ἡ γυναικωνίτις νομοθετεῖ ». Ἡ δὲ ἀδελφὴ « καὶ τίς ἄρα, φησίν, ἐνταῦθ' ὑμῶν κύει; » ἡ δέ, αὐτίκα ἐκείνην ἐδείκνυ, καὶ τὸν χιτῶνα διαλαβοῦσα προὔφαινε τὴν γαστέρα. Ἐνταῦθα μικροῦ δεῖν ἐξεπεπνεύκει ἡ ἀδελφή, καὶ τῶν ὠδίνων ἐπιλαθομένη, ὀδύναις ἀρρήτοις ἐπὶ τῷ λόγῳ διῄρητο τὴν ψυχήν· ἀλλ' οὐδ' οὕτως τοῦ γενναίου ἀπολέλειπτο λήμματος, ἀλλὰ τὴν μέν, εὐθὺς φυγεῖν ἐπ' ἔσχατα παρεκελεύσατο γῆς, τῇ δέ, αὐτίκα ὁ τόκος ὡραίως τε εἶχε, καὶ τὸ βρέφος ἐξέθορε.

Ταύτην παραδόξως ἡ φύσις ἐβλάστησε μετὰ τοῦ πρώτου κάλλους τῆς ὥρας, καὶ παραδοξότερον ἐξεῖλεν ὁ θάνατος, κἂν τῷ εἰδώλῳ τὴν ἀμήχανον εὐμορφίαν ἀφεὶς καὶ μὴ συλήσας ἐκεῖθεν, οἶμαι μὴ δυνηθείς.

Ἐγὼ μὲν οὖν τηνικαῦτα συμβὰν οὕτω, ἐν τοῖς πρὸ τῆς πόλεως διῃτώμην ἀγροῖς, ἀνδρί τινι τῶν πάνυ γενναίων περὶ τοὺς λόγους βραχύ τι συναποδημήσας πεπιστευμένῳ δικάζειν οὐ σμικρὸν μέρος τοῦ ἑσπερίου τμήματος· ἐγὼ μὲν οὖν τότε πρῶτον ἐξῆλθον τῆς πόλεως, καὶ τὸ περιφράττον τεθέαμαι τεῖχος, εἰπεῖν δὲ καὶ ξύμπαν τὸ ὕπαιθρον, ἑκκαιδεκέτης ὤν, καὶ μείζονα ἔχων τοῦ χρόνου τὴν ἡλικίαν, ἄρτι τοῦ ποιημάτων ἀκούειν ἀπαλλαγεὶς καὶ παρακύψας εἰς τὴν τῶν λόγων τέχνην σὺν χάριτι· τῇ δέ μοι ἀδελφῇ, ὡς ὕστερον ἔφασαν οἱ γεννήτορες, νόσος ἐνσκήπτει περὶ τοῖς σπλάγχνοις δεινή· καὶ τὸ μὲν ἧπαρ ὕπουλον εὐθὺς ἦν, εἶτα δὴ καὶ οἰδοῦν, πυρί τε μυχίῳ τὸ ξύμπαν κατεπίμπρατο σῶμα, καὶ ἡ φύσις ὑπεδίδου, τῷ δυναστεύοντι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εἴκουσα, καὶ οὔπω δαπανηθεῖσα τῷ τήκοντι, ἐπ' ἀνθηρῷ ἔτι καὶ εὐσάρκῳ ἐτεθνήκει τῷ σώματι. Ὁπόσα μὲν οὖν εὐθὺς συμβεβήκει παρὰ τῶν γεννησαμένων ἐπὶ τῷ πάθει, ὕστερον ὁ λόγος δηλώσει, νῦν δὲ ἐχέσθω τῶν ἐφεξῆς. Ἐπεὶ οὖν μοι ἡ ἀδελφὴ πρὸ ὥρας ἀπόλωλε, καὶ οὐκ ἦν ἀναλυθῆναι τοῖς γονεῦσι τὸ γεγονός, οὐχ ἧττον ἐπ' ἐμοὶ ἐδεδοίκεσαν μὴ τῷ τῆς ἀκοῆς ἀπροσδοκήτῳ καταπλαγείς, πάθος αὐτοῖς πάθει συνάψω μεγίστῳ οὐκ ἔλαττον· ᾔδεισαν γὰρ ἡμῖν ἀλλήλοις τὸ σύμπνουν, καὶ ὡς τῷ μέρει ἀπολωλότι, τὸ πᾶν σχεδὸν ξυναπόλλυται· ἐβούλοντο οὖν με ἐν χερσὶν ἑλεῖν καὶ κύκλῳ λόγων περιλαβεῖν, εἶθ' οὕτως αὐτὸ τῆς πληγῆς τὸ κέντρον ἐκφῆ|ναι· ὅθεν μοι καὶ ἐπιστολὴν φ. 79ʳ. προὔπεμψαν τὴν πρὸς αὐτοὺς ἐπὶ μήκιστον ἀκοινωνησίαν κατονειδίζουσαν, καὶ τὴν περὶ τοὺς λόγους ἀμέλειαν ἐπισκώπτουσαν, καὶ ὡς οὐχ ὡς ἀρχόμενος λήγω, ἀλλ' ὀξέως ἐκθορόν τι τῆς ἀφετηρίας ἐπιλείπει ταχὺ τοῦ δρόμου τὸ πνεῦμα, προσέθεσάν τι καὶ τῶν παρὰ τῆς ἀδελφῆς εἰωθότων, οἷς ἐγὼ πολλάκις τεθηραμένος ἐτύγχανον. Τούτοις οὖν με πρὸς αὐτοὺς ἀναστρέφουσι· κἀκεῖνοι μὲν ᾤοντο διαλαθεῖν τὸ μηχάνημα, ἐγὼ δ' ἑτέρωθεν ἐκπολιορκηθεὶς ἑάλωκα, καὶ πρὸ τῆς καλῆς ἀπάτης κατήνεγκεν ἡ ἀλήθεια, τὸ δ' ὅπως ὁ λόγος ἐρεῖ.

Ἔτυχον μὲν οὖν ἤδη τὸ τεῖχος εἰσεληλυθώς, καὶ κατ' ἐκεῖνο τὸ μέρος γενόμενος ἔνθα τὸ σῶμα τῆς ἀδελφῆς τέθαπτο· ἑβδομαία δὲ παρὰ τὰς ταφὰς οὖσα ἐτύγχανε, καὶ πολλοὶ τῶν ἐκ τοῦ γένους παρῆσαν, τήν τε κειμένην πενθήσοντες καὶ τὴν μητέρα παρηγορήσοντες· αὐτοῦ γοῦν τῶν συγγενῶν τινι ἐντυχών, ἀνδρὶ ἁπλοϊκῷ καὶ γενναίῳ, μήτε τὴν ἀπάτην εἰδότι, μήθ' ὅτι πρὸς τῶν γεννησαμένων θηραθεὶς ἕλκομαι, περί τε τοῦ πατρὸς ἐπυθόμην, καὶ τῶν ἄλλως ἐμοὶ προσηκόντων· ὁ δέ, μηδέν τι συμπλέξας ἢ ἐπηλυγάσας τοῦ ἀληθοῦς « ὁ μὲν πατὴρ τοὺς ἐπικηδείους, φησί, θρήνους τῇ θυγατρὶ ἀποδίδωσιν, ἡ δὲ μήτηρ ἐπ' αὐτῷ καὶ δὴ πάρεστιν, ἀπαρακλήτως, ὡς οἶσθα, περὶ

τὴν συμφορὰν ἔχουσα». Ὁ μὲν οὖν ταῦτ' εἶπεν, ἐγὼ δὲ οὐκ οἶδ' ὅπως ἐπεπόνθειν· ὥςπερ γὰρ πυρὶ θείῳ διακαείς, αὖος ἐγεγόνειν καὶ ἄναυδος· κατωλίσθησα γοῦν καὶ τῆς περὶ τὸν ἵππον ἕδρας· καὶ ἡ περὶ ἐμὲ φήμη τὰς τῶν γονέων κατείληφεν ἀκοάς. Θρῆνος οὖν ἄλλος ἐγήγερτο καὶ κλαυθμὸς ἐπ' ἐμοὶ πολὺ τοῦ προτέρου σφοδρότερος· ἐπὶ γὰρ ἡμμένῳ πυρὶ καὶ βραχύ τι ὑποβληθὲν ἔκκαυμα ἐγείρει τὴν φλόγα καὶ ἀναρριπίζει τὸ πνεῦμα, καὶ διπλασιάζει τῆς πυρκαϊᾶς τὴν ὑπερβολήν· ὡς γὰρ ᾔσθοντο, καθαπερεὶ μεμηνότες ἔθεον ἐπ' ἐμέ· καὶ τότε πρῶτον ἡ μήτηρ τὴν ὥραν ἐδημοσίευσεν, ἀρρένων καταφρονήσασα ὄψεως. Κατενεχθέντες γοῦν ἐπ' ἐμοὶ κειμένῳ, καὶ ἄλλος ἀλλαχόθεν μεταλαβόντες, τοῖς ἑαυτῶν θρήνοις ἀνεκαλέσαντο· εἶτα δῆτα καὶ ἡμιθνῆτα περιαγαγόντες τῷ τῆς ἀδελφῆς τάφῳ ἀποδιδόασιν· ἀλλ' ὤ, πῶς ἐφέξω καὶ νῦν τὸ δάκρυον διηγούμενος, πῶς δὲ καὶ ἐξυφᾶναι τὸν λόγον δυνήσομαι, ἀχλύϊ καταληφθεὶς τὴν ψυχήν; λέξω οὖν ὡς ἂν οἷός τε ὦ, κρείττοσι λογισμοῖς ἀναρρωννὺς ἐμαυτόν. Ὡς γοῦν τοὺς ὀφθαλμοὺς ἀνοίξας, τὸν τύμβον ἐθεασάμην τῆς ἀδελφῆς, καὶ ἐπεγνώκειν τὸ πάθος, καὶ ξυνείλοχα τὸ φρονοῦν, ἀθρόον κατενεχθεὶς ὥςπερ ἐπιτυμβίους χοὰς τοὺς τῶν δακρύων ὀχετοὺς τῇ κειμένῃ κατέσπενδον· ὦ γλυκεῖά μοι λέγων, οὐκ ἀδελφὴ μόνον, ἀλλὰ καὶ εἴ τι ἕτερον ὄνομα συγγενέστερον ἢ συμπαθέστερον· ὦ κάλλος ἀμήχανον, φύσις ἀσύγκριτος, ἀρετὴ ἀπαράμιλλος, ἔμψυχον ἄγαλμα, κέντρον πειθοῦς, λόγων σειρήν, χάρις ἀνίκητος· ὦ πάντα ἐμοὶ καὶ πλέον ἢ ψυχή! ἀλλὰ πῶς ἀπῆλθες ἀφεῖσα τὸν ἀδελφόν; πῶς δὲ ἀπερράγης τοῦ συμφυοῦς; πῶς δὲ καὶ τὴν μοναυλίαν μέχρι πολλοῦ καρτερεῖς; ὤ, ποῖός σε σταθμὸς ὑπεδέξατο, ποία ἀναπαύει λαχοῦσα καταγωγή, τίνες λειμῶνες, τίνες χάριτες; ποῖός σε καταθέλγει παράδεισος; τί δ' ἐστὶν ἐκεῖνο τὸ κάλλος ὃ τῆς ἐμῆς ὁμιλίας καὶ θέας προκέκρικας; ποῖόν σε ἄνθος ἀνθέλκει, τίνες ῥοδωνιαί, ποῖον βλύζον ὑδάτιον; τίνες ἀηδόνες, ποῖοι τέττιγες ἡδεῖαν ἱέντες φωνήν;

τὸ δέ σοι κάλλος τοῦ σώματος, πότερον ἡ φύσις παραλαβοῦσα παραφυλάττει καὶ ταμιεύει, ἢ ὁ χοῦς ἐξανάλωσε, καὶ ἀπέσβη σοι τῶν ὀφθαλμῶν ὁ λαμπτήρ, καὶ τὸ ἐπὶ τοῦ χείλους ἄνθος ἠφάνισται, καὶ οὐ διαλέλυται ἡ συνθήκη, καὶ ἡ σύγκρισις αναλέλυται, ἢ ἔτι σου μένει τὸ κάλλος ἐν θησαυρῷ τῷ τάφῳ τηρούμενον; ἣν μὲν οὖν τὸ ἀπελθὸν ἀπὸ σοῦ πνεῦμα ὅλον ἐπέστραπται πρὸς θεόν, καὶ οὐδαμοῦ σοι τῶν ἐνταῦθα λόγος, οὐ δὲ ἀνάμνησις, ἔχου τῆς ἐνταῦθα θεωρίας καὶ τῆς ἐλλάμψεως· οὐ μέμφομαί σοι τὸ ἀκοινώνητον, οὐκ ὀνειδίζω τὸ ἀμετάδοτον, ὑπὲρ τὴν ἡμετέραν φύσιν ἡ μετοχή· εἰ δὲ βραχύ τι καὶ πρὸς τὸ ὁρατὸν νένευκας, μὴ φθονήσῃς ἡμῖν τῆς ἐπὶ σοὶ μετουσίας, ἔχε λαβοῦσα καὶ κοινώνησόν μοι τῆς λήξεως· εἰ δὲ κἀνταῦθα ὀφθήσομαι ἄμετρος, ἀλλ' ὅ γε τάφος οὐ διαιρήσει με τοῦ σώματος, ἀλλὰ τῆς ἀμφοῖν ἀναλυθείσης κόνεως, μεθέξω σοι τῆς συναναλύσεως κἂν ἐν τῷ χείρονι!

Ταῦτα μὲν οὖν καὶ ἕτερα τούτων περιπαθέστερα ἐπωλοφυράμην τῷ τάφῳ τῆς ἀδελφῆς· ἀνῴμωζον δὲ οἱ γεννήτορες μονονοὺ ῥανίδας αἱμάτων ἐκ τῶν ὀφθαλμῶν καταρρέοντες· συνεθρήνει δὲ καὶ πᾶν τὸ συνδεδραμηκὸς πλῆθος· καὶ τοσαύτη τις ἦν ἡ τοῦ πένθους ὑπερβολή, ὡς μικροῦ δεῖν ἅπαντας τῷ πάθει κατενεχθῆναι καὶ εἰς ἀφωνίαν περιστῆναι τὴν συμφωνίαν τῶν ὀδυρμῶν. Μόλις γοῦν με τοῦ τάφου ἀποσπάσαντες οἱ γεννήτορες, « ἀλλ' οἴκτειρον ἡμᾶς, ἔφασαν, σπλάγχνον γλυκύτατον! τήρησον ἡμῖν τὸ ἐλλελειμμένον τοῦ πνεύματος, μηκέτι διαφθείρῃς εἰς τέλος, | μὴ δὲ σέ τις αἰτιάσαιτο τῆς ἡμετέρας φθορᾶς· ναί, πρὸς φ. 80.
τῶν δε τῶν πολιῶν αἵ σε ἀνέθρεψαν, πρὸς τῶν ἡμετέρων ψυχῶν, αἳ δὴ τῷ ἐπὶ σοὶ πνεύματι τοῖς σώμασι τοῖσδε κεκράτηνται! » Κἀκεῖνοι μὲν οὕτως· ἐμοὶ δὲ καὶ αὖθις εἰς θρῆνον ὁ θρῆνος ἀπετελεύτησεν. Ὡς γὰρ ἰδὼν ἐπεγνώκειν τὴν μητέρα, μέλαν ἀμφιασαμένην τριβώνιον, καὶ πανταχόθεν ἑαυτὴν τριχίνοις ῥάκεσιν ἀτιμάσασαν, οὐκ εἶχον ὅτι γενοίμην, ἀλλὰ μικροῦ δεῖν καὶ ἀπολώλειν.

Ἐγεγόνει γὰρ τὰ κατ᾽ αὐτὴν τοῦτον τὸν τρόπον. Ἐλύετο μὲν ἡ ἀδελφὴ καὶ ἀνέπνει τὰ τελευταῖα τῷ κόλπῳ τῆς μητρὸς ὑποθεῖσα τὴν κεφαλήν, μήτε δὲ τῆς ψυχῆς παρεθείσης, μήτε παρακινηθείσης τῆς γλώττης, μήτε μὴν ἐπιλελοιπότος τοῦ πνεύματος, φυσικῶς καὶ ἀβιάστως τὸ τῆς φύσεως χρέος τοῖς εἰσπραττομένοις ἀπέδοτο· ῥώσασα δέ πως τηνικαῦτα ἑαυτὴν ἡ μήτηρ συνῆψε τὰς βλεφαρίδας, καὶ δακρύων ἀθρόον ὑποπλησθεῖσα, μᾶλλον δὲ πυρὶ ἀφάτῳ ὅλη καταφλεχθεῖσα, καὶ τὰ ἐπιτάφια στενάξασα, καὶ δακρύσασα, ἐπεὶ καὶ τὸν ἄνδρα εἶδεν ὑποκινηθέντα τῇ ῥύμῃ τῆς συμφορᾶς· ἦν γὰρ καὶ ἄλλως ἐκεῖνος εὐκατάφορος πρὸς τὰ τοιαῦτα παθήματα, καὶ γινώσκω τὸν χαρακτῆρα ἐν τοῖς ἐμοῖς εἴδεσι τῆς ψυχῆς· ὡς οὖν οὕτως ἔχοντα ἐθεάσατο, βραχύ τι ἐπιτάξασα τῇ ψυχῇ μὴ συγχεῖσθαι τῷ πάθει· ὢ γενναίου καὶ ἀνεπικλύστου φρονήματος καὶ ἐν τοσούτοις ἀχειμάστου πελάγεσι! φιλοσοφεῖ τι τῶν πολλῶν ὑψηλότερον καὶ τοῦ καιροῦ δυνατώτερον, καὶ λόγους πολλοὺς τῷ ἀνδρὶ περὶ τῆς κρείττονος μεταβολῆς ἀνελίξασα, συνήγορον ἅμα καὶ τὸ πάθος λαβοῦσα πρὸς τὴν πειθώ, θηρᾷ παρ᾽ ἐλπίδας, καὶ οὐκ ἀναβάλλεται τὸν καιρόν, ἀλλ᾽ εὐθὺς τὰ πρωτόλεια τῆς μεταθέσεως θύει τῷ κρείττονι· καὶ μεταμφιέννυται τὴν στολήν, καὶ κείρει τὰς τρίχας, καὶ τριβωνοφορεῖ ἔτι ἀκμαίαν τὴν ὥραν ἔχουσα, οὔπω ἀποβεβληκυῖα τὸ ἄνθος, ἔτι φύλλοις κομῶσα, οὔπω ῥυσοῦν τὸ πέταλον ἔχουσα, ἔτι τὸν κλάδον ἁπαλὸν φύουσα, ἔτι ὀπώρας βλαστάνουσα. Συνῄνει δὲ τοῖς λεγομένοις καὶ ὁ πατήρ· καὶ οὕτω δὴ ἐπὶ τὰς ταφὰς τὴν ἀδελφὴν ἐκκομίζουσιν, ἔτι καταλαμπομένην τῷ κάλλει, ἔτι τὴν φαιδρὰν χάριν τοῦ προσώπου προφαίνουσαν.

Ἔφασαν οὖν ὡς ἐπειδὴ τὰς τῶν τριχῶν αὐτῆς κατέξαναν ἕλικας, καὶ τῶν ἐσχάτων τῆς κλίνης οἱ τὸν νεκρὸν κοσμήσαντες ἀπηώρησαν· ἦν γὰρ ἄλλως ἐκείνη τὴν κόμην χρυσῆ καὶ πολύχους· καὶ ἡ ἐκφορὰ μετέωρος ἦν καὶ τοῖς ἐκ τριωρόφων

καταφανής, οὐκ ἔστιν ὅς τις πρὸς ἐκείνην μεταστρέψας τὸν ὀφθαλμόν, ἢ οὐκ ἀποβεβήκει τοῦ ἵππου, ἢ οὐ καταβεβήκει τοῦ τριωρόφου· πάντες γοῦν καὶ πᾶσαι συνείποντο καὶ τῆς θρηνῳδίας μετεῖχον κοινῇ. Τοιαύτη τῇ μητρὶ ἡ πρὸς τὸν κρείττονα βίον μετάθεσις, αὕτη ἐκείνῃ τοῦ μοναδικοῦ βίου ἡ πρόφασις, τοῦτο τὸ πάθος πρὸς τὴν ἀπαθῆ ζωὴν ἐκείνην μετήνεγκεν, οὗτος ὁ θάνατος ἀθανασίας ἐκείνῃ πρόξενος γίνεται.

Οἷα δὲ καὶ τὰ μετὰ ταῦτα; οὐ γὰρ ἅπαξ τὸ ἴχνος ἐρείσασα τῷ κρείττονι βίῳ, καὶ πρὸς τὸν δρόμον εἰσβᾶσα τὸν θεῖον, καὶ πρὸς τὸ πνευματικὸν καταβᾶσα στάδιον, συνεχύθη τὴν ψυχήν, ἰδοῦσα τὸ θέατρον ἐξ ἀγγέλων καὶ ἀνθρώπων πληρούμενον, ὃ δὴ πάσχουσιν ἔτι καὶ τῶν ἀρρένων οἱ πλείους, καὶ οἱ μὲν ἀπ' αὐτῆς ὑποστρέφουσι τῆς ἀφέσεως, οἱ δὲ τῆς ὁδοῦ ἀναλύουσι, καὶ ἀπαλλάττονται ἀστεφάνωτοι· ἀλλὰ προμηθευσαμένη καὶ τὸν τάφον τῆς ἀδελφῆς ἐκεῖσε διορυγῆναι οὗ ἐκείνη ἔμελλεν εἶναι ἀπρόϊτος· μένει γὰρ ἔτι καὶ μενεῖ φιλοσόφοις ψυχαῖς πρὸς ἀρετὴν ἀσκητήριον· ἐκεῖσε καθείργνυσιν ἑαυτήν, εὐθὺς ἀποταξαμένη καὶ οἴκῳ καὶ βίῳ, εἰπεῖν δὲ καὶ αἵματι καὶ σαρκί, πλὴν ὅσον ἐν καλῷ τὰ προσόντα ἐπιτροπεύσασα, καὶ τούτοις ἑαυτὴν πρὸς ὃν ἐστέλλετο βίον ἐφοδιάσασα.

Ἐπεὶ δὲ οὕτως καθαρῶς καθωσίωτο τῷ θεῷ, οὐδὲ ὑπὸ καθηγεμόνι πνευματικῷ τὰ τῆς μεταβολῆς ἐτετέλεστο, βουλεύεταί τι πάλιν ἐνταῦθα συνετώτερον, ἢ σοφώτερον· προθύει τὸν πατέρα θεῷ, καὶ δίδωσιν αὐτῷ πάλιν τὰ πρεσβεῖα καὶ τῆς ἑτέρας ζωῆς. Ἐπεὶ δὲ τὴν τοῦ μέλους ἀφιέρωσιν ἐθεάσατο, ἀποδίδωσι τῆς ὁλοκαυτώσεως τὸ μέρος τῷ κρείττονι, καὶ τὸ πρῶτον τῆς ἀναγωγῆς τελεῖται μυστήριον.

Τὰ δ' ἐντεῦθεν, οὐκ ἔχω τίσι λόγοις ἐκείνην ἐγκωμιάσω· ὥςπερ γὰρ εἴ τι σῶμα γενναῖον εἰς κύκλον ἀποτορευθέν, εἶτα δὴ ἐφ' ὁμαλοῦ κινοῖτο χωρίου, δείκνυσι μὲν κἀνταῦθα τὸ εὔδρομον καὶ εὐκύλιστον τῷ ἐπιτηδείῳ τοῦ σχήματος, ἐπειδὰν



ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

δὲ ἐπικλινοῦς ἐδάφους ἢ πρανοῦς ἅψηται, ὅλον εὐθὺς ἀκατασχέτῳ φορᾷ φέρεται πρὸς τὸ κάταντες, οὕτω δή μοι καὶ ἡ μήτηρ, εὐάγωγος καὶ πρῶτον οὖσα τὴν ψυχὴν πρὸς τὸ κρεῖττον, καὶ πρὸς τὸ καλὸν εὔτροχος διὰ τὴν τῆς φύσεως ἐπιτηδειότητα, ἐπειδὴ πρὸς τὴν πνευματικὴν μετεληλύθει ζωήν, ἥτις δὴ κατάντης ἐστὶ πρὸς τὴν ἀρετὴν καὶ εὐάγωγος, εὐθὺς ἀκωλύτῳ φορᾷ πρὸς τὸ τῆς καθόδου τέλος ἠπείγετο· μὴ γὰρ ἔτι μεριζομένη σώματι ἅμα καὶ πνεύματι, ὕλῃ καὶ ἀϋλίᾳ, πηλῷ
φ. 80ᵛ. καὶ ἁγίᾳ γῇ, μὴ δὲ | διαιρουμένη κοσμοκράτορι καὶ θεῷ, ἀλλὰ καὶ πᾶσαν μὲν ἐπιθυμίαν, πᾶσαν δὲ ἔφεσιν συμμεταγαγοῦσα θεῷ καὶ συναποκλίνασα, ὅλαις πρὸς ἐκεῖνον ἐφέρετο ταῖς δυνάμεσι τῆς ψυχῆς. Εὐθὺς γὰρ ὑφαιρεῖ τὴν σάρκα, καὶ καθαιρεῖ τὸν ὄγκον, καὶ τὸ σῶμα κενοῖ τὸν δεσμὸν τῆς ψυχῆς, καὶ καταφρονεῖ πάσης οἰκονομίας τῆς φύσεως, συνάγει δὲ περὶ ἑαυτὴν τὴν ψυχὴν καὶ συστέλλει ἀπὸ τῶν αἰσθήσεων· καὶ πᾶσαν μὲν αὐτῇ ὑποτάττει ἐπιθυμίαν, δουλοῖ δὲ ἅπαν τὸ ἄλογον, ἀναιρεῖ φαντασίαν ἔκτοπον, καὶ λογισμὸν ἔκφυλον, καὶ δόξαν ἄλογον, καὶ φιλόϋλον αἴσθησιν, καὶ διάνοιαν διαρρέουσαν, νῷ δὲ συζῇ μόνῳ, καὶ τούτῳ ὀργάνῳ χρῆται πρὸς τὴν θείαν ἀναγωγήν.

Ἔδει μὲν οὖν θεατὰς ὑμᾶς εἶναι, ἀλλ' οὐκ ἀκροατὰς τῶν ἐκείνης καλῶν· οὕτω γὰρ ἂν ἐγώ τε ἀπηλλάγην ὑποψίας, καὶ ὑμῖν ὦπτο τὸ ἀληθές· νῦν δὲ οὔτε τὸ πᾶν ἐρεῖν δεδύνημαι, κἂν τῷ βραχεῖ τῶν ἐκείνης καλῶν ὑποπτευθήσομαι τοῖς πολλοῖς· ὥς περ γὰρ αἰδουμένη ὅτι καὶ εἰς σῶμα καταβεβήκει, ὃ δὴ περί τινος τῶν παρ' Ἕλλησι φιλοσοφησάντων τεθρύλληται, βραχύ τι μὲν τοῦ προσώπου μέρος, βραχύ τι δὲ παρενέφαινε τῶν χειρῶν, καὶ ἑωρᾶτο γυμνὸν αὐτῆς μέρος οὐδέν· ἐφιλοσοφεῖτο δὲ ἑαυτῇ τὸ δέρας, οὐκ ἀμέσως μόνον προσομιλοῦν τῷ σώματι, ἀλλὰ καὶ ἔξωθεν προστιθέμενον, νυκτὸς δὲ καὶ ἐπὶ τούτου μόνου κατέδαρθεν. Ἐβούλετο μὲν οὖν μὴ δὲ τρέφειν ὅλως τὸ σῶμα, ἀλλ' ὥς περ τινὰ πέδην τῆς ψυχῆς παραξέειν τε καὶ χαυνοῦν·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐπεὶ δὲ οὐκ ἦν πρὸς τὴν φύσιν παντελῶς ἀπομάχεσθαι, πρὸς γοῦν τὸν καιρὸν γενναίως ἀνθίστατο, καὶ τοῦ μέτρου δὲ τοσοῦτον ὑφήρει, ὅσον μὴ δὲ μέτρον ἔχειν τὸ ἄμετρον. Θεῷ δὲ προσιοῦσα, εἰ μὲν εὐθὺς ἀνήρπαστο, οὐ μάλα οἶδα, οὕτω δὲ πᾶσιν ἐῴκει· οὐ μετέστραπτο γάρ, οὐδ' ἐκεκίνητο ταύτης, οὐ κεφαλή, οὐ χεῖρες, οὐ πόδες, οὐδέ τι τῶν τῆς περιβολῆς μέρος, ἀλλ' ἦν ὥςπερ ἡ ἐν σανίσι σκιά, τοσοῦτον μόνον μεταβαλλομένη, ὁπόσον ἀποκάμνων ὁ ὀφθαλμὸς ᾤετο· ἐγνωρίζετο δὲ ὅτι γε ζῴη τοῖς στεναγμοῖς καὶ τῷ σχήματι. Ἐφιλοσόφει δέ μοι πολλάκις περὶ τοῦ πράγματος, ὅτι ἐντυχία τίς ἐστι τοῦ κρείττονος ἡ εὐχή, καὶ οὐ δεῖ μεταβεβλῆσθαι τὸν ἐντυγχάνοντα, ἄχρις ἂν τὸ ὁμιλοῦν ἀποστῇ· ἀπόστασιν δὲ τοῦ θείου, τὴν τῆς ψυχῆς ἔλεγεν ἀνεπιτηδειότητα· οὐ γάρ που δεῖ φησιν ἐκεῖνο λέγειν ἐκτείνεσθαι ἢ συστέλλεσθαι, ἀλλὰ τὸ μὲν ἀνεκφοίτητόν τε ἐστὶν ἑαυτοῦ, καὶ ἁπανταχοῦ ἕστηκεν, ὡς φῶς, ὡς ἀήρ, ὡς ἄλλο τι τῶν κοινῶν τε καὶ ἐκκειμένων, ὡς σάλπιγξ ἠχοῦσα· ὁρῶσι δὲ τοῦτο καὶ ἠχοῦντος αἰσθάνονται ὅσοις τό τε τῆς ψυχῆς ὄμμα ἐπιτηδείως πρὸς τὴν ὅρασιν ἔχει, ἥ τε τοῦ ἠχοῦντος αἴσθησις εὐηκόως ἔχει πρὸς τὴν ἠχώ· ὅσοι δὲ ὁρῶντες οὐχ ὁρῶσιν αὖθις, ἢ ἀκούοντες οὐκ ἀκούουσιν, ἀπείρηκε τούτοις ἡ συντονία καὶ τῆς ὁράσεως καὶ τῆς ἀκοῆς· μετὰ γὰρ τῆς ὕλης ὁ νοῦς τῆς ἀϋλίας αἰσθάνεται, ὅθεν ὅπη μὲν ἀποκριθείη καθαρῶς οὗτος, εἶδέ τε τὸ θεατόν, καὶ ἠκηκόει τοῦ ἀκουστοῦ· ἐμμιχθείσης δὲ αὐτῷ τῆς ὕλης, τὸ ἐπιτήδειον εὐθὺς ἀπόλλυσιν· οὕτω γοῦν πολλοί τινες ἔδοξαν ἀκούειν φωνῶν, καὶ ἤχους αἰσθάνεσθαι, τεθειασμένην λαβόντες ψυχὴν καὶ σωφρόνως βακχεύουσαν· τηρητέον γοῦν ἡμῖν τὴν εὐχὴν ἀκλινεῖ καὶ ἀμεταθέτῳ τῷ σώματι· ἐπεὶ μὴ δὲ πᾶσα ψυχὴ τῷ σωματικῷ σκάφει κατέδυ· ἀλλὰ τὸ μὲν ὅσον αὐτῆς ἐμίγη σαρξίν, εἰς αἴσθησιν ἀπετελεύτησε, τὸ δὲ ἕτερον ἐπιπλέει ἄνωθεν ἀκρόπλουν, οἷον ἄρτημα κορυφαῖον, φελλὸς καθαπερεὶ κοῦφος μὴ κατασπασθεὶς τοῖς δικτύοις· τοῦτο γοῦν ἔξωθέν τις

ἄλλος ἀγγελικὸς νοῦς μεταστρέφει πρὸς ἑαυτὸν καὶ ἀνάγει πρὸς τὸν θεόν. Αὕτη ἐκείνης ἡ πνευματικὴ τῷ ὄντι καὶ θεία σοφία, ἣν ἄνωθεν ἐμυήθη, ἣν ἡμᾶς ἐμύει τοὺς κάτωθεν.

Ἀλλὰ περὶ μὲν τῆς μητρὸς καὶ αὖθις λέξω, ὁ δὲ λόγος καὶ πάλιν πρὸς τὸν πατέρα ὁρᾷ· ὃς ἦν μὲν καὶ ἄλλως χαρίεις καὶ τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπεὶ δὲ καὶ τῆς τελετῆς ἠξιώθη καὶ τῆς πρὸς τὸ κρεῖττον ἀναβάσεως καὶ ὑψώσεως, ἔτι μᾶλλον καλλίων καὶ χαριέστερος γέγονεν· ἐῴκει γοῦν δέσμης ἀπηλλαγμένος τινός, καὶ ἀκριβῶς ἐπτερωμένος τε καὶ ἐλεύθερος, ὥσπερ τι ἀνάθημα ἔμψυχον τῷ θεῷ γεγονώς· περιῄει γοῦν ἡδονῆς ἀκηράτου πλήρη τὴν ψυχὴν ἔχων· καὶ εἰ μέν τις ἑτέρα, πολλάκις ἔλεγεν, οὐρανῶν βασιλεία τοῖς εὐηρεστηκόσι θεῷ τεταμίευται, πάντως οἶδε θεός, καὶ ὁ εἰπὼν ἀψευδής· ἀλλὰ καὶ ἣν ζῶσι ζωὴν οἱ πρὸς ἐκεῖνον ἀπευθυνόμενοι, οὔ μοι πάνυ δοκεῖ ἀποδεῖν τῆς ἑτέρας καὶ πρώτης· ἔμοιγ' οὖν ἡ ψυχὴ οὐχ ὡς τὸ πρότερον τῷ σώματι συμβεβάπτισται, ἀλλ' ὥςπερ ἐν θείων τεμενῶν ὁρίοις χορεύει καὶ γέγηθε· καί μοι νῦν οὐ συλλελόγισται αὐτῆς τὸ ἀθάνατον, ἀλλὰ τεθεώρηται· ἀφεῖται γὰρ τοῦ σώματος καὶ ὑφέστηκε, καὶ κεχώρισται τοῦ συμφυοῦς, οὐ τὴν ἐνέργειαν μόνον καὶ τὴν οὐσίαν, τοσοῦτον δ' οὐκ ἀπολέλυται ὅσον βεβούληται τῷ δεσμήσαντι· τέως γοῦν καθαρῶς ἐπαναστρέφει πρὸς ἑαυτήν, καὶ πρὸς νοῦν ἔστραπται, καὶ διὰ νοῦ πρὸς θεόν. Ταῦτα φιλοσοφῶν ἐκεῖνος, κἀμοὶ τοὺς πολλοὺς διέλυε τῶν ἀσυλλογίστων συλλογισμῶν, καὶ ἄμεσον ἐδίδου τὴν νόησιν, ἀπὸ νοῦ προτεινόμενος ὁμοῦ καὶ συμπεραινόμενος, καὶ τῆς μέσης πλάνης μὴ προσδεόμενος· ἑώρων γοῦν αὐτὸν ἕτερον ἐξ ἑτέρου γινόμενον καὶ ταῖς ἀναγωγοῖς δυνάμεσι πρὸς τὸ ἀκρότατον ἐπαιρόμενον, καὶ τοὺς ἀπὸ Βαβυλῶνος ἀναβαθμοὺς ᾄδοντα καὶ εἰς τὴν Ἱερουσαλὴμ ἀναγόμενον.

Οὔπω πολὺς διεληλύθει καιρός, καὶ παρ' αὐτὸν ἐφοίτησα
φ. 81. προσκληθείς· καὶ εἰσιόντι, « ἀλλὰ νῦν ἔφη, τεκνίον, | οὐ πάνυ

τι τὸ χαροπόν μοι ἐκεῖνο ἐμπέφυκεν, ἀλλά τις ἀχλὺς ἀθρόον ἐπιπεπλάνηται τὴν ψυχήν· καὶ οἶδα μὲν ὅτι παρὰ τῶν χειρόνων τοῦτό μοι ἐπιδεδράμηκε φύσεων· ἡ γὰρ μερὶς αὕτη, καὶ προσέθηκε περὶ τούτου φιλοσοφῶν πλείονα, τί ποτε δρᾷ, πῶς εἴσεισι τὴν ψυχήν, καὶ τἆλλα τῆς τε φύσεως ἐκείνων καὶ τῆς ἀκριβοῦς τῶν πεπειραμένων παρατηρήσεως, ἀπώσασθαι δὲ οὐκ ἔχω τὴν πολιορκίαν, ἀλλ' ὥς περ τειχήρης ἡ ψυχὴ ἐνδομυχεῖ καὶ πρὸς τὸ βάθος ὑπείσεισι ». Ταῦτα μὲν ἐκεῖνος· ἐγὼ δὲ εἰς δέον τῇ εὐγλωττίᾳ τότε χρησάμενος, καὶ τοὺς τρόπους εἰρηκὼς καθ' οὓς κατατρέχει μὲν ἡμῶν τὰ πνεύματα, ἡμεῖς δὲ νικῶμεν ἐπιστρεφόμενοι, καὶ τὸν τάραχον αὐτοῦ ἀφελών, κατέστησα τὴν ψυχήν· καὶ « ὦ σπλάγχνον, ἔφησε, γλυκύτατον, τί δὲ οὐκ ἀντεφεστιάσω σε τοιούτοις με λόγοις ξενίσαντα; ὡς ἡδὺ δὲ καὶ τὸ χρῆμα πατὴρ καὶ υἱὸς φιλοσόφως συνδιαιτώμενοι, καὶ κοινῶν ἁλῶν συμμετέχοντες! — Ἀλλ' οὐχὶ μὴ βουλόμενον, ὦ πάτερ, ξενοδοχεῖς· ἀπηλλάγην δ' οὖν οὐδαμῶς, εἰ καὶ μὴ αὐτὸς ἐπὶ τὴν σὴν ξενίαν μὲ παρεκάλεσας ». Βραχύ τι πρὸς τὸν λόγον παρεμειδίασεν ὁ πατὴρ « καὶ εἰ μὲν εἰσί τινα, ἔφη, ζῶα τὰ ἔκγονα παλιν τεταραγμένα καὶ τοῖς φυσικοῖς κόλποις ὑποδεχόμενα, ἱστορούντων ἀκήκοα· ἔγωγ' οὖν ἄν σε καὶ τοῖς σπλάγχνοις ἡδέως ἐνέθηκα ἀναρρήξας αὐτά ». Τὴν ἡμέραν τοίνυν ἐκείνην κοινῇ συνεστιαθεὶς τῷ πατρί, ἐπειδὴ πρὸς καταφορὰν ἐκ πολλοῦ ὁ ἥλιος ἐγεγόνει, πολλοῖς τοῦτον κατασπασάμενος ἀσπασμοῖς, ἐκδὺς τοῦ ἀσκητηρίου ἀπηλλάγην, ἐκεῖνον μὲν φαιδρὸν ἐγκαταλιπών, αὐτὸς δ' οὐ πάνυ εὔθυμος ὤν· ὅθεν ἔδοξέ μοι ἀπιέναι πρὸς τὴν μητέρα, κἀκείνῃ φαρμάκῳ πρὸς τὸ πάθος χρήσασθαι τῆς ψυχῆς· ἡ δέ με τότε ὥς περ ἀπόδημον εἰσεδέξατό τε περιχαρῶς, καὶ τῆς νυκτὸς ἐκεῖσε διαναπαύσασθαι πέπεικεν.

Ἀλλ' οὔπω μέσαι νύκτες, καί τις ἐψόφει τὴν αὔλειον, καὶ ἡ θυρωρὸς γνοῦσα ὅς τις εἴη, τεταραγμένη τῇ μητρὶ κἀμοὶ πρόσεισιν· ἤδη γὰρ πρὸς τὸν ὄρθιον ὕμνον ὁ καιρὸς ἐκείνην ἐκάλει·

προσιοῦσα οὖν « ὁ πατήρ σοι, κάλλιστόν μοι μειράκιον, (πρὸς ἐμὲ νεύσασα), ἑσπέρας ἀθρόον κατενεχθεὶς λάβρῳ θαίρεται πυρετῷ. Αὐτίκα τοίνυν ἐγώ τε πρὸς τὸν πατέρα ἐπεπορεύμην, κἀκείνη κατὰ πόδας εἵπετο· εἰσεληλυθότες οὖν τὸν οἰκίσκον, ἑωράκειμεν αὐτὸν πυρὶ μὲν ἀτεχνῶς καταπιμπράμενον, ἄσθματι δὲ πυκνῷ συνεχόμενον καὶ φλεγμονὴν ἀκριβῶς ἐν τοῖς σπλάγχνοις ὑποδεικνύοντα· ὡς δὲ καὶ τοῖς δακτύλοις τὰς τῆς ἀρτηρίας κινήσεις ἐτεκμηράμην (ἐσπουδάζετο γάρ μοι μακρόθεν ἡ περὶ τοῦτο τέχνη), ἀπειρήκειν εὐθύς· ἐκλέλοιπε γὰρ τῷ μορίῳ ἡ κίνησις, ὥς τε βραχύ τι κινεῖσθαι, ἢ μᾶλλον κατὰ τὰς τῶν μυρμήκων κινήσεις κυμαίνεσθαι. Αὖος οὖν καὶ ἀπόπληκτος εἱστήκειν, οὐκ ἔχων πότερον ἐκεῖνον ἀποκλαύσαθαι, ἢ τὴν μητέρα παραμυθήσασθαι, ἢ ἐμαυτὸν ἀποδύρασθαι· ὁ δέ, καὶ ἐγνώκει με ταραττόμενον, καὶ τῷ δεξιῷ περιλαβών με βραχίονι, « ἐγὼ μέν, ὦ τέκνον, ἄπειμι, ἔφη, τὴν τεταγμένην πορείαν καὶ ἣν ὁ λόγος ἀφώρισε· σὺ δέ, ἀλλὰ καὶ σαυτῷ παρακέλευε μὴ θρηνεῖν, καὶ τῇ μητρὶ ἀρκοῦσα παραμυθία γενοῦ ». Εἶτα δὴ βραχύν τινα ἐπισχὼν χρόνον, καὶ τοὺς ὀφθαλμοὺς διανοίξας ἀθρόον, καί τι ἀσαφῶς ὑποψιθυρίσας, ὁμοῦ τε τάς τε βλεφαρίδας ἀφῆκε τοῖς ὄμμασι, καὶ ἐξεπεπνεύκει, τὴν μὲν ψυχὴν θεῷ παραθεὶς ἐμὲ δὲ εἰς θρήνων ἐξουσίαν ἀφείς.

Ἐπειδὴ γὰρ οὔπω παρῆν οὐδεὶς τῶν συνασκησάντων, τῷ ἐκείνου στήθει ἐπιπεσών, καὶ τὴν καρδίαν καταφιλῶν, ὦ πάτερ! ἔλεγον, καὶ τοῦτο πολλάκις, καὶ αὖθις ἐπεῖχον, οὐ γὰρ ἦν μοι τὸ πνεῦμα συνειλεγμένον· ἔπειτα δὴ συλλέξας, καὶ βύθιόν τι ἀσθμήνας, ὦ πάτερ, αὖθις ἐβόων, ποῦ ποτε ἀθρόως πεπόρευσαι; πῶς δὲ ἀπέπτης καταλιπὼν τὸν υἱόν; ὢ αἰφνιδίου διχοτομίας, ὢ πικρᾶς διαιρέσεως! ἔτι ἡ πρὸ τῆς ἑσπέρας τῶν σῶν λόγων ἠχὼ ἐναυλεῖ μοι τῇ ἀκοῇ, ἔτι δοκοῦμεν φιλοσοφεῖν καὶ περὶ ψυχῆς διαλέγεσθαι· τίποτε ἦν ἐκεῖνο τὸ βέλος ὅ σου ἐξαπιναίως τὴν ψυχὴν ἐτραυμάτισε; τίς ἀφῆκε τὴν λόγχην ἐκείνην ἐπὶ

τὰ σπλάγχνα; τίς τὸν θανατηφόρον ἐκεῖνον ἐνέχεέ σοι ἰόν; ἐγὼ δὲ ἐδόκουν τὸν οἰστὸν ὑφελεῖν, τάχα που καὶ ἀνέρρηξά σου τὴν ὠτειλὴν τοῦ βέλους, τὴν ἀκμὴν ἀφαιρούμενος, τάχα σου κατέξανα τὴν πληγήν· σὺ δὲ μεταβεβληκότι ἐῴκεις καὶ ἀνήνεγκας τὴν ψυχήν· ὤ μοι τῶν ἐξιτηρίων ἐκείνων ῥημάτων καὶ τῶν προπεμπτηρίων φιλημάτων! Καὶ σὺ μὲν ἴσως, ὦ πάτερ, τὰς τελευταίας ἡμῖν ἐδίδους περιπλοκάς, ἀπαίρειν μέλλων καὶ στέλλεσθαι πρὸς ἐκδημίαν μακράν, ἐγὼ δὲ ᾤμην φύσεως εἶναι ταῦτα φιλοτιμίαν εἰς φιλοστοργίαν χαλασθείσης ἀθρόον, οἷα δὴ πολλὰ εἴωθεν· οὐκ οἶδα ποῖ τράπωμαι, πῶς δὲ τὸ ἐξοιδοῦν καταστελῶ τῆς ψυχῆς· τὴν δὲ μητέρα παρηγορήσω πρότερον, ἢ παρηγοροῦσαν εἰσδέξομαι; Σὺ μὲν οὖν, ὦ πάτερ, ἀπελήλυθας τὴν καλὴν ὄντως πορείαν, μᾶλλον δὲ ἐστάλης πρὸς οὐρανὸν τῷ ἀέρι ἐφεὶς, καὶ πρὸς θεὸν ἀναβέβηκας πρὸς ὃν τὰ πολλὰ πεπραγμάτευσαι, ἐγὼ δὲ περὶ τὸν πλάνητα τοῦτον βίον ἐλλέλειμμαι, οὐκ οἶδα εἰς ὃ τελευτήσων ἢ ἐγκαθορμισόμενος, τὸ μέγα περαιωσάμενος πέλαγος. Ἀλλ', ὦ πάτερ, τὸ γλυκὺ τοῦτο ἐμοὶ καὶ ποθούμενον ὄνομα, εἴ τις μνήμη ταῖς θείαις ὑμῶν ψυχαῖς τῶν ἐνταῦθα ἐγκάθηται, εἴ τις ἀνάμνησις παρὰ τοῦ κρείττονος δέδοται, μέμνησο τοῦ υἱέος· οὐ γὰρ ἐκκόψεις σαυτῷ τὴν ἔλλαμψιν, οὐδ' ὑφαιρήσεις τῆς θεωρίας· οὕτω γὰρ καὶ περὶ τῶν ἀγγέλων ἀκούομεν, ὅτι πρὸς τὰ ἄνω ἐπτέρωνται ἅμα καὶ τὰ | τῇδε ἐπιτροπεύουσιν· φ. 81ᵛ ἀγγελικῆς καὶ αὐτὸς ἠξίωσαι καταστάσεως, δεῖξον ἡμῖν τὸ ἀξίωμα, δεῖξον τὴν ῥοπὴν ἀμετάθετον.

Ἐγὼ μὲν οὖν ταῦτα ἀνῴμωζον, περιπλέγδην ἐχόμενος τοῦ πατρός· ὡς δὲ βραχύ τι ἀνένευσα, τότε πρῶτον ἐγνώκειν ἐπισπωμένην με τὴν μητέρα καὶ χερσὶν ὅλαις ἀνθέλκουσαν· ἐπιστραφεὶς γοῦν τεθέαμαι ταύτην, ὢ ψυχῆς ἐκείνης! ἀλλὰ πῶς ἂν εἴποιμι τὴν τῶν παθῶν αὐτῇ κρᾶσιν, πῶς δ' ὅπως κρείττων ἐγεγόνει τοῦ δυναστεύοντος; ἐδριμύττετο γοῦν τὰ σπλάγχνα δεινῶς, καὶ ἡ φύσις αὐτῇ κατενήνεκτο· ἐῴκει δὲ κρείττονι νῷ

ἐμβριμωμένη τοῖς φυσικοῖς πάθεσι καὶ ταράττουσα ἑαυτήν· ἀνέστελλε γοῦν καταρρέον τὸ δάκρυον, καὶ ἀνασπώμενον κάτωθεν ἐπεῖχε τὸν στεναγμόν, καὶ τὸ πρόσωπον ὠχριακὸς αἰδοῖ τῇ περὶ τὸ πρᾶγμα ἠρύθαινε, καὶ ἦν ἐν αὐτῇ μίξις καὶ στάσις πλειόνων ἐναντιώσεων· ἐνίκησε δ' οὖν ὅμως αὐτῇ τὸ φιλόσοφον. Εἶτα δὴ καὶ πρὸς ἐμὲ ἀτενὲς ἰδοῦσα « ἀλλ' οὐδέν σε, παιδίον, ἔφη, ὁ θύραθεν ὤνησε λόγος πρὸς θεοσέβειαν; ἀλλὰ μάτην μέν σοι ἡ παίδευσις, μάτην δὲ τεθρύλληται ἡ εὐμάθεια! οὔπω γὰρ τὸ φιλοσοφούμενον τοῖς τῆς εὐαγγελικῆς πολιτείας τροφίμοις μεμάθηκας! ἡμῖν γὰρ τοῦτο σπούδασμα, λῦσαι τὸ σῶμα δι' ἐγκρατείας καὶ ἀναλῦσαι τὴν ψυχὴν τῆς φυσικῆς ταύτης κράσεως, καὶ συνεῖναι θεῷ· καὶ τοῦτο τέλος ἡμῖν τῆς πολλῆς ἐνταῦθα πραγματείας καὶ συντονίας, οὗ δὴ νῦν ὁ πατήρ σοι τετύχηκε, καὶ νῦν πρώτως καθαρῶς ἠλευθέρωται αὐτοῦ ἡ ψυχή· ὃ δὲ νῦν ὁρᾷς, ὕλη ἐστὶ μορφωθεῖσα παρὰ τῆς φύσεως, ἐκ στοιχείων συγκειμένη, καὶ αὖθις εἰς αὐτὰ διακρινομένη. Ἦν μὲν οὖν ποτε καὶ τοῦτο τὸ σῶμα καλὸν καὶ ἐγκείμενον τῇ ψυχῇ, ἀλλ' ὁ τοῦ ὄφεως ἐκεῖνος ἰός, σκότους καὶ ἀχλύος ἐμπέπληκε· βούλεται γοῦν αὐτὸ καθᾶραι πάλιν θεός, καὶ τὸν ἰὸν ἐξελεῖν, διὰ ταῦτα διεῖλε τὸ κρᾶμα, καὶ διαιρεῖ τὸ σύνθετον, καὶ ἐκχεῖ τὸ δεινὸν φάρμακον, ἵν' αὖθις ἀναπλάσῃ καὶ οἰκοδομήσῃ, καὶ τὴν ψυχὴν τούτῳ πάλιν ἐγκαταστήσῃ· ὄψει γοῦν αὖθις τὸν πατέρα, εἴ γε βούλοιο μετὰ τοῦ συμφυοῦς ποτε σώματος, ὅτε σάλπιγξ ἠχήσει μέγα κατὰ τὰς ἡμεδαπὰς παραδόσεις, καὶ εἰδοποιήσει τὴν ὕλην ὁ πλάσας, καὶ μορφώσει τὴν κόνιν καὶ ἀναπλάσει τὸν ἄνθρωπον. Ταύτην μοι τέκνον, παιδεύου τὴν παίδευσιν, καὶ φιλοσοφίας ἔχου τῆς κρείττονος· καὶ θρηνεῖν εἴ γε βούλοιο, σαυτὸν ἀποδύρου ἔτι τῷ δεσμῷ κατεχόμενον, καὶ τῷ τοῦ βίου πελάγει πλανώμενον καὶ οὔπω ἐλλιμενίσαντα ».

Ἠδέσθην πῶς ἂν εἴποι τις, ταῦτα διεξιούσης μοι τῆς μητρός, καὶ βραχύ τι τὸν θρῆνον ἐπισχών, τόν τε πατέρα τῇ γῇ κατε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θέμην, καὶ πρὸς τὴν μητέρα μεταστραφεὶς « ἀλλὰ σύ μοι, ἔφησα, γενοῦ τοῦ κρείττονος λόγου διδάσκαλος, καὶ τῆς σῆς μετάδος σοφίας, ἣν αὐτὴ δαψιλῶς ἐκ τῶν ἄνωθεν ἠρρύσω πηγῶν ».

Βούλομαι μὲν οὖν τὸν λόγον εὐθὺς ἐπὶ τὴν μητέρα μετενεγκεῖν, ἕτερος δέ με λόγος ἀνθέλκει καὶ περὶ τὸν πατέρα καταναγκάζει φιλοχωρεῖν, μᾶλλον δὲ οὐ λόγος, ἀλλ' ὄψις νυκτερινή, εἴ γε μὴ καὶ αὕτη λόγος ἐστίν, ἢ ἔμφυτος καὶ παρὰ τῆς ψυχῆς ἀναδιδόμενος καθ' ὃν οἶδε τὰ ὄντα, ἢ ἔξωθεν καὶ θειότερος ὑποδεικνύων τῇ ψυχῇ ἀφιεμένῃ τοῦ σώματος τὴν τῶν ἑστώτων ἀλήθειαν· μικρὸν δέ τι προλήψομαι. Ἐσφάδαζέ μοι ὁ λογισμὸς μαθεῖν ἐθέλοντι οἵας ὁ πατὴρ τετύχηκε λήξεως· ἑσπέρας γοῦν πρὸ τῆς ὄψεως πολλὰ περὶ τούτου τῷ κρείττονι προσευξάμενος, καί που καὶ τὴν τοῦ πατρὸς ψυχὴν πρὸς τοῦτο ἐφελκυσάμενος, καὶ αὖθις ὡσανεὶ καταναγκάσας δεῖξαι ὅπῃ κεχώρηκεν, ἀπῄειν ὕπνου μεταληψόμενος. Ὁπόσον οὖν μέτρον κατέδαρθον τῆς νυκτός, ἀγνοῶ· ᾤμην γοῦν ἀναβλέψας ἀθρόον, εἴ γε ᾤμην, ἀλλ' ἦν ἀληθὲς τὸ ὀφθέν· τέως γοῦν ὥς περ ἀνοίξας τοὺς ὀφθαλμούς, ἑωράκειν τὸν πατέρα μετὰ τοῦ σχήματος οὗ τέθαπτο, ἐξόχως καλλίονα ἢ τὸ πρότερον· ἐγεγήθει γοῦν ἀτεχνῶς καὶ σκιρτήματι καθαρῷ ἀνέφερε τὴν ψυχήν· τά τε ὄμματα, πυρσοί τινες ἐκεῖθεν ἐστέλλοντο, καὶ ἡ χαροπότης τὸ μέτρον παρήλλακτο· ἦν οὖν ἑκάτερον, καὶ τὸ νοούμενον παρ' αὐτῷ καὶ τὸ ὁρώμενον, ὑπερκείμενα καὶ τῆς αἰσθήσεως καὶ τοῦ νοῦ· προσῄει γοῦν μοι ἀνθρωπικώτερον, καὶ τὴν ἐπαφὴν οὐχ ὑπέφευγεν, ἀλλ' ἐδίδου ἐφάπτεσθαι· ὁ δέ, καὶ αὐτὸς ἀνθήπτετο, καί με τῇ συνήθει προσαγορεύσας φωνῇ « τέκνον, ἔφη, καὶ πάλαι καὶ νῦν πλέον ποθούμενον, θάρρει δὴ ἐπ' ἐμοί· ὁμοῦ γὰρ ἐτεθνήκειν, καὶ τὸν θεὸν ἑωράκειν, οὕτω δὴ καὶ τὴν λέξιν εἰπών, καὶ πολλὰ δὴ περὶ σοῦ τὴν ἄρρητον ἐκείνην φύσιν κατεδεήθην καὶ ἐλιπάρησα ». Τὰ δ' ἄλλα, πότερον ἐρῶ, πάτερ, ἢ ἀποκρύψομαι; ἐγὼ μὲν γὰρ καὶ μάλα προήρημαι, ἔχει γὰρ φιλοτιμίαν

ὁ λόγος ἐμοί, καὶ μάλισθ' ὅτι καὶ θεῖος καὶ περὶ θεοῦ· αἰσχύνομαι δὲ ψευσάμενος τὴν ἀπόκρισιν· τὸ μὲν γὰρ θεῖον βεβούληταί μοι καλλίονα, ἐγὼ δὲ μέχρι παντὸς ἀντιπράττω τοῖς δόξασιν· ὅθεν οὐ διαμαρτία τῆς ἀληθείας ἡ τοῦ θείου φωνή, ἀλλὰ κακία ἐμή· οὐ γὰρ ἠναγκάσμεθα περὶ τὰ κρείττω, πάτερ, ὥς περ οὐδὲ περὶ τὰ χείρω, οὐδ' ἐκ προγνώσεως παραβεβιάσμεθα πρὸς τόνδε ἢ τόνδε τὸν βίον, οὐδ' ἀλλοία τὸν τρόπον ἡ πρόγνωσις, ἀλλὰ τὸ ἐφ' ἡμῖν καὶ ἡ προαίρεσις, καὶ ἡ ῥοπὴ τοῦ θελήματος τῶν πολιτειῶν ποιεῖ τὸ διάφορον· τὸ μὲν οὖν θεῖον, παντὸς ἕνεκα ἀγαθόν, μᾶλλον δὲ πηγὴ ἀγαθότητος καὶ ἀγαθύνειν πάντα βουλόμενον· ἐγὼ δὲ φαῦλος περὶ τὴν γνώμην καὶ ἑκουσίως εἰς τὴν κακίαν ὠλισθηκώς· εἰ δὲ ζηλοτυπεῖς τὴν θείαν φωνὴν ἐπὶ τῇ ἐμῇ παρακεκινημένην ῥοπῇ, προσλιπάρησον αὖθις, καὶ τοῦτο πολλάκις τὸν ζηλωτὸν ἐφ' ἡμῖν Κύριον, καί με τῶν αἰσθήσεων ἐπὶ τὴν νόησιν ἄφελε.

Ὁ μὲν οὖν περὶ τοῦ πατρὸς λόγος ἐνταῦθα λήξας, τέλος ἐχέτω, τῇ δὲ μητρὶ τὸ λειπόμενον ἡμῖν τοῦ χρέους ἀποδοτέον. Ἐκείνη μὲν γὰρ καὶ πρότερον τῆς μακαρίας ἤρα πρὸς τὸν θεὸν λήξεως, ἐπεὶ δὲ καὶ ὁ πατὴρ ἀνελύθη, ὅλη πρὸς ἐκείνην ἐπτέρωτο τὴν ζωήν· δεινὸν γὰρ ἐποιεῖτο, εἰ σώματι μὲν συζῶντες, ἀδιαίρετοι ἀλλήλων ὄντες ἐτύγχανον, πνεύματι δὲ
φ. 82. συναφθέντες ὕστερον, τὸ διάφο|ρον ἔχοιεν, καὶ ὁ μὲν θεῷ συνοικοίη, ἡ δὲ τῷ κόσμῳ ἐκβιοτεύοι· ἐζήτει γοῦν αὖθις τὴν θειοτέραν συνάφειαν, καὶ πολλὰ τῷ δεσμῷ ἐπηρᾶτο ὅτι τούτου κάτοχος ἡ ψυχὴ γένοιτο, τὸ θεῖον χρῆμα τῷ χείρονι. Προσετίθει γοῦν τῇ τοῦ δεσμοῦ λύσει ὁπόσα εἴωθε λύειν εἰς τὸν σκοπὸν συλλαμβάνουσα, δάκρυον ἀστακτὶ καταρρέον· τὸ γὰρ πολὺ τῆς ὕλης ἤδη κεκένωτο· ἀποχὴν οὐ τῶν ἡδέων μόνον, ἀλλ' ἤδη καὶ τῶν ἀναγκαίων· σώματος στένωσιν, χαμευνίαν καὶ τὴν ἄλλην ἐγκράτειαν. Ὅθεν πᾶν μὲν τὸ γεῶδες παραναλώσασα, πᾶν δὲ τὸ ὑγρὸν ἐκκενώσασα, πᾶν δὲ τὸ ἀερῶδες διαφορήσασα, τῷ

ἐφ' ἡμῖν στοιχειώδει πυρὶ ἐδεδώκει τὴν ἐξουσίαν· τὸ δέ, μὴ ἀντιπαλαιόμενον, μὴ δὲ ἰσορροπούμενον, καυστικώτερον ἑαυτοῦ γίνεται, καὶ τὴν φυσικὴν δύναμιν εἰς τὴν παρὰ φύσιν τροπὴν μεθιστᾷ· εἶτα δὴ καὶ εἰς ἕξιν τῷ περιλελειμμένῳ καθίσταται σώματι. Ἐντεῦθεν ἐφρύσσετό τε καὶ κατηνάλωτο, καὶ ὑπέρρει κατὰ βραχύ, καὶ ἦν οὐκέτι τῇ ψυχῇ ἀντιπίπτον, ἀλλὰ ῥᾷστα δὴ ὑπ' ἐκείνης ὀχούμενον καὶ πτερούμενον πρὸς θεόν· λέγω δὴ οὐχ ὅτι τὰ μεγέθη τῶν σωμάτων καὶ αἱ βραχύτητες καθέλκουσιν, ἢ ἀνάγουσι τὴν ψυχὴν καταγομένην ὑπὸ τούτων ἢ ἐκεῖνα ἀνάγουσαν, ἀλλ' ὡς ὅποι δ' ἂν παραληφθείη τὸ χρῆμα τῆς ἐγκρατείας, καὶ κενώσῃ τὴν ὕλην, καὶ δαπανήσῃ τὸν ὄγκον, ἐπελαφρίζει τὸ σῶμα τῇ συνδεδεμένῃ ψυχῇ, οὐχ ὥς τε αἴρεσθαι σὺν αὐτῇ φυσικῶς· οὐ γὰρ παρὰ τὴν φυσικὴν λεπτότητα τῆς ὕλης ἡ ἄρσις, ἀλλ' ὥς τε μὴ ἀνθίστασθαι αἰρομένῃ ταύτῃ πρὸς οὐρανόν, ἀλλ' ὡς εἰπεῖν καὶ συμμεθίστασθαι. Τοιοῦτον αὐτῇ γέγονε τὸ σῶμα κοῦφον, ὡς ἀληθῶς μετέωρον· ἡ δέ, ὡς νῦν ἠργμένη τοῦ σωφρονεῖν, ὡς πρῶτον ἁπτομένη τοῦ ἐγκρατεύεσθαι, ἄλλα ἐπ' ἄλλοις ἐφιλοτιμεῖτο, οἷα καὶ διηγήσασθαι δέον, εἰ κἀκείνη τὰ πλείω τούτων ἀνέκφορα κἀμοὶ ἐποιεῖτο, καὶ οὐκ ἐβούλετο παρά τινος ταῦτα γιγνώσκεσθαι, πλὴν θεραπαίνης μιᾶς· ἔφευγε γὰρ ἐκ παντὸς τὸ φιλότιμον, εἰ καὶ ἐν τῷ κρυπτῷ φιλοτίμως εἰργάζετο τὸ καλόν· κἂν εἴ πού τις τυχὸν οὕτω περιέβλεψέ τι τῶν γινομένων, ἡ δέ, ἐπέσχε καὶ ἐπεσκίασε, καὶ ἄλλο τι ποιεῖν ἐμηχανᾶτό τε καὶ ἐσκήπτετο. Ἀλλ' ἐγὼ ἀδικοίην ἄν, εἰ παντάπασιν ἀποσιωπήσαιμι τὰ τῆς ἀρετῆς αὐτῆς ἐφευρήματα, καὶ μάλιστα μεταστάσης, ὁπότε καὶ ὁ λέγων τοῦ θωπεύειν νομίζεσθαι ἠλευθέρωται, καὶ τῇ ἀπελθούσῃ οὐκ ἔχει παρασκίασιν ἀρετῆς τῆς διηγήσεως τὸ φιλότιμον.

Πολλοὶ μὲν οὖν καὶ ἄλλοι τὴν ἀκαιρίαν αὐτῇ τῆς ἐγκρατείας ἐμέμφοντο, τῶν τε τοῦ σώματος θεραπευτῶν ῥωννύειν βουλομένων τὴν δύναμιν, καὶ τῶν ὅσοι τὰ μέτρα καὶ τοὺς ὅρους τῶν

ἀρετῶν πεφιλοσοφήκασι, καὶ μάλιστα τοὺς καιροὺς καθ᾽ οὓς ἢ μεταληπτέον ἡμῖν, ἢ ἀφεκτέον τῶν.... μάτων, μάλιστα δὲ ὁ ἀναγεννήσας ἐκείνην πατήρ· οὗτος δὲ καὶ τὸν βίον λαμπρὸς καὶ τὸν λόγον παιδευτικὸς ἐγνωρίζετο· ἐπετίμα γοῦν αὐτῇ πολλάκις τὸ ἄμετρον· καὶ τὸ μὲν τῆς ἀρετῆς ᾐδεῖτο ἀξίωμα, ὅμως δ᾽ οὖν ἐμηχανᾶτο ταῖς ὑποκρίσεσι κατενεγκεῖν ταύτην παρὰ τὸ βούλημα καὶ μεταποιῆσαι τὴν δίαιταν· ἡ δ᾽ ἅπαξ ποτὲ κατασεισθεῖσα ταῖς ἐκείνου ἀπειλαῖς τὴν ψυχήν, τῇ πιστευθείσῃ αὐτῇ θεραπαίνῃ ἰχθῦν τινα τῶν εὐτρόφων προστάττει δεξιῶς παρασκευασαμένην προσενεγκεῖν· καὶ δὴ παρεσκεύαστο καὶ προσῆκτο, καὶ τράπεζά τις τὸ ἰχθύδιον προσεδέξατο, τότε πρώτως ἐκείνῃ παρατεθεῖσα· ἡ δέ, ὡς εἶδεν ἐπὶ τῷ τῆς ζωῆς τέλει ἀθρόον τὴν φιλόσοφον αὐτῇ ἐξοικισθεῖσαν ζωήν, καὶ ἀντεισαχθὲν ἐκείνης τὸ τῆς πολυτελείας ἀσύνηθες, κανᾶ καὶ χειρόμακτρα, καὶ εἴ τι ἄλλο τῶν περὶ τράπεζαν, λιβάδας δακρύων εἰσβιασαμένη τοῖς ὀφθαλμοῖς, καὶ βαρύ τι στενάξασα, καὶ χερσὶ τὸ στῆθος ὡς δυνατὸν πλήξασα « ὤ μοι, φησί, τῶν κακῶν! ἀπώλετό μοι ἀθρόον εἴ τι μοι καὶ πρὸς ἐφόδιον παρεσκεύασται· ὡς κατάλληλα δέ μοι καὶ τῷ βίῳ τὰ δρώμενα, τράπεζα, καὶ κρατῆρες, καὶ ἰχθύες καὶ κύπελλα! καὶ ἀναμέμικταί μοι φιλοσοφούσῃ τὰ πολυτελῆ ταῦτα καὶ περισσά· οὐ γνωρίζω τὰ παρατεθειμένα, οὐκ οἶδα τουτὶ τὸ δρᾶμα, οὐδ᾽ ἐπίσταμαι τὴν σκηνήν! ἐκκεκύλισμαι τῆς ἐγκρατοῦς ζωῆς· ἀφῄρημαι τὰς ἐλπίδας, ἀποσεσύλημαι τὸν πλοῦτον τῆς ἀρετῆς! » καὶ πρὸς οὐρανὸν ἀνασχοῦσα τὰς χεῖρας « ἡμάρτηκα, φησί, τῷ Κυρίῳ μου! » Ἐπεὶ δέ ποτε ἐπέπαυτο γοερῶς ἀνοιμώζουσα, παρακελεύεται τῇ θεραπαινίδι τὴν θύραν ἐξιούσῃ τοῦ ἀσκητηρίου, ᾧ ἂν πρώτῳ ἐντύχῃ πένητι, τοῦτον εἰσενεγκεῖν· ἡ δ᾽ ἐξιοῦσα καὶ βραχύν τινα χρόνον διαλιποῦσα, εἰσάγει τι γύναιον, γεγηρακὸς ἤδη καὶ ἔξωρον· ἡ δέ, εὐθὺς ὡς ἐνὸν ὑπανέστη, καὶ παρ᾽ ἐλπίδας ῥωσθεῖσα, ὑπήντησεν· εἶτα δὴ καὶ χειραγωγήσασα, ἐκάθισεν ἐπὶ τῆς εὐνῆς,

δεσπότιν ἀποκαλοῦσα, εὐεργέτιν, σώτειραν, καὶ τἆλλα τῶν ὀνομάτων τὰ κάλλιστα. Ἐπεὶ δὲ ἐκτετρύφηται τῇ γραῒ ὁ ἰχθῦς, τῷ οἰκείῳ ἐκείνην ῥάκει καλυψαμένη, ἀφῆκεν. Οὕτως ἐκείνη ἀπήλαυσε τῆς δεδομένης τροφῆς, τοσοῦτον τῆς τραπέζης ἀπώνατο, τοσοῦτον τοῦ ἐγκρατοῦς βίου διέφθορεν.

Ἐπεὶ δὲ ἅπαν αὐτῇ τὸ σῶμα καταπεπτώκει, καὶ οὔθ' αἱ χεῖρες κεκίνηντο, οὔθ' οἱ πόδες τὴν φυσικὴν ἐδίδουν ἐνέργειαν, μή ποτε ἄρα ἐνταῦθα καθυφῆκε τοῦ ἐπ' ὀρθῷ ψάλλειν τῷ σχήματι; πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἀπαιτήσειέ τις καὶ πῶς ἄρα δεδύνητο ὃ βεβούλοιτο; Ἐπειδὴ γὰρ ἥκοι ὁ τῆς ὑμνῳδίας καιρός, δυσὶ τῶν θεραπαινίδων ἐπερείδουσα ἑαυτήν, ἢ μᾶλλον αὗται ἑκατέραν ὑπιοῦσαι ἀγκάλην καὶ περιπλεξάμεναι, εἶτα δὴ καὶ κούφως διαβαστάσασαι, ἐπὶ τοῦ ὀρθοῦ ἵστασαν σχήματος· καὶ οὕτως ἄχρι τῆς λύσεως ἀπεδίδου τὰς εὐχὰς τῷ θεῷ.

Τοῦ δὲ θειοτέρου σχήματος ἤρα μὲν ἐκ πολλοῦ, ἐδεδοίκει δὲ τὸ χρῆμα, ὡς οὐκ ἔχουσα πρὸς τοῦτο | παρασκευήν· πάλιν φ. 82ʳ.
δὲ οὐδὲν ἧττον ἐδεδίει ἀποτυχεῖν τούτου δὴ τοῦ μεγίστου καὶ λαμπροῦ ἀξιώματος. Ἐνδοιάζουσαν οὖν περὶ τούτου καὶ ἀμφιβάλλουσαν, θειοτέρα ὄψις περὶ τὸ πρᾶγμα ἀπηύθυνε· πρεσβῦτις γάρ τις ἐκ σπαργάνων αὐτῶν τῷ ἀκηράτῳ βίῳ καταγηράσασα, ἐν ὕπνοις ἁρπάζεται τὴν ψυχήν· ἡ δὲ ἁρπαγὴ οὐκ εἰς ἀέρα ἐκούφισεν, ἀλλ' εἰς θεάτρου σχῆμα μετήνεγκεν, εἰς τὸ στάδιον μὲν οὐ καταγαγοῦσα, ἄνω δέ τι μετεωρίσασα ἔνθα ἔδει τὸν βασιλέα τὸ βῆμα ποιήσασθαι· περιβλεψαμένη γὰρ χρυσοῦν μὲν ἕνα τεθέαται θρόνον, πολὺ τὸ ἄρρητον ἔχοντα· ἡ γὰρ ἀστραπὴ τῆς ὕλης οὔτε τοῖς ὀφθαλμοῖς ὁρᾶν ξυνεχώρει, οὔτε ταύτῃ ἐδίδου εἰπεῖν τι περὶ ἐκείνου· ἑκατέρωθεν δὲ πολλοὺς παρεσκευασμένους θρόνους, τοὺς μέν, καὶ χρυσοῦς, τοὺς πλείους δὲ ἐξ ἐλέφαντος, ἐν μέσῳ δὲ τούτων ἐκ δεξιᾶς ἕνα παρὰ τοὺς ἄλλους· τὴν μὲν γὰρ ὕλην οὐκ εἶχεν εἰδέναι ἥτις αὐτῷ ὑποβέβλητο, πλὴν ὅσον μέλανι μὲν ἐβέβαπτο χρώματι, ἐδίδου δέ τι λαμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πρότητος ἡ βαφή, καὶ οὐδὲ αὕτη ἀκτίνων τινῶν ἀπεστέρητο· περὶ ἧς δὴ καὶ ἔρεσθαι τὴν πρεσβύτιν, καὶ εἰπεῖν τὸν ἀπαγαγόντα, ὅτι Θεοδότης ὁ θρόνος, (τοῦτο γὰρ ἐκαλεῖτο ἡ μήτηρ), ὀνομαστὶ δὲ καὶ τἆλλα εἰρήκει· « ἐκείνη γὰρ ὁ βασιλεύς φησι τοῦτον παρασκευάσασθαι, μέλλουσαν οὐ μετὰ πολὺ ἐνταῦθα ἀφίξεσθαι ». Ἐπὶ τούτοις ἀφεῖσα τὸν ὕπνον ἡ θεωρός, δρομαία πρὸς τὴν μητέρα χωρεῖ καὶ ἀπαγγέλλει τὴν ὄψιν· ἡ δέ, γνοῦσα, καί, ὢ ψυχῆς πᾶν ὕψος καὶ γνώσεως ὑπερχναβάσης καὶ ἀρετῆς! ἑτέρως αὐτῇ διαλύει τὸν ὄνειρον καὶ ἀφῆκε μὴ μέγα περὶ ἐκείνης φρονεῖν.

Ἐπεὶ τοίνυν τὴν ἀνάλυσιν ἔγνω, ἵνα μὴ ἀτέλεστος ἐκεῖσε ἀφίκηται, εἰς ὡρισμένην ἡμέραν παραγγέλλει προβήσεσθαι αὐτῇ τὸ μυστήριον· ὡς δὲ πάντα εὐτρέπιστο, ὁ σταυρός, ἡ ζώνη, καὶ πρὸ τούτων ἡ χάρις, ἐτύθη δὲ καὶ ὁ σιτευτὸς μόσχος, καὶ ἡ τράπεζα προὔκειτο, ἥ τε λαμπὰς ἀνῆπτο, καὶ αἱ τῆς Ἱερουσαλὴμ θυγατέρες ἐν τάξει καὶ κόσμῳ ἑτοιμασθεῖσαι δορυφορήσειν τὴν βασιλίδα, ἡμεῖς μὲν ᾠόμεθα φοράδην ἐκκομισθήσεσθαι, καὶ τί γὰρ ἦν ἄλλο ὑπονοεῖν; ἡ δέ, πῶς ἂν διηγησαίμην τὸ θαῦμα; πῶς δὲ πείσαιμι λέγων; οἷς γὰρ αὐτὸς ἑωρακὼς οὐ πάνυ πεπίστευκα, πῶς ἂν ἕτεροι τῷ λόγῳ πεισθεῖεν; ἀλλ' οὖν ἴστω θεὸς καὶ μάρτυρες ἄγγελοι, ὡς οὐ ψεύδομαι τὴν διήγησιν. Ἡμῶν τοίνυν οὕτως οἰομένων, ἐκφαίνεται αὕτη ἀθρόον ὥσπερ ἐκ κοιτῶνος βασιλικοῦ τῷ βασιλεῖ καὶ νυμφίῳ προτάγουσα ἑαυτήν, ὡραία τῷ κάλλει, φαιδρὰ τῷ προσώπῳ, ἀκμαία τὴν δύναμιν, ἕδνα προσάγουσα τῷ νυμφίῳ οἷα οὐκ ἄλλη, κόμην πιναράν, τύλους γονάτων, ὀστᾶ κατεσκληκότα, καὶ τὴν τοῦ δέρους τραχύτητα· ὁ δέ, ἀντεδίδου φιλοτιμότερον, δακτύλιον ἐπὶ τῆς χειρὸς ἀστράπτον σφενδόνῃ χρυσῇ, ὑποδήματα περὶ τοὺς πόδας ἵνα δὴ ἐπιβαίνοιεν ἐπάνω σκορπίων καὶ ὄφεων, τὸ τοῦ σταυροῦ τρόπαιον, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, τὴν ὀξεῖαν τοῦ πνεύματος μάχαιραν· ὢ δώρων ἐκείνων! καί μου καὶ λέγοντος δά-

κνεται ἡ ψυχὴ ἀποτυχόντος ὧν προτεθύμημαι. Τέλος καὶ ἑαυτὸν καταθύσας, ἐδίδου τῇ νύμφῃ φαγεῖν τοῦ θύματος· ὡς δὲ καὶ πάντων δὴ κεκοινώνηκε τῶν νυμφικῶν δωρεῶν, ἐλέλειπτο δὲ μόνον τὸ θῦμα, εἶτα δὴ συμπροϊέναι ἐπετάχθη τοῖς Χερουβίμ, καὶ εἵπετό τε καὶ συμπαρίπτατο, κἀγὼ τὸ ἄρρητον ἐκεῖνο τεθέαμαι θέαμα, εὐθὺς δὴ κατενεχθείς, καὶ τῷ ἐδάφει ἐμαυτὸν προσαρμόσας καὶ ἐξισώσας, δράττομαί τε τῶν ἐκείνης ποδῶν καὶ λόγου τυχεῖν τηνικαῦτα ἐκλιπαρῶ καὶ εὐχῶν. Ἡ δέ, ἠρεμαίᾳ τῇ φωνῇ βραχύ τι πρὸς ἐμὲ νενευκυῖα « τύχοις, ὦ τέκνον, φησί, τούτων τῶν ἀγαθῶν » καὶ εἰποῦσα ἀπέπτη σεραφικῇ πτέρυγι, καὶ συνανίπτατο ταῖς δυνάμεσιν. Ἐπεὶ δὲ ἔδυ (1) καὶ τὸν τυθέντα μόσχον καὶ ἰδεῖν καὶ φαγεῖν, ὅ,τι μὲν εἶδεν ἐκείνη, ἢ ὅτου γέγευστο, εἰδείη ἂν ἡ ταύτης ψυχή, ὅτι δὲ μεταλαβοῦσα ἠλλοίωτο καὶ ἀκτῖνας εἶχεν ἡ ὄψις αὐτῆς, οὐκ ἔστιν ὅς τις τῶν παραγεγονότων οὐκ εἶδεν, ἢ ἰδὼν οὐκ ἐθαύμασεν· ἐντεῦθεν οὐκέτι οὐ δὲ τοῦ τῆς ἐκκλησίας ἐδάφους ἀπῆν.

Ἐγὼ μὲν οὖν, ἀλλ' ἦν ἄρα καὶ τοῦτο οἰκονομία καὶ τῷ κρείττονι ἐδέδοκτο ἄνωθεν μὴ ἰδεῖν τῆς μητρὸς τὴν μετάθεσιν, μηδέν τι πρὸς ἐκεῖνο προκαθηράμενον τὸ μυστήριον· ἐγὼ μὲν οὖν τὴν μητέρα ἀθρόον ἀλλοιωθεῖσαν ἰδών, καὶ οὐ πάνυ ὑπονοήσας ὅτι αὐτίκα τεθνήξεται, ἐπέσχον τὸ συνεχὲς τῆς ἀφίξεως· ἡ δέ, ἐπειδὴ ὁ τῆς τελετῆς ἀφώριστο χρόνος καὶ ἔμελλε βραχύ τι τὸ σῶμα διαναπαῦσαι, ὡς γοῦν διηγοῦντό μοι αἱ θεραπεύουσαι, ἐπί τινος χαμαιζήλου θώκου καθίσασα, εἶτα δὴ καὶ πρὸς τὸ εὐώνυμον μέρος ἀνακλιθεῖσα, καὶ πολλὰ τῷ λόγῳ εὐχαριστήσασα, ἀθρόον, ὥς περ τινὸς ἐκ θατέρου μέρους φανέντος, μετεστράφη ἐκπληκτικώτατα. Ἀλλὰ πῶς ἂν καὶ αὖθις ἐμαυτὸν ἀποδύρωμαι; πῶς δέ σου τὴν πρὸς ἐμὲ σχέσιν, ὦ μῆτερ, ἐνδείξαιμι τοῖς πολλοῖς; ὡς γοῦν ἀτενὲς εἶδεν ὥς περ ἐκστᾶσα, εἶτα δὴ πρὸς

(1) Γραπτέον μᾶλλον, ἔδει.

ἑαυτὴν ἐγεγόνει « ὁ φίλτατός μοι, φησί, παρίτω υἱός! » ὢ τῆς θείας ἐκείνης φωνῆς, ὢ τῆς ἐμῆς ἀτυχοῦς καὶ ζωῆς καὶ ψυχῆς! ὤ, πῶς ἂν λέγων ἐνέγκω τὴν συμφοράν! καὶ αὖθις, « ἀλλὰ ποῦ δὴ ἐκεῖνος; » Ἐπὶ τούτῳ ἄλλοι ἐπ' ἄλλοις παρῄεσαν· ἀλλ' ὅ μοι λόγος ἀναμεινάτω. Ὡς δὲ καὶ πάλιν τὴν αὐτὴν ἀφῆκε φωνήν, καὶ οὔθ' ὁ ἀγγέλων ἐμοὶ τὸν λόγον ἐπτέρωτο, οὔ τε με πνεῦμα ἐκεῖσε ἐκόμιζεν ὡς τὸν Ἀμβακούμ, αὖθις τὸ ὀφθὲν ἰδοῦσα, καὶ οἷον συμπροθυμηθεῖσα ἐκείνῳ, κουφισθεῖσα τοῦ ἐδάφους ὅσον ἐξῆν, εἶτα δὴ καὶ τὰς χεῖρας συμπλεξαμένη κατὰ στήθους, ἡδέως ἅμα καὶ ὁμαλῶς ἀφῆκε τὴν ψυχὴν τοῖς ἀπάγουσι, πληρωθέντος αὐτῇ τοῦ τῆς ζωῆς μέτρου, καὶ τοῦ δεσμοῦ χαλασθέντος τῆς φύσεως, καὶ τῆς ψυχῆς πρᾴως ἀπελθούσης ἅτε τῷ φανέντι διαχυθείσης φωτὶ καὶ πρὸς τὸ συγγενὲς ἀναδραμούσης
φ. 83. καὶ εἰς θεὸν ἀπο|πτάσης.

Καὶ τὰ μὲν ἐκείνης οὕτως· ἐγὼ δὲ τὴν ἀγγελίαν ἀκούσας, δρόμῳ ᾔειν καὶ ἀκαθέκτῳ φορᾷ ζῶσαν τὴν μητέρα ἰδεῖν, καὶ λόγων ἐξιτηρίων ἀκοῦσαι, καί τι καὶ ὄνασθαι ταύτῃ τῆς μεταθέσεως· ὡς δὲ οὐκ ἦν με τυχεῖν πάντως τοῦ ἐφετοῦ, νεκρὰν ἤδη ἑωρακώς, δακρύων ἀθρόον ἀμυθήτων πλησθείς, καὶ τὴν ψυχὴν ὀδύνῃ δριμείᾳ κατασχεθείς, ὡς εἶχον κορυβαντιασμοῦ ὡς εἰπεῖν καὶ ἐκβακχεύσεως, ἐπ' αὐτοῦ τοῦ ἱεροῦ καὶ θείου σώματος καὶ ζῶντος ὡς ἀληθῶς· ἀψευδὴς γὰρ ὁ εἰπών, καταπεσὼν ἐκείμην νεκρός, οὐδὲν ὧν ἐπεποιήκειν ἢ ἐπεπόνθειν εἰδώς· ἕως με οἱ παρόντες οἱ ..... καὶ διειληφότες, εἶτα δὴ διαναστήσαντες καὶ ψυχρῷ ὕδατι καταρράναντες, εἶτα δὴ καὶ δακτύλοις εὐωδιάζουσι τῶν ῥινῶν ἐπαφώμενοι, συνήγαγόν τέ μοι τὸν νοῦν καὶ τὰς δυνάμεις ἀνεκαλέσαντο. Ὡς δὲ αὖθις συνίην οἷ κακοῦ ἦν, πικρῶς τε ἀπωδυρόμην καὶ μέγα ἀπῴμωζον, — ὦ μῆτερ, λέγων, καὶ τοῦτο τῇ φύσει μόνῃ, τῷ δὲ τῆς ψυχῆς ἀξιώματι καὶ δεσπότις καὶ εὐεργέτις! ἀλλ' ὦ μῆτερ, κλῆσις γλυκεῖα, (τοῦτο γὰρ βιάζομαι λέγειν, εἰ καὶ παρὰ τὴν ἐμὴν ἀξίαν τὸ ὄνομα), ὦ φύσις μόνη

τῶν ἐπὶ γῆς θειοτέρα καὶ πλέον ἐμοί, οὐ σωματικῶς μόνον κυήσασά με καὶ ὠδινήσασα, ἀλλὰ καὶ ψυχικῶς ἀποτεκοῦσα καὶ λόγοις κοσμήσασα καὶ τρόποις εὐσεβείας διαποικίλλασα, καὶ δοῦσα ἐπὶ σοὶ καὶ σεμνύνεσθαι καὶ καλλύνεσθαι, καὶ μείζονα τῶν ἄλλων ἐντεῦθεν φαίνεσθαί τε καὶ ὀνομάζεσθαι· ὦ πηγὴ ἔμψυχε, ὦ φωστὴρ νοητέ, βλύσασα μέν μοι τοὺς τῶν σῶν ἀγαθῶν ποταμοὺς καὶ τῷ τῶν σῶν ἀρετῶν φωτὶ καταστράψασα, νῦν δέ μοι παρ' ἐλπίδας ἐπισχοῦσα τὸ ῥεῖθρον καὶ τὴν αὐγὴν ἀποκρύψασα, πῶς δ' ἄρα σου καὶ ὁ θάνατος ἐπεκράτησεν; εἰ δὲ τοῦτο τῆς φύσεως, πῶς οὐχὶ τοῖς ἀπάγουσιν ἀγγέλοις βραχύν τινα χρόνον ἀνασχέσθαι ἐπέσκηψας, μέχρις ἂν τὸν υἱὸν ἴδοις καὶ τὰς τελευταίας ἀφήσεις φωνάς; ἀλλ' οὕτως ἀθρόον μέμυκέ σοι τὰ ὄμματα τὰ τῆς αἰδοῦς γέμοντα, κέκλεισται δέ σου τὸ θεηγόρον στόμα, καὶ σεσίγηκέ σοι ἡ θεοφόρητος γλῶσσα; Ἀλλὰ ποῖόν σου πρῶτον τῶν μελῶν κατασπάσομαι; ἐγὼ δὲ οὐ δὲ οἶδα εἰ καὶ τοῦτό σοι θελητόν· ἀλλ' ὁ πόθος καὶ τῶν ἀψαύστων κατατολμᾷ· καταφιλήσω σοι τὴν καρδίαν τὴν ζωήρρυτον πηγὴν τῶν λογίων τοῦ πνεύματος; περιπτύξομαί σου τὸ στῆθος τὸ δεκτικὸν ὁμοῦ καὶ χωρητικὸν τῆς ἄνωθεν καταπεμπομένης ἐλλάμψεως; κατασπάσομαί σου τὴν κεφαλήν, τὸ ἱερὸν τέμενος τοῦ θεοῦ; προσαρμόσω τὰ χείλη τῷ στόματι, εἴ που ἐκεῖθεν θείου σπάσομαι νάματος; παντός σοι μέλους ἐμφορηθήσομαι, εἴ πως οὕτως τὸν πόθον ἀφοσιώσομαι; Ἀλλὰ ποῦ ποτέ μου ἐκεῖνο τὸ νοοῦν, τὸ λαλοῦν; ποῦ ὁ ἱερὸς νοῦς καὶ ἡ διαυγεστάτη ψυχή; πότερον ἀγγέλων σε τάξις ἔχει, ἢ ὁ ἀρχαγγελικὸς διάκοσμος εἴληφε; καὶ πότερον αἰθέριον εἴληχας λῆξιν, ἢ ὑψηλοτέραν τε καὶ οὐράνιον; ἢ πᾶν σῶμα ὑπερπεπήδηκας καὶ πόρρω χορεύεις τῆς μεγάλης περιοχῆς τοῦ παντός, ἔνθα ἡ ἀκήρατος λαμπηδὼν καὶ αἱ μακάριαι θέαι καὶ πᾶν τὸ ἀναφὲς καὶ ἀόρατον; ἆρα δὲ κἀκεῖ συνοῦσα τῷ κρείττονι ἀνθέξῃ καὶ πάλιν ἡμῶν; ἤ σου τὸν πόθον, πόθος ὑφείλετο, ὁ περὶ θεόν, τὸν ἡμέτερον; Ὁ μὲν οὖν πατὴρ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀποπτάς, περὶ ἡμῶν εὐθὺς τὸ θεῖον ἠρώτηκε, καὶ τετύχηκεν ἀποκρίσεως· μὴ σύ γε χεῖρον ἐκείνου διατεθῇς, ἀλλὰ τὰς αὐτὰς ἐρωτήσεις προσένεγκαι· ἐξευμένισον δέ μοι καὶ τὸν θεόν, καὶ νῦν μᾶλλον ἢ πρότερον τοῦ υἱέος ἐπιμελήθητι. Ὑφήρηκάς μοι τοὺς σοὺς λόγους ἀπαίρουσα, καὶ τοὺς ἐξοδίους οὐκ ἀποδέδωκας· ἀντανίσωσον ἐκεῖσε τὴν ἔλλειψιν, δίδου μοι δὲ καὶ τὴν σὴν ὄψιν ἐν τοῖς ὀνείρασι μετὰ τῶν συμβόλων τῆς σχέσεως. Ἀλλ' ὦ καὶ πάλιν γλυκεῖά μοι μῆτερ, καὶ τοῦτο πολλάκις καὶ ἐσαεί, καὶ τὴν φωνὴν ἐπικέκομμαι.

Ταῦτα καὶ πλείω τούτων ἐπιθρηνήσας, καὶ κατόπιν μὲν τῶν προπεμπτηρίων ἐληλυθώς, ἀποστολιμαίους δὲ τοὺς λόγους πεποιηκώς, καιροῦ ἤδη καλοῦντος αὐτὸ τὸ θεῖον ἐκεῖνο σῶμα καὶ ἱερὸν ἀνελόμενος, καὶ ταῖς ἐμαῖς κουφίσας χερσὶν ἐπὶ τοῦ νεὼ κατεθέμην. Εἶτά τι γίνεται, καὶ τὸ γεγονὸς θαυμάσιον οἷον· τῆς γὰρ περὶ αὐτὴν φήμης ῥυείσης, ἐκ παντὸς ὡς εἰπεῖν μέρους τῆς πόλεως ἐξ ἑκατέρων μερῶν ἄλλος ἐπ' ἄλλῳ συνῄεσαν ἐπ' αὐτὴν καὶ συνέθεον· προκατειλημμένοι γὰρ τὴν ἀκοὴν περὶ τῆς ἱερᾶς ἐκείνης ἐτύγχανον· οὐκ ἦν οὖν τὸ πλῆθος ἀπώσασθαι· ἀλλὰ συνεκδραμόντες ἄνδρες ὁμοῦ καὶ γυναῖκες, πρεσβύται καὶ νέοι, γένος καὶ ἡλικία διάφορος σὺν προθυμίᾳ μιᾷ, παντὸς αὐτῆς μέρους καθήπτοντο· οἱ μέν, τὰς χεῖρας ἐτίθουν, οἱ δέ, τὸ πρόσωπον, οἱ δ' ἄλλο τι μέρος τοῦ σώματος· τελευτῶν δὲ καὶ τὸ ῥάκος αὐτὸ περιέσπασαν ᾧ ἐκείνην κεκαλυμμένην ᾔδεισαν, ἐπιμεριζόμενοι ἑαυτοῖς οὐκ ἐξ ἰσονομίας, ἀλλ' ἕκαστος ἐτυράννει περὶ τοῦ πλείονος· καὶ εἶχεν ἐνταῦθα φιλοτιμίαν ἡ τυραννίς. Ἐπεὶ τούτοις ἧκε καὶ ὁ μέγας ἐκείνης πατήρ, καὶ τὸ εἰκὸς ἀποδούς, εἶτα δὴ καὶ περιβλεψάμενος πάντας, τοὺς μὲν ἄλλους ἀφῆκε, τὴν δὲ μητέρα τῆς κειμένης ἰδὼν αὐτοῦ που παρὰ τὴν κλίνην ἑστῶσαν, ἔτι γὰρ περιῆν, ἐπαρρησιάσατο τὴν φωνὴν εἰς ἐπήκοον εἰρηκώς « ἀλλὰ σὺ γύναι ἴσθι, ὅτι μάρτυρος ἅμα καὶ ὁσίας μήτηρ καθέστηκας, ἐγὼ δὲ ἄμφω καὶ σύνοιδα, καὶ τῇ σῇ

προσμαρτυρῶ θυγατρί». Ὁ μὲν οὖν ταῦτα εἰρήκει· ἐκίνησε δὲ ὁ λόγος τὸν σύλλογον, καὶ εἰ μή τινες ἀντερείδοντες τοῖς εἰσιοῦσι κατέθεντο τῇ γῇ τὸν νεκρόν, οὐ δὲ εἰς τρίτην ἂν ἡμέραν ἡ συρρεύσασα διεσκεδάσθη πληθύς.

Οὕτω καὶ ζῶσα ἀσύγκριτος τὴν θείαν ζωὴν καὶ τελευτήσασα τὴν ἱερὰν ἐκφορὰν ἐγεγόνει· καὶ τὰ ἀνόμοια παραπλήσια ταύτῃ κατέστη, καὶ ἡ ἐναντίωσις τῇδε μόνῃ ἐσπείσατο, ἢ τὰ ἐναντία ἐπὶ μιᾶς φύσεως ὤφθη πῶς ἂν εἴποιμι ὁμοιότροπα. Αὕτη καὶ τῇ προμήτορι | ἐκάλυψε τὸ ἁμάρτημα, οὐ μόνον ὅτι σύμβουλος φ. 83ᵛ. ἐγεγόνει πρὸς τὸ καλὸν τῷ ὁμοζύγῳ τὴν ὁμιλίαν ἀποκρουσαμένη τοῦ ὄφεως, ἀλλ' ὅτι καὶ τὴν ἀθανασίαν ἐπήνεγκε τρόπον ἕτερον, οὐ συνθάψασα τῷ σώματι τὴν ψυχήν, οὐδὲ γενομένη τῆς φύσεως, ἀλλὰ τὴν φύσιν ποιήσασα ἑαυτῆς, καὶ μόνη τὸ σῶμα τῇ κρείττονι φύσει ἐνθεῖσα, καὶ τῷ μετὰ ταῦτα δὲ γένει κόσμος κατέστη καὶ παράδειγμα ἀρετῆς· ἐδίκασε δὲ ἄμφω καὶ τῷ θήλυϊ καὶ τῷ ἄρρενι, οὐ τῷ μὲν δοῦσα τὸ μεῖζον, τῷ δὲ λοιπῷ γένει τὸ ἔλαττον· τοῦτο γὰρ ἀλογίστου διαιτητοῦ, καὶ οὐ δεδοκιμασμένης τῆς διαιτήσεως· ἀλλὰ τὸ ἴσον ἀμφοῖν ἀπονείμασα· εἰ γὰρ καὶ ὁ τοῦ σώματος τόνος ἀμφοῖν τοῖν γενοῖν διάφορος, ἀλλ' ὁ λόγος ἴσος καὶ ἀπαράλλακτος· καὶ οὐχ οὗτος τοῖς χείροσιν ἐξατονεῖ μέρεσιν, ἀλλ' ἐκεῖνα νευροῦται τῷ κρείττονι.

Ταύτην ἄν τις λογιζόμενος καὶ ὁσίαις συναριθμήσειε, καὶ συγκατατάξειε μάρτυσιν· ἀντηγωνίσατο γὰρ καὶ αὕτη πρὸς δεινότατον τύραννον καὶ βαρὺν τὴν ὀφρύν, καὶ οὐ μᾶλλον παρ' ἐκείνου κατεπτοήθη, ἢ κατεπτόησεν, ἐγκαρτερήσασα τοῖς δεινοῖς καὶ τὰς τιμωρίας οὐχ ὑποπτήξασα· καθηγίασε δὲ καὶ τὴν γῆν αἵμασιν οὐκ ἀφ' ὧν ἡ φύσις τὴν προχοὴν οἶδεν, ἀλλ' ἀφ' ὧν τὸ δάκρυον εἴωθε ῥεῖν· ἐτμήθη δὲ καὶ τὸ σῶμα οὐ ξίφεσιν, ἀλλὰ κλίσεσι, διαλυθεῖσα τὸ συνεχὲς ταῖς ἐπ' ἐδάφους τῶν μερῶν συντονίαις καὶ κάμψεσι· διῆλθε καὶ διὰ πυρός· φλεγομένη μὲν ταῖς τῶν ἀναγκαίων ἐπιθυμίαις, οὐ μεταλαμβάνουσα δέ, ἀλλὰ

καὶ μέχρι τῶν δεδομένων ἐγκαρτεροῦσα· οὐκ ἔλαττον δὲ καὶ δι' ὕδατος, τὴν τοῦ οἴνου χρῆσιν ἀπωσαμένη καὶ τῷ ἀρχαίῳ πόματι τὴν χρείαν ἀποπληροῦσα τοῦ σώματος· διὰ ταῦτα καὶ εἰς ἀναψυχὴν ἐξελήλυθε. Τῆς δέ γε ὁσιότητος καὶ παρὰ πάσας ἢ καὶ πασῶν τὸ πρεσβεῖον ἠνέγκατο· τήξασα τὰς σάρκας δι' ἐγκρατείας καὶ τὸ σῶμα κενώσασα, καὶ τὸν χοῦν τῷ πνεύματι ὑποτάξασα, καὶ τὴν φύσιν δουλαγωγήσασα, καὶ ταῖς μὲν πρακτικαῖς ὁρμαῖς καλῶς τῇ πρακτικῇ ἐμμελετήσασα ἀρετῇ, τῷ δὲ θεωρητικῷ βίῳ ἀσφαλῶς προβᾶσα ταῖς τῆς θεωρίας ἐλλάμψεσι, καὶ τοῖν δυοῖν βίοιν πᾶσι καὶ πάσαις καταστᾶσα παράδειγμα, ὕλῃ καὶ ἀϋλίᾳ σοφῶς διαιτήσασα, καὶ ἀμφοτέροις τοῖς μέρεσι διελομένη τὸ πρόσφορον, μᾶλλον δὲ τῇ μὲν ὕλῃ τὴν ἀϋλίαν κατακεράσασα, ταύτην δὲ τῇ μετουσίᾳ τοῦ κρείττονος ὑψηλοτέραν καὶ καλλίονα ἀποδείξασα.

'Αλλ' ἐγώ σε μῆτερ, θαυμάζειν μὲν ἔχω καὶ καταπλήττεσθαι, μιμεῖσθαι δὲ οὐ πάνυ δεδύνημαι· ἀλλά σοι μόνος ἐγὼ καὶ τὴν εὐχὴν ἐπενόθευσα, καὶ οὐ κατὰ τὰς σὰς ἐλπίδας προβέβηκα· μᾶλλον δὲ ὁ μὲν σὸς οὐδ' ἐνταῦθα διαπέπτωκε λόγος· τοῦ γὰρ ἐφετοῦ ὅσον ἐν σχήματι τετυχήκαμεν, μέχρι δὲ τοῦ τρίβωνος ἡ φιλοσοφία· καὶ τοῦτο δὲ σὸν ἔργον καὶ μετὰ θάνατον· ὑποκινεῖ με γάρ τις τοῦτο λέγειν ὄψις ὀνείρατος. 'Επεὶ γὰρ σὺ μὲν ἀπηλλάγης ἐντεῦθεν, ἐγὼ δὲ τὸ τῆς εὐχῆς σπέρμα ἐν ταῖς αὔλαξι κατέκρυψα τῆς ψυχῆς, ἔδοξά ποτε τῆς νυκτὸς καθεύδων, ἱεροφάντας τινὰς λευχειμονοῦντας θεάσασθαι· οἱ δέ, καὶ δὴ ἐληλυθέναι ἔφασαν, οὕτως αὐτοῖς προστεταγμένον, εἰς τοὺς ἁγίους με ἀββάδας ἀπενεγκεῖν, καὶ τῇ λέξει οὕτως εἰρηκότες· ἐγὼ δὲ εὐθὺς ἀναστὰς εἰπόμην αὐτοῖς ὥσπερ τισὶ κρείττοσι· προϊοῦσι δὲ ἡμῖν, ἡ ὁδὸς πλατεῖα οὖσα συνηρεῖτο καὶ συνέπιπτέ πως πρὸς ἑαυτήν, ὡς μικροῦ δεῖν καὶ στενοχωρεῖσθαι ἀπιόντας ἡμᾶς· πρὸς ἐμὲ γοῦν « ἀλλὰ πολλή τις ὦ τέκνον, ἡ στένωσις, ὡς ὁρᾷς καὶ τοῖς πλείοσιν οὐδὲ βάσιμος· ὅθεν δεδίαμεν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ περὶ σοί· ἀλλ' οὐδ' ὡς ἀποκνητέον σοι, ἀλλ' ἕπου τεθαρρηκώς». Οἱ μὲν ταῦτα, τέλος δὲ εἶχεν ἡμῖν καὶ ὁ λόγος καὶ ἡ ὁδός· φραγμὸς γὰρ ἡμᾶς ἀπετείχιζεν, ὁ δὲ φραγμὸς λίθος ξεστός, οὔτε λευκὸς ἄγαν, οὔτε τοῦ ἐναντίου χρώματος, ἀλλ' οἷον ὠχρός, λεπτὸς μέν, οὐ πάνυ δὲ διαυγής· κατὰ δὲ τὸ μεσαίτατον οἷον ὀμφαλός τις αὐτῷ ἐντετύπωτο, καὶ ἀνέῳκτο οὐκ εἰς ἀκριβῆ κύκλον, οὐ δὲ εὐρύχωρον· οἱονεὶ γὰρ ἀκίδες ἑκασταχόθεν τῆς περιφερείας ἀπηωρημέναι τὸ τοῦ λίθου ἔτι ἀπεστένουν τρημάτιον. Ταύτην οἱ ἄγοντες τὴν ὀπὴν διαδῦναί με ἔφασαν δεῖν, μὴ γὰρ ἄλλως εἶναι ἐκεῖθεν διεληλυθέναι· καὶ ὑπέθεσαν τὴν κεφαλὴν ὑποθεῖναι πρότερον, εἶθ' οὕτω τῷ λοιπῷ διολισθῆσαί με σώματι. Ἐποίησα κατὰ τὰς ὑποθήκας, καὶ ὁ λίθος ὑπεδίδου μοι ἐξιόντι καὶ ὥς περ τι σῶμα μαλακώτατον διελύετο· κἀγὼ καθ' ἕτερον μέρος γενόμενος, βαθυτάτῃ πρώτως ἐντετύχηκα κλίμακι, καὶ κατῄειν θαρρούντως· καὶ δή μοι πρὸς τῷ τέρματι νεὼς ἀνέῳκτο, καὶ τὸ μὲν λαιὸν μέρος εἰκὼν ἐκόσμει τῆς Θεομήτορος, τὸ δ' ἄλλο οὐ πάνυ εὐθὺς τεθέαμαι. Εἶτά σε τὴν τεκοῦσαν πρὸς τῇ εἰκόνι ἑστηκυῖαν ἰδὼν καὶ οἷον ἐκκρεμαμένην, ὥρμησα μὲν ὡς εἶχον περιβαλεῖν, σὺ δέ μοι τῇ χειρὶ βραχύ τι στῆναι ἐπέταξας· καὶ ὑποπτήξας ἐπάγην ἀθρόον· καὶ οὐδ' ὡς ἐπεστράφης, ἀλλ' οἷον ὑποβλέπουσά μοι τὴν ὁμιλίαν «ἐπὶ τὰ δεξιά, ἔφησας, τοῦ νεὼ στρέψαι τοὺς ὀφθαλμούς»· καὶ τοῦτο πεποιηκότι, μοναχός τις ὦπτο οὐκ ὄρθιος, ἀλλ' ὑποκλάσας τοῖς γόνασι· δέλ|τος φ. 84.
αὐτῷ ἐν χεροῖν, πρὸς ἣν δὴ καὶ ἐπεπήγει τοῖς ὄμμασιν· ἐῴκει δὲ ὑπερμεγέθει τινί, στρυφνὸς τὴν ὄψιν καὶ σκυθρωπὸς τὴν ὀφρύν, καὶ τὴν ἀσκητικὴν ἀκριβῶς ἀποπνέων ζωήν· «καὶ τίς δὲ οὗτος;» τὴν μητέρα ἠρώτησα· ἡ δέ, ἀμεταστρόφως αὖθις «ὁ μέγας, ἔφη, τέκνον, Βασίλειος· ἀλλ' ἄπιθι προσκυνήσων αὐτῷ». Ἐπεὶ δὲ προσελήλυθα, καὶ προσβλέψας οὗτος ἀνένευσεν, ὁ μέν, ἀθρόον συμπτύξας τὴν δέλτον καὶ βροντῆς ἦχον πεποιηκώς, ἀφανὴς ἐγεγόνει· καὶ οὐ δὲ τὴν μητέρα ἔτι τεθέαμαι,

ἀλλ' ἑτέρωσέ πη διαιτώμενος ἦν· καὶ οἱ ἀπαγαγόντες, ἀφανῶς μοι αὖθις προσεληλύθεσαν, καὶ ἐδόκουν τήν τε στολήν μοι κατακοσμεῖν, καί τινας λόγους ἐπιψηθυρίζειν (sic), οὓς οὐ κατέσχον τοῦ ὕπνου διαφειμένος.

Ὅτι μὲν οὖν, ὦ μῆτερ, καὶ θανοῦσα ἐπιμέλειαν πεποίησαι τοῦ υἱέος, πέπεισμαι τοῦτο πολλοῖς τεκμηρίοις τὸ πρᾶγμα κατειληφώς· ἐγὼ δὲ ὥς περ ἀντιπίπτων σοι ταῖς εὐθύτησι, καὶ ἀντικλώμενος τῷ κανόνι, οὐ πάνυ τὴν σοὶ φίλην φιλοσοφῶ· ἀλλ' οὐκ οἶδα ἥ τίς με μερὶς εἴληφεν ἐξ ἀρχῆς, καί με τοῖς βιβλίοις προσήλωσε καὶ οὐκ ἔχω τούτων ἀποσπασθήσεσθαι· θέλγει γάρ με καὶ ἡ τέχνη τῶν λόγων, καὶ μετὰ τῆς οἰκονομίας τῶν ὑποθέσεων καὶ τὸ ἐπανθοῦν αὐτῇ ὑπερηγαπήκειν κάλλος, καὶ κατὰ τὰς μελίττας τοῖς λογικοῖς λειμῶσιν ἐφίπταμαι, καὶ τὰ μὲν ἄνθη κείρω, τὰ δέ, τὸ δροσῶδες ἀναπίνω τῆς λέξεως, καὶ ἐν τοῖς ἐμοῖς σίμβλοις μελιτουργῶ. Οὐκ ἐᾷ με ἡσυχάζειν ἡ τῆς σφαίρας περιφορά, ἀλλ' ἀναγκάζει με πολυπραγμονεῖν, τίς ἡ κίνησις, πόθεν κεκύλισται, τίς ἡ φύσις, τίνες οἱ κύκλοι, πῶς ἐπιβέβληνται, πῶς διῄρηνται, πηλίκα τὰ τῶν εὐθειῶν τμήματα, τίνες αἱ γωνίαι, αἱ συναναφοραί, αἱ ἰσότητες, αἱ λοξώσεις, τίνα τὰ μεγέθη, ποδαπῆς φύσεως, πῶς αἱ κινήσεις καὶ πόσαι, εἰ τοῦ πυρὸς ἅπαντα, εἰ φύσεως ἄλλης. Κινεῖ με καὶ ἡ στάσιμος ἐπιστήμη, καὶ οὐκ ἔχω μὴ συννοεῖν τὸ συνεχὲς μέγεθος, μὴ τὸ ἀκριβὲς τῆς ἀποδείξεως θεωρεῖν, πῶς ἀπὸ νοῦ μὲν αἱ ἀξιώσεις, ἐκ δὲ τῶν ἀξιώσεων αἱ ἄμεσοι προτάσεις εὐθύς· πῶς ἕστηκε πάντα, πῶς ἠκρίβωται, τί τὸ ἀνάλογον, τί τὸ εὔλογον, τί τὸ ῥητόν, τί τὸ ἄμετρον, τί τὸ σύμμετρον, ὁποῖα δὲ καὶ τὰ μήκη καὶ αἱ δυνάμεις, καὶ ἡ περὶ τὸ στερεὸν στροφή· τὸ δέ γε πρῶτον μέρος καὶ ἄϋλον οὐ δὲ καθεύδειν ἐᾷ· τεθαύμακα γοῦν αὐτοῦ τὸ πρὸς ἅπαντα, ἢ τῶν πάντων πρὸς τοῦτο, τό τε πέρας αὐτοῦ καὶ τὸ ἄπειρον, καὶ πῶς ἐκ δυεῖν τούτοιν τὰ ἄλλα· καὶ πῶς καὶ ἡ ἰδέα καὶ ἡ ψυχὴ καὶ ἡ φύσις εἰς ἀριθμοὺς ἀναφέρονται,

ἡ μέν, κατὰ τὸν τῷ νῷ σύμφυτον, ἡ δέ, κατὰ τὸν τῷ λόγῳ σύνδρομον, ἡ δέ, κατὰ τὸν τῇ φυσικῇ τάξει ἰσόμετρον· ποδαπός τε ὁ λόγος ὁ φυσικός, καὶ τί μὲν τὸ ἐν τούτῳ τέλειον, τί δὲ τὸ σύμμετρον, τὸ τεταγμένον, τὸ κάλλος, τὸ αὔταρκες, τὸ ἶσον, τὸ ταὐτόν, τὸ ἀμιγές, τὸ ἁπλοῦν, τὸ παράδειγμα, ἡ ἀρχή, τίς ὁ ζωογονικός, τίς ὁ ψυχικός, τί τὰ τῶν ἀριθμῶν ἄχρι καὶ δεκάδος φυσικὰ ἰδιώματα, πῶς ἡ τριὰς παράγεται, τίς ἡ πρόοδος, πῶς δι' ὅλων διατείνει τῶν θείων γενῶν. Ἡ δέ γε μουσικὴ θελγήτροις ἀρρήτοις πρὸς ἑαυτὴν ἐπισπᾶται, καί πως ἀναπέφυκα πρὸς αὐτὴν καὶ ᾠκείωμαι, οὐκ ἐπιπολῆς δὲ ταύτης ἵσταμαι, οὐ δὲ τοὺς τύπους μόνους τῶν λέξεων, τῶν μέτρων, τῶν ἐντέχνων κινήσεων περιείργασμαι, ἀλλὰ καὶ τὰς δυνάμεις ταύτης ἐζήτηκα, καὶ τὰς ἐνεργείας, καὶ τὰ αἴτια, καὶ τὴν τῶν ῥυθμῶν οὐσίαν, τίνες τε τούτων οἱ ὀρθοὶ καὶ τίνες οἱ μὴ οὕτως ἔχοντες, ποδαπὸν δὲ αὐτῶν τὸ κάλλος, καὶ ὅτι συμφυὲς τῇ ζωῇ τῆς ψυχῆς.

Οὐ τὰ γένη δὲ μόνον ζητῶ τῶν ἐπιστημῶν, ἀλλὰ καὶ εἴ τινες ἐκεῖθεν ἐρρύησαν ῥύακες· τὴν δέ γε ὑπερκειμένην σοφίαν, ἥτις ταῖς ἄλλαις πρεσβεύει καὶ δίδωσι τὰς ἀρχάς, καὶ ἑρμηνεύει τὰ ἀξιώματα, καὶ καθαρῶς ἐστιν ἄϋλος, καὶ μετὰ τὴν φυσικὴν τέτακται, οὐ ζητῶ μόνον, ἀλλὰ καὶ τιμῶ καὶ σεβάζομαι, εἴ τε διαλεκτικήν τις ταύτην καλεῖν βούλοιτο ἄνωθεν ὁρῶσαν τὴν λογικὴν πραγματείαν, εἴ τε σοφίαν ἁπλῶς· τὸ γὰρ ἕτερον ὄνομα ἐπί τι μέρος τῆς λογικῆς κατέσπασαν οἱ νεώτεροι τῶν σοφῶν. Ἄγαμαι δὲ καὶ τὴν διὰ τῶν συλλογισμῶν ἀπόδειξιν, οὐ μόνον ὅσοι ἐκ τῶν καθ' αὑτὰ συμπεραίνονται, ἀλλὰ καὶ ὅσοι ἐπαγωγικὴν καὶ ὑστέραν τὴν προχείρισιν ἔχουσι· τοῖς δὲ σοφίσμασι τοσοῦτον χρῶμαι, ὅσον μὴ τούτοις ἁλίσκεσθαι, μὴ δὲ συντίθεσθαι ὅτι ταὐτὸν ἐπιστήμη τε καὶ σοφία, ἢ ἐπιστήμῃ μὲν ἐπιστήμονες οἱ σοφοί, σοφοὶ δὲ σοφίᾳ οἱ ἐπιστήμονες· οὐδ' ὅτι μόνος ὁ ἄνθρωπος ζῶον, εἰ μόνος γελαστικόν, πᾶν δὲ

γελαστικὸν ζῶον. Ταῦτά με ἕλκει, καὶ ἔτι μᾶλλον ἡ τῶν κρυφιωτέρων κατάληψις, τί πρόνοια καὶ εἱμαρμένη, καὶ εἰ ὅλως ἐν οὐσίᾳ τὸ δεύτερον, τί τὸ ἀκίνητον, τί δὲ τὸ αὐτοκίνητον, καὶ πότερον εἰσδέχεταί τι ἀπὸ τῆς γενέσεως εἰς ἑαυτὴν ἡ ψυχή, ἢ οὐδ' ὁπωστιοῦν· διαπορεῖται δέ μοι καὶ περὶ τοῦ κοινοῦ ζώου, εἰ ἀντιλαμβάνεται ἐσαεὶ ταύτης τῶν γνώσεων, καὶ εἰ ἐστιν οὐσία τῆς ψυχῆς ἡ ἀθανασία, ἢ ἄλλως ἐπισυμβέβηκε· περὶ δέ γε τοῦ ἀθάνατον αὐτὴν εἶναι, καὶ πλεῖστά μοι πεφιλοσόφηται, ἀπὸ τῆς πρὸς τὸ θεῖον ἀφομοιώσεως, ἀπὸ τοῦ τἀναντία μὴ ἐπιδέχεσθαι, ἀπὸ τῆς ἐπιστροφῆς, ἀπὸ τῆς ἐν τοῖς ὕπνοις κινήσεως καὶ ἐλλάμψεως· ζητῶ δὲ καὶ εἴ τις ἐστὶν αὐτῇ σύνδεσμος πρὸς τὸ σῶμα, οὗ δὴ πρῶτον ὡς δευτέρας ζωῆς ἐπιβέβηκε, τίς ἡ μίξις πρὸς αὐτὴν τοῦ ἀλόγου, τί τὸ ἀκρότατον ἐν τῇ ἀποκαταστάσει τέλος, τίς ἡ κρίσις, τίς ἡ λῆξις, πόθεν γίνεται, τί ποτέ ἐστι, τί δύναται, πόσα ἐνεργεῖ, τίς ἡ
φ. 84ᵛ. πρὸς τὸν νοῦν αὐτῆς μίξις|, τίς ἡ ἐπιστροφή, καὶ ἵνα μὴ καθέκαστον λέγω περὶ αὐτῆς, ὅλος ὑπὸ τῶν ζητημάτων ὑφήρπασμαι.

Ἀλλ' οὐδὲ μέχρι τούτου τὴν πολυπραγμοσύνην ἱστῶ, ἀλλὰ τῶν ἀστρολογησάντων ἀκούων, τοὺς μὲν τῶν ἀστέρων ὥςπερ ἐξυβριζόντων, τοῖς δὲ μονονουχὶ θυόντων, διαποροῦμαι πόθεν ἑκατέροις τὸ παραλλάττον ἐρήκει, ἢ πῶς πρὸς τὸν ἐκείνων σχηματισμὸν μετρεῖται ἡ γένεσις καὶ καθίσταται· ἀπέπτυσται γοῦν μοι ταῦτα, ὡς μήτε σαφῆ, μήτε ἀληθῆ, καὶ τοσοῦτον ἀπὸ τῆς περιεργίας ἐκέρδησα, ὅσον ἀπὸ τῆς περὶ αὐτὰ γνώσεως ἐκείνων κατηγορεῖν· ἀπείρηται γοῦν μοι τὸ ἐκεῖθέν τινας πλάττεσθαί τε καὶ μεταπλάττεσθαι, διαβέβληνται δέ μοι καὶ οἱ χαρακτῆρες καὶ τὰ συνθήματα, αἵ τε εἰσκρίσεις καὶ ἡ τῶν θειοτέρων σωμάτων καταγωγή· τὸ δ' ἀληθεύειν περὶ τοῦ μέλλοντος, οὔτε σχηματισμοῖς δίδωμι, οὔτε πλάσεσιν, οὐ φωναῖς ὀρνίθων, οὐ πτήσεσιν, οὐ κλαγγαῖς, οὐ κινήσεσιν, οὐκ ἀσήμοις ἤχοις, οὐ λόγοις θυραίοις, οὐχ ὅσοις ὁ Ἑλληνικὸς λόγος περιπεπλάνηται·

εἰ δέ μοι ἡ τῶν κανόνων πολυπραγμονεῖται ἀκρίβεια τῆς ἀστρονομουμένης σφαίρας, ἀλλά γε τοῦτο φιλόκαλον ὁμοῦ καὶ φιλόσοφον, κἂν εἰ περὶ ἀρχῶν ζητῶ καὶ πηγῶν, καὶ τοῦτο ψυχαῖς φιλοθεάμοσιν ἐφετόν.

Ἱερατικὴν δὲ τέχνην οἶδα μὲν εἴ τις ἐστίν, ἐρίῳ δὲ στέψας ἐξήλασα· λίθοις δὲ καὶ πόαις δυνάμεις μὲν ἀρρήτους καταμεμάθηκα, τὴν δὲ περίεργον τούτων χρῆσιν μακρὰν ἀπωσάμην· βδελλύττεταί μοι τὰ φυλακτήρια, ὁ ἀδάμας καὶ τὸ κουράλιον· καταγελῶ τῶν διοπετῶν ἀγαλμάτων· τερατῶδες ἥγημαι τὸ τὴν τῶν ὅλων τάξιν μεταποιεῖν ἐπαγγέλλεσθαι, πάντων τῇ τοῦ θεοῦ προνοίᾳ τεταγμένων καλῶς· διαλοιδοροῦμαι ταῖς ἐξευμενίσεσι, ταῖς καθάρσεσι, τοῖς χαρακτῆρσι, τοῖς ὀνόμασι, ταῖς λεγομέναις θεοφορήτοις κινήσεσι, τῷ αἰθερίῳ συνοχεῖ, τῷ ἐμπυρίῳ, τῇ λεοντούχῳ πηγῇ, τῷ πρώτῳ πατρί, τῷ δευτέρῳ, ταῖς ἴϋγξι, τοῖς κοσμαγοῖς, τῇ Ἑκάτῃ, τοῖς Ἑκατησίοις, τῷ ὑπεζωκότι, τοῖς λήροις καὶ μέχρις ὀνόματος· αἰῶνος δὲ πέρι καὶ χρόνου, καὶ φύσεως, καὶ θεωρίας, καὶ τοῦ ἑνός, αἰσθήσεώς τε καὶ μνήμης, καὶ τῆς τῶν ἐναντίων μίξεώς τε καὶ κράσεως, καὶ εἰ ἐν τῷ νῷ τὰ νοήματα, ἢ ἔξωθεν ἔστηκεν, εἴ γε ζητοίην, φιλόσοφον οἶμαι δεῖν πρᾶγμα ποιεῖν.

Ἔδει μὲν οὖν μόνῳ σχολάζειν θεῷ, καὶ μάλιστα νῦν ὁπότε μοι ὁ κόσμος ἀπείρηται· ἀλλὰ τὸ ἐπιτήδευμα, ἀλλ' ὁ περὶ πᾶσαν γνῶσιν τῆς ψυχῆς ἀκάθεκτος ἔρως, ἀλλ' ἡ παρὰ τῶν ὁμιλούντων ἀνάγκη, πεπείκασι καὶ τούτοις ἐμφιλοχωρεῖν· πλὴν ὅπερ ἐρεῖν βούλομαι, σὺ μὲν ἂν εἰδείης, ὦ μῆτερ, ἀκήρατος οὖσα ψυχή, πρὸς δὲ τοὺς ἄλλους ὁ λόγος, ὃν οὐ πρὸς ἀνθρώπους μόνον, ἀλλὰ καὶ πρὸς θεὸν καὶ ἀγγέλους ποιοῦμαι· ὅτι πᾶσιν ἐντυχὼν βιβλίοις Ἑλληνικοῖς, εἰπεῖν δὲ καὶ βαρβαρικοῖς, ὁπόσα Ὀρφεύς, ἢ Ζωροάστρης, ἢ Ἀμμοῦς συνέγραψεν ὁ Αἰγύπτιος, ὁπόσα τε Παρμενίδαι καὶ Ἐμπεδοκλεῖς ἐν ἔπεσι συνεγράψαντο, ἐῶ γὰρ Πλάτωνάς τε καὶ Ἀριστοτέλεις καὶ ὅσοι κατ' ἐκείνους

ἢ μετ' ἐκείνους φιλοσόφοις λόγοις ἐταλαιπώρησαν, περί τε ῥητῶν καὶ ἀρρήτων ξυγγεγραφήκασι, καὶ πᾶσαν αὐτῶν τήν τε θεολογίαν, καὶ τὰς περὶ τὴν φύσιν πραγματείας, καὶ τὰς ἀποδείξεις ἀνεγνωκώς, τὸ μὲν βαθὺ τῆς γνώμης ἠγάσθην, καὶ τὸ περίεργον ἐθαύμασα τῆς ζητήσεως· εἴ τι δὲ παρὰ τὸν ἡμέτερον τεθεώρηκα λόγον, κἂν μετὰ τῆς ἀκριβοῦς ἐξεικόνισται ἀποδείξεως, κἂν πᾶσαν εἶχε περικεχυμένην σοφίαν καὶ χάριν, ὡς λήρου παντὸς ἢ πάντη ἀτόπου καταπεφρόνηκα, ὅς γε οὐδὲ τοῖς κρείττοσιν αὐτῶν προσέχω τὸν νοῦν, ἀλλά μοι τὸ φιλότιμον τῆς ψυχῆς μέχρι τῆς τῶν δογμάτων αὐτῶν κεκίνηται γνώσεως. Εἰσὶ γὰρ καὶ παρ' ἡμῖν θησαυροὶ σοφίας ἀνέκλειπτοι, καὶ βάθη δογμάτων, καὶ νοημάτων κάλλη, εἰ δὲ βούλοιτό τις καὶ λέξεων αὐτόματον ἄνθος, ἀλλ' οὐ περίεργον· καὶ ζητήσειεν ἄν τις, τί μὲν ἐκφαντορία θεία, τί δὲ νοητόν, καὶ τί νοερόν, τί μὲν τὸ ῥέον ἀπὸ τῆς ὅλης πηγῆς, τί δὲ τὸ ἐξ ἑνὸς τῶν αὐτῆς ὑποστάσεων, τί τὸ θεὸς ὄνομα, καὶ τί τὸ ἐκ τούτου δηλούμενον, τί τε τὸ πᾶν, καὶ τί τὸ μέρος, καὶ πότερον τούτων προσάψομεν τῷ θεῷ, ἢ οὐδέτερον, τίνα τὰ νοητά, καὶ ποῖα τὰ νοερά, οἷα δὲ καὶ τὰ θεολογούμενα σύμβολα, καὶ τί ἕκαστον, τίς ὁ τροχός, τί τὸ ἤλεκτρον, τί τὸ χρυσίον, τὸ καθαρόν, ἡ ἀτμίς, ἡ τοῦ νέφους ἐπίβασις, ὁ θρόνος, ὁ ποταμός, τί τὸ πετόμενον δρέπανον, ἡ ἀξίνη, τὸ δένδρον, ἡ τομή, ὁ λίβανος, ὁ δρῦς, τίνες αἱ τῶν ἀγγέλων ἐπωνυμίαι, τίνες αἱ παρ' ἡμῖν τελεταί, τί; ἡ κοινωνία, καὶ τὸ μῦρον, καὶ ἡ λαμπάς, καὶ ἡ κλίμαξ, καὶ οἱ στυλίσκοι, καὶ ὁ ἀναγωγὸς ἔρως, καὶ ἡ οὐσία τοῦ ἀγαθοῦ, καὶ τὸ καλόν, ἀφ' ὧν τἆλλα καὶ πρὸς ἃ ἐκείνοις ἡ ἄνοδος· τίς ἡ τεθυμιαμένη νύμφη, ἡ θύρα, τὸ δίκτυον, ὁ καύσων ἥλιος, ὁ ἀμπελών, ἡ φυλακή, ἡ ἐκεῖθεν ἀπόστασις. Κἂν ἀφεὶς ταῦτά τις ὡς ὑψηλὰ καὶ μετέωρα, προσέλθοι τοῖς παρ' ἡμῖν σκυτοτόμοις ἢ σκηνορράφοις καὶ τοῖς τὰ δίκτυα πλέκουσιν, εἶτα δὴ ἕκαστον τῶν παρ' ἐκείνοις λεγομένων ἐξακριβοῦν ἐθελήσειε, τότ' ἂν

γνοίη ὅτι τἆλλα μὲν ὥςπερ τοῦ αἰσθητοῦ ἡλίου τὸ προβεβλημένον ἐξέπληττε τοὺς πολλούς, ταῦτα δὲ ὁ ἀχλυώδης ἔστι φωστὴρ καὶ ἀφώτιστος, ὃν μόνος ὁρᾷ νοῦς, οὐ δύναται δὲ προσπελάζειν ἡ αἴσθησις· οὐδὲν γάρ ἐστι τούτων ὃ μὴ μυστηρίου γέμει καὶ τελετῆς ἀπορρήτου· οὐδὲν γὰρ αὐτῶν ἀθεώρητον, ἀλλ' οὐ δὲ τὸ βραχύτατον, οὐ τὸ ἐστρωμμένον ἀνώγεων, οὐ τοῦ ὕδατος τὸ κεράμιον, οὐ θυρῶν κλεῖσις καὶ ἐπιστασία τοῦ λόγου, ἀλλ' ὑποπέπτωκε τῇ θεωρίᾳ καὶ ὁ δίδυμος μαθητὴς ὡς ἀμφίβολος, καὶ ἡ συντρέχουσα συζυγία, καὶ οἱ προτρέχοντες, οὐδὲ τὸ ἄγκιστρον λόγου χωρίς, οὐδ' ὁ ἀπὸ τῆς θαλάσσης ἀνεσπασμένος ἰχθῦς, οὐ δὲ ὁ στατήρ, οὐ δὲ | ὁ ἀριθμὸς τῶν ἰχθύων· ἀσύμβολα φ. 85.
δὲ οὐδὲ τὰ τῶν Ἀποστόλων ὀνόματα, οὐδὲ ἡ τοῦ Προδρόμου ζώνη, οὐδ' αἱ τῆς καμήλου τρίχες, ἀλλ' ἵνα τὸ πᾶν συντεμὼν εἴπω, ὅτι πᾶς εὐαγγελικὸς λόγος γνῶσιν ἔμφυτον ἔλαχε δυσθεώρητον τοῖς πολλοῖς. Τούτοις ἐγὼ λιπαίνων τὴν κεφαλὴν καὶ τὴν ψυχὴν ῥύπτων, ἑλληνικῶν καθαρσίων οὐ δεηθήσομαι.

Ἀλλ' ἐπειδή μοι ὁ βίος τοιοῦτος ἀπεκληρώθη ὥς τε μὴ ἑαυτῷ μόνῳ ἀρκεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις προκεῖσθαι καὶ διδόναι ἀρύεσθαι, οἷα δή τις κρατὴρ τῶν ναμάτων ὑπερχειλής, διὰ ταῦτα καὶ σοφίας τῆς θύραθεν ἅπτομαι, οὐχ ὅση θεωρητικὴ μόνον, ἀλλὰ καὶ ὅση πρὸς ἱστορίαν καταβαίνει καὶ ποίησιν· καὶ γὰρ καὶ περὶ ποιημάτων πρὸς ἐνίους τῶν ὁμιλητῶν φθέγγομαι, καὶ περὶ Ὁμήρου καὶ Μενάνδρου, καὶ Ἀρχιλόχου, Ὀρφέως τε καὶ Μουσαίου, καὶ ὁπόσα καὶ τὸ θῆλυ ἦσαν Σιβύλλαι τε καὶ Σαπφὼ ἡ μουσοποιός, Θεανώ τε καὶ ἡ Αἰγυπτία σοφή. Πολλοὶ δέ με καὶ περὶ τῶν ἐν αὐτοῖς ὀνομάτων κατελιπάρησαν, ὥς τ' εἰδέναι τί τὸ ἀκράτισμα, τί τὸ ἄριστον, τί δὲ τὸ ἑσπέρισμα, καὶ τίς ἡ δορπίς, καὶ ἡ ἐν τοῖς δείπνοις . . . . . α, καὶ τίνες μὲν ἐν ἔπεσι συνεγράψαντο, τίνες δὲ τῇ κατὰ λογάδην λέξει ἐχρήσαντο, καὶ τίς ἡ παρ' Ὁμήρῳ ὄρχησις, καὶ ὅλως τίς ὁ παρὰ τῷ ποιητῇ ἡρωϊκὸς βίος, τί τε ὀψοφαγία, καὶ τί πολυτέλεια, καὶ τίς ἡ τῶν

ἀκροδρύων χρῆσις, καὶ ἡ ἀρχαιοτέρα τῶν Τρωϊκῶν, τί τε τὸ νέκταρ καὶ ἡ ἀμβροσία, καὶ τὸ πρόπομα, καὶ τὸ ὑπὸ γῆν γεράνιον, καὶ ἡ ἐγγεωτόπος γένεσις· ἐῶ λέγειν ὁπόσα μοι παρέχουσι πράγματα· τίς ὁ Ἄλεξις καὶ ὁ Μένανδρος, καὶ ὁ αὐτόσιτος Κρόβαλος, καὶ ὁ Κλήσαφος, καὶ εἴ τις ἕτερος ποιήσει λεγόμενος χρήσασθαι.

Πολλοὶ δέ με καὶ εἰς θεραπείαν σωμάτων καταναγκάζουσι, καὶ χρῆσιν ἀπαιτοῦσι, καὶ τὴν πρὸ τούτων διάγνωσιν· διὰ ταῦτα ἡ πᾶσά μοι περὶ τοῦτο τέχνη πεφιλοσόφηται, ἵνα μὴ τοῖς καθ' ἕκαστον ἐπεξέρχωμαι. Πολλοὶ δέ με οὐ λόγοις μόνον, ἀλλὰ καὶ χερσὶν αὐταῖς πρὸς τὴν ἰταλικὴν σοφίαν κατήγαγον, οὐ τὴν Πυθαγόρειον ἐκείνην φημὶ τὴν φιλόσοφον, ἀλλὰ τὴν φιλόκοινον ταύτην καὶ φιλόϋλον ἀτεχνῶς, ὥς τε περὶ ἀγωγῶν τι λέγειν ἰδιωτικῶν τε καὶ δημοσίων, περί τε πραγματωδῶν ἀποδείξεων, δουλείας τε καὶ ἐλευθερίας, καὶ γάμων νομίμων καὶ οὐ νομίμων καὶ τῶν ἐν τούτοις δωρεῶν καὶ κερδῶν, καὶ συγγενείας βαθμῶν, καὶ διαθηκῶν ὁπόσαι στρατιωτικαὶ καὶ ὁπόσαι πολιτικαί, τί τε ἡ ἐγγύη καὶ τί παρὰ τοῖς πράγμασιν ἡ ἔγγυος δύναται, καὶ τί μὲν ἵππος λακτίζων, ἢ βοῦς κερατίζων, ἢ δάκνων κύων, τῷ δεσπότῃ τῆς ἑαυτῶν κακίας προσαμόργνυνται, τίς τε ὁ νόμιμος κανών, καὶ διατὶ ψεύδεται τοὔνομα, ἥ τε κληροδοσία, καὶ ὁ ἀνιὼν καὶ ὁ κατιών, ὅ τε φυσικὸς παῖς καὶ ὁ νόθος, καὶ τί ἕκαστον τῶν ῥημάτων δεδύνηται, καὶ τίς ἡ ὕβρις καὶ εἰς πόσα διῄρηται, πόσος τε ἑκάστῃ τῶν ἀγωγῶν χρόνος ἀφώρισται. Εἶτά με τούτοις προστρίβοντες ὥς περ ἐν φιλοσοφίᾳ τοὺς λόγους τῶν νενομοθετημένων εἰσπράττουσιν. Οὐκ ἀφιᾶσι δὲ καὶ περὶ σταδίων τῆς οἰκουμένης ἀνερωτῶντες, καὶ πόσον μὲν τῶν ἀοικήτων τὸ μέτρον, πόσον δὲ τοῦ πέμπτου μέρους καὶ οἰκουμένου· ἀνάγκην γοῦν ἔχω τὸ ξύμπαν τούτοις γεωγραφεῖν, καὶ διορθοῦν αὐτοῖς ἢ ἀναπληροῦν τὸ ἐλλελειμμένον τῆς γεωγραφίας πινάκιον, καὶ ὁπόσα Ἀπελλῇ τε καὶ Βίωνι καὶ

Ἐρατοσθένει περὶ τούτων ἐς τὸ ἀκριβὲς πεπραγμάτευται. Τοὺς δὲ παρ' Ἕλλησι μύθους οὐδ' ἐπαυσάμην τούτοις ἀλληγορῶν· οἱ δέ με καὶ οὕτως ἀνθέλκουσι καὶ σπαράττουσι, τῆς ἐμῆς γλώττης μόνης ἐρῶντες καὶ τῆς ψυχῆς ὡς περιττότερόν τι τῶν ἄλλων εἰδυίας.

Ἐμοὶ δὲ, ὦ μῆτερ, ἀφωσίωται οὗτος ὁ βίος, ὁ δ' ἕτερος τεθησαύρισται, πρὸς ὃν ἐκ πολλοῦ δραμεῖν ἐπείγομαι· εἰ δὲ πολλοῖς ἔτι ἀγκίστροις τεθήραμαι, βασιλεῖ ἀπρὶξ ἡμῶν δραττομένῳ, καὶ πρὸς τοὺς προηγησαμένους περὶ ἡμῶν ἀντερίσαντι καὶ νικήσαντι τῇ τε ἄλλῃ τιμῇ καὶ λαμπρότητι, καὶ τῷ προκεκρίσθαι τῶν ἄλλων ὑπὲρ τοὺς ἄλλους ὅσοι καὶ νῦν καὶ πρῴην τῶν αὐτῶν λόγων συμμετειλήφασιν, ἢ τὴν κοινωνίαν αὐτῶν προειλήφασιν· εἰ γάρ τοι καὶ τὸ σχῆμα καὶ ὁ τρίβων ἄμικτά πως καὶ βασιλεῖ καὶ τοῖς περὶ βασιλέα δοκεῖ, ἀλλ' ἡμῖν ταῦτα μόνοις κεκαινοτόμηται, καὶ ἥδιστά πως δοκεῖ οὐ τοῖς κοινωνοῖς μόνον, ἀλλὰ καὶ τῶν ἀκοινωνήτων τοῖς πλείοσιν· εἰ δέ μοι τὸ ἦθος προσήρμοσε τοῖς διαφόροις καιροῖς, ἄλλοι περὶ τούτου φιλοσοφείτωσαν, ἐμοὶ γοῦν ηὐτομάτισται. Καὶ ἵλαθι ἄνωθεν ταύταις δή μοι ταῖς ἐκτροπαῖς, μᾶλλον δὲ πρὸς τὴν ἀνάγουσαν πρὸς θεὸν μετάκλινον καὶ ἀπεύθυνον, καὶ δίδου καθαρῶς τοῦ εὐαγγελικοῦ βίου κατατρυφᾶν, τῆς κεκρυμμένης ζωῆς ἐν θεῷ, εἶτα δὴ καὶ τοῦ τῆς ἀρετῆς νάματος παρασχοῦσα πιεῖν ὁπόσον ἡμῖν τοῦ ῥείθρου ἐνδόσιμόν τε καὶ χωρητόν, μετὰ ταῦτα δέξαιο μεταστάντας, καὶ πλήρωσον ταῖς πρὸς τὸ θεῖον παρρησίαις σου καὶ δεήσεσι τῆς πρώτης καὶ θείας τῶν νοουμένων πηγῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Β.

### Τοῦ αὐτοῦ, εἰς τὴν θυγατέρα Στυλιανὴν πρὸ ὥρας γάμου τελευτήσασαν.

Θυγατέρα τῷ λόγῳ τιμῶν, αὐτὴν ἐκείνην τιμᾶν τὴν ἀλή-
φ. 85ʳ. θειαν πέπεισμαι· ἀλήθειαν δὲ τιμῶν, τῇ κοινῇ τῶν ἐν γενέσει φύσει τὴν τιμὴν ἀποδίδωμι, καὶ τοῦτο εἰκότως· τῆς γὰρ φύσεως ἀμιγῆ καὶ ἀνόθευτα τὰ γένη προαγούσης, καὶ καθ' ὁμοιότητα τῶν πρωτοτύπων τὰ παράγωγα θείῳ νεύματι διαπλαττούσης, κἂν τούτῳ τὸ ἀληθὲς ἐχούσης καὶ ἀψευδές, τῆς τε ἀληθείας πᾶν τὸ ἑτεροκλινὲς καὶ διάστροφον ἀπωθουμένης, καὶ γυμνὰ καὶ καθαρὰ τὰ πράγματα καθὸ φύσεως ἔχουσι προφαινούσης, οὐκ ἄπο σκοποῦ φαίη ἄν τις μὴ οὐχὶ ἀλλήλοις ἄμφω συνᾴδειν καὶ τὸ ἰσοδυναμοῦν καὶ μὴ κατά τι ἀπονεῦον πανταχῇ ἀποφέρεσθαι· ὅπερ μοι δοκεῖ πάμπολυ κἂν ταῖς τῶν παλαιῶν σοφῶν βίβλοις ἐγκείμενον καθορᾶσθαι, τὸ τὴν φύσιν ἀντὶ ἀληθείας παραλαμβάνεσθαι, διὰ τὸ τὰς ἀλλήλων σημασίας ἐν ἑκατέροις παραχωρεῖν, καὶ μηδέτερον θατέρου ταῖς ἐννοίαις διΐστασθαι.

Διά τοι τοῦτο, δίκαιον οἶμαι καὶ τῇ φύσει τὰ οἰκεῖα προσαπονεῖμαι, καὶ τῇ ἀληθείᾳ τὸ ἴδιον ἀφορίσαι, καὶ ἀμφοτέροις τούτοις πρὸς τὴν παροῦσαν ὑπόθεσιν χρήσασθαι· καὶ ὅ,γε φιλακροάμων καὶ τῶν τοιούτων ἀδέκαστος διαιτητὴς οὐκ ἂν καταγνώσεως λαβαῖς ἡμᾶς ἐγκατάσχοι, ὅτι μὴ προσπαθείᾳ τὸ ἀληθὲς προδεδώκαμεν, φύσεως δὲ δεσμοῖς συμπεδούμενοι τὸ ἀψευδὲς τετιμήκαμεν. Οὐκοῦν, εἰ καὶ τοῦτ' ἐγὼ δέδοικα, τὸ καταισχῦναι τὴν φύσιν καὶ ταύτην ἐλαττῶσαι τοῖς παρ' ἐμαυτοῦ λόγοις πανταχόθεν ἔχουσι τὸ δειλὸν καὶ ὑπότρομον, μὴ σθένουσι πρὸς τὰ μείζω προσεπεκτείνεσθαι, ἀλλ' ἐκεῖνό μοι τὸν φόβον ἀπορραπίζει, τὸ σὺν ἀληθείᾳ τῶν προκειμένων ἐφάπτεσθαι, δι' ἧς καὶ

φύσις ἐπαινεθήσεται καὶ αὐτὴ καθ' αὑτὴν ἡλίκη τίς ἐστιν καὶ ὅση θεωρηθήσεται.

Ἐπεὶ οὖν περὶ παιδὸς ἡμῖν ὁ λόγος προοιμιάσθη, καὶ παιδὸς ἧς οὐκ ἄν τις ἴσην εὑρεῖν ἢ ἀκοῦσαι νεανιεύσοιτο, κἂν διαφέρειν τῶν ἄλλων ἐν πείρᾳ καὶ ἱστορίᾳ κέκριται, φέρε τὰ περὶ αὐτῆς διαλαβεῖν πειρασώμεθα, εἴγε καὶ μικρὸν ἡμῖν συγχωρήσει τὸ δάκρυον, τὰ ἐξιτήρια φθέγξασθαι· ἀναστρέφεται γάρ μου τὰ σπλάγχνα, καὶ ἡ καρδία σπαράσσεται, καὶ συγκλονοῦμαι διόλου τῇ περὶ ταύτης μνήμῃ συνωθούμενος πρὸς τὸ λυπηρότερον· οὐδὲ γὰρ εἰ σιδηροῦς τις καὶ σκληροτέραν λίθων ἔσχηκε τὴν ψυχήν, δύναιτ' ἂν ἐν τηλικούτῳ πάθει φιλοσοφεῖν, ἀλλὰ τὸ τί λέγειν περὶ αὐτῆς τῶν δεόντων ἀφέμενος πρὸς σκυθρωπότητα καὶ θρήνους τραπήσεται, εἰ καὶ μηδείς ἐστιν ἱκανὸς ὥς τε συνεξισοῦν τὸ δάκρυον τοῖς ἀλγήμασι· μόνος γὰρ Ἱερεμίας τὸν θρῆνον ἡμῖν συνειργάσατο; εἴπερ ἐξῆν, τὰς δακρύων πηγὰς ἀνελλιπεῖς προχέων ἐξ ὀφθαλμῶν. Ἀλλ' ἐπειδὴ τὰ τῆς φύσεως ἡμῖν ἐνήργηται, καὶ μικρὸν ὅσον ὁ δεσποτικὸς ἀπαιτεῖ λόγος τὸ κλαίειν ἐπεδειξάμεθα, τὰ περὶ τῆς θανούσης καθ' ὅσον ἡ μνήμη δίδωσι διεξέλθωμεν· διεξέλθωμεν δὲ ὅσα περὶ γένους, καὶ ἀγωγῆς παιδείας τε καὶ ἀναστροφῆς, ἤθους τε σεμνοῦ καὶ σεμνότητος, καὶ ἄλλα ὅσα ἡ παῖς πλεονεκτοῦσα τῷ φιλοτίμῳ τῆς φύσεως τῶν ἄλλων διενήνοχε γυναικῶν· οὐ δὲ γὰρ ὡς οἰκεῖα θαυμάζων ἀποβληθήσομαι, ἀλλ' ὡς ἀληθῆ συγγράφων ἀποδεχθήσομαι παρὰ τῶν ἀφθόνοις ὄμμασι τὰ ἡμέτερα βλεπόντων, καὶ μὴ μώμοις καὶ μέμψεσιν ἐπιφοβούντων τὰ πράγματα.

Εἶχε μὲν γὰρ τὸ εὐγενὲς μητρόθεν πολύ· βασιλικῶν γὰρ αἱμάτων ῥανίδες ταύτην διέπλαττον, οὐ μὴν ἀλλὰ καὶ προγόνων βασιλεῦσι προσῳκειωμένων καὶ εἰς πατέρας βασιλέων ἀπογραφομένων, καὶ τούτοις πρὸς κῆδος συναπτομένων, ἐξ ὧν ἀνασχοῦσα κατὰ μετοχὴν τὸ λαμπρὸν τοῦ γένους ἐκέκτητο· εἶτα σπαργανωθεῖσά τε καὶ ἀπογαλακτισθεῖσα, εὐθὺς ἐκ νηπίου τὴν

ἐσύστερον ἐκβησομένην προεδήλου τὰς ἀπαρχάς. Ἐντεῦθεν συνωμίλει ταῖς τιθηναῖς, ἥλιξι προσεπέλαζε, θεραπαίναις συνέπαιζε, καὶ τὸ τῆς διαπλάσεως ἀτελὲς ταῖς νηπιώδεσι τέρψεσι ἀντανεπλήρου. Εἶπες ἂν αὐτὴν ἰδὼν ῥόδον ἐκ καλύκων ἄρτι ῥαγέντων ἐξανασχόν, καὶ τῷ κάλλει τῆς ὄψεως τὰς ὁμήλικας ὑπεραίρουσαν. Ταύτην ὁρῶντες γεννήτορες ἔχαιρον, καὶ ὡς ἐπί τινι μεγάλῳ εὑρέματι ἐπ' ἐκείνῃ ἑώρταζον· οὐ δὲ γὰρ ἦν πως ἄχαριν τὸν πρὸς αὐτὴν ἀτενίζοντα γενέσθαι, τῆς τοῦ κάλλους ὑπερβολῆς διὰ βάθους παραπεμπούσης τὴν ἡδονήν. Ἀνήγετο μὲν ὑπὸ μητρὶ φιλοσέμνῳ, πάντοθεν αὐτῇ προνοουμένῃ τὸ κόσμιον, καὶ μὴ ἐώσῃ τῷ ἁπαλῷ τῆς φύσεως ἐντυπωθῆναι τὰ χείριστα· ἀλλ' ἐξ αὐτῆς προαγωγῆς καὶ γεννήσεως ταῖς κατὰ μικρὸν πρὸς τὸ σεμνότερον τοῦ ἤθους διαπλάσεσιν ἀναδραμεῖν πρὸς τὸ κοσμιώτερον· εἰ γὰρ καὶ μή πω τὰ τῶν τελείων ἐνήργει, ἀλλ' οὐχὶ καὶ πρὸς τὰ τῶν ἀτελῶν τέλεον ὑπεσύρετο, τοῦτο μὲν ὑπὸ .... εἰργομένη, τοῦτο δὲ ὑπὸ τῶν γνωμικῶν κινημάτων καὶ μητρικῶν παιδευμάτων ἀνθελκομένη, αἱ δυνάμεις συμπεπλασμέναι καὶ συγκαταβεβλημέναι τῇ νεαζούσῃ ἀμυδρῶς πως τῶν νηπιωδῶν ταύτην ἀνθεῖλκόν τε καὶ ὑπεξίστων. Ἀλλὰ ταῦτα μὲν τὰ τῆς νηπιότητος, καὶ οὕτω πολυέραστα καὶ σεμνὰ καὶ τῶν ὁμηλίκων τὸ ἀτελὲς ἀποκρύπτοντα· ἐπεὶ δὲ τὰ τῶν νηπίων ὑπερβᾶσα πρὸς τὰ τῶν τελείων ἐγένετο, καὶ τῇ σωματικῇ μετκλήψει τὰ τοῦ κάλλους συνηύξετο, καὶ τὰ τοῦ τρόπου διηύγαζε καὶ τὰ τῆς σεμνότητος, προσέτι δὲ καὶ τὰ τῆς αἰδοῦς ἀρχὴν ἐλάμβανεν, ὁπηνίκα καὶ φρένες μεταπλαττόμεναι, παγιώτεραί πως καὶ βεβαιώτεραι καθεστήκασι, τότε καθόσον ὑπὸ τῆς φύσεως προὐτρέπετο, κατὰ τοσοῦτον ἐπεδίδου τοῖς χρηστοτέροις. Ἦθος μὲν γὰρ ἦν αὐτῇ εὐαγὲς καὶ σεμνόν, καὶ μαρτυροῦν τὴν τῶν
φ. 86. ἔνδον κατάστασιν, κατὰ μι|κρὸν μεταλλαττόμενον πρὸς τὸ ἄμεινον καὶ τῶν χαμόθεν μετεωριζόμενον· καὶ ὥσπερ τὰ τῶν νεογνῶν στρουθῶν, ἕως μὲν ὁρᾶται ἄπτερα, προσγειοτέρα χρῆται

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῇ πτήσει, ἐπὰν δὲ πτεροφυεῖν ἄρξηται (*), τηνικαῦτα πτερύσσεται ὑψηλὰ καὶ μετέωρα, οὕτω δὲ καὶ αὕτη ταῖς παιδικαῖς πρότερον καὶ χαμαιπετέσιν ἐγγυμνασθεῖσα πτήσεσιν, ἔπειτα τοῖς κορικοῖς ἐπτεροῦτο καὶ ἀνεφέρετο ἤθεσιν· ἴσον ἀπέχουσα νηπιότητος καὶ τελειότητος, καὶ δι' ἀμφοῖν, ἀποχῇ τῶν ἄκρων, τῶν μέσων ἀντιλαμβανομένη, μᾶλλον δὲ καὶ τελεώτερον, ὅσῳ τῶν μὲν ἀφίστατο, τοῖς δὲ προσεπέλαζεν, εἰ καὶ ἀφανῶς πρὸς ἑκάτερον διετίθετο· καὶ ὅτι ταῦθ' οὕτως εἶχεν, αὐτόπιστον μάρτυρα τῶν προτερημάτων τὴν πεῖραν παρέξοιμι.

Ἕκτος μὲν αὐτῇ τῆς αὐξήσεως χρόνος ἠρίθμητο, καὶ παραυτίκα πολλῇ τῇ ἐκ τῆς γλώττης ἐκέχρητο εὐγλωττίᾳ, ἐλευθεροστομούσῃ καὶ τρανῶς διαρθρούσῃ τὰ ἐκφωνούμενα, ὅπερ ἐπ' ὀλίγων ἐστὶν ἰδεῖν· εἰ γὰρ κατὰ τὸν προφήτην « ἐλάλουν γλῶσσαι ψελλίζουσαι καὶ εἰρήνην ἐκήρυττον », ἀλλ' ἡ τὰ παίδων ἰδιώματα μακρῷ τῷ μέτρῳ ὑπεραναβᾶσα, ἀπεικὸς οὐδὲν ἐνάρθρῳ καὶ τρανῇ τῇ φωνῇ τὴν εἰρήνην ὑποφωνεῖν.

Οὕτω τοι καὶ στοιχειωδῶν ἥπτετο γραμμάτων, καὶ μίξεως συλλαβῶν, καὶ ὀνομάτων συνθήκης, ἀφ' ὧν προκαταρτισθεῖσα τὸν νοῦν, καὶ Δαυϊτικοῖς ψαλμοῖς ἐνεβιβάζετο· ᾗ τις τῷ τῆς φύσεως ὀξεῖ καὶ ταχεῖ τούτοις ἐμμελετῶσα, καὶ ῥᾳδίως πρὸς νοῦν ἀναπλάττουσα, ἀπταίστως εἶχε τὴν διὰ στόματος προφοράν. Καί μου τὸ τῆς παιδὸς θαυμάσατε μεγαλοφυὲς καὶ πρὸς τὰ φύσει καλὰ εὔπειθες καὶ εὐήνιον· τοῖς μὲν γὰρ ἄλλοις παισὶ πολὺ τὸ πρόσαντες καὶ δυσάγωγον πρὸς τὴν τῶν τοιούτων καθέστηκε μύησιν, ἅτε τῆς μαλακότητος τῶν φρενῶν οὐκ ἐθελούσης στερροτέρων λόγων ἀνατύπωσιν δέξασθαι, τῇ δὲ τοσοῦτον ἐπήνθει τὸ τοῖς τοιούτοις εὐμαθῶς χρῆσθαι, ὡς καὶ αὐθαιρέτως τοῖς παιδαγωγοῖς προσιέναι καὶ τῷ τῶν θείων λογίων καταγλυκαίνεσθαι μέλιτι· ἀλλ' ἐκείνοις μὲν ἔσθ' ὅτε καὶ φόβος καὶ ἀπειλὴ

(*) χειρ. αὔξηται.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μικρὰ καὶ μάστιξ (*) ἐφέλκεται πρὸς τὴν μάθησιν· τῇ δὲ καλλίστῃ ταύτῃ παιδὶ ἀπέχρησε μόνος ὁ φυσικὸς πρὸς τὰ τοιαῦτα ἔρως, ὃν ἐκείνη προσηκαμένη εὐπετῶς εἶχε πρὸς τὴν μάθησιν, καὶ τοσοῦτον ὡς καὶ συμμαθητριῶν φέρειν τὰ πρῶτα καὶ ὑπερκείμενα, φιλοτιμίᾳ φύσεως πλουτοῦσα τὸ περὶ παιδείαν ἀμίμητον.

Ἆρ' οὖν φύσεως μὲν οὕτως εἶχε περὶ γραμμάτων προπαίδειαν, δυσκόλως δὲ τὰ πρὸς ἱστουργίαν καὶ ἀνεπιστημόνως; οὐκ ἄν τις τοῦτ' εἴποι· διελθοῦσα γὰρ παρ' ἑαυτῇ τοὺς τῆς ἡμέρας καιροὺς ἐμφρονέστατα, καὶ ἄλλον μὲν ὁρισαμένη τὸν τῆς παιδείας, ἄλλον δὲ τὸν τῆς ἱστουργίας, ἀμφοτέροις προσένειμεν ἑαυτήν, νῦν μὲν περὶ τὴν τῶν γραμμάτων γνῶσιν ἀσχολουμένη, νῦν δὲ περὶ γυναικῶν ἔργα καὶ ἱστοπόνους ἐπιμελείας· ἄρτι γὰρ παρὰ μητρὸς ἐμβιβαζομένη πρὸς τὴν ἐν ὑφάσμασι ποικιλτικὴν τέχνην καὶ πρὸς ταύτην μυσταγωγουμένη καὶ χειραγωγουμένη, οὐ πολλῶν ἐδεήθη τῶν ἡμερῶν, οὐ χρόνου παρολκῆς, οὐ παιδευτριῶν πλειόνων, οὐχ ὁδηγῶν ἐμπείρων, ἀλλ' οὕτω τάχει φύσεως τῶν διδασκομένων ἀντελαμβάνετο, ὡς δοκεῖν ἐντετυπωμένα ταῦτ' ἔχειν κατὰ νοῦν, καὶ διὰ ταῦτα μὴ πολλῆς δεῖσθαι τῆς περὶ ταῦτα φιλοπονίας, εἴπερ τῷ σοφωτάτῳ Πλάτωνι πειστέον, ἀναμνήσεις τὰς ψυχῆς μαθήσεις διαγορεύοντι. Ἐντεῦθεν κερκίδες αὐτῇ προσεκτῶντο, καὶ λῖνα λεπτὰ ἐξυφαίνετο, καὶ τὰ διαπλεκόμενα τοῖς τῶν σηρῶν νήμασι σχήματα καὶ ποικίλματα τοῖς ἐλεφαντίνοις ἐκείνης δακτύλοις εὐαφῶς ἐναπαρτιζόμενα, οὐκ εἶχε κόρον ἐς τὸ θαυμάζεσθαι.

Τίς δὲ οὕτως ἢ γεννήτορας ἠγάπησεν, ἢ τὸ ἀχώριστον ἐξ αὐτῶν τετήρηκεν, ἢ τὰς ἐκείνων ὄψεις εὐλαβήθη, ἢ οὐχ ὑπερβαλλόντως τῷ πρὸς ἐκείνους ἐκράθη ἔρωτι; ἔγωγ' οὖν οἶδα τοῦτο καὶ πείρᾳ τὸ ἀληθὲς κέκτημαι· πολλὰ μὲν γὰρ τὰ ἐκείνης πρός με τῆς φιλοστοργίας σύμβολά τε καὶ σήμαντρα, ἐπαυχένιοι

(*) χειρ. μάστιγξ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

περιπλοκαί, ἀσπασμῶν προσαγωγαί, συνεδρεῖαι διηνεκεῖς, ἀνακλίσεις ἐπὶ κλινῶν, ἐπὶ γονάτων καθέδραι, ἐπὶ κόλπων περιπορεύσεις, τὸ τῶν αὐτῶν ἀπογεύεσθαι ὄψων, τὸ τοῦ αὐτοῦ πόματος μετέχειν, τὸ περὶ πᾶν τῶν ὁτιοῦν προσφερομένων καὶ παρατιθεμένων μετέχειν ἐθέλειν διὰ τὸ πρός με τῆς ἀγάπης ἀπεριόριστον πέλαγος.

Τί δὲ ὑπολαμβάνεις, ἀκροατά, τὰ μὲν τοῦ σώματος καλῶς εἶχεν αὐτῇ καὶ ὡς οὐκ ἄλλως ἔδει, τὰ δὲ κατὰ ψυχὴν οὐχ ὁμοίως; ἢ ὡς οὐκ ἄν τις ᾠήθη περὶ αὐτῆς; οὔμενουν· περὶ γὰρ τοὺς ἐπιλυχνίους ὕμνους καὶ τὰς ἐννύχους δοξολογίας, τοσοῦτον εἶχε τὸ πρόθυμον καὶ μηδενὸς ἐφυστερίζον τῶν τῷ ναῷ προσιόντων, ὡς ὑπόπτερος πρὸς τοῦτον αὐτομολεῖν, καὶ στάσει ἀκλινεῖ καὶ προσοχῇ τῶν ὑμνουμένων τὸ πρὸς θεὸν ὑποσημαίνειν εὐλαβές, ἢ καὶ ψαλμοὺς ἑσπερίους αὐτομαθῶς ἀπεφθέγγετο, καὶ ῥήσεις Δαυϊτικὰς ἐκ πρώτης ἀκοῆς ἐδιδάσκετο, καὶ ᾄδουσι συνῆδε, καὶ τῶν ὑποφωνουμένων τοὺς θείους ὕμνους ἐπακροωμένη οὐδὲν παρίει τῶν ὅσα πρὸς ὑμνῳδίαν θεῷ ἐπάναγκες ἀναφέρεσθαι. Τί οὖν, ἐν μὲν ἐκκλησιαστικῇ παραστάσει τοσοῦτον εἶχε τὸ ἐφετόν, ἀπελείπετο δὲ τῶν μυστικῶν τελετῶν καὶ ἱερουργικῶν; ἢ κἀν ταύταις ἐδείκνυ τὴν προσεδρείαν καὶ ἐπιμονήν; οὐ τῶν αὐτόθεν δὲ μετεῖχεν ἁγιασμάτων ὡς καθαρὰ καὶ ἀμόλυντος, ἢ τούτων μὲν μετεῖχεν, οὐκ εὐλαβῶς δὲ καὶ κοσμίως καὶ μετὰ τῆς πρεπούσης αἰδοῦς γυναξίν; ἢ καὶ τοῦτο ἔπραττεν, οὐκ ἐπικαλύμμασι δ' εὐστόλως ἃ νεάνισι μᾶλλον προσήκει κατεκαλλύνετο; ἀλλ' εὑρεθήσεταί τις οὕτως ἀχράντως, ἀμολύντως τῶν μυστηρίων μετέχουσα; ἀλλ' ἐποφθήσεταί τις ἐν κόραις οὕτω τοῖς θείοις προσανατεθειμένη, ὡς ὀρθρίοις παρουσιάζειν ἐν ᾄσμασι, | καὶ τῶν ᾀδόντων τοῖς χοροῖς συνεφίστασθαι καὶ ὑμνῳδὸς φ. 86'. μετὰ τῶν ἄλλων γνωρίζεσθαι; ἐγὼ μὲν οὐκ οἶμαι· εἰ δέ τις εἰς τοσοῦτον χάριτος ἀναβιβασθῆναι κομπάσει, ὡς ἐξισωθῆναι τοῖς ταύτης προτερήμασι, πάντως τὸ τῶν κολοιῶν πείσεται·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πτερορρυήσει γὰρ τάχιστα καὶ ἀποβαλεῖται πᾶν τὸ ἐπείσακτον, καὶ τότε γνώσεται ὅσον τὸ διάφορον τῆς φυσικῶς κεκτημένης τὰ κάλλιστα, πρὸς τὴν ἐπιπλάστως καὶ περιέργως πτεροφυοῦσαν καὶ ἀναθάλλουσαν.

Ἐκ τούτων ποῖ τὰ τῆς ἀγωγῆς αὐτῇ προήχθη; ὡς γὰρ φυτὸν εὐγενὲς γῆθεν προκύψαν καὶ πρὸς αὔξησιν ἀναδοθὲν παραδείκνυσι ταῖς κατὰ μικρὸν αὐξήσεσι τὰ τῆς εὐγενείας γνωρίσματα, πάλαι μὲν δυνάμει ἐν αὐτῷ ἐγκείμενα, νῦν δὲ καὶ πρὸς ἐνέργειαν ἐκφαινόμενα, οὕτω κἀν τῇ πανευπρεπεστάτῃ ταύτῃ κόρῃ, ταῖς μεθηλικιώσεσι καὶ σωματικαῖς διαπλάσεσι τὰ τοῦ ὑπερφυοῦς αὐτῆς κάλλους παρεγυμνοῦτό τε καὶ ὑπεφαίνετο, ἕως ἔνατος ἐνιαυτὸς ἐπιστὰς ἐκφαντικώτερα ταῦτα παρίστη καὶ πρὸς τελεωτέραν μετήμειβεν ὡραιότητα· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πᾶν εἴ τι ἄλλο ταύτῃ προσῆν ἀτελές, τοῦτο ἀδήλως μετερρύθμιζε πρὸς τὸ τέλειον. Ἐντεῦθεν ἀνεζωπυροῦντό μου τὰ σπλάγχνα, καὶ ἡ ἐγκάρδιος φιλοτεκνία ἐπὶ πλέον ἀνέφλεγε, καὶ οὐχ οἷός τε ἦν φέρειν τῆς ἐπὶ τῇ κόρῃ χαρᾶς τὸ ἀμέτρητον· τὰ γὰρ τοῦ κάλλους αὐτῆς κατὰ μικρὸν ἀνακαλυπτόμενα σήμαντρα, καὶ ὥς περ ἀπό τινων κρυπτῶν ταμείων ὑπεξιόντα καὶ φανερούμενα εἷλκέ με δεσμώτου δίκην πρὸς τὸν ἐκείνης ἔρωτα πατρικόν, καὶ οὐκ ἦν πως μὴ τῷ τοιούτῳ πάθει ἁλόντα με ἀπαθῆ τελεῖν καὶ ἀνέραστον. Καλὸν δὲ μικρὰ περὶ τοῦ ταύτης κάλλους διαλαβεῖν, ἵν' ἔχωσιν οἱ ἀκούσαντες εἰδέναι οἷον εἶχε τὸ πανευπρεπὲς καὶ ὑπέρσεμνον καὶ τοὺς τῶν πολλῶν ὑπερνικῶν ὀφθαλμούς.

Ἔπλασεν ὁ ἀνεπίληπτος πλάστης κεφαλὴν οὐκ ἐπιμήκη, οὐδ' εὐρύτερα τὰ ἐφ' ἑκάτερα ἔχουσαν, οὐ δὲ μετώπῳ πλατυτέρῳ κεχρημένην· τὸ μὲν γάρ, Σκυθικόν, τὸ δέ, ἀπρεπές, καὶ ἀμφότερα οὐκ ἐπαινετά· ἀλλὰ τῷ στρογγύλῳ μὲν αὐτὴν περιεκόσμησε πάντοθεν, καὶ δεκτικὴν τῶν κορικῶν κόσμων καὶ καλλωπισμῶν εἰργάσατο. Αἱ δ' ὀφρύες οὔτε πρὸς τὸ ἄγαν καμπύλον

περιεκλίνοντο, οὔτε πρὸς τὸ λίαν εὐθυτενὲς ἀπετείνοντο· τῶν ἀμέτρων γὰρ ταῦτα· ἀλλὰ μικρὸν περὶ τὰ ἄκρα ἐπικαμπτόμεναι καὶ ἠρέμα κατὰ τὸ μέσον κοιλαινόμεναι, τὸ εὐπρεπὲς μετὰ συμμετρίας ἐπλούτουν· τά γε μὴν πέρατα ὅσα πρὸς τὴν τῆς ῥινὸς ἀπαρχὴν καταλήγει ἑκατέρωθεν εἰς ταὐτὸ συνιόντα, τοσοῦτον εἶχον τὸ ἀπ' ἀλλήλων διαιρετόν, ὅσον τῇ διαστάσει τὸ εὐθὺ τῆς ῥινὸς καταφαίνεσθαι, καὶ ὅσον ἀρχομένη μέχρι πόσου κάτεισιν. Αἱ μέν τοι τῶν ἄκρων συνελεύσεις οὐ πάντη ἀπελεπτύνοντο· ἦν γὰρ ἄκοσμόν τε καὶ ἀκαλλώπιστον· ἀλλ' ὡς ἀπό τινος στιγμῆς ἀπαρχόμεναι, καὶ δασύτητι τριχῶν παχυνόμεναι, καὶ βραχεῖ τῷ ἐπικαμπεῖ σεμνυνόμεναι, καὶ κατὰ μικρὸν λεπτυνόμεναι εἰς ὀξὺ κατέληγον· ἐμελαίνοντο δὲ κατακόρως τῇ ἐκ μετώπων ἀποστιλβούσῃ λευκότητι πολλαπλάσιον πλουτοῦσαι τὸ εὐπρεπές. Τὰ μὲν τοί γε ὄμματα δίκην ἀστέρων ἀπέλαμπον, οὐ κυκλοτερεῖ σχήματι, ἀλλὰ μεγέθει μὲν ἐκαλλύνοντο· τὸ δὲ πάντοθεν ἶσον ἐκφεύγοντες, ταῖς ἐφ' ἑκάτερα παρεκτάσεσι διετείνοντο· ἃ τῇ ῥινὶ γειτονοῦντα καὶ οἷον καλύκων ἄρτι διασχιζομένων τερπνότητι ὁμοιούμενα, εἰς ἀμίμητον χάριν ἀπεικονίζοντο, δίκην ῥοιᾶς λεπύρων τῶν βλεφάρων ἐπικειμένων, καὶ τὸ περικαλλὲς φρουρούντων τῶν ὀφθαλμῶν, ὑφ' ὧν ὡς ἄψαυστοι κόραι θαλαμευόμενοι παρθενικὴν ἀγλαΐαν ἀπέλαμπον· ὅσον δὲ μέσον συνελαμβάνετο, ἀκράτῳ λευκότητι κατηγλαΐστο, ἐπινηχομένου ταύτῃ τοῦ κυκλοειδοῦς μέλανος, καὶ ἀμιγεῖ τῷ χρώματι τὴν ἑκατέρων εὐπρέπειαν πρὸς τὸ ἀσύγκριτον ἀναφέροντος.

Τί δὲ καὶ ἡ ῥίς; διεμορφοῦτο μὲν πρὸς τὸ εὐθυτενὲς καὶ ἀπαρέκκλιτον, μήτε τῷ σιμῷ καθυβριζομένη, μήτε τῷ ὑπερανεστηκότι ἀντιμιμουμένη, ἀλλὰ τοσοῦτον ἀνέχουσα, ὅσον μεθόριον εἶναι τῶν παρειῶν, διϊστῶσα τὰ φυσικὰ τῶν χρωμάτων καὶ τοῖς οἰκείοις χώροις συμπερικλείουσα. Μυκτῆρες δὲ τῇ λοιπῇ τῶν μελῶν συμμετρίᾳ παραμιλλώμενοι, οὔτε πρὸς τὸ ἀσχημονέστερον ἀνεώγνυντο, οὔτε πρὸς τὸ ἀτιμότερον συνεστέλλοντο,

ἀλλὰ μέσως πως ἀναπεπταμένοι, καὶ τοῦ ἀέρος σπῶντες ἐλευθέρως ὅσον ὑγιὲς καὶ εὔκρατον, ὑπὲρ τὰς τῶν κολοσσῶν ἐθαυμάζοντο μυριότεχνα. Τό γε μὴν στόμα συμμέτρως διηνοιγμένον τοῖς χείλεσιν ἐσεμνύνετο, χείλεσι τοῖς ἐρεύθει πολλῷ καταπυρσευομένοις, οὐ ῥοιὰν ἀπομιμουμένοις μικρὸν ὑποσχιζομένην καὶ τῇ ἐρυθρότητι τὸ εὐπρεπὲς ἐπιφερομένην, ἃ καὶ Σολομῶν ἐν τοῖς ᾄσμασι καλῶς ἐπαινέσας, πολλὴν αὐτοῖς τὴν εὐφημίαν ἐπέχεεν· ἐμοὶ δοκεῖ μὴ δ' ἂν αὐτοὺς τοὺς τῶν λίθων ἄνθρακας ἐρίζειν πρὸς τοσοῦτον πυρσοφανὲς καὶ πολύφωτον, ἡνίκα τὸ ἡλιακὸν φῶς προσεμπίπτον αὐτοῖς ἐρυθροβαφεῖς ἀκτῖνας ἀποπέμπειν ἐκβιάζεται· ἃ ὁπηνίκα τῷ σεμνῷ μειδιάματι τῆς κόρης διανοιχθεῖεν, τοὺς λευκοτέρους ὀδόντας παραδεικνύουσι δίκην μαργάρων στιλβολάμπων στοιχηδὸν συντεθειμένους, καὶ ὅρμῳ τινὶ ἐοικότας κρυστάλλους ἔχοντι λαμπροτάτους καὶ εἰς περιστέρνιον κόσμον ἐξειργασμένους· οὗτοι τοῖς πυρσολαμπέσι περισκεπόμενοι χείλεσι πολλὴν τὴν ἐκ τοῦ μειδιάματος ἀποστάζουσιν ἡδονήν,
φ. 87. συγ|κεραννυμένης τῆς μαργαρώδους λευκότητος, τῇ ἐρυθρότητι, καὶ πολύχρουν τινὰ καὶ συμμιγῆ χάριν ἀποτελούσης.

Αἱ δέ γε παρειαὶ τῷ εὐτραφεῖ τῶν ἁπαλωτάτων σαρκῶν ποσῶς παχυνόμεναι, καὶ πολλῇ τῇ λευκότητι καταγλαϊζόμεναι, τὸ ἀπαστράπτον εἶχον μετὰ τοῦ θέλγοντος· ὧν κατὰ μέσα ῥόδων ἐρυθρῶν ἐπεφύοντο κάλυκες, ἃ ἐκ τοῦ περὶ καρδίαν ἀναδιδόμενα αἵματος καὶ διά τινων ἀποκρύφων πόρων ταῖς παρειαῖς ἐξανίσχοντα, τὸ γλυκὺ καὶ ἀκόρεστον ἐνεποίουν τῆς ὡραιότητος, διηνεκῆ πλουτοῦντα τὴν ἀνθηρότητα, μήτε χειμῶνος φθίνοντα, μήτε ἐν μετοπώρῳ φυλλοβολοῦντα, ἀλλ' εἰσαεὶ τὸ ἀερίζον τε καὶ τεθηλὸς συντηροῦντα καὶ σώζοντα· ἐς τοσοῦτον γὰρ ἡ τοιαύτη ῥοδωνιὰ ἐτεθήλει καὶ ἤκμαζεν, ὡς πείθειν τοὺς θεωμένους καὶ χερσὶ δρέπεσθαι τὴν τῶν φυσικῶν ἀνθέων καλλονήν τε καὶ ὡραιότητα.

Ἐπὶ τραχήλου δὲ ἡ κεφαλὴ ἐπεπήγει, ταύτῃ ἀναλογοῦντος,

ὡς μὴ τὴν ἐκείνης λυμαίνοιτο καλλονήν, μή τ' ἄγαν ἰσχνοῦ καὶ λεπτοῦ καὶ τὴν τοσαύτην ἀτιμάζοντος ὡραιότητα, ἀλλ' ὥςπερ τις κρύσταλος τορευτός, ἢ τὰ ἐξ ἐλεφάντων διαστιλβούμενα τμήματα, ἢ πύργος Δαυὶδ ὁ ἐν Θαλφιὼθ κατὰ τὸ ἐν ᾄσμασιν εἰρημένον, τὴν τῆς κόρης ἀνεῖχε κεφαλήν, θρόνον οὖσαν αἰσθήσεων, καὶ δοχεῖον τῆς προσούσης αὐτῇ ὑπὲρ ἡλικίαν κόρης φρονήσεως. Τί δ' ἂν εἴποις περὶ τριχῶν; ἀπὸ κορυφῆς γὰρ αὐτῆς ἐκφυόμεναι, μέχρι σφυρῶν καθίεντο, ὥςπερ ἐξ ἀρούρας εὐγείου καὶ νάμασι καταρρύτου στάχυες εὐθαλεῖς ἀναφυεῖσαι καὶ βλαστήσασαι, αἳ κατὰ νῶτα μακροτενῶς ἐφαπλούμεναι καὶ δίκην ἀνθέων αὐτὰ περισκέπουσαι, οὐλότησί τισι καὶ περικλάσεσιν ἐφαιδρύνοντο, ξανθότητι βαθείᾳ καὶ μικρὸν ὑποχρυσιζούσῃ καταγλαϊζόμεναι· αἱ δ' ἄλλαι κατὰ μέτωπον διχῇ διαιρούμεναι, καὶ καθ' ἑκάτερα μέρη ἐκτάδην ἐπικαμπτόμεναι καὶ διευθετιζόμεναι, καὶ τοῖς ὑπενθέτοις ἀμφιδέσμοις περισφιγγόμεναι καὶ δικτυπούμεναι, ἀκόρεστον ἀνέβλυζον ἡδονήν· μεθ' ὧν καὶ ἀπὸ μηνίγγων κατιοῦσαι, καὶ δίκην βοτρύων, ἢ κροσσωτῶν ἀνθοβαφῶν εἰκαζόμεναι καὶ σιαγόνας κατασκιάζουσαι, ὡς ἐκ μιᾶς πηγῆς κρουνοὶ παρεδείκνυντο· ἀλλὰ καὶ τὸ τούτων χρῶμα οὔτε πάντη πρὸς τὸ ξανθὸν διεχρώννυτο, οὔτε πρὸς τὸ λίαν μέλαν συνεσκιάζετο, ἀλλὰ βραχύ τι ξανθίζουσαι, πλέον δὲ πρὸς τὸ χρυσοειδέστερον μεταμορφούμεναι, οὐ καθὸ τὴν φύσιν ἐστίν, ἀλλὰ καθὸ μεθ' ἑτέρων ἀνακιρνάμενον συμπέφυκεν, ἀμυδροτέραν καὶ βαθυτέραν τὴν αὐγὴν ἐπαφίησι.

Καὶ μὴν καὶ οἱ βραχίονες εὐαρμόστως τοῦ σώματος ἐκφυόμενοι, οὐ πρὸς τὸ ἀνδρωδέστερον, ἀλλὰ πρὸς τὸ θηλυπρεπέστερον διαπλαττόμενοι, καὶ τῷ λείῳ καὶ ὁμαλῷ τῆς ἐπιφανείας διαμορφούμενοι, μέχρι καὶ προκαρπίων διέσωζον τὴν ὁμοίωσιν· ἣν καὶ λευκώλενόν τις προσειπών, οὐ πόρρω πεσεῖται τοῦ ἀληθοῦς. Ἐκ δέ γε τῶν προκαρπίων δάκτυλοι συμπεφυκότες οἷά περ κλάδοι νεοθαλεῖς ἐγνωρίζοντο· ἐκ δὲ τῶν ῥιζῶν αὐτῶν εὐρυνόμενοι

καὶ λειούμενοι, εἶτα κατὰ βραχὺ λεπτυνόμενοι, μέχρις ὀνύχων κατέληγον· εἶπες ἂν αὐτοὺς ἰδὼν ἐκ νεοπρίστου ἐλέφαντος ἄρτι διατμηθέντας εἰς δακτύλους χειρὸς διαγεγράφθαι.

Τοὺς μέν τοι μαστοὺς εἶχεν ἀώρους καὶ ὀμφακίας, μικρὸν ἢ οὐδὲν προκύπτειν δυναμένους, καὶ μήπω εὐαφεῖς εἶναι γινωσκομένους, περιεστέλλοντο γὰρ ἀτελείᾳ, καὶ τοῖς ἔνδον μέλεσι συνεκρύπτοντο, οἷά τινα κειμήλια ἄψαυστα ἀσυλίᾳ μόνῃ τετιμημένα. Ὀσφύς, οὐδὲ αὐτὴ πόρρω καθεστηκυῖα τοῦ εὐπρεποῦς, ἀλλὰ ζώνῃ περισφιγγομένῃ καὶ δεσμουμένῃ ἐστενοῦτό τε καὶ ἐλεπτύνετο, τῶν κενεώνων εἴσω συννενευκότων, ἅτε κενῶν ὄντων καὶ μηδεμιᾷ ὀστώδει πλάσει συντεθειμένων· εἶτ' ἐκεῖθεν καθ' ἑκάτερα τῶν μηρῶν εὐρυνομένων, τοῦ ἐν Κνίδῳ Ἀφροδίτης ἀγάλματος κατ' οὐδὲν ἡλαττοῦτο, ᾧ καὶ πρὸς ἔρωτα συμμιγῆναί τινα μῦθοί φασιν ἁλόντα τῇ ὡραιότητι τοῦ ἀγάλματος. Κνῆμαι δὲ καὶ γονάτων ἁρμονίαι, αἱ μὲν τῇ λειότητι καθωραΐζοντο, τὰ δὲ τῇ εὐστρόφῳ κινήσει τὸ ἄπταιστον ἀπεφέροντο· ἀλλ' οὐδὲ σφυρὰ χαρίτων ἦν ἄμοιρα, κἀκεῖνα γὰρ λευκαινόμενα καὶ εἰς ἀστραπῆς εἶδος μεταμορφούμενα, τὸν θεατὴν ἐξίστα καὶ ἀπενέκρου.

Οὕτω τοῦ παντὸς ἔχοντος αὐτῇ σώματος, καὶ εἰς ὅσον μὲν δεῖ λεπτυνομένου, ὅπου δὲ χρὴ εὐρυνομένου, καὶ μηδὲν τῶν μελῶν ἐχούσῃ ὃ μὴ μετὰ συμμετρίας καὶ κάλλους ἐκέκτητο, οὐδ' ἡ τοῦ παντὸς χροιὰ σώματος ἀτερπὴς ἦν καὶ ἀνέραστος. Λευκότητι μὲν γὰρ ἀμιγεῖ καὶ εἰλικρινεῖ διεπέπλαστο, ὡς νομίζειν χιόνα καταπεσοῦσαν ἄρτι λευκαίνειν τὸ ὑποκείμενον· τὸ δ' αὖ ἐρυθρὸν ἐν μὲν παρειαῖς καὶ τοῖς ἄλλοις τῶν μελῶν οἷς προσῆκεν ἐκφύεσθαι, ἐπλούτει τε καὶ ἀπεφέρετο, τὰ δ' ἄλλα τῇ λευκότητι παρῆκεν ὅσα πλέον ἔδει τῶν ἄλλων κατακαλύπτεσθαι.

Καὶ τούτων ἐμνήσθην, οὐχ ἵν' ἐκείνην ὡραιοτέραν τῷ λόγῳ καθυποδείξω· εἶχε γὰρ καὶ πρὸ τοῦδε τὸν λειμῶνα τῶν φυσικῶν ἀνθέων ἐν τῷ ταύτης πεφυτευμένον σώματι, καὶ τὴν ῥο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

δωνιὰν τῆς ἀμωμήτου μορφῆς ἐν αὐτῇ κομῶσαν καὶ θάλλουσαν, ἀλλ' ἵν' ὑμῖν ὑποδείξαιμι ὅσον ὑπερλάμπουσα τῷ κάλλει, καὶ ἡλίκον κόσμον καὶ συμμετρίαν μελῶν ἐν ἑαυτῇ περιφέρουσα, | καὶ πᾶν κάλλος καὶ ὡραιότητα τῇ παραθέσει νικῶσα καὶ ὑπεραίρουσα, καὶ τὰς πώποτε θαυμαζομένας ἐπὶ ὡραιότητι κάτω θεῖσα, καὶ μηδ' ἐγγὺς στῆναι παραχωρήσασα, ὅμως ὑποπέπτωκε βρόχοις θανάτου καὶ τῷ κοινῷ τῶν ἀνθρώπων ἐλειτούργησε νόμῳ. φ. 87ʳ.

Ταῦτα μὲν πρῶτον ἀνεπτέρουν καὶ διανίστων καὶ πρὸς γαμηλίους ἐλπίδας ἠρέθιζον· τό τε γὰρ τῆς ἡλικίας φοινικῶδες ἀνάστημα, καὶ ἡ ἐναέριος τῶν ποδῶν κίνησις, καὶ ἡ τῶν χιτώνων ἐν τῷ βαδίζειν ὑπηνέμιος ἔπαρσις, καὶ ἡ τῶν λεπτῶν λίνων καὶ διαφανῶν κατ' ὀσφὺν μὲν συναγωγὴ καὶ συνίζησις, κατὰ δὲ σφυρὰ καὶ πόδας ἐξάπλωσις καὶ πρὸς ἀέρα ἐπίδοσις, ἥ τε ἀπ' αὐτῶν ὤμων καὶ αὐχένος περιβολὴ καὶ σύνθεσις, καὶ πρὸς ἕκαστον τῶν περιστερνίων καὶ νωτιαίων μελῶν ὥσπερ κόλλησις καὶ περίθεσις, οὐκ ἀτερπῆ με πρόμαντιν ἔπειθεν εἶναι, ὡς ταῖς ἁπάντων γλώσσαις ἐγκείσεται, καὶ πολλοῖς τῶν ἐν δόξῃ ἐπαινεθήσεται καὶ θαυμαστωθήσεται, καὶ εἰς λόγου νύμφην ἐξαιτηθήσεται. Διά τοι τοῦτο μάργαροι μὲν καὶ λίθοι, καὶ ὁ πονηθεὶς εἰς χιτῶνα χρυσὸς τοῦ ταύτης κάλλους ἡττώμενα, ὡς τῇ ἀστραπῇ τῆς θέας ὑπερνικώμενα, πρὸς χολὴν ἐτρέποντο, μὴ δυνάμενα ταύτην κοσμεῖν περιττότερον· ταῦτα γὰρ τῶν μὲν ἀμόρφων καὶ δυσειδῶν ἐλέγχει τὸ ἄκοσμον καὶ ἐπίπλαστον, ἐπὶ δὲ φυσικαῖς μορφαῖς καὶ κάλλεσιν ἐντιθέμενα, τὴν ἧτταν φέρειν οὐκ ἀπαναίνεται· οὐ δὲ γὰρ περιαυχένιοι κόσμοι καὶ περιδέρραιοι, ἢ ὤτων ἐλλόβια, ἢ στέρνων διαφανῆ καλλωπίσματα, ἢ κρηδέμνων καὶ ἀμφιδέσμων πυργώματα, ἢ γεγοητευμένων φαρμάκων κράσεις καὶ μίξεις ἀντίθεοι, ἢ πλοκάμων ἀλλοτρίων εὑρέματά τε καὶ μαγγανεύματα, δύναιντ' ἂν πρὸς πλείω καλλωπίζειν ταύτην εὐπρέπειαν, ὡς τῶν φυσικῶν πλεονεκτημάτων τὰ τῶν θέσει

παρωθουμένων, καὶ τοὺς αὐθημέρους πλάστας ὡς λήρους καὶ νόθους ἐξελεγχόντων. Ἑλκεσίπεπλον ἂν αὐτὴν ἰδὼν εἶπεν Ὅμηρος, ἢ καλλίσφυρον, ἢ ἀργυρόπεζαν, ἢ ὅσα ἐκεῖνος τὰς Ἑλλήνων θεὰς ἐξυμνῶν, τὸν περὶ αὐτῶν ἔπαινον εἰς ὕψος ἀνήγαγε· πῶς γὰρ οὐ κρεῖττον αὐτῶν δοξασθήσεται; ὅπου γε, αἱ μὲν πάθεσι καὶ μίξεσιν αἰσχραῖς ὑποπεσοῦσαι, τὸν περὶ τοῦ κάλλους ἔπαινον ψευδῆ ἀπηνέγκαντο, καὶ τὴν τῆς θεώσεως κλῆσιν χρόνῳ καὶ τυραννίδι προσεκτήσαντο; ἡ δέ, καλλίστη γυναικῶν καὶ οὖσα καὶ γνωριζομένη, καὶ τὸ τῆς παρθενίας κάλλος ἀμόλυντον φέρουσα, καὶ μηδενὶ ἐμπαθεῖ λογισμῷ καταμολυνθεῖσα τὸν νοῦν, οὐκ εἰκότως τοὺς μύθους παραγκωνισαμένη, μετὰ τῆς ἀληθείας τὸ οἰκεῖον κάλλος, ὃ παλάμαι διεμόρφωσαν ἄχραντοι, ἀμώμητον τοῖς εὐφημεῖν ἐθέλουσι παραστήσειεν;

Τούτοις ἐγὼ γεγηθώς, καὶ περιχαρὴς τῷ τῆς παιδὸς εὐτυχήματι ὤν, οὐκ εἶχον ὅς τις καὶ γένωμαι, ἀεί με τῶν περὶ αὐτῆς κρειττόνων ἐλπίδων διαδεχομένων πρὸς τὸ φαιδρότερον, καὶ τὰ πατρῷα σπλάγχνα παρὰ ταύτῃ ἀναφλεγόντων, καὶ τῶν τῆς ἡλικίας μειζόνων βαθμῶν καὶ ἀναβάσεων τὴν ἐμὴν ἀνακτωμένων ψυχὴν καὶ πρὸς τὸ εὔελπι μεταφερόντων· τίς γὰρ ἐκείνην ὁρῶν καὶ ὑπὸ τοῦ ταύτης κάλλους, τοῦ ὥς περ μὴ ἐκ στοιχείων μεμορφωμένου, ἀλλ' ἐξ ἀκηράτου χειρὸς διαπεπλασμένου, θελγόμενος, οὐκ ἐντροπαλιζόμενος ὁρᾶται, κατὰ τὴν ποίησιν; τίς τὸ ἐκείνης ἦθος καὶ τὸ τοῦ καταστήματος σεμνόν τε καὶ τίμιον ἐνωτιζόμενος, τὴν πρὸς τὰ κρείττω μεταβολὴν οὐκ ἐδέξατο; τίς τὴν τοῦ σώματος διάπλασιν στοχαζόμενος, καὶ μελῶν καὶ μερῶν συμμετρίας καὶ ἁρμονίας περισκοπῶν, καὶ τὴν ἐπ' αὐτῇ τοῦ πλάστου φιλοτιμίαν ἐννοούμενος, οὐ μετὰ θάνατον ἀπῆλθε καταπληττόμενος; τίς μελετῶσαν τὰ τοῦ Κυρίου λόγια θεασάμενος, ἢ χελιδόνα ταύτην ἢ ἀηδόνα ἐνόμισε πολυφωνοῦσαν ἐν τοῖς βελτίοσι; τίς ᾀδούσης ἐν ναῷ Κυρίου ἐπακροώμενος, καὶ τοῖς τῶν ὑμνούντων μέλεσι τὰ ἑαυτῆς παραμιγνυούσης ψελλί-

σματα, οὐ τὸν τῆς φύσεως πλάστην ἐδόξασε, καὶ τῆς ᾀδούσης τεθαύμακε τὸ φιλόθεον; τίς τὸ πρὸς τοὺς πένητας ταύτης βλέπων φιλάνθρωπον καὶ μεταδοτικὸν καθ᾽ ὅσον ἡ χεὶρ εὐπόρει, οὐ πρὸς οἶκτον ἐκάμπτετο, κἂν σιδήρων ὑπῆρχε σκληρότερος; τίς τὸ πρὸς γονεῖς ἐρωτικὸν καὶ διάπυρον ἐπιστάμενος, καὶ ὅπως ὅλη τῆς ἐκείνων ἀγάπης ἐξήρτητο, καὶ ταῦτα ἐν σώματι ἀτελεῖ, οὐ τῆς κόρης θαυμάσεται τὸ φιλόστοργον; τίς τὸ πρὸς ἱστουργίαν καὶ λόγους παιδεύσεως διαμερίζειν ἑαυτὴν ἐπιστάμενος, καὶ ὅπως ἀμφοτέρου ἁπτομένη, οὐδετέρου ἀπελιμπάνετο, οὐ καὶ τοῖς ἄλλοις κῆρυξ γενήσεται; τίς τὰ τῆς τελειότητος πρὸ τῆς τελειότητος ἐνήργησε, φύσεως λαχοῦσα νόμων ἀνθρωπίνων ὑπερτέρας; τίς δὲ τῆς τῶν νηπίων ἠνέσχετο παιδιᾶς, παιδιᾶς ὅσον μὴ ἐκρυῆναι πρὸς τὸ ἀπρεπέστερον, καὶ ταῦτ᾽ ἀπεβάλετο, ὅτε πρὸς τὸ κοσμιώτερον μετετίθετο; Τίς ἔσχε νοῦν εὐπαγῆ ἐν σώματι ἁπαλῷ, καὶ μείζω τῆς ἐνηλικιώσεως τὰ τῆς φρονήσεως ἐνεδείξατο; τίς οὕτως ᾐδεῖτο γεννήτορας, καὶ τὸ δοῦλον ἐτήρησε πρὸς αὐτούς, ἐν τῷ καθ᾽ ἑαυτὴν ὑποδείγματι τῆς ὑποταγῆς παιδεύουσα τοὺς θεράποντας; τίς διηκόνησεν ἀσθενοῦσι, καὶ τοῖς τούτων συνήλγησε τραύμασι, καὶ συμπαθεστέρους τοὺς φύσαντας πρὸς τούτους εἰργάσατο; τίς διέθρυψεν ἄρτον τοῖς πένησι, καὶ τῶν ἐκ τῆς τραπέζης ψιχίων μετέδωκεν ἀφθονώτατα; τίς τὸ φιλόκαλον τετήρηκε πανταχοῦ, καὶ τὸ ἐπαινετὸν καὶ κόσμιον κατησπάσατο, τὸ δ᾽ ἀπειρόκαλον καὶ καλλωπιστικὸν ἀπερράπισε; τίνος αἱ περιπλοκαὶ πρὸς τοὺς τεκόντας, καὶ οἱ συνεχεῖς ἀσπασμοί, καὶ αἱ τῶν χειρῶν κατ᾽ αὐχένος περιβολαί, οἷς τὸ ἐκείνων ἐξανῆπτε φιλότεκνον; τίς ἦν ἐμοὶ παραμύθιον, καὶ συμφορῶν θεραπεία, καὶ ἀνιαρῶν ἰατρεία, καὶ θλίψεων μεταβολή, καὶ δυσχερῶν ἀπαλλαγή; τίς ἐν κόλποις ἐποχουμένη, οἷά τις ἄρνις νέα καὶ ἁπαλὴ καὶ | μικρά, πτερυσσομένη καὶ περιψαύουσα, ταῖς νυμφοστόλοις ἐλπίσι κατηύφραινε; φ. 88.
τίς οὕτως ἀχράντους καὶ θείας εἰκόνας ἐτίμα καὶ περιεπτύσ-

σετο, καὶ λαμπάδων φωτοφανείαις καὶ εὐωδιῶν προσενέξεσι τὸ περὶ τὰ θεῖα ταύτης ἐδείκνυ διάπυρον;

Ἀλλὰ τί, μὴ πᾶσιν ἐν τούτοις ἐπλούτει καὶ κεκαλλώπιστο, τὸ δὲ ὡραῖον τοῦ σώματος οὐχ ὑπὲρ πάσας Βυζαντίδας κόρας ἐκέκτητο; ἢ κατὰ τοῦτο μὲν εὐτύχει, οὐχὶ τῇ περὶ αὐτῆς δὲ ἀκοῇ πολλοὶ τῶν ἐν γένει καὶ πλούτῳ κομώντων, δίκην ἴϋγγος ἁλισκόμενοι, πρὸς γαμικὰς κατηπείγοντο συμφωνίας; ἢ τὰ μὲν τοῦ κάλλους εἶχεν ἀμίμητα, καὶ τὰ τῶν μνηστήρων ἐπέραστα, ἐξέκλινε δὲ τοῦ καθήκοντος, καὶ πρὸς τὰ τῶν νέων ἐξεκυλίσθη ἑταιρικὰ μαγγανεύματα; οὔμενουν· οὐ γὰρ ἀκοαὶ ταύτην συναλλαγμάτων τῆς παρθενικῆς αἰδοῦς μετεποίησαν· οὐ τὰ νεότητος πάσχουσα, περὶ νυμφίους ἐπτόητο καὶ τὰ τούτων ἤθη περιειργάζετο· οὐ νυμφαγωγὸν ἐπεσπᾶτο καὶ προαγωγούς, καὶ τῶν πρὸς ταῦτα συνωθούντων τοὺς ἐμπαθεστέρους· οὐκ ἐπὶ τρίμμασι καὶ χρώμασι ῥέουσι τὴν τιμίαν ὄψιν κατῄσχυνεν ἀτιμότατα· οὐ τὰς περὶ ταῦτα ἐπιτηδείας συνήγαγε, καὶ τὸ ἀμεμφὲς ἐκεῖνο καὶ ἡλιόβλητον κάλλος ταύταις ἔκδοτον παρεστήσατο· οὐκ ἄλλον τινὰ κόσμον τὸν ταῖς γυναιξὶ φροντιζόμενον εἰσεποιήσατο καὶ προσήκατο· ᾔδει γάρ, ᾔδει ὡς εἰ τούτοις ἐπιχειρήσειε καὶ ἀντιδημιουργεῖν τῷ πλάστῃ τολμήσειε, καὶ οἷον ἐπανορθοῦν τὰ ἐκείνῳ παρὰ τὴν φύσιν ἐπιλήψιμα θελήσειε, πλατὺν κατ' ἐκείνου κινήσει τοῖς ἀστηρίκτοις τὸν γέλωτα καὶ τὴν βλασφημίαν ἀνύποιστον· ἀλλ' οὕτως ἐν ὅροις ἔμεινεν εὐταξίας τε καὶ σεμνότητος, καὶ οὕτω τὸ τοῦ δημιουργοῦ πλάσμα διετήρησεν ἄσπιλον, καὶ τὴν παρ' αὐτοῦ δεδομένην ἀμόλυντον διεφύλαξεν ὡραιότητα, ὡς ἐκ τούτου μᾶλλον θαυμάζεσθαί τε τὸν πλάστην καὶ μεγαλύνεσθαι, ἐν σώματι πηλίκῳ καὶ χοϊκῷ τοσοῦτον κάλλους λειμῶνα καταφυτεύσαντα.

Ἀλλ' εἶχε μὲν οὕτω τὰ τῆς παιδός, κἂν πάντων τοὺς ὀφθαλμοὺς ἐπέστρεφε πρὸς αὐτήν· ἐλπίδες δὲ καὶ προσδοκίαι γαμήλιοι καὶ τἆλλα ὅσα ἐπὶ νεαζούσαις κόραις ὁ βίος ἑώρακεν

ἀπ' ἀρχῆς, εἶχόν τε ἡμᾶς καὶ περιῆγον καὶ τὸν καιρὸν ἐζήτουν τῆς πράξεως· τί δὲ ὁ πάντα ἐν σοφίᾳ καὶ προνοίᾳ διεξάγων καὶ διοικῶν, τί περὶ ταύτης ψηφίζεται καὶ πρὸς ποῖον πέρας ἄγει τὸ ψηφιζόμενον; τῶν ἀτοπωτάτων ἡγούμενος, εἰ κάλλος ἀμίμητον, ὅπερ αὐτὸς παλάμαις θείαις διέπλασε, τοῖς ἐκ συναφείας καταχρανθήσεται πάθεσι, καὶ παρθένος οὕτω καλή, οὕτω σεμνή, οὕτω καθ' Ὅμηρον ἐρατεινή, γαμικοῖς ὑποπεσεῖται μολυσμοῖς, ἄλλως τε καὶ ἀπόρρητά τινα καὶ ἀνέκφραστα περὶ ταύτην προειδὼς συμβησόμενα, ἅπερ ἡμῖν μὲν ἄγνωστα, μόνῳ δ' ἐκείνῳ γνωστά, τὰ μέλλοντα τοῖς φθάσασι προαναχαιτίζων καὶ προανακόπτων, νόσῳ περιβάλλει ταύτην λοιμικῇ, βαρείᾳ τε καὶ δυσεντεύκτῳ καὶ μόνοις τοῖς πειραθεῖσι γινωσκομένῃ.

Αἱ μὲν γὰρ ἄλλαι τῶν νόσων, ἢ ἐκ βλαβερῶν ἐπιφυόμεναι σιτίων, ἢ ἐκ μοχθηροτέρων χυμῶν, ἢ ἑνὸς τῶν ἐν ἡμῖν στοιχείων πλεονάσαντος, ἢ ἐκ τραυμάτων κατὰ μέρη ἐξηνθηκότων, δεινῶς τὸ σῶμα μαστίζουσιν, αἳ καὶ ἰατρικαῖς ἐπιμελείαις πρὸς ὑγίειαν μετεποιήθησαν· αὕτη δὲ ἐξ οὐδενὸς τούτων ἀπογεννᾶσθαι πέφυκεν, ἀλλ' ἐκ μυελῶν αὐτῶν καὶ ὀστῶν ἀναταρασσομένη, καὶ πάσης τῆς σωματικῆς διαπλάσεως ἀπογεννωμένη, κατ' ἀρχὰς μὲν πυρέττειν παρασκευάζει τὸν νοσήσαντα, ἔπειτα καθ' ὅλης τῆς σωματικῆς ἐπιφανείας βοτρηδὸν διαχεθεῖσα καὶ εἰς πομφόλυγγας ἐξογκωθεῖσα, καὶ τὰς ἁρμονίας τοῦ παντὸς διαλύσασα σώματος, ἄμορφον μὲν καὶ εἰδεχθὲς τὸ πρὶν ἀποδείκνυσι κάλλος τῆς σαρκός, ὡς ἀπὸ τῆς τῶν τραυμάτων πλήθους ἐξοιδηθείσης καὶ διαφυσηθείσης, καὶ δέος καὶ αὐτοῖς τοῖς ὁρῶσιν ἐμποιούσης· ἣν οὐκ ἰατρῶν τέχναι, οὐδὲ κράτος φαρμάκων δύναιντ' ἂν ἐξιάσασθαι, οὐδ' ἄλλη τις ἀνθρωπίνης βοηθείας περίνοια· καὶ τοῦτο συμφερόντως· ἵνα μὴ πάντα ὦμεν θαρροῦντες ἐφ' ἑαυτοῖς ἐπὰν νόσῳ περισχεθῶμεν, μήτε ἰατροῖς ἐφημέροις τὰ τῆς ὑγείας πιστεύωμεν, οἷς πλέον τῆς ἐπιτυχίας ἡ ἀποτυχία, ἀλλ' ἐπ' αὐτὸν ἀτενίζωμεν, καὶ αὐτὸν εἰς βοήθειαν

ἐπιβοώμεθα, καὶ παιδευώμεθα διὰ τῆς τοιαύτης νόσου τὸ ἡμῶν
τρεπτόν τε καὶ ἀλλοιωτόν, καὶ πρὸ τῆς ταφῆς διεφθορός τε καὶ
σεσηπός, αὐτοῦ τὸ παντοδύναμον καὶ ἀνεξιχνίαστον τῶν κρι-
μάτων, καὶ ὅτι πρὸς τὸ συνοῖσον ἑκάστῳ τῇ οἰκείᾳ προγνώσει
καθὼς αὐτῷ βουλητόν, διά τε νόσων καὶ θλίψεων, εὖ διατίθησι
τὰ ἡμέτερα, τοὺς μὲν καὶ μεθιστῶν τῶν ἐνθένδε, ὅσους ἐπίστα-
ται χείροσι περιπεσεῖσθαι κακοῖς, ἢ ἵνα μὴ τὸ ἐκείνων ἁγνόν
τε καὶ καθαρὸν τοῖς βιωτικοῖς ῥύποις συμμολυνθῇ καὶ κηλι-
δωθῇ, τοὺς δὲ καὶ τῇ νόσῳ ἐγκαρτερεῖν ἐπαφεὶς πρὸς ὑγίειαν
μεθίστησιν, ὧν ἡ ἐπιστροφὴ καὶ διόρθωσις ὑπ' αὐτοῦ προγινώ-
σκεται. Ἀλλ' οὐχ ἡ θυγάτηρ ἡ ἡμετέρα ταῖς τοιαύταις ὑπο-
πέπτωκεν αἰτίαις, μιᾷ δὲ μόνῃ τοῦ μὴ τὸ ταύτης ἀκίβδηλον
καὶ ἀμέθεκτον ἐκ παθῶν σωματικαῖς ὁμιλίαις ἀνθρωπίναις
κιβδηλευθέν, συμμετασχεῖν τῷ νέῳ τῆς σαρκὸς κηλίδων καὶ
ῥυπασμάτων.

Ἔκειτο οὖν ἡ παῖς τραύμασι πυκνοτάτοις πανταχόθεν πιε-
ζομένη, καὶ τοσούτοις καὶ τηλικούτοις ὅσοις οὐδὲ ἀριθμεῖν τις
ἐξισχύσειε· περὶ γὰρ ὤτων πόρους καὶ ἀναπνοὰς μυκτήρων, καὶ
στόματος ὑπερώαν, καὶ αὐτὸν λαιμὸν ἐκφῦντα, πόσην εἰκὸς
παρέχειν τῇ ὀδυνωμένῃ τὴν αἴσθησιν! Εἰκοστὴ μὲν οὖν ἡμέρα
διηύγαζε, καὶ χρηστοτέρων ἦμεν ἐλπίδων, ἅτε τῶν τραυμάτων
ἀπομαρανθέντων καὶ δίκην φολίδων ἀποπιπτόντων τοῦ σώματος·
ἀλλ' ὢ οἷον συμβέβηκεν αὐτῇ! οἵῳ ναυαγίῳ μετὰ τὴν εἰς λι-
φ. 88ᵛ. μένα διάσωσιν περιέπε|σε· πυρετὸς γὰρ λάβρος, οὐκ οἶδ' ὅθεν
καὶ ὅπως ἀναφθείς, τὰ τῶν σαρκῶν ὑπολειπόμενα κατεβόσκετο·
ἡ δέ, καίπερ τοῖς προλαβοῦσι πόνοις κατατηχθεῖσα, καὶ οἷον
ἀποταριχευθεῖσα, ὅμως ἐκαρτέρει τὴν ἐκ τοῦ πυρετοῦ ἀνύποι-
στον φλόγα, μηδὲν τὸ παράπαν δυσχερὲς ἐν παρολκῇ τοσούτων
ἡμερῶν ἀποφθεγξαμένη, μὴ κλαυθμὸν ἐξενέγκασα, μὴ κραυγὴν
μήσημον, μὴ ἄλλο τι λυπηρὸν ὃ τοῖς τοιαύτῃ περιπεσοῦσι νόσῳ
φιλεῖ λέγεσθαι· ἀλλ' ἐπεδείκνυ τὸ καρτερικὸν δίκην ἀδάμαντος,

καὶ πυρετῷ μαχομένη καὶ τραύμασι. Τίνα οὖν τὰ ἐντεῦθεν; ἀτροφίας αὐτὴν ἐκ πολλοῦ κατασχούσης, καὶ τῆς ζωτικῆς δυνάμεως κατὰ βραχὺ ἀπομειουμένης, οὐδὲ ἀντέχειν πρὸς τὴν ἐκ τοῦ πυρετοῦ φλόγα ἠδύνατο, μάλιστα προδαπανηθεῖσα καὶ προαναλωθεῖσα τοῖς τραύμασιν.

Ἐντεῦθεν πρὸς δάκρυον ἐτρεπόμεθα, καὶ τὰ τοῦ τέλους ἠλπίζετο, καὶ ἐκδημία ὅσον οὔπω ἥξειν ὑπείληπτο· ἡ δέ, τῆς τελευτῆς ὡς ᾔσθετο, φθόγγοις ἀσήμοις καὶ ἀνάρθροις τὴν γεννήσασαν ἀνακαλουμένη, καὶ μηδὲν πλέον μήτε φθέγξασθαι, μήτ' ἐκφωνῆσαι δυναμένη· παρεῖτο γὰρ καὶ ἡ τῶν φωνητικῶν ὀργάνων ἐνέργεια· μικρὸν τὰς οἰκείας χεῖρας διάρασα, καὶ ταύτας τραύμασι καταβαρουμένας καὶ δεδαπανημένας καὶ μηδὲν πλέον τῶν ὀστῶν ἐχούσας καὶ τῆς δορᾶς, ταῖς μητρικαῖς χερσὶ συζεύξασα, ἐναπέθετο τὸν τελευταῖον ὡς οἶμαι ἀσπασμὸν τῇ διὰ τῶν χειρῶν ἐπιδόσει σχηματίσασα· ὃ τῆς μὲν προκαλουμένης μητρὸς τὰ σπλάγχνα πλέον ἐξέκαυσέ τε καὶ ὑπανέφλεξε, τῶν δὲ περιεστώτων ἀείρρουν τὸ δάκρυον ἀπετέλεσε· συνέπασχον γὰρ ἡμῖν οἷα κἀκεῖνοι φιλότεκνοί τε καὶ φιλόπαιδες, καὶ ἀντιμετροῦντες ἐκ τῶν οἰκείων παθῶν τὰ ἡμέτερα.

Εἶτα τί; Παρῆν ἡ τῆς ἐκδημίας ἡμέρα· τριακοστὴ γὰρ πρώτη ἀπὸ τῆς ἐν ᾗ κατεκλίθη διεμετρεῖτο· καὶ ἡ μέν, ἄφωνος ἑωρᾶτο καὶ πρὸς τὴν ἔξοδον κατηπείγετο· τὸ δὲ περιεστηκὸς πλῆθος δακρυρροοῦν καὶ κοπτόμενον συνθανεῖν τῇ θνησκούσῃ ἐπηύχετο, ἕως τῶν φωτοειδῶν ἐπιστάντων ἀγγέλων τὸ πνεῦμα τούτοις ὀδυνωμένη παρέθετο. Ἐντεῦθεν ἐκινοῦντο οἰμωγαί, ὀλοφυρμοὶ ἐξηκούοντο, βοαὶ καὶ στεναγμοὶ ἀντεπέμποντο, προσπεσόντων τῷ ταύτης σώματι φίλων, συγγενῶν, δούλων, δουλίδων, ἐλευθέρων, τιτθῶν ἅμα καὶ τροφῶν, αἳ πλεῖον τῶν ἄλλων δίκην μητέρων τῷ νεκρῷ τῆς κειμένης προσφῦσαι, περιεπτύσσοντο, ἀνεκαλοῦντο τὴν δέσποιναν, τὴν κυρίαν, τὴν πλὴν γεννήσεως ὑπ' αὐτῶν καὶ σπαργανωθεῖσαν καὶ θηλασθεῖσαν καὶ ἀνατραφεῖσαν

καὶ εἰς τόδε ἡλικίας ἐλάσασαν. Ὡς δὲ ἀρκούντως εἶχε τὰ τοῦ πένθους, τοῖς τελευταίοις λουτροῖς ἀπεσμήχετο, καὶ νεκροστόλοις ἀμφίοις κοσμηθεῖσα, πὶ κλίνης προὐτίθετο, τὰ μὲν πολλὰ τῶν κατ' ὄψιν τραυμάτων ἀποβεβληκυῖα, τὰ δ' ἄλλα τῷ σώματι περιφέρουσα, μαρτύριον τῆς ἐν ᾗ διήθλησε νόσου ταῦτα δεικνύουσα· οὐ δὲ γὰρ ἦν πως τοὺς ἀσπάσασθαι βουλομένους τούτου τυχεῖν, ἑνὸς τραύματος καὶ μιᾶς πληγῆς παντὸς δεδειγμένου τοῦ σώματος. Γεννήτορες δέ, ὡς ταύτην εἶδον προτεθειμένην καὶ τὴν πρώτην ἀλλοιωθεῖσαν ὄψιν, καὶ μηδέν τι σημεῖον ἢ λείψανον τῆς φυσικῆς μορφῆς διασώζουσαν, ἀλλ' ἄμορφόν τινα καὶ ἀδιάγνωστον, καὶ τραυμάτων ἀνάπλεων, τῷ πάθει ἐκβακχευθέντες, καὶ πεφυρμένως τῇ προκειμένῃ συνεισπεσόντες, εἴ τι μὲν εὕρισκον ἀποτραυματισθὲν τῶν σαρκῶν, τούτῳ ἀπλήστως προσεφύοντο, « τέκνον λέγοντες, ποθητόν, τέκνον ἀγαπητὸν καὶ ἡδύ, καὶ πρῶτον ἡμῖν καὶ μόνον κεχαρισμένον ὑπὸ θεοῦ, τί τὸ βλεπόμενον, τί τὸ παρ' ἐλπίδα συμβεβηκός; τίς ἡ θηριώδης καὶ βάρβαρος αὕτη νόσος, ἥτις περισχοῦσα καὶ τραυμάτων καὶ ἰχώρων ἀνάπλεων δείξασα, τῷ θανάτῳ παρέπεμψε τάχιστα; ἵνα τί σε πολλαῖς αἰκίαις καταστίξασα καὶ κατατρώσασα ταῖς ὀδύναις ἀνάρπαστον τῶν ἐντεῦθεν ἀπήγαγεν; ἐνέσκηψε μὲν καὶ ἄλλοις πολλοῖς, καὶ τραυματίας εἰργάσατο, καὶ φλυκταινῶν ἐνέπλησεν, ἀλλ' οὐδενὶ τούτων θανάτου γέγονε πρόξενος· σοὶ δὲ τίς ὁ φθονήσας, τίς ὁ ἐποφθαλμίσας, τίς ὁ βασκήνας, τίς ὁ τὴν θανατηφόρον μοῖραν ἐπικλώσας καὶ πρὸ τῆς ὥρας τὸν θάνατον μνηστευσάμενος; τίς ὁ πρὸ τοῦ θέρους τὸν ἄσταχυν ἐκκόψας σου τῆς νεότητος; τίς ὁ τὸ ἡλιοφανές σου κάλλος ἀμαυρώσας, καὶ μηδὲν τῶν ἐν τάφῳ νεκρῶν διαφέρουσαν δείξας; εἰ μὲν τὸ τῆς ὕλης ἄτακτον, οὐκ ἀθυμητέον, πολλὰ γὰρ παρ' ἑαυτῇ νοσημάτων εἴδη ἀπογεννᾷν εἴωθεν· εἰ δὲ τῆς θείας τοῦτο προνοίας, τῆς πάντα συμφερόντως διεξαγούσης, ἡμῖν μὲν οὐκ ἔξεστι θείοις ἀντιμάχεσθαι κρίμασι, καὶ κατὰ τοῦ πλάστου τὴν γλῶτταν

κινεῖν, καὶ ὅτι μὴ πάντα ἡμῖν ἐφικτὰ τῶν αὐτοῦ κριμάτων, ἀποσκιρτᾷν δὲ καὶ ἀποδυσπετεῖν· ἀλλ' ἔστιν ἰδεῖν καὶ ἄλλους πρὸς αὐτὰς μὲν τὰς τελευταίας ἐληλυθότας ἀναπνοάς, καὶ τοιᾷδε νόσῳ δαπανηθέντας καὶ κατατρυχωθέντας, ἐξ αὐτῶν δὲ τῶν τοῦ θανάτου βρόχων ἀναρπασθέντας καὶ προσθήκην ζωῆς εἰληφότας, καὶ ταῦτα πονηρίᾳ καὶ μοχθηρίᾳ συζήσαντας τὰ πολλά, καὶ πρὸς ἐπέκτασιν χρόνων ἐληλακότας· τί οὖν μὴ καὶ σὺ τέκνον, τῆς ὁμοίας ἔτυχες ἀνακλήσεως, καθαρά τις οὖσα καὶ ἄσπιλος, καὶ μηδενὸς ἐπιτρίμμασι μώμου ἐπιζοφουμένη τὴν καθαρότητα; ἵνα τί σου τοῖς τραύμασιν οὐκ ἐπεκάμφθη ὁ πλαστουργός, καὶ τὴν ἐν τούτοις ὑπομονὴν καὶ καρτερίαν ἀποδεξάμενος, πρὸς ζωὴν ἐπανήγαγεν; ἵνα τί μὴ ταῖς ἁπάντων ἁγίων ἐδυσωπήθη δεήσεσιν, οὓς ἱκέτας καὶ πρέσβεις πρὸς αὐτὸν ἐστησάμεθα, καὶ τὴν τοῦ θανάτου ψῆφον παρήγαγεν; οἶδε τὴν ἔμφυτον τῶν πατέρων περὶ τὰ τέκνα στοργήν, οἶδε τὸ πρὸς ταῦτα τοῦ πόθου διακαές, καὶ τὴν φυσικῶς ἐγκειμένην ἡμῖν φιλίαν πρὸς τὰ γεννώμενα· μετέσχε τῆς ἀνθρωπίνης φύσεως, τοῖς ταύτης ἰδιώμασιν ἐκοινώνησε, πάντα ὅσα ἡμεῖς, πλὴν ἁμαρτίας, γέγονε· τί μὴ τὴν φύσιν ᾤκτειρε | πάσχουσαν; τί μὴ φ. 89.
τὴν νοσοῦσαν ἠλέησε, πολλῶν τραυμάτων κατατιτρωσκομένην βέλεσι; τί τῶν γεννησάντων τοὺς σπαραγμοὺς καὶ κλόνους παρέβλεψεν, ἀλλὰ καὶ σὲ τὸ μόνον αὐτοῖς παραμύθιον ἀφήρπασεν; Ὤ μοι τέκνον, τὸ ποτὲ μὲν εὐειδές, νῦν δὲ δυσειδὲς καὶ δυσθέατον, πῶς τὴν τοσαύτην τῶν τραυμάτων ὑπήνεγκας ἀγριότητα; πῶς τῶν ἑλκῶν καὶ ἰχώρων τῆς δυσωδίας ἠνείχου; πῶς ὡς ἄγριος θὴρ ἡ θανατηφόρος νόσος ὀδόντας σοι προσπήξασα σύμνεκρον ἀπετέλεσε; ποῦ τὰ τῆς ὑπὲρ ἄνθρωπόν σου μορφῆς σύμβολα; ποῦ τὸ τῶν παρειῶν ἐρύθημα, καὶ ἡ ὡς ἐπὶ κρίνων ῥόδα τὴν αἴγλην ἀπαστράπτουσα τῶν μελῶν εὔχροια καὶ συμμετρία, καὶ ἡ τῶν βημάτων ἀπαραπόδιστος κίνησις, δι' ὧν οὐ γεννήτορας μόνον, ἀλλὰ καὶ τοὺς βλέποντας τῷ ἀμωμήτῳ τοῦ κάλ-

λους ἐξέπληττες; Ἐπεὶ δέ σε θεὸς ὁ ἀνεφίκτοις προγνώσεως κρίμασι τὰ καθ' ἡμᾶς κατὰ τὸ δοκοῦν αὐτῷ συμφέρον οἰκονομῶν τῶν τῇδε μετέστησε, καὶ λειμῶνά σοι τερπνὸν ἀναπαύσεως ἡτοιμάσατο, καθά σοι τοῦτο καὶ προδεδήλωται, σὺ μὲν ἄπιθι τὴν καλὴν ταύτην καὶ μακραίωνα πορείαν, καὶ ταῖς οὐρανίαις ἀναπαύου σκηναῖς, καὶ τοῖς τῶν φρονίμων παρθένων συνεπαγάλλου πνεύμασιν, ἡμῖν δὲ τοῖς ὑπὲρ σοῦ φλεγομένοις καὶ πυρουμένοις ἐπιφαίνοιο κατ' ὄναρ τοιαύτη οἷά περ ἧς καὶ πρὸ τῆς νόσου, ψυχαγωγοῦσα καὶ ἀνακτωμένη τὸ ἡμῶν ὀλιγόψυχον, καὶ τοιαύτην χάριν τοῖς σὲ γεννήσασι δωρουμένη, τὸ τῆς περὶ σὲ λύπης εὑρέσθαι μικρὰν ἀπαλλαγήν! »

Ταῦτα καὶ πλείω τούτων ὀδυνηρότερον καὶ γοερώτατα τῶν γεννητόρων μετ' οἰμωγῆς ἐπιφθεγξαμένων, ἦρτο μὲν ἡ παῖς ἐπὶ σκίμποδος, καὶ πρὸς τὴν ἔξοδον ἐκομίζετο, τοῦ καιροῦ τοῦτο κελεύοντος καὶ διὰ τοῦτο τὴν ἐκβολὴν ἐπισπεύδοντος· ἐπεὶ δὲ πρὸς τὸν τῆς καταπαύσεως οἶκον ἐγενόμεθα, καὶ ὁ τάφος ηὐτρέπιστο, κἀκεῖ θείων ἀξιωθεῖσα ὑμνῳδιῶν, καὶ ἱερᾶς καὶ ἀναιμάκτου θυσίας ἐπ' αὐτῇ τελεσθείσης, οὕτω τῷ τάφῳ παραδίδοται, καὶ τῷ λίθῳ συγκρύπτεται, πολλὰ μὲν δάκρυα κινήσασα ἐπ' αὐτήν, πολλοὺς δὲ στεναγμοὺς ἐγείρασα, πλείονα δὲ τὸν περὶ αὐτῆς μακαρισμὸν ταῖς ἁπάντων γλώσσαις ἀποθεμένη· οὐδὲ γὰρ ἦν τις τοσούτῳ λιθώδης καὶ σιδηροῦς, ὃς οὐχ ἑάλω τῷ περὶ αὐτῆς πάθει καὶ πρὸς ὀδυρμοὺς καὶ δάκρυα μετενήνεκτο.

Ὁ δὲ τῶν ταύτης καλῶν ἀξιέραστον, ὡς οὐκ ἀθεεὶ τὴν ἐντεῦθεν μετάστασιν ἐποιήσατο, αὐτὴν ἐκείνην παραστησόμεθα μάρτυρα τὴν καὶ θεασαμένην τὴν ὀπτασίαν καὶ τῇ μητρὶ ἀπαγγείλασαν. Ἡμερῶν γὰρ οὔπω δέκα παρελευσασῶν πρὸ τῆς τελευταίας ἐκδημίας, νύκτωρ ἡ μήτηρ προσεπιστᾶσα, ἦν γὰρ χαμευνοῦσα καὶ τῆς παιδὸς τῇ κλίνῃ προσκειμένη, ὅπως ἔχοι διηρώτα, καὶ εἰ χρηστὸς αὐτῇ ἐπεφοίτησεν ὕπνος· ἡ δέ, « μῆτερ, πολλήν μου ποιησαμένης παράκλησιν πρὸς ὃν ἑώρων ἄνθρωπον,

ὑπανοῖξαί μοι τὸν κῆπον, οὐκ ἐπένευσε, καίπερ ἐν χερσὶ τὰς κλεῖς ἔχοντα· ἐγὼ δὲ τῆς παρακλήσεως ἐχομένη συνειπόμην τούτῳ πορευομένῳ καὶ τὴν ἄνοιξιν ἐπισπεύδουσα· ὡς δὲ μακράν τινα καὶ πολλῷ τῷ μήκει ὑπερεκτεινομένην διήλθομεν ὁδόν, ἐγὼ μὲν κεκοπιακυῖα ἱδρῶτι περιερρεόμην, τῷ μήκει τῆς ὁδοῦ ὥς γε ᾤμην ἐκλελοιπυῖα, ἀποψύχουσα· ἐπεὶ δ' ἔν τινι γεγόναμεν τόπῳ, ἐν ᾧ εἴσοδός τις ἦν κεκλεισμένη, ταύτην ταῖς ἐπιφερομέναις κλεισὶν ὁ φανείς μοι ἀνὴρ διανοίξας, ἔνδον ἄμφω γεγόναμεν, καὶ κῆπος ἡμᾶς ὑπεδέχετο δένδροις κατάσκιος, καρποῖς κατάκομος, καὶ πᾶσιν ἄλλοις φυτοῖς ἀμφιλαφὴς καὶ τερψίθυμος· ἀλλ' οὐδὲ ῥόδων, ἢ κρίνων, ἢ τῶν ἄλλων εὐωδῶν ἀνθέων ἀπελείπετό τι γένος· ὡς οὖν τῇ τερπνότητι τοῦ κήπου ἐπευφραινόμην, μικρὸν προβάντες εἶδόν τινα κατὰ τὸ μέσον καθήμενον ἄνθρωπον ὑπερμεγέθη καὶ ὑψηλότατον, καὶ μέχρις οὐρανοῦ ἀφικνούμενον· οὗ κύκλῳ λευχειμονοῦντες ὑπηρέται παρειστήκεσαν, πάντες ἐνδεσμόχειρες, ὑπότρομοί τε καὶ ἔμφοβοι. Τοῦτον ἰδοῦσα καὶ δειλίᾳ κατασχεθεῖσα, φόβος με καὶ δέος περιελάμβανε τῷ μεγέθει τοῦ φανέντος ἰλιγγιῶσαν καὶ περιτρέμουσαν· τῶν οὖν κύκλῳ περιεστηκότων προσκυνούντων τὸν φαινόμενον ἄνθρωπον, προσεκύνουν κἀγὼ μετ' αὐτῶν, καὶ ὡς εἷς τῶν τοιούτων συνιστάμην· μετὰ γοῦν τὴν προσκύνησιν, αὖθις πάντων χερσὶ συνεσταλμέναις παρεστηκότων ἐν φόβῳ, ἰδού τινες δύο νεανίαι λευχείμονες ταῖς ἑαυτῶν χερσὶ βρέφος ἐπιφερόμενοι πάνυ σμικρότατον καὶ ἰσχνότατον καὶ λεπτότατον καὶ λίαν ἠσθενηκός, οἳ καὶ πλησίον τοῦ μεγάλου γενόμενοι, τῷ τούτου ἐναπέθεντο κόλπῳ· τοῦτο ἐκεῖνος ταῖς ἰδίαις ἀνακουφίσας χερσὶ τῇδε κἀκεῖσε περιέστρεφεν· ὃ καὶ περιστρεφόμενον ὑγιοῦτό τε καὶ ἀνερώννυτο, καὶ ἀρτιγέννητον ἀπεδείκνυτο· εἶτα καὶ πρὸς τοὔδαφος παρ' αὐτοῦ κατετίθετο παντοίων ἀνθέων πεπληρωμένον. Ταῦθ' ὡς εἶδον εὐθὺς ἀνεστράφη μοι τὰ σπλάγχνα, ἔφριξαν δέ μου καὶ τρίχες τῷ παραδόξῳ τῆς ὄψεως, καὶ μὴ οἵα τε οὖσα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὴν ὄψιν ὑπενεγκεῖν, ὀδυρμοῖς ἐχρώμην καὶ δάκρυσι πρὸς τὸν τὰς κλεῖς ἐπιφερόμενον ἄνθρωπον, καὶ τῶν αὐτοῦ γονάτων ἡπτόμην, ἐπαναστρέψαι με προσδυσωποῦσα καὶ ἱκετεύουσα· ὅπερ ἐν ἀνοχῇ καρδίας ποιουμένη, διϋπνισθεῖσα ἱδρῶτι νῦν περιρρέομαι τῷ ἐκ τῆς ὁραθείσης μοι ὄψεως ».

Ταῦτα τῆς παιδὸς διηγησαμένης, εὐθὺς ὑπόνοιά τις τοῦ περὶ αὐτῆς ἡμῖν εἰσῄει θανάτου, καὶ ὡς ὁ μὲν φανεὶς αὐτῇ ἄνθρω-
φ. 89ʳ. πος εἷς ἦν τῶν ἁγίων τῶν ἐπιτετραμμένων τὴν τοῦ παρα|δείσου εἴσοδον, ἢ ὡς ἐγῷμαι ὁ κορυφαῖος καὶ πρῶτος τῶν Ἀποστόλων, ᾧ τὰς κλεῖς τῆς οὐρανῶν βασιλείας ὁ Χριστὸς ἐνεχείρισεν· ὁ δὲ πάντων μέγιστος καὶ ὑψηλότατος αὐτῇ ὁραθεὶς οὗτός μοι εἶναι δοκεῖ ὁ τοῦ παντὸς ποιητὴς καὶ δημιουργός, ὁ παλαιὸς τῶν ἡμερῶν, καὶ μόνος ὑψηλὸς καὶ ἀπειρομεγέθης κατ' οὐσίαν δεικνύμενος· ἄγγελοι δὲ οἱ κύκλῳ παρεστηκότες καὶ τὴν προσκύνησιν ὡς δημιουργῷ ποιούμενοι· οἱ δὲ νεανίσκοι, ὧν ταῖς χερσὶ τὸ βρέφος ἐπεκομίζετο, οἱ εἰς διακονίαν ἀποστελλόμενοι ἄγγελοι, οἳ καὶ τὴν ψυχὴν τῆς παιδὸς δίκην βρέφους ἐπιφερόμενοι τῷ πάντων ποιητῇ προσεκόμιζον, κατεσκληκὸς μὲν καὶ ἀρρωστοῦν διὰ τὸ τῆς νόσου χρόνιον καὶ δριμύ, ὑγιωθὲν δὲ καὶ ἀναρρωσθὲν διὰ τὴν ἐκ τῆς νόσου ὑπομονὴν καὶ καρτερίαν, ἥτις αὐτῆς τὴν ψυχὴν εὐρωστεῖν ἐν θεῷ παρεσκεύασεν.

Ἀλλ' οὐδ' ὅπερ πρὸ τούτου κατεῖδεν ἐνύπνιον παροραντέον, θεῖον γάρ τι καὶ τοῦτο, καὶ θεόθεν πεφάνθαι ταύτῃ πιστεύεται· ᾤετο γὰρ γυναῖκά τινα βρέφος ἐν ἀγκάλαις βαστάζουσαν, οὗ κατὰ κεφαλῆς τὸ σταυρικὸν σημεῖον διεμορφοῦτο, κλάδους δύο κατέχουσαν ταῖν χεροῖν, πλησιάσασαν τῇ κλίνῃ συνανακλιθῆναι αὐτῇ, εἶτ' ἐξαναστῆναι καὶ μέλλειν ἀπιέναι· τὴν δὲ παῖδα ἕνα τῶν κλάδων αἰτησαμένην, τὸν ἐλάττω καὶ βραχὺν ταύτῃ προσεπιδοῦναι· ἡ δὲ ἀντιβολοῦσα καὶ δεομένη καὶ τὸν μείζω λαβεῖν, οὐκ ἐπένευσεν ἡ φανεῖσα, ἀλλὰ τοῦ δόμου ἐξιοῦσα ᾤχετο· ταῦτα τὴν παῖδα θεασαμένην, διϋπνισθῆναι, καὶ ταῖς

προσκαρτερούσαις διεξιέναι τὰ τῆς ὁράσεως. Δοκεῖ δέ μοι αὐτὴν εἶναι τὴν παναληθῆ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν μητέρα, ἧς ἡ τιμία μορφὴ τῇ κλίνῃ τῆς νοσούσης προσήρμοστο, τὸν υἱὸν καὶ Θεὸν ἐν ἀγκάλαις φέρουσα· ἡ δέ γε κατάκλισις, ἡ πρὸς μικρὸν ταύτης ἐπισκοπὴ καὶ ἐποψία· τὸ δ' ἐπιδοῦναι ταύτῃ τὸν βραχύτατον κλάδον, ἡ βραχεῖα καὶ σύντομος τῆς ζωῆς ἐκκοπή. Ταῦτα, εἰ καὶ παράδοξα τυγχάνει καθ' ἑαυτά, παραδοξότερά πως ὑπάρχει τῷ παρὰ τοιαύτης παιδὸς ἐναετιζομένης καὶ ὁραθῆναι καὶ σαφηνισθῆναι, μὴ ἀνασχομένης τῆς προνοίας τοῖς ἐν ἡλικίᾳ ταύτης ἐμφανισθῆναι, ὧν οὐ μέγα τὸ τοιαῦτα ὁρᾶν διὰ τὸ ἔσθ' ὅτε τὰ ὁρώμενα μετατρέπειν πρὸς τὸ δοκοῦν, ἀλλὰ ταῖς μήπω τελείαις καὶ ἀνήβοις, καὶ πολὺ τῶν τελείων ἀπολειπομέναις, ἃς καὶ θαυμάζειν ἄξιον τῆς καθαρότητος καὶ τῆς πρὸς τοιαύτας ὀπτασίας ἐπιτηδειότητος. Ἀλλ' αὕτη μὲν μηδὲν τῶν ἐντεῦθεν σπίλων καὶ ῥύπων ἐπισυρομένη, ἄσπιλος καὶ ἁγνὴ πρὸς τὸν νοητὸν παράδεισον μετεσκήνωσεν, ὡς ἡ φανεῖσα ὄψις ὑπεσημήνατο· ἐγὼ δὲ θρηνῶν καὶ σκυθρωπάζων πορεύομαι, καὶ νεκροῦ μηδ' ὁ,τιοῦν διαφέρων τὴν τοῦ οἰκείου μέλους ἀπολοφύρομαι στέρησιν, καὶ πρὸς τὸν τάφον ἀπιὼν καὶ τὴν κειμένην ἀνακαλούμενος, αὖθις ἐπαναστρέφω κοπτόμενος, καὶ οὐκ ἔχω τίς γένωμαι, ἢ ποῖ τρέψομαι, ἢ ποῖον φάρμακον τῆς παρούσης λύπης λήψομαι θεραπευτικόν. Ἔκλαυσεν Ἰακὼβ τὸν Ἰωσὴφ ὑπὸ θηρίου δῆθεν καταποθέντα, ἀλλ' εἰ καὶ προσολίγον, ὅμως μετέπειτα ζῶντα τοῦτον ἀκηκοὼς τὰ τῆς χαρᾶς ἐπολλαπλασίασεν· ἐθρήνησεν Ἱερεμίας τὴν Ἱερουσαλὴμ τὴν αὐτῆς προορώμενος ἅλωσιν, ἀλλ' εἰ καὶ . . . . . . . . . . . . . Τὸ δ' ἐμόν, οὐ τοιοῦτον, οὐ χρόνοις διοριζόμενον, οὐ προθεσμίαις παραγραφόμενον, οὐκ ἐπ' ὀλίγον συγχωρούμενον, ἀλλὰ τῷ παντὶ αἰῶνι συμπαρεκτεινόμενον, καὶ μέχρι τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως συντηρούμενον. Διά τοι τοῦτο, ἀχλύς μου διαχυθεῖσα τοῖς ὀφθαλμοῖς ἀμβλυώττειν καταναγκάζει με, καὶ στεναγμοὶ τῆς καρδίας ἀναπεμπόμενοι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοὺς τῶν δακρύων συναναφέρουσιν ὀχετούς, καὶ κραιπαλῶ τῷ πάθει, καὶ οὐκ ἔχω πῶς παύσω τὴν ἀλγηδόνα· παρακλήτορες δέ μοι πάντες χρηστοί, οἳ ὅσῳ μοι τὰς παρακλήσεις προσάγουσι, τοσούτῳ τῶν ὀδυνῶν τὰς καμίνους ἀνάπτουσι· καὶ γὰρ ἐν μὲν τοῖς ἀλλοτρίοις πάθεσι φιλοσοφεῖν εἰώθαμεν οἱ πολλοί, καὶ τὸ μεγαλόψυχον κεκτῆσθαι καὶ σταθερόν· ἐπὰν δ' ἐν ἡμῖν αὐτοῖς τὰ λυπηρὰ περιστῇ, τότε τὸ φυσικὸν πάθος πάντα λόγον καὶ μεγαλοψυχίαν ὑπερνικῶν, δείκνυσιν ὡς οὐδὲν ἰσχυρότερον φύσεως, καὶ οὐδὲν στερήσεως παίδων ἀνιαρότερον· αἱ μὲν γὰρ ἄλλαι τῶν θλίψεων ἐκ τῶν ἐκτὸς προσγινόμεναι, εἰ καὶ ὀδυνᾶσθαι παρασκευάζουσι τὴν ψυχήν, ἀλλ' ἐξ ἐπιπολῆς καὶ οὐκ εἰς βάθος τὸ ἄλγημα παραπέμπουσιν, αἱ δὲ τῶν τέκνων, ἐπειδὴ σάρκες ἡμῖν εἰσι καὶ ὀστᾶ, κατὰ τὴν Γραφήν, ἐκ τῆς ἡμῶν οὐσίας ἀπογεννώμενα, οὐκ ἔστιν ὅπως μὴ οὐχὶ ἀδιάπταιστον ποιεῖσθαι τὸν περὶ τῆς αὐτῶν ἐκδημίας θρῆνον, καὶ τοῖς ἐκεῖθεν κέντροις καὶ πεπυρωμένοις ἥλοις τὴν ψυχὴν αἰωνίως κατατιτρώσκεσθαι.

Ἀλλά μοι παίδων φιλτάτη τε καὶ καλλίστη, γεννητόρων καλλώπισμα, συγγενείας καύχημα, οἴκου παντὸς ὡραΐσμα, ἡλίκων ἀγλάϊσμα, αὐταδέλφων εὐτύχημα, ἐπεί σε κέκρικεν ἡ μεγάλη καὶ ἄρρητος τοῦ θεοῦ πρόνοια τὰς οὐρανίους παστάδας περιπολεύειν, καὶ ἀρρεύστου τερπνότητος ἐμφορεῖσθαι, καὶ πνεύμασι δικαίων συναγελάζειν, ἄψαυστόν σε καὶ ἀμέθεκτον τῶν τοῦ κόσμου σπίλων προσλαβομένη, στῆσον ἡμῖν τὴν δακρύων φοράν, παῦσον τὴν τῶν στεναγμῶν συνοχήν, κατάσβεσον τὰς ἐξαφθείσας περὶ σοῦ τῶν πόνων καμίνους· στήσεις δέ πως, νύκτωρ ἐπιφαινομένη, ἐν ὕπνοις φοιτῶσα, καὶ ταῖς ἡδίσταις σου προσλαλιαῖς προσομιλοῦσά μοι καὶ προσφωνοῦσα, καὶ ὥς πέρ μοι
φ. 90. ζῶσα περιεφύου, καὶ χεῖρας τῷ αὐχένι | ἐπέβαλλες, καὶ τοῖς ἐκ σοῦ ἀσπασμοῖς τὸ φίλτρον ἀνέφλεγες, οὕτω μεταστᾶσα καὶ δι' ὀνείρων ἐμφανιζομένη περιβάλλειν με ταῖς φιλτάταις ἐμοὶ χερσὶ μὴ παρόψει, καὶ τοῖς ἐκ σοῦ ἀσπασμοῖς καταδρο-

σίζειν καὶ τὸ αὐχμηρὸν καὶ κατάξηρον ἡμῶν στόμα καὶ διὰ τὴν περὶ σὲ ἀνίαν καὶ ἀθυμίαν μὴ παραιτήσῃ· εἰ γὰρ καὶ ἀπ' ἀλλήλων τῷ θείῳ βουλήματι διεστήκαμεν, ἀλλ' αἱ τῆς ἑνώσεως καὶ συναφείας σχέσεις ἀθάνατοι διαμένουσι. Ναὶ τέκνον, παραγενοῦ πρός με τὸν πρὸς ὀλίγον σου κληθέντα πατέρα, ἐπὶ μακρὸν δὲ ἄτεκνον διατελοῦντα· μνήσθητι πατρικῆς ἀναστροφῆς, μνήσθητι μητρικῆς φιλοστοργίας· οἶδας ὅσα παρὰ σὲ πεπονήκαμεν, ὅσα τεταλαιπωρήκαμεν, οἵαις ἀγρυπνίαις ἐχρησάμεθα, ὅσαις ἀσιτίαις καὶ κλαυθμοῖς προσεπαλαίσαμεν, ἡλίκας ἐντεύξεις περὶ σοῦ πρὸς θεὸν πεποιήκαμεν, ἵνα σε πρὸς μέτρον ἡλικίας καταντῶσαν ὀψόμεθα. Τούτων μεμνημένη, ἀπόδος ἡμῖν τὰ θρέπτρα καὶ τὰ τροφεῖα καὶ μαίευτρα, ποῖα δὴ ταῦτα; τὴν σὴν ἐπισκοπήν, τὴν σὴν ἐπιφάνειαν, τὴν σὴν δι' ὀνειράτων ἐπιφοίτησιν, ἵνα σου τῇ ὄψει τῶν πολλῶν κουφιζόμενοι θλίψεων, εἴημεν εἰς τὸ ἑξῆς μικρὰ περὶ σοῦ ἀθυμοῦντές τε καὶ ἀλύοντες· τὸ γὰρ πάντη τῆς περὶ σοῦ ἀπηλλάχθαι θλίψεως, θάνατος μόνος δύναιτ' ἂν ἐργάσασθαι, ἢ τὸ τῆς λήθης ἐκπινόμενον νᾶμα κατὰ τὴν μυθικὴν ἀνάπλασιν καὶ διήγησιν, μὴ ὅτι γε λόγοι παρακλητικοὶ εἰς ἀέρα χεόμενοι καὶ λυόμενοι καὶ τῷ μεγέθει τῆς θλίψεως ἐκνενικημένοι.

---

## Γ.

### Τοῦ αὐτοῦ· ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου.

Ἐγὼ μὲν ᾤμην ἀνακωχὴν εἰληφέναι τῶν ἐπὶ τοῖς φίλοις ἐπιταφίων καὶ πεπαῦσθαί ποτε θρήνου ποιούμενος συγγραφάς· ἀλλὰ τὸ δαιμόνιον οὐχ οὕτως ἐδίκασεν, οὐδὲ κατ' ἐλπίδας ἡμῖν ἀπεφήνατο· ἀλλὰ πρότερον μὲν ἄλλους ἐπ' ἄλλοις κεῖσθαι τῶν

φίλων πεποιηκός, εἶτα βραχεῖ γέ τινι διαστήματι τὰς πτώσεις διαλαβόν, ἐπ' αὐτὸ νῦν ἀπήντηκε τῶν συμφορῶν ἡμῖν τὸ κεφάλαιον· οἴχεται γάρ μοι καὶ ὁ φίλτατος πάντων ἀνδρῶν, τὸ κοινὸν καὶ ἐμὸν μάλιστα σεμνολόγημα, κἂν τῇ προσηγορίᾳ κατὰ πάντων κτησάμενος νικητήρια. Σοφὸν δὲ ἄρα ἡ πρόνοια, αὐτὸ τοῦτο ὅπερ καλεῖται ἡμῖν ἐνεργήσασα καὶ προνοησαμένη τῶν καταλελειμμένων ἡμῶν, ἵνα μὴ τῷ ἀποδεδημηκότι τάχιστα συναπέλθοιμεν· οὐ γὰρ εὐθὺς ἐπὶ τοῖς συνεχέσι πρῴην τῶν φίλων θανάτοις καὶ ταύτην ἐπήνεγκε τὴν πληγήν, ἀλλ' ἀναμείνασά τινα χρόνον, καὶ τὴν ψυχὴν ἐπαναγαγοῦσα, καὶ οἷον ζωοποιήσασά τε καὶ ῥώσασα, οὕτως τελευταίαν ταύτην ἐπήγαγε συμφοράν. Καὶ γὰρ ἔμοιγε πάντες μὲν ἠδεῖς καὶ περιδέξιοι ὅσοι τε τῶν φίλων προαπηλλάγησαν, καὶ ὅσοι μεμενήκασιν, ἐν τούτοις γὰρ ἐμοὶ τὸ πλουτεῖν, κἀντεῦθέν μοι ἡ τῆς εὐτυχίας ἐπιχεῖται πηγή· οὐδεὶς δὲ οὕτω χαριέστερος ἡμῖν ἐγεγόνει καὶ φίλτερος, οὐδ' ἄλλῳ τῳ συνανεστράφην ἐγὼ ἐκ βραχείας ἔτι τῆς ἡλικίας, τῶν αὐτῶν μὲν παιδευμάτων συγκοινωνήσας, ἐς τοὺς αὐτοὺς δὲ φοιτήσας παιδευτάς τε καὶ διδασκάλους, δι' ὧν ἀρχάς γέ τινας ὀλίγων τῶν μαθημάτων λαβόντες, τἄλλα παρ' ἑαυτῶν προστεθείκαμεν, ἧττον φροντίσαντες τοῦ διὰ τέλους ἑτέρωθεν ἡμῖν τοὺς τῆς παιδείας ῥυήσεσθαι ῥύακας.

Ἀλλὰ πῶς ἂν ἀδακρυτὶ ἐπὶ τὰς τούτων ἔλθοιμι μνήμας; πῶς δὲ τοὺς χρόνους ἐκείνους ἀναλογιζόμενος, καὶ ὅθεν ἡμῖν ἡ τῆς φιλίας ὑπόθεσις γέγονεν, ἐφ' ἑκάστῳ τῶν γενομένων ἐπίσχω τὸ δάκρυον; Ἐπειδὴ γὰρ ὁ χρόνος ἀεί τι πλέον ἐμοὶ προστιθεὶς εἰς ἔρωτα παιδεύσεως ἤγαγε, καὶ ῥητορικῆς τὰ πρῶτα πεποίηκε ζηλωτήν, τὰ γὰρ τῆς φιλοσοφίας ὕστερόν μοι διεσπουδάσθη, ἐζήτουν ὅς τις ποτέ μοι καθηγητὴς γενήσεται τοῦ σπουδάσματος· καὶ δῆτα ἐφευρηκώς, οὐχ οἷον μὲν ἐβουλόμην, ἀλλ' οἷον ἡ τηνικαῦτα νεότης ἐπρέσβευε, δεύτερόν μοι μετὰ τοῦτο σπούδασμα γίνεται, εὑρεῖν ὅς τις τῶν ἐκείνου ὁμιλητῶν καὶ

μᾶλλον ἅπτοιτο τοῦ μαθήματος, καὶ μὴ ἀποστρέφοιτο τοὺς εἰσήλυδας· ἑώρων γὰρ πολλοῖς τοῦτο ἐγκείμενον, καὶ ὥς περ καὶ τοῦτο ῥητορικὸν ἡγουμένοις, τὴν κατὰ τῶν ὑστέρων ὑπεροψίαν· ἀλλ' οὐχὶ τοιοῦτος ὁ νῦν τοῦ λόγου προκείμενος, ἀλλ' ὅσῳ τῶν ἄλλων προεῖχε, τοσούτῳ καὶ τῶν ἐλαττόνων ἐπιστρεφόμενος ἦν, καὶ τῷ δρόμῳ νικῶν, ἐῴκει μὲν εὐθὺ πρὸς τὴν νύσσαν ἰέναι, ὥς περ μόνος ἀγωνιζόμενος, ὁ δέ, καὶ ἐπεστρέφετο, καὶ τοὺς κατόπιν ἀνέμενεν ἥκοντας· ἐμὲ δὲ καὶ παρακαλῶν ἦν, καὶ πρὸς τὸν ἶσον δρόμον ἐπάγων καὶ προτρεπόμενος· ἑώρα γάρ με οἵαν δὴ ἐκ πρώτης ἀφετηρίας τὴν τοῦ νοῦ ἐπαγγελλόμενον ὀξύτητα· διὰ ταῦτα γοῦν ἐπεμβοῶν ὥς περ καὶ παρακελευόμενος ἐπὶ τὸν τοῦ λόγου δρόμον ἀπεύθυνε.

Ταύτην ἐγὼ πρώτην ὑπόθεσιν φιλίας πρὸς τὸν ἄνδρα πεποιημένος, εὐθὺς μὲν οὐχ ὅλον ἐμαυτὸν ἐπέδωκα, ἀλλὰ καὶ δεύτερόν τι καὶ τρίτον ἐπιδειξαμένῳ πρὸς ἀγάπης ὑπόμνησιν, τηνικαῦτα καὶ τὸν πόθον ἐγνώρισα καὶ συνήφθην αὐτῷ γνησιώτερον. Ἐντεῦθεν δυὰς οὐκ ἀνώνυμος, τῶν ἄλλων ἀπορραγέντες, τῇ ὁμοιότητι μᾶλλον, ἢ ἕτεροι τῷ πλήθει διεβοώμεθα· κοινῇ τε γὰρ συνδιήγομεν, καὶ κοινῇ τῶν ὅλων μετείχομεν, | προϊόντες, φ. 90ᵛ. ὑπα[ν]ιόντες, συντρέχοντές τε καὶ τῶν ἄλλων προτρέχοντες· τί γὰρ δεῖ μὴ τἀληθῆ λέγειν, καὶ τῆς ἐκείνου φιλίας παραπολαύειν καὶ τεθνηκότος;

Αἱ δὲ τῶν ἠθῶν ὁμοιότητες μιᾶς ἐδόκουν ψυχῆς· οὐ γὰρ τὰ μὲν πρὸς τὴν φύσιν δεξιοί τε καὶ ἶσοι, τὴν δὲ γνώμην ἀλλότριοι, ἀλλὰ χαρίεντές τε ἄμφω καὶ τοῖς καλλίστοις ἐφηδόμενοι καὶ ἤθεσι καὶ παιδεύμασι· τῶν γὰρ ἄλλων σκυθρωπαζόντων, καὶ κόμην τρεφόντων, ὥς τε ταύτῃ δοκεῖν περιττοί, καὶ τἄλλα ποιούντων οἷς τὸ δοκεῖν θηρᾶται, ἀλλ' οὐ τὸ εἶναι δείκνυται, ἡμεῖς ἐν γλώττῃ ποιούμενοι τὴν ἐπίδειξιν, καὶ τὸ περιττὸν ἐν τοῖς παιδεύμασιν ἐνδεικνύμενοι, οὐδὲ τῆς πολιτικῆς ἠμελοῦμεν χάριτος, τὸ εὐτράπελον αὐτῆς καὶ ἀδόλεσχον ἀπο-

πτύοντες, ζηλοῦντες δὲ τὸ εὐάγωγόν τε καὶ περιδέξιον. Ἐμέλλομεν δὲ ἄρα ποτὲ τῶν ἠθῶν ἐσαεὶ κοινωνοῦντες, μὴ τὰ αὐτὰ διὰ παντὸς αἱρεῖσθαι μαθήματα· ὅθεν ἐγὼ μὲν πρὸς φιλοσοφίαν μετεσκευαζόμην, καὶ πάντα τὸν ζῆλον πρὸς ἐκείνην μετήγαγον· ἱκανῶς γὰρ τὴν γλῶσσαν ἐνασκηθείς, καὶ τοὺς σοφιστικοὺς τῶν λόγων ἀκριβωσάμενος, πολλάς τε τοιαύτας ὠδινήσας γονάς, καὶ πολλοῖς πεῖραν τῆς ῥητορικῆς παιδεύσεως παρασχόμενος, ἐπὶ τὴν ἑτέραν μοῖραν τῶν λόγων ὅλοις ἱστίοις ἀπηνέχθην φερόμενος.

Ἐγὼ μὲν οὖν οὕτως, καὶ πρὸς ταῦτα ἐπειγόμενος ἦν· τὸν δὲ ἡ παρὰ τὴν ὀρθογραφίαν πονοῦσα νεότης συρρεύσασα, ἐπὶ τὸ καθηγεῖσθαι ταύτης ἠνάγκασέ τε καὶ μετεβίβασε· δυεῖν οὖν ἑλκόμενος, ἀνάγκῃ καὶ ἔρωτι, ἐμοὶ περὶ τούτου συμβούλῳ χρησάμενος, ἐπέδωκε τοῖς ἕλκουσιν ἑαυτόν, τὴν δευτέραν μερίδα τῶν λόγων προθέμενος, καὶ τὸ φιλόσοφον ἐν ἤθεσί τε καὶ πράξεσιν ὑποσχόμενος.

Τὰ μὲν οὖν πρῶτα ὑπεγραμμάτευεν οὐ κρίσει μᾶλλον ἢ νόμῳ· ἐκείνῃ μὲν γὰρ προκαθῆσθαι εὐθὺς δίκαιος ἦν, ὁ δὲ νόμος οὐχ οὕτως ἐποίει. Ἡγούμεθα γοῦν καὶ τοῦτο φιλόσοφον, ὅτι μὴ πρὸς τὴν τέχνην τὸν θρόνον ἐξήτασεν, ἀλλὰ τῷ θρόνῳ τὴν τέχνην προσήρμοσεν, ἢ μᾶλλον, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀντιστρέψας τῆς τέχνης ἐκεῖνον ἀνήρτησεν· ἐποίησε δ' ἂν ἐντεῦθεν Αἴσωπος μῦθον οὐ Φαέθοντος ἡνιοχοῦντος ἡλιακὸν ὄχημα, ἀλλὰ τοῦ ἡλίου τὸ 'κείνου κινοῦντος καὶ μετάγοντος. Οὕτω γὰρ ἥψατο τοῦ μαθήματος, μᾶλλον δὲ οὕτως αὐτοῦ καθηγήσατο, ὡς τὴν γραμματικὴν στοιχεῖον πάλαι δοκοῦσαν πάσης παιδεύσεως, τέχνην πεποιηκέναι τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, οὐκ ἀλόγως παρατιθεὶς τὴν παίδευσιν τοῖς μετέχουσιν, οὐδὲ τὰ δεύτερα πρῶτα ποιούμενος, ἀλλὰ λόγῳ αὐτὰ διαιρῶν, καὶ τὰ μὲν ἀρχὴν τιθέμενος, τὰ δ' ἐκεῖθεν συναιρῶν τε καὶ συντιθέμενος, τὰ δ' ἐπὶ τούτοις ἐπάγων, καὶ ὡς ἐπιμέμικται ξύμ-

πασα λογικὴ τέχνη τῷ μαθήματι διερμηνεύων τε καὶ διασαφῶν· οὐ μόνον δέ, ἀλλὰ καὶ τὰς ἀρχὰς τῆς εὑρέσεως τῶν στοιχείων ἐκδιηγούμενος, καὶ εἴ τις Κάδμος πρῶτος ἐγένετο εὑρετής, εἴτε τινὲς Φοίνικες μετὰ ταῦτα, καὶ ἄλλος ἄλλο τι ἐφευρίσκων καὶ προστιθείς.

Τὰς δὲ διαλέκτους ὡς ἄριστα διαιρῶν καὶ ἐπακριβούμενος, καὶ διαφορὰς αὐτῶν καὶ κοινωνίας ἑρμηνεύων, καὶ ὡς φιλοσοφίας καὶ μουσικῆς γέμει τὸ μάθημα, οὐχ ἥκιστα δὲ καὶ τῆς ἀριθμητικῆς ἀναλογίας· ὅθεν αὐτῷ τὴν μὲν τῆς προσῳδίας τάσιν μουσικῶς, τὴν δὲ ποιὰν κοινῶς οὕτως τε καὶ φιλοσόφως, τὴν δὲ ὁμολογουμένην διάλεκτον γεωμετρικῶς ἀπὸ τῶν ὁμολόγων μεγεθῶν τὰς ἀρχὰς τῆς ἐξηγήσεως εἰληφώς· τόν τε ἀναλογικὸν ὅρον κατὰ τὰς πρώτας ἐπιστήμας φιλοσοφῶν, καὶ τἆλλα ὁμοίως προστιθεὶς καὶ ἐπιδεικνύς, ὅς τις ὁ τόνος, ὅτι ἀπλατὲς σύστημα καὶ κατὰ τὸν ἐπόγδοον λόγον διεστηκός, καὶ ὡς ἡ μὲν ὀξεῖα διάφορον ἐν τοῖς γένεσι τὴν ἠχὼ δέχεται, ἥ τε βαρεῖα χαλώσης ἐστὶ τῆς φωνῆς, καὶ ὡς ἄμφω μὲν τάσεις, ἀρχαὶ δὲ τῇ μέν, ἄνεσις, τῇ δέ, ἐπίτασις· καὶ ὡς ἄλλως μὲν ἐν τοῖς καθαπτοῖς ὀργάνοις νοοῖντο ταῦτα καὶ γίγνοιντο, ἄλλως δὲ ἐν τοῖς λογικοῖς καὶ μελῳδικοῖς διαστήμασι, καὶ ὡς ὀξύτητος καὶ βαρύτητος μέσον τι, ὁ τρίτος τόνος, ὅθεν καὶ τοὔνομα ἔσχηκε, μεριζόμενος καὶ περισπώμενος ἐφ᾽ ἑκάτερα.

Ἐς δὲ τὴν Ἀριστάρχου καὶ Ἀπολλωνίου τέχνην ἑαυτὸν καθιείς, μᾶλλον ἐδείκνυε τὴν τῆς γραμματικῆς τέχνην, τίνα τε τὰ ἐπιφερόμενα ῥήματα, καὶ τίς ἡ τούτων διαφορά, τίς τε ἡ τῶν ὑποτακτικῶν ἄρθρων σύνταξις, καὶ τίς ἡ διαφορὰ τῶν ἐν προτακτικοῖς πρὸς τὰ ὑποτακτικά, καὶ διατί μὲν ἀντὶ τοῦ ὀνόματος αἱ ἀντωνυμίαι ἐπενοήθησαν, τίνες τε τῶν συνδέσμων ὀρθοτονοῦσι τὰς ἀντωνυμίας, καὶ τίς ἡ τούτων αἰτία.

Καὶ ἵνα μὴ τὰ καθέκαστον λέγων διατρίβω, μόνος ἐκεῖνος τῶν πάντων τὴν τέχνην ὡς ἐνῆν διηκρίβωσε, καὶ τὰς φιλοσό-

φους ἀρχὰς οἷόν τινας ἀργυρίτιδας φλέβας τῷ καλλίστῳ τούτῳ κεκρυμμένας μαθήματι, ἐφεῦρέ τε καὶ ἀνεστόμωσε. Τοῦ δὲ τῶν ποιημάτων μέρους ὅπως ἐφρόντισε καὶ ὡς ἤδει ταῦτα διακρίνειν καλῶς, τί ἄν τις ζητήσειεν ἄλλο τεκμήριον, ἢ τοὺς ὅσοι τῆς ἐκείνου γλώττης ἐμφορηθέντες, παράδειγμα τοῖς ἄλλοις ἑστᾶσι τῆς ἐξηγητικῆς περὶ ταῦτα τέχνης τε καὶ δυνάμεως; Ἐπειδὴ γὰρ ἤδει τοὺς Ἕλληνας μυστηριώδεις ὄντας καὶ τελεστικοὺς τὰ πολλά, καὶ ἀπόρρητον ἔχοντας τὴν ἀλήθειαν ὑπὸ φαυλοτέρῳ τῷ σχήματι, περιῄρει τὸ περικάλυμμα καὶ τὸ ἐγκεκρυμμένον ἀπεγύμνου θεώρημα. Τοιγαροῦν αὐτῷ ἡ μὲν κα-
φ. 91. θιεμένη χρυσῆ παρ' Ὁμήρῳ σειρά, στάσις τις ἐδόκει τῆς περιφορᾶς τοῦ παντός, Ἄρης δὲ δεσμούμενος, ὁ θυμὸς ἐγινώσκετο ἀρρήτῳ δυνάμει τῶν λόγων, ὅς τις τε διδασκαλικὸς καὶ διὰ τῶν ὤτων τῆς ψυχῆς ἐφικνούμενος, καὶ ὅς τις οἴκοθεν ἅλλεται· ἡ δὲ φίλη πατρὶς πρὸς ἣν οἱ περὶ τὸν Ὀδυσσέα ἀπὸ τῆς καταφαρματτούσης ἠπείγοντο, ἡ ἄνω ὑπενοεῖτο Ἱερουσαλήμ, ἐν ᾗ πρώτως γεγεννημένους ὁ πολυπαθὴς οὗτος χῶρος ἐδέξατο, ἐν ᾧ δή, εἰ μὴ πρὸς ἐκείνην ἐπειγοίμεθα τῇ τῆς ἡδονῆς ἀπάτῃ δελεαζόμενοι, εἰς θηρίων ἰδέαν ἀπὸ τῶν κρειττόνων μορφῶν μεθιστάμεθα.

Τοιοῦτος Ὁμηρίδης ἐκεῖνος ἦν, οὐ κατὰ τοὺς πολλοὺς προσέχων τῷ γράμματι, οὐδὲ θελγόμενος τῷ μέτρῳ τὴν ἀκοήν, οὐδὲ τῷ φαινομένῳ διδούς, ἀλλὰ τὸ ἀπόθετον κάλλος ζητῶν, λόγῳ καὶ θεωρίᾳ διασχὼν τὴν ὕλην, καὶ εἴσω τῶν ἀδύτων γενόμενος. Οὕτως αὐτῷ Ἐπίχαρμοί τε καὶ Ἀρχίλοχοι, Νίκανδροί τε καὶ Πίνδαροι, καὶ ἡ λοιπὴ ποίησις ἐγινώσκετο, ὅση μὴ ἄνευ μουσικῆς ἐπιπνοίας ἐπὶ τὸ λέγειν ἐχώρησε.

Τοιοῦτος ἐκεῖνος περὶ ταῦτα γενόμενος, καὶ πᾶσαν ὁμοῦ θέλξας ἀκοὴν καὶ διάνοιαν ὅση τε φιλόσοφος καὶ ὅση φιλόμυθος, τὸ μέν, γλαφυρῶς τῷ μύθῳ ἐπεξερχόμενος, τὸ δέ, ἠρέμα τοῦτον ὑπανοίγων καὶ δεξιώτατα λύων τοῦ νοήματος τὸν δεσμόν, τοῦ

μείζονος ἠξιώθη παρὰ ταῦτα βαθμοῦ, ἔνθα δὴ καὶ πλέον ἐξέλαμψε χωροῦντα τὸν δίσκον τὸ οἰκεῖον φῶς ἐφευρών.

Ἡ δ' ἐξ ἀρχῆς ἡμᾶς ἀγαγοῦσα καὶ συμφυεῖς δείξασα πρόνοια, ἐς ταὐτὸ πάλιν ἐκ περιόδου συνήγαγε· καὶ ὁ αὐτὸς ἀμφοῖν χῶρος τῆς διδασκαλίας ἦν, ἐκείνου μὲν τὸν τῆς ὀρθογραφίας, ἐμοῦ δὲ τὸν τῆς φιλοσοφίας θρόνον διέποντος· ἐῴκειμεν δέ, ὁ μὲν σκιαγραφοῦντι γραφεῖ, ἐγὼ δὲ ἐξεικονίζοντι τὸ σκιαγραφούμενον τέλεον· ὁ μὲν γὰρ ἀγράφους παραλαμβάνων ψυχάς, τὰς τῆς παιδεύσεως σκιαγραφῶν ἦν ἀφορμάς, ἐγὼ δ' ἐκεῖθεν δεχόμενος, χρώμασι διετύπουν, καὶ τὴν τελεωτέραν ἀπεδίδουν μορφήν.

Τὸ μὲν οὖν ἐμὸν ὅπως ἔχοι, ἐφ' ἑτέρων κείσεται λόγοις, τὸ δ' ἐκείνου καὶ λίαν ἦν θαυμαστόν, ὅτι τὴν σκιὰν κατάλληλον ἐποίει πρὸς τὴν γραφήν, ὥς περ τις δρυτόμος ἀποξέων πρὸς πεντηκόντορον ναῦν. Τὰ μὲν οὖν παρ' ἐκείνου γινόμενα καὶ τελούμενα, τὰς καλλίους ἐλπίδας ὑπέτικτεν· ἀρχιερωσύνης τε γὰρ αὐτῷ βαθμοὶ ἐπηγγέλλοντο, καὶ ἡ ἄνω ψῆφος ἀπὸ τῆς κάτωθεν· οὐδεὶς γὰρ ἦν ὅς τις μὴ πρὸς ἐκεῖνον ὅλαις ταῖς ψήφοις ἐφέρετο· οὕτω γὰρ ταῖς ἁπάντων ἥρμοσε γνώμαις τε καὶ ψυχαῖς, καὶ οὕτω πᾶσι κατάλληλος ἦν, ὡς ἐοικέναι τῷ παρὰ πολλῶν ἐκείνῳ θρυλλουμένῳ ἀγάλματι, ᾧ δὴ τέχνη τις ἀνδριαντοποιητικὴ τοὺς ὀφθαλμοὺς ἑκατέρωθεν φερομένους εἰργάσατο, ἑστῶτάς τε τοὺς αὐτοὺς καὶ συγκινουμένους τῷ δοκεῖν, ὃ τοῖς ἑκατέρωθεν ἐφεστῶσιν ἐπίσης ἠφίει τὸν ὀφθαλμόν· οὐ γὰρ ὥς περ Φωκίων καὶ Κάτων, βαρεῖς καὶ οὐκ ἀνεκτοὶ φανέντες, οὐδὲ κατάλληλοι τοῖς καιροῖς, μετὰ τῶν πραγμάτων καὶ ἑαυτὸν προσαπώλεσεν, οὐδὲ σκυθρωπὴν ἐδείκνυ τὴν ἀρετήν, οὐδὲ μὴ σπουδαίαν τὴν χάριν, ἀλλ' ἕκαστον τῇ τοῦ ἑτέρου σπουδῇ δεικνὺς σπουδαιότερον, ὁμοῦ τε τοῖς ὁμοίοις ὅμοιος ἦν, καὶ τῶν ἐκ μέρους γνωριζομένων καλλίων παρὰ πολύ· σκυθρωποῦ τε καὶ χαρίεντος ἐν μέσῳ γενόμενος, ἀμφοτέρους ἂν ἥδυνε, πρὸς μὲν

τόν, σκυθρωπάσας συμμέτρως, πρὸς δὲ τόν, ἐμμελῶς χαριεντισάμενος· εἰ γὰρ καὶ γεγηθέναι ἐῴκει τῷ βλέμματι, τό τε ἦθος αὐτοῦ πρὸς τὸ χαριέστερον ἐτετόρευτο, ἀλλ' ἡ φροντίς, ἔστιν οὗ, συνῆγε τὰς ὀφρῦς καὶ ἐδέσμει τὸν γέλωτα. Οὕτως εὐάγωγος ἦν τὴν ψυχήν, οἷόν τις κηρὸς εὔπλαστος καὶ εὐκίνητος, μήτε ἁπαλὸς ἄγαν καὶ διαρρέων, μήτε σκληρὸς καὶ ἀντίτυπος, ἀλλὰ δικαιότατα τὴν τῶν ἠθῶν ἁρμονίαν· προβέβλητο δὲ ταύτῃ καὶ τὸ σῶμα οἷόν τις εὔτεχνος ἀνδριάς, πλὴν ὅσον οὐκ ἄψυχος οὐδὲ ἀνηθοποίητος, ἀλλὰ τὸ μὲν κοινὸν τοῦτο ἔμψυχος, τὸ δὲ τῶν ὀλίγων, κἀκ τῆς ἀρίστης ψυχῆς τῆς εὖ κεκραμμένης τῷ σώματι, ἦθός τε ὑπεμφαίνων χρηστὸν καὶ πάντοθεν ἕλκον τὸν θεωρόν.

Ἐλέγετο δέ σοι ταῦτα μὴ εἰς μάτην πεποιῆσθαι παρὰ τοῦ κρείττονος, ἀλλ' ὑπόθεσιν εἶναι ἀρίστων πραγμάτων· ὅθεν καὶ πρίν τ' ἐστοχαζόμεθα ὡς ἀρίστου τοῦ γενησομένου, καὶ ἄλλος ἄλλο τί σοι τῶν κρειττόνων στοχαστικῶς ὑπελάμβανε· σοφωτέρα δὲ ἄρα πάντων ἡ πρόνοια, ὅθεν καὶ τὰς ἁπάντων προρρήσεις νενίκηκε. Σὺ μὲν γὰρ ἐφ' ἑτέροις κινοῦσιν ἀφεὶς τὸ γυμνάσιον, ὄψεσθαι πάλιν προσεδόκας, καὶ τὰς χρηστοτέρας ἐλπίδας ὑπέτεινες· ὅθεν καὶ ἀφῆκας μὴ ἀφιέν, πρᾶγμα καινότερον πίστεως, καὶ πρὸς τὴν Πριάμου πόλιν ἐστέλλου, καὶ τὴν τὰ δεινότατα παθοῦσαν Τροίαν, ἧς Κύζικος ἐπισημότατον γνώρισμα,
φ. 91ʳ. τὸν προκαθήμενον αὐτῆς ἐποψόμενος· θεῖος γάρ ἦν σοι | καὶ τὸ γένος καὶ τὴν ψυχήν, καὶ μεθ' ἡμᾶς τῶν ἄλλων ἀξιοθέατος· εἰς μάτην δέ σοι τὰ ἐλπιζόμενα, μέχρι γὰρ τῶν λόγων αἱ προσδοκίαι, τὴν ἐκ τῶν πραγμάτων μὴ λαβοῦσαι περαίωσιν. Τίνος με κατειπεῖν; τίνος καταβοῆσαί με δεῖ; τοῦ πρώτως σε πρὸς τοῦτο κινήσαντος, ἢ τῶν οὐκ εὐκράτων ἀέρων, ἢ τῆς μεταβολῆς τῶν ἠθῶν, καὶ τῆς τῶν συνήθων ἐξαλλαγῆς; Ὦ βάσκανον χωρίον καὶ πονηρόν, ὢ δυσκράτων ὡρῶν, αἳ τὴν τοῦ σώματος ἕξιν μετακινήσασαι, οὐ πρότερον ἐλήξατε τοῦτο πράττουσαι, πρὶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἂν στάσει παντελεῖ περαιῶσαι τὴν κίνησιν. Ὦ ποίαν ἀθροίσαιμι θρηνώδη ᾠδήν, ποῖον δὲ μέλος ἐπὶ τῇ συμφορᾷ ἀνακρούσομαι, ὅς γε καὶ ἀμβλὺς εἰς λόγων γονὰς γέγονα, καὶ οὐκ ἔχω τί φθέγξομαι, ἢ τί πρότερον τῶν σῶν ἀνακλαύσομαι; μᾶλλον δὲ ἔμελλον ἐπὶ σοί μ' ἐπιλιπεῖν καὶ τὰ δάκρυα, ὥς τε μὴ δ' ἔχειν ᾧ τὸ πάθος κουφίσομαι· τὸ γὰρ φλεγμαῖνον τῆς ἀλγηδόνος καὶ τὰς τῶν δακρύων ἀποξηραίνει πηγάς.

Ἐγὼ μὲν ἄλλους ἐπὶ σοὶ λόγους ἐπραγματευόμην, οὓς πολλάκις αὐτὸς ἐκίνεις ἐπὶ πολλοῖς θεωρήμασιν, ἔμελλον δὲ ἐπὶ τὴν ἐπικήδειον ταύτην ἀποτελευτήσειν μελοποιΐαν· ὢ ψυχῆς χάριτος διαφαινομένης τῷ σώματι· ὢ κράσεως ἠθῶν· ὢ συμμετρίας μελῶν· ὢ συμφωνίας καλοῦ παντός· ὢ τῆς ἐν λόγοις ἡδονῆς τε καὶ τέρψεως· ὢ τῆς ἐν σιωπῇ εὐκοσμίας καὶ καταστάσεως· ὢ νοῦ γεννῶντος, καὶ γλώσσης ἀττικιζούσης, καὶ λογισμοῦ κρίνοντος, καὶ μνήμης συναθροιζούσης, καὶ διανοίας ἐπιβαλλούσης, καὶ φαντασίας ὀλίγον ἐμποδιζούσης τῷ νῷ· ὢ τῆς περὶ τὸ λέγειν δυνάμεως, καὶ τῆς περὶ τὸ πλάττειν εὐφυΐας, ὁπότε σοι τὰ τῆς ὀρθογραφίας διεποικίλλετο· ὢ τῆς ἀρχαίας ἡμῶν συνηθείας καὶ ὁμιλίας, καὶ τῆς ἐσύστερον συμπνοίας καὶ ἀνακράσεως· ὡς ἀπόλωλε πάντα καὶ ᾤχετο, καὶ ἡ περικαλλὴς αὕτη χορεία εἰς κόνιν ἀπετελεύτησεν· ὄφελόν σοι συνεῖναι κατακρατήσαντός σου τοῦ πάθους· ὄφελον τῶν τελευταίων ἀκοῦσαι λόγων, τοὺς δὲ καὶ προσειπεῖν· ὄφελον καὶ συναπελθεῖν, ἢ καὶ προαπελθεῖν, ἐπὶ σοὶ γὰρ μόνῳ ὁ ἐπιτάφιος ἔκειτο· ἀλλ' ἐπεὶ οὐ κατ' ἐλπίδας ἡμῖν τὰ πράγματα γέγονε, καὶ διηρέθης ἀφ' ἡμῶν ὁ τέως μὴ διαιρούμενος, ἡμεῖς μὲν ἐπὶ σοὶ σεισθέντες καὶ τὴν ψυχὴν καὶ τοὺς λογισμούς, οὐ πρότερόν γε παυσόμεθα ἐπὶ τῷ σῷ πάθει δεινῶς συγκινούμενοι, ἕως ἂν εἰς αὐτὸ τὸ πέρας τῆς ζωῆς καταντήσαιμεν. Σὺ δὲ ὑψηλότερον ἡμῶν γεγονώς, καὶ τοῦ νοητοῦ κόσμου ἔνδον γενόμενος, τὴν ὕλην ἀφεὶς κάτω μετὰ τοῦ σώματος, μηδ' οὕτως ἡμῶν ἐπιλάθοιο, μὴ δ' ὅτι

σοι φευκτὸς ὁ κάτω κόσμος, διὰ τοῦτο καὶ τῆς φιλτάτης καταλιγώρει ψυχῆς· ἀλλ' εἴ τις ἐστὶ καὶ παρ' ὑμῖν τοῖς ἔξω σώματος μνήμη, μνημονεύοις ἀεὶ καὶ πρεσβεύοις, εἴ τις σοι κἂν τούτῳ δύναμις πάρεστιν, ὡς ἂν ὁ βίος ἡμῶν μετριώτατα διεξάγοιτο.

---

## Δ.

φ. 102. Μονῳδία εἰς τὸν τοῦ Ἀκτουαρίου ἀδελφόν.

Ὦ ποίας ὁ δαίμων ἀφορμὰς λόγων ὥσπερ ἀπὸ τραγικῆς μοι σκηνῆς ἐχορήγησεν· ὦ οἵων ἐλπίδων ἐπὶ σοὶ στερήσας, τὴν ἀπροσδόκητον ταύτην συμφορὰν ἐπεισήγαγεν! Ἐγὼ μὲν γὰρ ᾤμην, φίλτατέ μοι πάντων ἀνδρῶν, τὴν τῶν λόγων ἐπὶ σοὶ ποιεῖσθαι ἐπίδειξιν, καὶ σεμνύνεσθαι τοῖς μαθήμασιν οἷς ἐξ ἀρχῆς ὡμιληκὼς παρὰ σοὶ τῆς ἀρίστης ἐτύγχανον κρίσεως, ἣν δὴ ἐπ' ἐμοὶ ἐψηφίζου, τὸ μέν, τῇ ἀληθείᾳ, τὸ δέ, τῇ φιλίᾳ διδούς, καὶ δι' ἀμφότερα τῶν ἐν μαθήμασι πάντων κρατούντων ὑπερτιθείς· σὺ δέ μοι μετὰ τῆς ἐν τῷ νῦν κρίσεως, καὶ τῶν ἐν τῇ γλώττῃ ψήφων ἀθρόως ἐστέρησαι, καὶ τὸν τῆς εὐγλωττίας πλοῦτον παρὰ δόξαν εἰς ἀφωνίαν οἴχῃ μεταβεβληκώς· καὶ ὁ πολλοῖς ταῖς ἐσχάταις προσθεὶς ἀναπνοαῖς καὶ τὸ τῆς ζωῆς μέτρον ἐκτείνας, εἴπω γὰρ καὶ τοῦτο θαρρήσας, καὶ κατέχων ἐπειγομένην ἐκ τοῦ σώματος τὴν ψυχήν, σεαυτῷ ταύτην οὐκ ἐχαρίσω τὴν δύναμιν, ἀλλ' ἀθρόον ἀπέπτης, καὶ παρ' ἐλπίδας οἴχῃ, οὐ φαρμάκοις τὴν νόσον, οὐ μηχαναῖς ἐπισχὼν τὴν ψυχήν!

φ. 102v. Ἀλλ' ὄντως σοφὸν ἡ πρό|νοια, καὶ τῆς σῆς εὐτεχνίας σοφωτέρα· ἵνα γὰρ μὴ χρόνῳ κάμνων ἀντεπεξέλθῃς τῷ ἀρρωστήματι, ἔφθασε τῷ θανάτῳ τὴν σὴν ἐπίνοιαν, καὶ προὔλαβε τῇ φύσει τὴν τέχνην, ἵν' ὁμοῦ τε γνώσῃ τὴν νόσον, καὶ μὴ ἔχῃς ᾧ ἀπώσῃ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸ προσβαλόν. Ἐμοὶ δὲ καὶ μεῖζόν τι ἄλλο ἐπινενόηται· ὡς ἐπείπερ ἔδει σε θνητὸν ὄντα θανεῖν, τούτῳ δὴ τῷ τρόπῳ ἔδει ᾧ δὴ καὶ τέθνηκας· νόσον μέν σοι μὴ προσβαλεῖν πολλάκις ἡττηθεῖσαν ἐν ἀλλοτρίοις παθήμασιν, εὐθὺς δὲ τὸν θάνατον ἐπελθεῖν, ὃν οὐδ᾽ ἀπ᾽ ἄλλων σωμάτων ἀπῶσαι ἐπήρκεσας.

Ἀλλ᾽ οἷα φιλοσοφεῖν προῆγμαι, οἵους δὲ λογισμοὺς ἐπεισβάλλω τῷ πάθει, ὁποίοις δὲ λόγοις πειρῶμαι τὴν συμφορὰν ἀποκρούσασθαι· ὢ ποῖ τραπόμενος παραμυθίαν εὑρήσω τοῦ πάθους, ποίων δὲ λόγων δραξάμενος, παρηγορήσω τὸ λυποῦν τῆς ψυχῆς, μᾶλλον δὲ πρὸς ποῖα μετακλιθείς, ἥττονά μοι ποιήσω τὴν συμφοράν; τά τε γὰρ παρεληλυθότα αὐξάνει τὸ πάθος εἰς μνήμην ἰόντα, καὶ τὰ παρόντα εἰς ἀφορμήν μοι δακρύων καθέστηκε· βαλλόμενος δὲ ἑκατέρωθεν, ἴσαις ταῖς συμφοραῖς ταλαντεύομαι, καὶ τῶν μὲν παρῳχηκότων ἡδονὴν ἐχόντων τῇ μνήμῃ, τῶν δὲ νῦν ὄντων λύπην ἀντίμετρον, αὐτὸς ἐν ἀνομοίοις πράγμασιν ὅμοιον πάθος ὑφίσταμαι.

Ἀλλὰ τὰ μὲν παρόντα, πρόδηλα πᾶσι καὶ λόγων εἰς γνῶσιν οὐ δεῖ· ἀθρόως γὰρ ἀφῄρησαι τὴν ψυχήν, καὶ κόνις ἡμῖν ἀπροσδόκητος δέδειξαι, μικρά τινα ἐπ᾽ αὐτῷ τῷ θανάτῳ φθεγξάμενος, καὶ ὅσα ψυχὴ συστελλομένη πρὸς τὴν ἐκεῖθεν πορείαν φθέγγεσθαι δύναται. Τὰ φθάσαντα δέ, φύσις καὶ τρόπος, ἡ μὲν ἐκ πατέρων, ὁ δὲ ἐκ παιδείας, ἀντιφιλοτιμούμενά τε ἀλλήλοις καὶ ἀντερίζοντα. Ἡ μὲν γὰρ ἀνεπιτηδεύτῳ κάλλει σεμνυνομένη, κρατεῖν ἠξίου τοῦ ἐπικτήτου φρονήματος, ὁ δὲ διὰ τῶν μαθημάτων κοσμούμενος, οὐκ ἠνείχετο τῆς ἀνασκήτου περὶ τὴν φύσιν φιλοτιμίας φέρειν τὰ δεύτερα· ὅθεν σφοδρὰ μὲν ἐν ἀμφοτέροις ἡ ἅμιλλα, τὸ δὲ νικῶν οὐκ ἦν, ἀλλ᾽ ἰσοπαλὴς ἡ μάχη, καὶ τοῦ κράτους ἡ ψῆφος κοινή. Ἐπέπρεπέ που δέ σοι καὶ ἦθος τῷ λόγῳ κατάλληλον· καὶ τὰ μὲν σωματικὰ τοῖς ψυχικοῖς ἐφαιδρύνετο, τὰ δὲ ψυχικὰ τοῖς σωματικοῖς ἐλαμπρύνετο, ἢ μᾶλλον ἀμφότερα καθ᾽ ἑαυτὰ κόσμια, τῆς πρὸς ἄλληλα κοινωνίας μὴ ἐπιδεόμενα.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τὰ μὲν οὖν ψυχικά, ἐλευθεριότης φρονήματος, καὶ νοῦ ταχυτής, καὶ χωρία μνήμης ἀπέριττα, παιδείας τε σύντομος πρόσληψις, καὶ τῶν προσειλημμένων ἀκίνητος κατοχή, ὀξύτης τε βεβηκυῖα καὶ στερεωτάτη ἀγχίνοια, τό τε ὀξύρροπον τῷ βεβηκότι πεδούμενον, καὶ τοῦτο τονούμενον τῷ ὀξεῖ· ἐφ' οἷς παραλόγως τὸ πρᾶον ἐπισυμβαῖνον καὶ τὸ ἀόργητον, τὴν ὄντως ἡμῖν ἁρμονίαν ἐδείκνυε, λόγοις ἀνομοίοις τὴν συμφωνίαν προβάλλον. Τὰ δὲ σωματικά, σώματος κάλλος, τὴν φιλοτιμίαν ἐμφαῖνον τοῦ πλάστου, ἰσχύς τε καὶ ῥώμη, καὶ ὁμιλίας χάρις, καὶ μουσικὸν μέλος φωνῆς, καὶ χειρῶν ἐπιτηδειότητος ἐνέργεια· οἷς πρῶτα μὲν τὸν σὸν ἀδελφὸν ὁμοῦ καὶ πατέρα, κοινὸν δὲ τοῦ καθ' ἡμᾶς γένους νομέα τε καὶ διδάσκαλον, οἷά τισι Σειρήνων θέλγων ᾠδαῖς πρὸς ἑαυτὸν εἷλκες, μᾶλλον δὲ ἢ τὸν σίδηρον ἡ μαγνῆτις ἀπορρήτῳ τῷ ἔρωτι. Ὅθεν νεκρὸς τἆλλα γενόμενος τῷ θεῷ καὶ πρὸς τὴν θείαν ζωὴν πάλαι μεθαρμοσάμενος, ἐπὶ σοὶ καὶ ἔζη καὶ βιώσιμον τὸν ἐνταῦθα ἀέρα ἐνόμιζε, καὶ τοῖς σοῖς ὡς οἰκείοις φιλοτιμούμενος ἐγάννυτο οἷα εἰκός, καὶ θαυμασίως ἐκαλλωπίζετο· ἔπειτα δὲ καὶ τὴν ἄλλην ἡλικίαν τῇ καταλλήλῳ γνώμῃ πρὸς ἅπαντας, πρὸς μίαν τὴν σὴν ψυχὴν ἁρμοσάμενος, σύμφωνον παρὰ πάντων τὴν εὐφημίαν ἐκράτησας. Καὶ τῶν μὲν ἄλλων ἢ τέχνης ἀκριβείᾳ μόνῃ σεμνυνομένων, ἢ μουσικῷ κράματι τῶν ἠθῶν, αὐτὸς δι' ἀμφοτέρων κτησάμενος τὸ ἐξαίρετον, οἷς μὲν ἔδει τῆς τέχνης, τὴν γνώμην ἐκίρνας, οἷς δὲ ἔδει τῆς γνώμης, τὴν τέχνην ἐμίγνυες, οἷς δὲ ἀμφοτέρων, προσῆγες ἀμφότερα.

Τέχνης δὲ νῦν ἐπιμνησθείς, ποίοις δάκρυσιν ἐπαρκέσω πρὸς τὴν θαυμασίαν ἀπολωλυῖαν ἰατρικήν, ἣ τοὺς ἄλλους φυγοῦσα, σὲ μόνον οἰκητήριον ἑαυτῆς ἐποιήσατο; ἔφυγε δὲ ἢ μισουμένη, ἢ μὴ χωρουμένη· σὲ δὲ καὶ ἀγαπήσαντα καὶ χωρήσαντα, διαφερόντως καὶ ἠγάπησε καὶ πεπλήρωκεν ἑαυτῆς, οὐκ ἀθρόον ἐπεισελθοῦσα, οὐδὲ συγκεχυμένοις τοῖς μέρεσιν, οὐδ' ἀπὸ κεφαλῆς

ἐπὶ τὰ κάτω μέρη τοῦ σώματος, ἀλλὰ καὶ κατὰ μέρος καὶ ἀπὸ τῶν στοχείων, καὶ ὡς ἔδει τέχνην ἐπεισελθεῖν πρὸς ψυχήν. Οὕτω δέ σοι πάντα ἠκρίβωτο, ὅσα τε φύσεως ἔχεται τῆς τε κοινῆς καὶ ἰδίας, αἵ τε διάφοροι κράσεις, ὅσα τε εἰς πρόγνωσιν ἥκει τοῖς φθάνουσι συμβόλοις τὸν θάνατον, καὶ ὅσα εἰς διάγνωσιν τῶν τε αἰτιῶν, καὶ ὅσα συμπίπτει· καὶ ἵνα μὴ τἆλλα καθέκαστον λέγω, σφυγμῶν θεωρίας ἀπαριθμούμενος, καὶ χρείας μορίων, καὶ ὀργάνων ἐνέργειαν ὡς ἀρκεῖν, εἰ καὶ μὴ τὰ Ἱπποκράτους παρῆν, ἀπὸ γλώττης φθέγξασθαι ὅσα ἐκεῖνος τοῖς γράμμασι.

Διὰ ταῦτα τίσι τῶν πάντων οὐχὶ σεβασμιώτατος ἐδόκεις ὁμοῦ καὶ ἐρασμιώτατος; τίνα δὲ οὐκ ἔθελγες ὁμιλῶν, παιδιαῖς καταμιγνύων χάριτας, τοῦτο δὴ τὸ τῆς σῆς μούσης, καὶ νῦν μὲν ἐπαίρων καὶ διαχέων τὴν ψυχήν, νῦν δὲ τῶν κεκρυμμένων ἐμπιπλῶν μαθημάτων, καὶ δι' ἀμφοτέρων καλλίονα ἐργαζόμενος; Ἐμὲ δὲ καὶ πάντων μάλιστα ἀρρήτοις θελγήτροις κατεῖχες, τέρπων ὡς ἥδιστα, παρὰ μέρος δὲ καὶ τερπόμενος, τὸ μέν, διδούς, τὸ δέ, προσλαμβάνων, καὶ χαίρων δι' ἀμφοτέρων, καὶ χαίρειν ποιῶν, οἷς τε παρεῖχες καὶ οἷς ἐλάμβανες· ἐγνώριζον γάρ σου τὴν ψυχὴν διὰ τῶν ἐμῶν χαρακτήρων, καὶ συγγένειαν ἄρρητον τὸ πρᾶγμα οἰόμενος ἥδιστά τε συνω|μίλουν καὶ τῶν φ. 103.
λόγων συνεκοινώνουν σοι. Σὺ δέ, ἐπειδή περ οὐκ εἶχες συνεῖναί μοι διὰ παντός, διὰ μέσου συνεγίνου μοι τοῦ παιδὸς προσάγων τὰ σά, καὶ δι' αὐτοῦ καὶ τὰ ἐμὰ κομιζόμενος, καὶ τὴν συνουσίαν οὕτω μοι σοφιζόμενος· εἰ δέ ποτε καὶ κατὰ τύχην ἀλλήλους ἦν ἐφ' ἵππων διαμείβεσθαι, σὺ δὲ ἐπεῖχες τὸν χαλινόν, καὶ ὥςπερ διὰ πολλοῦ με νῦν χρόνου θεώμενος, ἐφίστας τὰ ὄμματα, καὶ τὴν χεῖρα προσβάλλων τῷ τραχήλῳ δεξιῶς τε ἠσπάζου, καὶ φωναῖς εὐφήμοις παρέπεμπες, τἆλλά τε λέγων, καὶ ὡς τῆς παλαιᾶς μούσης γνώρισμα τῷ βίῳ καθέστηκα.

Ταῦτα μὲν δὴ ἐφ' οἷς σε προλαβὼν ὁ χρόνος ἐγνώρισεν· ἃ

δὲ ἡδέως τῷ λόγῳ γνωρίζων καὶ διηγούμενος οὐκ ἔχω μὴ καθέκαστον ἀποδύρεσθαι· ἅμα γὰρ τί μοι λέλεκται, καὶ οἶδα ὡς ἐπιλέλοιπεν, ἐφ' οἷς ἐπιχεῖται μέν μοι τὸ δάκρυον, ἐπιλείπει δὲ ὁ τῇ συμφορᾷ λόγος κατάλληλος· ἓν γὰρ οὐδέν ἐστι τῶν σῶν πλεονεκτημάτων, ἐφ' ὧν μὴ συνεπιλέλοιπεν ἐκλελοιπότι ἡ προσήκουσα τῷ πάθει φωνή.

Τὰ μὲν οὖν ἀρχαῖα τῶν σῶν χαρίτων καὶ τοῖς πολλοῖς γνώριμα, αὐτὸς ὡς οἷόν τε τῷ λόγῳ διηγησάμην, καὶ εἰσέτι διηγήσομαί τε καὶ ἐπαινέσομαι· ἃ δὲ νῦν ἐπὶ τῇ τελευτῇ συμπεπτώκασιν, αὐτὸς ἡμῖν διήγησαι, ἀνδρῶν κάλλιστε καὶ φιλαδελφότατε, καὶ παρ' ἐλπίδας μετὰ τὸν ἐκείνου θάνατον ζῶν· εἰ δέ σε τὸ πάθος ἔτι κατέχει, καὶ τὴν μουσικὴν ὁ τοῦ ἀδελφοῦ τύμβος ἐπέδησε γλῶτταν, καὶ ταῦτα παρὰ τοῦ παιδὸς ἐκείνου μαθών, ἐπιδιηγήσομαι.

Ὄντως οὐδέν ἐστιν ὃ τὸν θάνατον ἀποκρούσασθαι δύναται, οὐ φιλόσοφος τράπεζα, οὐ σώφρων διαγωγή, οὐκ ἀκριβὴς δίαιτα· ἀλλὰ ταῦτα τὰς μὲν τῶν νοσημάτων ἴσως προσβολὰς ἀποπέμπεται, τὴν δὲ φύσιν οὐκ ἀλλοιοῖ, οὐδ' εἰς ἀθανασίαν μεταποιεῖ τὸ θνητόν· προσβάλλει γὰρ τὸ πεπρωμένον ἑτέρωθεν, εἰ καὶ μὴ διὰ περιττοῦ ἔπεισι τῆς γαστρός· ἀλλὰ κἂν πᾶσάν τις τούτῳ ἐπιτειχίσῃ τὴν ὁδόν, τὸ δέ, κεκρυμμένον τῇ φύσει τοῦ σώματος, ἀνερράγη τε ἀθρόον, καὶ τὸ ταμιεῖον διέρρηξε. Διὰ ταῦτά σοι καὶ ἀκριβῶς βιοῦντι λεπτότητι διαίτης, ἐλευθερίαν μνηστευομένῳ τῷ σώματι, τῇ φύσει ὥς περ ἐφεδρεύουσα πάλαι, καὶ τὰ περὶ τὴν καρδίαν λοχῶσα, ἐκεῖθεν ἀσφαλῶς ἐπεισέβαλε, μᾶλλον δὲ λαμπρῶς ἐντεῦθεν κατέδραμεν ὥς περ ἐξ ἀκροπόλεως, καὶ γέγονέ σοι τὸ μαντευόμενον, ἢ τεχνικῶς εἰκαζόμενον. Ὃ γὰρ προὔλεγες, πέπονθας, καὶ ἡ προφῆτις γλῶσσα ἐπὶ τοῖς πράγμασιν ἐγνωρίζετο· καὶ τοῖς μὲν ἄλλοις ἀπροόρατον τὸ κακόν, τοῖς ἔξωθεν συμβούλοις οὐκ ἐπισημαινόμενον, σοὶ δὲ ἐπειδὴ κατείληπτο τεχνικώτατα, τὰ ἐπὶ τούτῳ παρῆν ἅπαντα, εὔφημοι

φωναὶ πρὸς θεόν, τὸ ἐπὶ πᾶσιν εὐγνωμονεῖν καὶ τὴν εὐχαριστήριον προσφέρειν ᾠδήν. Ἐπεὶ δέ σοι καὶ ὁ παῖς ἐγγύθι παρίστατο, καλὸς μὲν ἰδεῖν, καλλίων δὲ φθέγγεσθαι, ὅλην ἐπ' αὐτῷ διαχυθεὶς τὴν ψυχήν, καὶ δάκρυα κενώσας τῶν ὀφθαλμῶν, εἶτα καὶ ἀμφοτέραις περιβαλλόμενος ταῖς χερσί, καὶ πολλὰ καταφιλήσας τὸν τράχηλον, ἐσχάτας ταύτας ἐδίδους περιπλοκάς· τοῦ μὲν ἐγγύθι θανάτου μηνυτὴς μὴ γενόμενος, ἵνα μὴ καὶ θροήσῃς ἀθρόον πλήξας τὴν ἐκείνου ψυχήν· ἀφανῶς δὲ τῷ θεῷ παρατιθείς, πρὸς ὃν δὴ καὶ πάντων εἰώθεις ποιεῖν τὴν ἀναφοράν, εἶτα τοὺς ὀφθαλμοὺς ἐπιμύσας ὡς ὕπνου μεταληψόμενος, κἂν τούτῳ τοὺς παριεστηκότας ὑπεξαγαγών, τῆς κλίνης ἀνίστασαι, οἶμαι τὴν δύναμιν ὁπόση μετρούμενος· ἀλλ' ἦν ἑτέροις ἡ κρίσις ληπτή, σοὶ δὲ τὸ μέτρον οὐκ ἐγινώσκετο σκότους ὁμοῦ πλησθέντι καὶ κατενεχθέντι, καὶ πᾶσαν εὐθὺς τὴν οἰκίαν κινήσαντι. Ἐπεὶ δὲ καὶ τῷ ἀδελφῷ περιηγγέλη τὸ πρᾶγμα, ὥςπερ τῆς σῆς ψυχῆς ἐκκρεμάμενος, μικροῦ δεῖν ἀθρόῳ τῷ πάθει βληθεὶς τὴν ψυχὴν ἐπαφῆκεν· ἑαυτοῦ δὲ γεγονώς, ἀνορθοῦν τε ἐπειρᾶτο καὶ τοῖς ἄλλοις παρεκελεύετο· τέως μὲν ἀμφίβολος ὢν ἐπὶ σοί· ἐπεὶ δὲ τοὺς δακτύλους τῷ πήχει προσέβαλε, καὶ τὴν ζωτικὴν ἐκεῖθεν ἐτεκμήρατο δύναμιν, ἐπειρᾶτό τε ἐπαναφέρειν καὶ πρὸς τὸ φρονεῖν ἐπανάγειν, τεχνικὰς ποιούμενος τὰς προσαγωγάς· καί τι μὲν κατορθοῦν ἔδοξεν, ἐπὶ βραχεῖ δὲ χρόνῳ ὅσον τοὺς περιεστῶτας ἰδεῖν καὶ περιπτύξασθαι, τούς τε ὀφθαλμοὺς ἀνοίξας καὶ τὴν γλῶτταν κινήσας, καὶ τὰ μὲν εἰπών, τὰ δὲ ἐπειπών, τελευταίαν πρὸς θεὸν ἀφῆκας φωνήν, ἐφ' ᾗ δὴ προσαφῆκας καὶ τὴν ψυχήν.

Ὢ κάλλιστα σὺ τοῦτο προμεμελετηκώς, κἂν ταῖς τελευταίαις ἀναπνοαῖς ἐπισφραγισάμενος καὶ τῷ καλῷ συναπελθὼν μελετήματι· ὢ τὰς πάντων ψυχὰς εἰς ἑαυτὸν ἀναρτήσας καὶ ὥςπερ ἀπὸ λεπτοῦ μίτου τῆς σῆς κατέχων ἀναπνοῆς, τὰ νῦν δὲ κινήσας καὶ διαμερίσας καὶ τῷ θανάτῳ τὸν ἄρρηκτον ἐκεῖνον

ἀποτεμόμενος σύνδεσμον· ὦ πάντα τὰ κάλλιστα ἐν μιᾷ τῇ σῇ συναγαγὼν ψυχῇ, καὶ δι' αὐτοῦ πᾶσι μεταδιδοὺς καὶ πληρῶν, καὶ πληρούμενος οἴκοθεν, νῦν δὲ συναπελθὼν τούτοις καὶ κενὸν ἀφεὶς τὸ περὶ γῆν χωρίον τῶν σῶν ἀρετῶν· ὦ ποῖόν σου πρῶτον ἐπαινέσομαι, ποῖον δὲ ὕστατον; εἰ καὶ μὴ δυνατὸν πάντα, ἀλλά τι τῶν κατὰ μέρος ἀπολεξάμενος πρὸς τοῦτο τὸ μέτρον κινήσω τὸν λόγον· σὲ γάρ τις καὶ ἐρρωμένος δακρύσει καὶ νοσῶν ἀποκλαύσεται, ἐν ἀμφοτέροις τοῖς καιροῖς τὰς κατ' ἀμφότερά σοι ἐπιλογιζόμενος χάριτας· ἔθελγες γὰρ καὶ ὑγιαίνοντας, καὶ ἐρρώνυες τοὺς κάμνοντας. Ποῖοι τῶν ἐπιφανῶν οἴκων οὐ τῆς σῆς
φ. 103ᵛ. τέχνης ἐπιμνησθήσονται; ποῖοι δὲ πένητες οὐχ ὁμοῦ τε | νοσήσονται καὶ τὸν ἄμισθον εὐεργέτην ἐνθυμηθήσονται; Ἐγὼ δὲ πότε σου τῆς ψυχῆς ἐπιλήσομαι, ἢ τοῦ θρηνεῖν παύσομαι; ἐφ' ᾧ γὰρ ἔχαιρον ζῶντι, ἐπὶ τούτῳ εἰκὸς ἀνιᾶσθαι θανόντι· ὅθεν μοι νῦν μᾶλλον τοῦ πάθους ἀκμάζοντος, οὔτε τὸ εἰωθὸς ταῖς μονῳδίαις τῆς παραμυθίας ἀκροτελεύτιον ὁ λόγος οὑμὸς ἕξει, οὔτε παρ' ἑτέρων γενόμενον ἀρκέσει παραμυθούμενον. Ἀλλὰ νῦν μὲν οὕτω μοι δεδαπάνηται ἡ ψυχή, καὶ πρὸς πᾶσαν παρηγορίαν ἀνήκοος γέγονα· εἰ δέ μοι τοῦτο σὺ καὶ μετὰ τὴν ἀποδημίαν μεταποιήσειας, τηνικαῦτα καὶ ποιήσω καὶ δέξομαι.

---

## Ε.

φ. 179. Μονῳδία, εἰς τὸν πρωτοσύγκελλον καὶ μητροπολίτην Ἐφέσου κῦρ Νικηφόρον.

Εἰ καὶ σὺ κατέπαυσας εἰς οὐρανὸν ἐκ γῆς ἀπιὼν ὑπὸ φρυκτοῖς ἀοράτοις καθορμισάμενος, ὦ πάντων ἐμοὶ ἀρχιερέων θαυμασιώτατε, ἀλλ' ἐμοὶ τοὐναντίον ἀπὸ τῆς σῆς ἀνόδου καὶ ἐγκαθορμίσεως περιγέγονε· τί τοῦτο; εἰς τὴν ἐπὶ θάτερον ἰέναι φορὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ τῆς σκυθρωποτέρας τύχης κατάβασιν. Σοὶ μὲν γὰρ τὸ τυχεῖν τῆς κρείττονος ἀπολαύσεως ὁ ἐνταῦθα σκοπὸς καὶ ἡ περὶ τοῦτο πραγματεία καὶ σύνεσις, ἐμοὶ δὲ τὸ τῆς ὁμιλίας ἐκπεπτωκέναι, καὶ μὴ ἔχειν τὸ σύνηθες ὁρᾷν καὶ γλυκὺ θέαμα, ὁ τελευταῖος ὅρος τῆς ἀτυχίας ἐστίν. Ἀλλὰ πῶς δὴ τὴν σὴν ἀποδημίαν κατονομάσαιμι, πότερον ἀπόλειψιν τῆς ἐνταῦθα ζωῆς, ἢ ἐπιτυχίαν τῆς ὑπερφυοῦς καὶ καλλίονος, ὥς τε μὴ δὲ ταύτης ἀφεῖσθαι, κἀκείνης ἐπιτυχεῖν; εἰ μὲν γὰρ τὸ πρῶτον, φεῦ ὁποίου καλοῦ ὁ βίος ἐστέρηται, οἷον τείχους τινὸς περιφράττοντος, ἢ κόσμου καλλύνοντος, ἢ στύλου τινὸς ὑπερείδοντος· εἰ δὲ τὸ δεύτερον, οὐδὲ τοῦτο μὲν στυγνότητος ἄτερ, ἔχει δέ τι τὸ παρηγοροῦν, αὐτὸ δὴ τοῦτο τὸ οἴεσθαι, ὡς ὁμοῦ τῶν τε κρειττόνων καταπολαύοις, καὶ ἡμῖν ἐντυγχάνοις τοσοῦτον, ὅσον προΐστασθαι.

Ἔδει μὲν οὖν, ὦ φιλότης· ταῖς γὰρ ἐμψύχοις σοι καὶ αὖθις προσφωνήσω προσηγορίαις· ἴχνη τινὰ ἡμῖν καταλελοιπέναι καὶ σπέρματα ἐν ταῖς σαῖς τῶν λόγων πραγματείαις τῆς σῆς ἀρετῆς, ἵν' ἔχοιμεν ἐκεῖθεν πρὸς τὰς τελεωτέρας ἐργασίας δύναμίν τινα ἐρανίζεσθαι· ἐπεὶ δέ σοι τοῦτο ἢ πεπόνηται, ἢ μεμελέτηται, ἀποχρῶν ἡμῖν ἡ ἔμψυχος καὶ μόνη πρωτοτυπία, εἰ καὶ ὑπερφυής τις οὖσα τὸν ἡμέτερον λόγον οἷον ἐξαμαυροῖ.

Ἡτοίμαστο μὲν οὖν ἡ σοὶ φύσις ἐκ πρώτης εὐθὺς ἡλικίας οἷά τις κεκαθαρμένη σανὶς εἰς ἐγγραφὴν χαρακτῆρος ἀμείνονος· ἐπεὶ δὲ καὶ τὴν γραφὴν ὁ καιρὸς ἤνεγκεν, εὐθύς σοι τὰ παντοδαπὰ ἐκεράννυτο χρώματα, ὅσα τε τῆς πρώτης τῶν ἐπιστημῶν καὶ ὅσα τῶν μετ' ἐκείνην μερίδων ἐστί. Καὶ ἦν μέν σοι ἡ πρώτη φιλοσοφία τὸ σπουδαζόμενον, δι' ἧς ἀναπτεροῦται ἡμῖν πρὸς θεὸν ὁ νοῦς· ἵνα δὲ μὴ οἷον ἅλματι τοῦτον εἰκάσειας, μὴ δὲ ἀλογίστῳ πτερώματι, διὰ πάσης ἐφοίτησας πρὸς ἐκεῖνο ἕξεώς τε λογικῆς καὶ δυνάμεως, καὶ τὴν φύσιν τὰ πρῶτα ζητήσας, καὶ τὰς αἰτίας ταύτης ἀνευρηκώς, . . . οὕτω τοῖς μαθήμασιν

ἐντετύχηκας, κἂν τούτοις τὰς ἀσωμάτους φύσεις ὡς ἐφικτὸν θηρασάμενος, ἐντεῦθεν ὅλοις ἱστίοις πρὸς θεὸν ἀνεπτέρωσαι. Ἀλλὰ τί ποτ' οὖν τοῦ ἐκεῖσε κάλλους γενόμενος, καὶ τῆς ἀρρήτου τῶν θεοποιῶν αἴ . . . . . . . . . κατωλιγώρησας, λέγω δὴ τοῦ ἐν λόγοις τε καὶ μαθήμασι; πολλοῦ γε καὶ δεῖ· καὶ βοᾷ ταῦτα . . . . . . ἃ πεπόνηκας περί τε μέτρα καὶ ἔπη, καὶ περὶ τὰ κατὰ λογάδην συγγράμματα, οὐ μουσῶν ἔμπλεα μόνον . . . . . . . . . . . . χαρίτων ἡδύτη . . . ἀμφοῖν καὶ πλείονος μέρους καὶ τοῦ ὑπερκειμένου καλοῦ· ὃ δὴ καὶ οἱ σοφώτεροι τῶν . . . . . . . . . ίνονται ταῖς Μούσαις ἐπορχεῖσθαι τὸν Ἀπόλλωνα φάσκοντες, οἷόν τινα δύναμιν τοῖς πολλοῖς ἀπο . . . . . . . . . . . τοὔνομα . . . . . τῆς σοφίας ὑπερκειμένην. Ἀλλὰ φιλοσοφίας μὲν ἐληλάκεις εἰς ἄκρον ἐννεά . . . . . . . . κοῖς δόγμασι . . . . τοῦ περιπάτου δόξαις, νόμων δὲ πολιτικῶν κατημέλησας ἢ θεσμῶν ἱερατικῶν; . . . . κανόσι σωφρωτέροις . . . ἢ μέτρα γῆς ἠγνοήκεις παντοδαπά, ἢ ὅσα τοῖς περὶ ταῦτα κομψοῖς ἐκπεπόνηται; οὔμενουν. Οὐ γὰρ μονοειδής, ἀλλὰ ποικίλος ἐγεγόνεις τὰς τέχνας ἁπάσας, ὁπόσαι τε τὸν ἡμεδαπόν . . . κοσμεῖν εἰώθασι, καὶ ὁπόσαι τὸν πολιτικὸν βίον σεμνύνουσι· καὶ τό γε θαυμασιώτερον, ὅτι μελιχρὸς ὢν καὶ ἡδὺς . . . . . . . . . δυνάμενος, ἀνάλωτος ἐγεγόνεις τοῖς πάθεσι, καὶ οὐδέν σε ἕτερον ἔθελξε κάλλος, μετὰ τὸ ἐν προθύροις τοῦ ἀγαθοῦ κείμενον, ἢ τὸ ἐπὶ τοῖς λόγοις, ἡ ἀπαθεστάτη προσπάθεια. Ἀλλὰ ποῦ ταῦτα νῦν . . . . . . . . τὸ ἄγαλμα τῆς ἀρετῆς καὶ τοῦ λόγου· πότε δέ σου καὶ δεξαίμην ἐπιστολήν, οἵαν εἰώθεις ποιεῖν πρὸς τ . . . . ἀνθαμιλλώμενος. Εἰ μὲν οὖν ὥς περ ἐνταῦθα πλησιάζων θεῷ, ὁμοῦ τε προσωμίλεις τοῖς κρείττοσι, καὶ οὐκ ἀπεστάτεις ἡμῶν, αὔταρκες ἡμῖν τοῦτο, εἰ καὶ βραχεῖ τινι μέρει συννεύεις ἡμῖν, καὶ μὴ παντάπασι μετεωρίζοις τῶν κοινῶν ἠθῶν καὶ ἐθῶν· εἰ δέ σε τοσοῦτον ἡ νεφέλη ἐξήρπασεν, ὡς καὶ πλέον τι τοῦ ἀδύτου ἐνδοτέρω γενέσθαι, καὶ τὸν πρῶτον οὐρανὸν ὑπερβεβηκέναι, ἀλλ' ἡμῖν γε

καὶ τοῦτο, εἰ καὶ μὴ παραμυθίαν φέρον ἐστίν, ἀλλὰ θαυμασίαν τινὰ περὶ τὸν φίλον ἡδονὴν καὶ γλυκεῖαν· καὶ ἀρκεσθησόμεθα ταῖς εἰκόσι τῆς σῆς ἀμιμήτου φύσεως, ποῖαι δὲ αὗται; αἱ τῆς ἀρχιερωσύνης ἀκρότητες, αἱ τῶν ἀρετῶν τελειότητες, αἱ περὶ τὰ μαθήματα ἕξεις|, αἱ περὶ τὸν λόγον δυνάμεις, τὰ τούτων φ. 179ᵛ.
μὲν ἐλάττω, τοῖς πλείοσι δὲ τιμιώτερα, ὅσα ἐπήρκεις τοῖς χρῄζουσιν, ἡ πλατεῖα χείρ, ἡ εὐγενεστάτη μετὰ τοῦ κριτικοῦ φρονήματος προαίρεσις, τὸ μετρεῖν πάντα πᾶσι, καὶ τὴν ἀλογίαν φυλάττειν κἂν τῷ πλείονι μέρει. Ἀλλ' ὦ τῆς Ἐφεσίων ἱερᾶς μητροπόλεως, ἧς ἀντίθετα τὰ χείρω πρὸς τὰ προλαβόντα κρείττονα, ὥς περ εἴ τις ἐπιλάμποι μέρει τινὶ γῆς ὑπερφυὴς ἥλιος, εἶτ' ἀθρόον ἀπολίποι ταύτην, καὶ ὁ μὲν ἐφ' ἑαυτοῦ γένοιτο, ἡ δὲ μᾶλλον αἰσθάνεται τῆς στερήσεως τοῦ φωτός. Ἀλλά με πείθουσι λόγοι σοφῶν, ὡς αἱ τῶν ψυχῶν κρείττους τὰς ἀντιθέτους ῥοπὰς ἔχουσι, καὶ ἐν ταὐτῷ θεῷ τε προσεγγίζουσι, καὶ οὐκ ἀποστατοῦσι τοῦ ἥττονος· ἔνυλος μὲν γὰρ οὐκ ἂν τοῦτο εὐτυχήσειε νοῦς, ἄϋλος δὲ καὶ θεοειδὴς ἀδιάφορον ἔχει τὴν πρὸς τὰ ἐναντία ῥοπήν. Εἰ μὲν οὖν ἔδει πρὸς τὴν σὴν ἀρετὴν τοὺς ἡμετέρους λόγους παραβεβλῆσθαι, οὐκ ἂν δὴ οἶμαι κατὰ τὸν σὸν Ἰωάννην οὐδ' αὐτὸν τὸν κόσμον τὰ περὶ σοῦ χωρῆσαι συγγράμματα, ἀλλ' οὐδὲ τὸν κρείττονα κόσμον, λέγω δὴ τὸν ἀνθρώπινον νοῦν τὰ σὰ νοῆσαι θεῖα νοήματα καὶ διδάγματα· ἐπεὶ δέ σοι καὶ μετὰ θάνατον πάντα μεμέτρηται, μᾶλλον δὲ αὐτὸς μέτρον πᾶσιν ἐφέστηκας, δέχοιο καὶ τὸν βραχὺν τοῦτον λόγον καὶ μέτρησον, καὶ μὴ τῇ σῇ φύσει, ἀλλ' ἡμῖν τοῖς συγγράφουσι· τί γὰρ ἂν πάθοιμεν ἐν πελάγει γενόμενοι τοὺς ὀφθαλμοὺς οὐχ ὁρίζοντι, εἰ μή περ αὐτὸς τὴν σὴν ἡμῖν περιγράψειας ἀρετήν, ὦ παντὸς μέτρου καλοῦ, καὶ πάσης στάθμης ἐπέκεινα!

---

# Α.

φ. 109. Πρὸς τὸν βασιλέα τὸν Μονομάχον.

Ὦ βασιλεῦ ἥλιε! καὶ τίς ἄν με καταιτιάσαιτο ταύτην σοι προσφυῶς τὴν κλῆσιν ἁρμόζοντα; ἢ γὰρ οὐχὶ καὶ αὐτὸς τῷ κύκλῳ τῶν ἀρετῶν καὶ τῇ ἀγχιστρόφῳ κινήσει τοῦ νοῦ, τῷ τε μεγαλείῳ τῆς φύσεως καὶ τοῦ κάλλους τῷ ἀπαστράπτοντι πᾶσαν καταυγάζεις τὴν γῆν; Ἀλλὰ συμμέτρους μοι τὰς ἀκτῖνας ἐπάφες τὴν τήμερον, καὶ γενοῦ μοι κατὰ μεσημβρίαν ἱστάμενος καὶ βραχυτέρῳ τῷ κύκλῳ φαινόμενος, ἀλλὰ μὴ ἑῷος καὶ ἀπρόσιτος ταῖς μαρμαρυγαῖς, ἵνα μὴ ἐκπλήξῃς τῷ ὑπερβάλλοντι τῆς αὐγῆς, δύναμιν δέ τινα μᾶλλον θείαν ἐνθήσεις καὶ ἀνακινήσῃς θαρραλεώτερον ἀντωπῆσαί σου τῷ ἀρρήτῳ φωτί· εἰ μὴ γὰρ αὐτός με πρὸς τοὺς περὶ σοῦ λόγους ὁρμῆς θεοφορήτου πληρώσειας, καὶ τὰς κρυφίους τῆς ψυχῆς ὠδῖνας ἀνερεθίσας, θεόληπτον οἷον ποιήσειας, πῶς ἂν ἐπίπνους τῶν σῶν πλεονεκτημάτων γενοίμην τοῖς μικροῖς τὰ μεγάλα σταθμώμενος, καὶ λόγῳ βραχεῖ τῷ σῷ ἀπειροπλάστῳ μεγέθει παραμετρούμενος;

Σὺ μὲν οὖν ἐν μετεώρῳ τῶν σῶν πλεονεκτημάτων ἱστάμενος καὶ ὑπεραστράπτων λαμπρῶς, ἀνέφικτος καὶ τὸ κάλλος καθέστηκας καὶ τὸ μέγεθος· φιλοσοφία δὲ καὶ νομοθετικὴ καὶ ἡ σοφιστικὴ τέχνη, ἡ μὲν ἐξ οὐρανοῦ, αἳ δ᾽ ἐκ περιπεζίων σφαιρῶν ὥσπερ ἀπὸ συνθήματος εἰς ταὐτόν σοι ἥκασι νῦν, οὐχ ὥστε κρίνειν ἢ δοκιμάζειν τὰ σά, τίς γὰρ τοῦ κανόνος εὐθύτερος; ἀλλ᾽ ἰδεῖν καὶ θαυμάσαι, καὶ τοὺς λόγους δωροφορῆσαι τῷ τούτους ὑψώσαντι· ἑστήκασι δὲ ὡς ὁρᾷς λίαν ἀγωνιῶσαι καὶ πνευστιῶσαι, καὶ ἱδρῶτι ῥαινόμεναι, καὶ πρὸ τῶν ἀγώνων ἀπαγορεύσασαι καὶ τὴν ἧτταν ἐπιδεικνύμεναι. Τὸ μέντοι ἦθος οὐ μετηλλάχασιν, ἀλλ᾽ ἡ μὲν φιλοσοφία, πρὸς τὸ εἴσω κάλλος ὁρᾷ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ νοῦν τοῦ λόγου προβάλλεται, τὸ δὲ τῆς νομοθετικῆς σχῆμα, ὕψου καὶ αὐτὸ ἀνέχει τὴν κεφαλὴν καὶ τὰς τοῦ Διὸς δέλτους αὐχεῖ· ἡ δὲ τέχνη στωμύλη τίς ἐστι καὶ ἐπίχαρις καὶ κεκοσμημένη ἀβρῶς, καὶ πολὺ τὸ ἐπαγωγὸν καὶ αἱμῦλον τοῖς λόγοις ἐπιδεικνύουσα· αὕτη τοιγαροῦν λόγους ἱλαροτάτους συνθήσεται καὶ χαρίεντας καὶ γενεαλογήσασα ἑκατέρωθεν, ἀμφοτέρωθέν σε θαυμάσεται· συνερανίσεταί σοι καὶ τὸ ἀπὸ τῆς πατρίδος ἐγκώμιον, ἐπαινέσεταί σου τὴν εἰς τὸ εἶναι πρόοδον, τὰ ἐπὶ ταύτῃ ἐκπλαγήσεται | θαύματα, ἐρεῖ τι καὶ περὶ τοῦ κάλλους καὶ τῆς φ. 109ʳ.
ἐπ' αὐτῷ ἀγλαΐας· ἐφάψεταί σου καὶ τῶν ἀπὸ τοῦ νοῦ πηγῶν καὶ τῶν ἀπὸ τῆς γλώττης ῥευμάτων· ἐπεντρυφήσει σου καὶ τῷ ἤθει καὶ τῷ εὐαρμόστῳ τοῦ σώματος· ἐπιθειάσει σοι καὶ πλοῦτον καὶ τύχης ὄγκον καὶ περιουσίαν δυνάμεως. Εἶτα τί; χρηστηριάσει σοι τὰ ἀπόρρητα, οἰωνοὺς αἰσίους, ὀμφὰς ἀρρήτους, προρρήσεις ἐναργεῖς, ἀπορρήτους ἐπιστασίας δυνάμεων, καὶ τὸ ἐπὶ τούτοις ἐπαγάγῃ κεφάλαιον, τὴν θείαν ταύτην τοῦ κράτους ἀνατολήν.

Ταῦτα μὲν ἴσως καὶ πλείω τούτων ἡ τέχνη, εἴ γε μὴ τὴν δύναμιν ψεύδεται, φθέγξεται. Φιλοσοφία δὲ τὰ μέν, ὡς ἀλυσιτελῆ πρὸς ἔμψυχον ἀρετῆς ἄγαλμα, ταῖς ἐφόδοις αὐτῆς οὐ συλλήψεται, τὰ δ' ὡς πολλάκις εἰποῦσα οὐκ ἂν φανείη παλιλλογοῦσα, οὐ δὲ ἀνέξεται ἐν ἄλλῳ νῦν, ἢ τῷ τῆς βασιλείας σε σχήματι καθορᾶν. Σὺ γάρ, ὦ θειότατε βασιλεῦ, ὁμοῦ τε τοῦ τῆς ἀρχῆς οἷα δή τις φωστὴρ ἐπιβέβηκας ἅρματος, καὶ πάντες οἱ δοκοῦντες ἀστέρες ἐκρύβησαν· καὶ πρινὴ τὴν τῆς διφρείας ἰσχὺν ἐπιδείξασθαι ὥς περ τις Ὀλυμπιονίκης ταῖς κατὰ πάντων ἐξ ἁπάντων νίκαις κατέστεψαι. Ὥς περ γὰρ ἡλίου διφρηλατεῖν ἐξ ἀνατολῆς ἐοικότος ἀποβεβηκέναι τῶν ὀχημάτων τοὺς λοιποὺς φωστῆρας εἰκότως ἄν τις εἰκάσειεν, οὕτω δή σοι τὰς τῆς ἀρχῆς περιζωσαμένῳ ἡνίας, οὐδεὶς οὔτε συνθέειν οὔτ' ἀντιθέειν ἐξ ἀντιπάλου μοίρας ἠνέσχετο· ἀλλὰ κατώρθωτό σοι ὁ πένταθλος,

καὶ ἤνυστο τὸ παγκράτιον, μηδενός σοι συγκαταβάντος εἰς τὸν ἀγῶνα.

Τοῦτό σοι τοῦ κράτους προοίμιον, αὕτη σοι τῆς ἀρχῆς ἡ ἀνάρρησις, οὗτός σοι τῆς βασιλείου τέχνης ὁ πρόλογος. Εἶτα θύων τὰ ἐπινίκια, μακρῷ τὸν Ἐμπεδοκλέα τῷ πολυτελεῖ τῆς θυσίας νενίκηκας· ἐκεῖνος γάρ, ἐπειδὴ Πυθαγορικὸς ὢν ἐμψύχων ἀπείχετο, βοῦν ἐξ ἀρωμάτων πλασάμενος, εἶτα τῇ πυρᾷ θέμενος, ἀποφορᾶς Ἰνδικῆς τὴν Ἀττικὴν ἐπλήρωσε γῆν, καὶ νῦν καινὸς θύτης ἐν ταῖς Ἑλληνικαῖς ᾠδαῖς ὁ φιλόσοφος· αὐτὸς δὲ πᾶσαν εἴσω τῆς πανηγύρεως τὴν οἰκουμένην πεποιηκώς, θεῷ μὲν ἀπαρχὰς τοῦ κράτους τὴν σεαυτοῦ ψυχὴν ἐσφαγίασας, τῷ σιτευτῷ μόσχῳ διὰ σὲ τυθέντι τὴν ἀναίμακτον σφαγὴν ἀντεπενεγκών· καὶ δῆτα συμπανηγυρίσας τοῖς εἰσελθοῦσιν ἅττα εἰκός, ἀνοίγεις μὲν τοῖς πᾶσι τὰς τῆς εὐδαιμονίας πηγάς, καὶ πάσας φλέβας χρυσίτιδας συγκεχωσμένας ἀναστομοῖς, καὶ ποταμοὺς ὅλους ἡμέροις ἐπικλύζοντας ῥεύμασι τῶν βασιλείων ἐκφράττεις πηγῶν, τοῖς τε νέφεσιν ἐπιτάξας αὖθις γεννᾶν, ὥς περ τις Ἠλίας τὸν οὐρανὸν κεκλεισμένον ἠνέῳξας, καὶ θάλασσαν νέων χαρίτων ἀκηράτων δημιουργήσας, οὐκ ἔστιν ὅν τινα τοῖς νάμασιν οὐκ ἐκάθηρας.

Οὕτω δὲ δὴ τὴν παντοδύναμον ταύτην τετελεκὼς ἑορτήν, καὶ δευτέρων ἀπήρξω κρατήρων μάλα σεμνοτέρων καὶ πολλοῦ μετεχόντων τοῦ νέκταρος· οὗ δὴ καὶ αὐτὸς εἰς κόρον πέπωκα, καὶ μακαρίοις ἠρίθμημαι· τὸ δὲ ὁποῖόν ἐστι δηλώσω.

Ἐδόκει πάλαι κατὰ κλῆρον προϊέναι ἡ τῆς εὐδαιμονίας καὶ δυσπραξίας πηγή, καὶ παῖδες παρὰ πατέρων τὰ διάφορα τῆς τύχης δεχόμενοι ῥεύματα εἰς υἰωνοὺς μετωχέτευον· ἀλλὰ σὺ πρῶτος τὴν κακίστην ταύτην συγχέας διαίρεσιν, καὶ τῷ τρόπῳ μᾶλλον ἢ τῷ γένει τὰ τῆς εὐτυχίας ταλαντεύσας ζυγά, τοὺς κλήρους ἡμῖν μετεκίνησας· καὶ πολλοὺς ἂν ἴδοι τις τῶν ἀπτέρων πάλαι γεγονότας ἐκπετασίμους καὶ ἐγγύτατα τοῦ σοῦ περιϊ-

πταμένους φωτός· οὐ γάρ ἐστιν ὅν τινα τῶν ἐξ ἑκάστης ἐπιστήμης ἢ τέχνης, ἢ τινὸς ἄλλης δυνάμεως τὸ ἐξαίρετον ἔχοντα οὐ τετίμηκας· σύ γε καὶ τὸν πρῶτον ἐσεβάσθης φιλόσοφον, ὅτι μὴ δεῖται ἀρχῶν, καὶ τὸν ἐν μαθήμασιν, ὅτι τῶν εἰδῶν ἐστι θεωρός, καὶ τὸν φυσικόν, ὅτι τὰς ἀπαρχὰς ἐφεῦρε τῶν στοιχείων τοῦ σώματος, καὶ τὸν ἀποδεικτικόν, ὅτι χρῆται τοῖς οὐσιώδεσι, καὶ τὸν διαλεκτικόν, ὅτι συλλογισμοῖς ἐφοδεύει ἀμφιδεξίως, καὶ τὸν σοφιζόμενον, ὅτι παραλογίζεται εὐφυῶς, καὶ τὸν ἁρμονικόν, ὅτι τοὺς λόγους οἶδε τῶν κράσεων, καὶ τὸν ῥυθμικόν, ὅτι τὴν τῶν χρόνων ἀναλογίαν ἐπίσταται. Σὺ καὶ τὴν νομοθετικὴν κεκόσμηκας, ὅτι πολιτειῶν κόσμος ἐστὶ καὶ τῆς ἀπείρου ὕλης εἰδοποιός, πέρατα ὡσανεὶ τοὺς μερικοὺς χρόνους περιτιθεῖσα τοῖς πράγμασι· καὶ τὴν ῥητορικὴν ἐπόθησας, ὅτι ἑκατέρωθεν ἐπιχειρεῖ δεξιῶς καὶ ποικίλλεται τοῖς εἴδεσι καὶ ταῖς κράσεσι. Σὺ καὶ τὸν τοξότην ἐπήνεσας κατὰ σκοπῶν ἀφιέντα, καὶ τὸν ἀκοντιστὴν εὔστοχα πέμποντα, καὶ τὸν στρατηγὸν τὴν τῆς φάλαγγος ἀσπίδα συνέχοντα, καὶ τὸν πρωτοστάτην θαρροῦντα, καὶ τὸν οὐραγὸν τὸν λόχον φυλάττοντα· σὺ καὶ ῥώμην ἐθαύμασας σώματος, καὶ ἀνδρείαν ψυχῆς, καὶ μηχανημάτων ἐπίνοιαν, καὶ | γλώττης περιβολήν, καὶ λόγου κάλλος, καὶ τέχνης δύναμιν, φ. 110. καὶ μέγεθος ἐπιστήμης, καὶ ὅλων ἀρχιτεκτονίαν, καὶ φύσιν ὀξεῖαν καὶ φρόνημα βεβηκός, καὶ αἰδοῦς ἄνθος καὶ παρρησίαν πρεσβυτικήν, καὶ σιωπὴν εὔλογον, καὶ λόγον σιωπῆς εὐκαιρότερον, καὶ πάντα ζηλώσας προσφυῶς, ἐκ πάντων συντέθεικας σεαυτόν· οὕτω γάρ σου τὴν ψυχὴν ἁπαλὸν ἐκμαγεῖον πεποίηκεν ὁ θεός, ὡς πρὸς πάντα μεθαρμόζεσθαι εὐφυῶς, καὶ πᾶν μὲν εἶδος δυνάμεως ἀναδέχεσθαι, πρὸς πάντα δὲ λόγον εὐκόλως μεταρρυθμίζεσθαι.

Ὅταν σε ταῖς ἐκ τῶν ἐθνῶν πρεσβείαις θεάσωμαι χρηματίζοντα, καὶ πρὸς τὸ τῆς οἰκονομίας εἶδος ἐμβιβάσω τὸν νοῦν, αὐτόχρημά σε τέχνην λογίζομαι, καὶ δεινότητος μέθοδον· ὅταν

κληροῦντα τὰς ὑποθέσεις καὶ διαιτῶντα ταῖς δίκαις, καὶ χειροτονοῦντα τὰς ψήφους, τὴν θείαν δίκην φαντάζομαι καὶ πρὸς τὸ ἀδέκαστον δικαστήριον ἀναφέρομαι· ὅταν ἐν ἀρχαιρεσίαις σε δοκιμάσω, θαυμάζω τὴν σύνεσιν καὶ τὴν κατὰ λόγον κρίσιν, καὶ τὸ ἀπαραλόγιστον τοῦ φρονήματος· ὅταν εὐεργετοῦντί σοι προσέξω τὸν νοῦν, τὸ Ἀτλαντικὸν ὁρῶ πέλαγος, τοὺς ἐξ Ἐδὲμ ῥέοντας ποταμούς, τὴν ἀνεξάντλητον πηγὴν τοῦ θεοῦ· ὅταν βλέπω τοὺς Τιτᾶνας κολάζειν ἀναγκαζόμενον, τοὺς εἰς οὐρανὸν τὸ τόξον ἐντείνοντας, ἵνα σὲ τὸν τοῦ θεοῦ παῖδα, εἰρήσθω γάρ, ἐν σκοτομήνῃ κατατοξεύσωσιν, ὅταν ἴδω τεθηγμένην τὴν μάχαιραν, τὴν ῥομφαίαν ἐστιλβωμένην, ἀνημμένους τοὺς ἄνθρακας, ἀνεστομωμένας τὰς ἀκτῖνας τῆς πρηστηρίου φλογός, ὅταν ἴδω τὸν τύραννον ἐπὶ κεφαλὴν ὠθούμενον εἰς τὸ βάραθρον, πρὸς ξιφουλκίαν αἰρόμενον, κατὰ γῆς ἐρριμμένον καὶ τοῖς δημίοις ἀφεικότα τοὺς ὀφθαλμούς, εὐθύς σε μετατιθέμενον ὁρῶ καὶ σπενδόμενον τῷ φονεῖ, καὶ πρὸς τὴν χεῖρα ἥμερον βλέποντα τὴν τυραννικήν. Ὅταν ὁμιλοῦντος ἀκούσω, τῆς Δημοσθένους γλώττης αἰσθάνομαι, τῆς τοῦ Περικλέους, τῆς τοῦ Πολέμωνος, τῆς τοῦ Πλάτωνος, τῆς Λυσιακῆς εὐστομίας, τῆς Ἰσοκράτους σειρῆνος, τῆς Ἡροδότου γλυκύτητος, τῆς χρυσῆς γλώττης τοῦ Δίωνος, ἐμφράττω τὴν ἀκοήν, ἐπέχω τοὺς λογισμούς, ὥςτε μὴ τῷ κατακλυσμῷ τῶν σῶν λόγων ἀπορρυῆναι. Ὅταν χαριεντιζομένῳ ἐντύχω, βαβαὶ τῶν ἰύγγων τῶν θελκτηρίων, τῆς Πινδαρικῆς ᾠδῆς, τῆς Σαπφικῆς λύρας, τῆς Ὀρφικῆς πειθοῦς, τῆς Ὁμηρικῆς Καλλιόπης, τῆς Ἀνακρέοντος γλώττης, τῆς ὀργανικῆς μούσης, ὅσης πληροῦμαι τῆς χάριτος, ὡς προσανάκειμαί σου τῷ μειδιάματι, ὡς ἱλαρώτατα διαχέομαι! ὅταν ἐνατενίζω φροντίζοντι, καὶ συνεσπακότι μὲν τὰς ὀφρῦς, συννεύοντι δὲ πρὸς τὸν νοῦν, τὰς Ξενοκράτους εἰκόνας ἀνατυποῦμαι, τὰς Ἡρακλείτου, οἳ δὴ ἐγκείμενοί πως ἦσαν τοῦ ἤθους καὶ ἐμβριθῶς ἔχοντες· ὦ ποσάκις ἀπὸ τῆς σῆς γλώττης τοὺς ἐμοὺς λόγους ἐπήνθισα,

ὅσας ἐκαρπωσάμην δυνάμεις, ὅσας συνέλεξα τέχνας, οἵας μεθόδους ἠκριβωσάμην! ἐῶ τἆλλα· ὅταν ἴδω σου τὴν πρὸς τὸν μέγαν ἀρχιερέα αἰδῶ, ὃν τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως ἔχρισας, καὶ τὸ τοῦ τελέσματος μῦρον ἐπέχεας ἄχρι πώγωνος καὶ ἐνδύματος, τὴν τοῦ Δαυῒδ ἐνθυμοῦμαι περὶ τὸν Σαμουὴλ ὑποχώρησιν, ἐπεὶ μὴ δ' ὑμεῖς ἐκείνων ἐλάττονες. Εἶδόν σε καὶ ἐπὶ φίλων δακρύσαντα συμφοραῖς καὶ ἠρέμα στεναγμὸν ἀναπέμψαντα· τὸ γὰρ τῆς βασιλίδος οὐδ' ὑπερβολὴν τοῖς μετέπειτα καταλέλοιπε. Καὶ ἣν ὑπόσχοιό μοι νῦν ἐγκαρτερῆσαι τῷ πάθει, τῷ περὶ ἐκείνης λόγῳ μικρὸν ἐμφιλοχωρήσομεν· ἀλλ' ἰδοὺ καὶ πάλιν συγκέχυσαι καὶ τῷ τῆς λύπης νέφει τὴν ἡλιῶσαν ὄψιν ἠφάνικας· ἔκλινας γὰρ καὶ αὐτός, εἰ καὶ μὴ τοὺς οὐρανοὺς ὡς θεός, ἀλλὰ τοὺς ὑψηλοτάτους τῆς βασιλείας ὅρους, καὶ καταβέβηκας τοσοῦτον ὥς τε καὶ ὑποκεῖσθαι τοῖς ἐκείνης καὶ νεύμασι καὶ βουλεύμασιν· ἀλλ' ὑπόκρισις ταῦτα καὶ πάντα φροῦδα ὁ ἐκείνης ἤλεγξε θάνατος· ἀλλ' ὢ τῆς ἀκενώτου τῶν δακρύων πηγῆς, ὢ τῆς ἀρρήτου τῶν ὀμμάτων δυνάμεως· ἔκαμον καὶ νεφέλαι στάζουσαι ὑετούς, ἔστησάν ποτε καὶ ποταμοὶ τὸ ῥεῖθρον ἀέναα ῥέοντες, καὶ λίθων στεῤῥότητες σταγόσιν ὑδάτων ἐνέδοσαν, αὐτὸς δὲ βλύζεις πηγάζων τὸ δάκρυον, καὶ φύεις κειρόμενος καὶ αὐξάνεις δαπανώμενος καὶ ἀνθεῖς μαραινόμενος· ὁ δὲ τῆς λήθης χρόνος νενίκηται παρὰ σοί· τὴν γὰρ ἐκείνης μνήμην ἅπαξ τῇ σῇ ἐμφυτεύσας ψυχῇ ἀρδεύεις τοῖς δάκρυσι καὶ οἷόν τι φυτὸν ἐργάζῃ ἀείζωον· πάντα γάρ σε πρὸς ἐκείνην ἀνάγει βλεπόμενα, ὁ ναός, ὁ | τύμ- φ. 110ᵛ.
βος, ἡ ἀλουργίς· ἂν τὴν εἰκόνα ταύτης θεάσῃ, τὴν ἐκείνης ἐν τῇ ψυχῇ ἐξεικονίζεις μορφήν· ἂν τὴν καλύπτραν, τὴν ἱερὰν ἀνατυποῖς κεφαλήν. Ἂν τὴν ἐσθῆτα, τὴν συμμετρίαν τοῦ σώματος· ἂν τὸ τῆς ἀδικίας μαρτύριον, τὴν νῆσον ἐνθυμηθῇς, ὅλοις ἱστίοις τῶν βασιλείων ἀπαίρεις· ποθῶν δὲ καὶ τὸ ἐκείνης πῶς ἂν εἴποιμι, πῶς καρτερήσαιμι, δεσμωτήριον, εἰς βασιλείους σκηνὰς μετεποίησας, καὶ νῦν οἷά τις φρυκτὸς ἡ νῆσος πόῤῥωθεν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοῖς καταίρουσιν ἀπαστράπτει καὶ χεῖρα ὀρέγει τοῖς ἐκ πελάγους πρὸς τὴν Ῥώμην ἀλυπότατα παραπέμπουσα.

Τί δ' ἐπὶ τούτοις ἡ φιλοσοφία κατεπαγγέλλεται; ὅτι καὶ ταῖς περὶ θεὸν ἐκείνη συνῆπται δυνάμεσι καὶ πανταχοῦ σοι σύνεστι καὶ συμπρόεισιν· ἀλλὰ τοῖς ὀφθαλμοῖς ἰδεῖν τὸ θεῖον ἐκεῖνο χρῆμα ποθεῖς; ἔχεις οὐκ ἀμυδρὰ καὶ τούτου ἰνδάλματα, οὐκ ἀσαφεῖς σκιάς, τὴν ἐκείνης ὁμόγονον, τὸ ἐκείνης ἐκσφράγισμα, τὸ καθαρὸν ἀφομοίωμα· αὕτη σοι τὴν ἐκείνης παραδεικνύτω καὶ ἀρετὴν καὶ μορφήν.

Ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι· ὅταν ἐπὶ θαλάσσης τοὺς ἐρεσσομένους πύργους θεάσωμαι, ὥς περ τινὰς λόφους, καὶ ἐπαναστάσεις τῆς ὑγρᾶς φύσεως χιλίᾳ κώπῃ εὐθυνομένας, καὶ ταῦτα δὴ τὰ σὰ μηχανήματα, δοκῶ κλονεῖσθαι τὰς τῶν ὀρῶν κορυφάς, καὶ ἐνθουσιῶ μὲν πρὸς τὴν ἄρρητον τοῦ πράγματος δύναμιν, δέδοικα δὲ μὴ συγκίνησις ᾖ τοῦ παντὸς καὶ οὐκ ἔχω ποῖ τράπωμαι.

Ὅταν δὲ καὶ τοὺς λαμπροὺς ἡγεμόνας Περσῶν καὶ Μήδων καὶ Βαβυλῶνος θεάσωμαι ὥσπερ ἀπὸ μηχανῆς πρὸς τὴν σὴν ἐλαθέντας ἀρχήν, μετὰ τῶν ὀνειρωττόντων εἶναι δοκῶ, καὶ πυκνὰ διερευνῶμαι τοὺς ὀφθαλμούς, σὺ δὲ τί; μὴ γίνῃ τούτοις τῆς τύχης βαρύτερος; πολλοῦ γε καὶ δεῖ. Δαρεῖοι μὲν γὰρ ταῦτα καὶ Ξέρξαι καὶ Κῦροι καὶ Ὦχοι, οἳ καὶ συγγενικοῖς αἵμασι τὰς δεξιὰς κατεχράνθησαν, αὐτὸς δὲ καὶ δεξιὰν ἐμβάλλεις καὶ τοῦ σοῦ κοινωνεῖς νέκταρος, καί που δὴ καὶ φιλεῖς· καὶ ἵνα παρῶ τἆλλα, πῶς οὐκ ἂν τὰς σὰς ἐπιφροσύνας θαυμάσαιμι, ἐφ' αἷς οἱ τῶν μέγα δυναμένων παῖδες ὥς περ τινῶν γιγάντων γοναὶ πρὸς τὴν σὴν αὐτομάτως ἥκασι πόλιν, καὶ μέρος τοῦ σοῦ γεγόνασι βήματος;

Ἀλλ' ὦ τί ἂν εἰπών σε τις, ὀρθῶς προσείποι; βασιλέα; ἀλλὰ τὸ μὲν τῆς ἀρχικῆς ἐπιστήμης ἀξίωμα καθορῶ, ὁ δὲ τῆς τύχης ὄγκος ποῦ; ὁ δὲ κόμπος τῆς μοναρχίας, τὸ δὲ κατὰ τῶν πολλῶν

φρύαγμα, τὸ δὲ ἠλαζονεῦθαι; στρατηγόν; ἀλλ' αἱ μὲν νῖκαι σαφεῖς, οὐδαμοῦ δὲ τὸ ἐπὶ ταύταις αὐχεῖν· δικαστήν; ἀλλὰ καὶ τὸν καταψηφισθέντα ἡδόμενον ταῖς ψήφοις ὁρῶ, πῶς δὲ τοῦτο δυνήσεται δικαστής; ἀρχιτέκτονα; ἀλλ' ὁ τῶν δημιουργημάτων καιρὸς τοὺς ὅρους τῆς ἀρχιτεκτονίας νικᾷ· εὐμήχανον; καὶ τίς Ἀρχιμήδης τῶν στοιχείων μετήλλαξε τὰς ῥοπάς; τίς Λιβύην καὶ δίψαν κατέκλυσεν ὕδατι; τίς ποταμοὺς ὅλους μετοχετεύσας εἰς μίαν συνήλασε φάραγγα, ἀνήγαγέ τε καὶ αὖθις κατήγαγε; τίς ἱστᾷν καὶ κινεῖν τὴν ὑγρὰν φύσιν ὅτε βούλοιτο ἐπεχείρησεν;

Ἐγὼ δὲ καὶ τἄλλα μὲν τῶν σῶν ἄγαμαι καὶ οὐκ ἔχω οἵοις καταστέψω τοῖς ἐγκωμίοις, τὸ δ' ὅπως τὸ τῆς μοναρχίας ἡμῖν διασώζεις χρῆμα, καὶ οὐ ψεύδεταί σε τὸ ὄνομα, οὐδὲ αὐτὸς καταψεύδῃ τῆς κλήσεως, τοῦτο καὶ μᾶλλον ὑπερεκπέπληγμαι· νῦν γὰρ ἡμῖν ὅροι τῆς ἀρχῆς, οὐ ποταμοὶ γνωριζόμενοι, οὐ στῆλαι θρυλλούμεναι, οὐ νῆσοι, οὐκ ἤπειροι γινωσκόμεναι, ἀλλὰ περατούμεθα οἷ βουλόμεθα, καὶ ὧν εἰ περαιτέρω χωρεῖν ἐλοίμεθα, οὐκ ἂν τὸ βάθος τῆς ὕλης θαρρήσωμεν· εἰ δὲ καὶ τῶν τοιούτων ὅρων ἐντὸς λήξεις τινὲς ἡγεμονίας εἰλήχασι, θαυμάζειν οὐ χρή· οὐ γὰρ ἀντικαθιστάμεναι ἡμῖν πεφύκασι καὶ ἀντίθετοι, ἀλλὰ μέρη καὶ μέλη τῆς ὅλης ἀρχῆς καὶ πέρατα τῆς ὁλότητος· κἂν γὰρ τὴν Αἰγυπτίων εἴπῃ τις, κἂν τὴν Αἰθιόπων, κἂν τὴν Ἰνδῶν, κἂν Σκύθας, κἂν Σαυρομάτας, κἂν Ὑπερβορέους αὐτούς, οἷς κατὰ κορυφὴν ὁ τῆς σφαίρας πόλος ἐφέστηκε, μέρος εἰσὶ τῆς ὑπὸ σοῦ ἰθυνομένης ἀρχῆς· ὅθεν ἄλλος ἄλλοθεν ἥκει δωροφορῶν, οὐχ ὡς πάλαι τὰ ἐκ σηρῶν νήματα, οὐδὲ τὸν τυραννηθέντα εἰς ἐσθῆτα χρυσόν, οὐδὲ τὰς χλοαζούσας τῶν λίθων καὶ ἠρινὴν ἀποστιλβούσας χροιάν, ἀλλὰ ζώων φύσεις οἷς ἐκεῖνοι τὸ πλέον εἶχον ἡμῶν, καὶ ὧν οὐδὲ τῶν ἰχνῶν παραχωρεῖν τοῖς πρὸ σοῦ βασιλεῦσιν ἠνέσχοντο· καὶ νῦν ὅταν θεάσωμαι τὸν | ἐλέφαντα τὸν μετὰ τῶν μύθων μοι πάλαι ἀπιστούμενον διὰ φ. 111.
μέσου θεάτρου ὑφ' ἡνιόχου ἀγόμενον, σιδηροῦν καὶ ἄτρωτον τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

δοράν, τὸ μέγεθος ὑψηλόν, τὸ εἶδος ἀλλόκοτον, τὸν δρόμον παρὰ τὸν ὄγκον, ὥς περ ἐπὶ θεμελίοις ἀρραγέσιν ἐπῳκοδομημένον τοῖς σκέλεσιν, ὅσα χειρὶ τῇ ῥινὶ χρώμενον, καὶ πρὸς τὴν γένυν ὑποκαθημένην ὑποκλῶντα ταύτην καὶ κάμπτοντα, ἐνθυμοῦμαι τοῦ Ἰνδοῦ τὴν ἐπὶ τούτῳ ὀφρῦν ὅπως εἶχε ταύτην ὑπὲρ ἕνα πῆχυν τῆς κεφαλῆς, καὶ ἠρέμα μὲν ταύτης καταγελῶ, δῆλος δέ εἰμι τῇ θέᾳ ἐνθουσιῶν καὶ τῇ πατρίδι συγχαίρων ὅτι τοῖς τοιούτοις τετίμηται (Ὅταν δὲ καὶ τὴν ἐν παρδάλει θεάσωμαι κάμηλον, ἢ τὴν ἐν τῇ καμήλῳ ἔλαφον, τὸ ἁπλοῦν ζῶον καὶ σύνθετον, ὑψηλὰ βιβῶσαν, ὥς περ ἀπὸ μηχανῆς τὸν τράχηλον ὑψοῦσαν καὶ αὖθις συστέλλουσαν, δίπουν ὁμοῦ καὶ τετράπουν κατὰ τὸ αἴνιγμα τῆς Σφιγγός, τῷ μὴ τοῖς τέσσαρσιν ἐναλλὰξ καὶ παρὰ μέρος χρῆσθαι πρὸς κίνησιν, ἀλλὰ συνδύο προϊέναι παρὰ μέρος ἑκάτερον, ἐκπλήττομαι ὅπως οἱ Αἰγύπτιοι καὶ Αἰθίοπες, οἱ καθάπερ κρείττονι φύσει τῷ ζώῳ τούτῳ προσανακείμενοι, ἐς τὴν Ρωμαίων βαδίζον ἰδεῖν ὑπέμειναν γῆν) ἀλλὰ τοῦτο μὲν ὅποι φέρει ἀναβεβλήσθω τανῦν, ἔχει γάρ τινα λόγον ἀπόρρητον ἐν συμβόλοις παραδεικνύμενον.

Ἐγὼ δὲ τί πάθω καὶ πρὸ τῶν ἀγώνων ἀποκαμών, καὶ νῦν μόλις ποτὲ ἐφαψάμενος; ἀλλὰ συλλάβοισθέ μοι πάντες ὅσοι μοι ἀπὸ τῶν αὐτῶν κρατήρων τοῦ λόγου πεπώκατε· εἰ γὰρ ἔτι περὶ τὴν τοῦ ὄρους ὑπώρειαν διατρίβοντι τὸ πνεῦμα ἐπέλιπε, τί ἂν γένωμαι τῆς ἀνόδου δραξάμενος; ὅθεν τοῦτο μὲν οὐκ ἂν ἐγχειρήσαιμι, μαινοίμην γὰρ ἄν, τῶν δὲ προπόδων ἀνθέξομαι. Καί μοι κἀνταῦθα συγκάμοιτε, καὶ ἄλλος ἄλλο τι τῷ βασιλεῖ ὥς περ ἔρανον εὐφημίας συνεισενέγκοιτε, τὸ μὲν ἐν ἤθει φιλόσοφον οἱ φιλόσοφοι, τὴν εὐγλωττίαν οἱ ῥήτορες, τὴν περὶ νόμους ἐπιστήμην οἱ τῶν νόμων ἐπήβολοι, οἱ στρατηγοὶ τὴν ἐν συμβουλίαις καὶ γνώμαις στρατηγικαῖς δύναμιν, τὴν τοῦ ἤθους ἁρμονίαν οἱ μουσικοί, οἱ ὀξεῖς καὶ ἀγχῖνοι καὶ μνήμονες τὸν ὑπερφυῆ καὶ ὑπέρνουν καὶ ἀνεπίληστον, οἱ ταχεῖς καὶ ὀξύρροποι

τὸν ἐν ταχυτῆτι βεβηκότα φρενός, ἡ νεότης τὸ πολιὸν τῆς ψυχῆς, ἡ πολιὰ τὸ τῆς διανοίας σύντονον καὶ ἀκάματον· πρὸς τούτοις καὶ τἆλλα προστιθείητε, τὴν περὶ τὰ θεῖα σοφίαν, τὴν τῆς φιλανθρωπίας πηγήν, τὴν τῆς δικαιοσύνης στάθμην, τὴν πρὸς τὰ δεινὰ μεγαλοψυχίαν, τὸ πρὸς τὰ συμπίπτοντα ἀδεές, τὸ τῆς γνώμης ἐπιεικές, τὸ τοῦ φρονήματος ἀκριβές, τὴν ἐν τῷ μεγαλοπρεπεῖ μετριότητα καὶ ἐν τῷ μετρίῳ μεγαλοπρέπειαν. Ἀλλ' ὅταν μὲν σὲ ἴδω μεγαλοπρεπῶς ἐπαιρόμενον καὶ τῷ τοῦ κράτους ἀξιώματι σεμνυνόμενον, καὶ τὴν ἀρχικὴν δημιουργοῦντα σκηνήν, ἐπὶ τῶν νεφελῶν δὲ βλέπω καθήμενον καὶ μετὰ γνόφου καὶ λαίλαπος χρηματίζοντα, καὶ θείων ἀκούειν δοκῶ φωνῶν· ὅθεν οὐδὲ τὸν ἀθέατον γνόφον εἰσέρχομαι, ἀλλὰ μετὰ τῆς γερουσίας ἵσταμαι πόρρωθεν, ἵνα μὴ τοῖς στερροῖς λόγοις ὡς λίθοις βληθῶ· ὅταν δὲ φιλοσοφοῦντα ἴδω καὶ τὴν σκηνὴν ἀποθέμενον, τὴν ἄρρητον ὁρῶ τοῦ θεοῦ συγκατάβασιν, τὸ ἀμέτρητον βάθος τῆς ταπεινώσεως· εἰ γὰρ καὶ φίλων πόδας οὐκ ἔνιψας, ἀλλὰ νοσούντων τραύματα κατεφίλησας, καὶ τοὺς μὲν λευκανθίζοντας ὄγκους ὡς μαργαρίτας ἠγάπησας, τὰ δὲ πυρρὰ τῶν οἰδημάτων ὡς τοὺς ἀνθρακώδεις λίθους καὶ πυραυγεῖς.

Τί δὲ οἱ τῷ θεῷ τοὺς τῆς ἀσκήσεως δρόμους ἰθύνοντες οὐκ ἄν μοι γένοισθε καὶ αὐτοὶ μέρος τῆς πανηγύρεως καὶ τοῦ καινοῦ τούτου ἀγῶνος συλλήπτορες; οὐχ οὗτος πρὸς μὲν τὴν πρᾶξιν ὑμᾶς ἐγείρει, πρὸς δὲ τὴν θεωρίαν πτεροῖ, καὶ τὴν μὲν πιναρὰν ὑμῶν κόμην καταφιλεῖ, τῆς δὲ πορφύρας τοὺς τρίβωνας ἀνταλλάσσεται; Καὶ σφραγίσατέ μοι τὸν λόγον τὸ Σιναῖον ὄρος, τὸ Γμαῖον, ὁ ὑψηλότατος Ἄθως, ὁ βορειότατος Ὄλυμπος, ἐφ' οἷς οὐκ ἐξενοδόχηται μέν, τοὺς δὲ ὑμῶν ἀνίπτους καὶ χαμαιεύνας πρὸς τὴν ἐν τῇ βασιλείᾳ ξενίαν εἰσκέκληκεν.

Ἀλλὰ τί δράσω, πῶς δ' ἐμαυτὸν ἐπίσχω, πῶς καθέξω τοὺς λογισμούς; ὁμοῦ γε γὰρ ἡψάμην ὅσον ἐν σκιαῖς τῶν σῶν ἐγκωμίων, καὶ τὴν γνώμην ἠλλοίωμαι, καὶ οὐκ οἶδ' ὅπως εἴπω, θεο-

φοροῦμαι, καὶ ἀκάθεκτός εἰμι τὴν ὁρμήν· ἀλλ' ἐπεὶ στέγειν τὴν θεοληψίαν οὐ δύναμαι, ἐπανακάμπτω πρὸς ἐμαυτόν, ἵνα σε θεωρήσω καὶ πρὸς ἀνθάμιλλον· ἄλλοι μὲν οὖν οἷς ἂν βούλοιντο παραμετρείτωσάν σε καὶ ἀντεξεταζέτωσαν, ἐγὼ δὲ εἰ καὶ καινήν τινα καὶ ἀνόμοιον δόξω ποιεῖν τὴν παράθεσιν, ἡλίῳ σε παρα-
φ. 111ʳ. βάλλων, σαφῆ | δώσω τὴν ὁμοιότητα.

Κάλλος ἐκείνῳ καὶ μέγεθος καὶ σχῆμα περιφερές, καὶ διπλῆ κίνησις, ἡ μὲν ὑπὲρ φύσιν, διὰ τὴν συμπεριφορὰν τοῦ παντός, ἡ δὲ κατὰ φύσιν, τὴν πρὸς ἀνατολὰς καὶ πρὸς ἑσπέραν φημί· σὺ δὲ τί; οὐχ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων; οὐ τοῦ πρώτου κάλλους μετέχων ἐπὶ τῷ τῆς ψυχῆς εἴδει; μέγεθος δέ σοι οὐ πρόσεστι νοητόν, ᾧ ψαύεις τῶν οὐρανίων στοῶν; τὸν δὲ νοῦν οὐ πρὸς κύκλον στρεφόμενος, οὐ σεαυτῷ ἴσος καὶ ὅμοιος; οὐ κέντρου μέσον, οἷον τῆς ψυχῆς ἡ πρώτη καὶ ἄτομος κίνησις, κύκλος δὲ ὁ περιέχων αὐτὴν νοῦς, γραμμὴ δὲ αἱ πρὸς ἐκείνην φέρουσαι ἀρεταί; οὐκ αὐτοκίνητος ὁ αὐτὸς καὶ ἑτεροκίνητος, νῦν μὲν ἐκ τῆς ἀνατολῆς τοῦ πρώτου ἡλίου κινούμενος, νῦν δὲ ἀπὸ τῆς ἑσπέρας, τῆς γεώδους καὶ χθαμαλῆς φύσεως; οὐκ ἐπίπνους, οὐχ ὅλος μεταπεποιημένος καὶ θεοῦ κινούμενος νεύματι; Τὰ δὲ σωματικὰ πῶς; ὡς λίαν ἀνθάμιλλα καὶ ἀνθήλια! κόμαις ἐπιχρύσοις ἀστράπτεις, χρώμασιν ἀμιμήτοις πυρσεύεις, κάλλεσιν ἀπορρήτοις αὐγάζεις, φέγγεσιν ἀμυθήτοις προλάμπεις, οὐχ ὅλος ἥλιος, οὐχ ἡλίου λαμπρότερος, φαίην ἂν ἔγωγε; εἶεν· ἀλλ' ἐκεῖνος ἁπανταχόσε φοιτᾷ, νῦν μὲν εἰς βορρᾶν ἀνιών, νῦν δὲ τὴν χειμερινὴν πρὸς νότον ἀπελαυνόμενος, καὶ τί καινόν; τοῦτο γὰρ καὶ πτηνοῦ φύσις ποιήσειεν· ἀλλ' ὁ ἡμέτερος βασιλεὺς ἀφ' ἑνὸς τῶν τῆς ἀνατολῆς σημείων, τῆς ἀρρήτου μαρμαρυγῆς πάντα πληροῖ· ἔχω δέ τι καὶ πλέον εὑρεῖν παρὰ σοί· ὅτι ὁ μὲν λοξὴν καὶ παρεγκεκλιμένην ποιεῖται τὴν κίνησιν, δίς που κατ' ὀρθὸν τῆς ἰσημερινῆς ζώνης ἱστάμενος, σοὶ δὲ ἀπλανὴς μὲν ἡ κίνησις, ὁ δὲ δρόμος ὀρθός τε καὶ ἀπαρέγ-

κλιτος· καὶ ὁ μὲν ὑπὸ γῆν διϊών, αὖθις ἐπάνεισι, σὺ δὲ ἄδυτος ἀεὶ καὶ ὑπέργειος· ἢν δ' ἅπαξ ποτὲ ἐς δυσμὰς ἥκῃς, δέδοικα μὴ τοῦ παντὸς κόσμου τοῦτο ἀφανισμὸς γενήσεται καὶ τῶν φωστήρων ἀπόσβεσις. Τὴν μὲν οὖν σύγκρισιν οὕτως ἡμεῖς καταλλήλως ἀποδεδώκαμεν, καί που διά τι καὶ νενικήκαμεν, σὺ δ' εἴης ὦ βασιλεῦ, ἐπὶ μᾶλλον φιλοσοφίας ἐρῶν καὶ ταύτῃ τὴν βασιλείαν κοσμῶν, ἣν ὁ μὲν χθόνιος χῶρος χωρεῖν οὐ δεδύνηται ἑστίαν ἔχουσαν παρὰ τῷ θεῷ, νοῦν δὲ ἔλαχεν οἰκητήριον, κἂν ταύτην κατιοῦσαν χωρήσῃς εἰς δύναμιν, αὐτός τε θεὸς γένοιο, καὶ ἡμᾶς ἐξεργάσαιο.

---

### Τοῦ αὐτοῦ, πρὸς τὸν βασιλέα Μονομάχον.

Ρευστὸς μὲν ὁ παρὼν χρόνος, ὦ μέγιστε αὐτοκράτορ, καὶ μηδεμίαν ἔχων ἕδραν ἢ παγιότητα, παροδικὰ δὲ καὶ τὰ κατ' αὐτὸν πράγματα, τῇ ἀπαύστῳ τούτου ῥοῇ παραρρέοντά τε καὶ συγκινούμενα· ἀλλ' οἱ πάλαι σοφοὶ μεγάλα τῷ λόγῳ δυνάμενοι ἔστησάν τε τὰ ἄστατα τρόπον τινὰ καὶ ἐπαγίωσαν τὰ ἀνέδραστα, δεσμὸν αὐτοῖς ἄλυτον τὰς συγγραφὰς ἐμβαλόντες. Ὅμηρός τε γὰρ ὁ πάντα εἰδὼς ῥοῆς ἔκγονα καὶ κινήσεως, ὡς αὐτός που βούλεται ἐν οἷς τὸν Ὠκεανὸν εἰσάγει γενέτην, οὐκ ἀφῆκε φυγεῖν τὰ τῆς Ἰλιάδος κακά, οὐδὲ τὸν στόλον τῶν Ἀχαιῶν, οὐδὲ τὰ τῶν βελτίστων ἡρώων ἀνδραγαθήματα, ἀλλ' ἐπέδησε τοῖς ποιήμασι πρὸς αὐτὴν τὴν φύσιν ἀντιταξάμενος· καὶ πάρεστι νῦν ὁρᾶν Ἑλένην ἁρπαζομένην, τοὺς Ἀχαιοὺς καταπλέοντας, τοὺς ἐν τῷ πολέμῳ βαλλομένους, τοὺς βάλλοντας, καὶ πάνθ' ὅσα τοῦ κακοῦ ὑπόθεσις ἤνεγκε. Καὶ Πλάτων δὲ ὁ πάντα σοφὸς καὶ τῷ δόγματι τούτῳ μᾶλλον προσθέμενος, ὡς μὴ δὲ τὸ ὂν χωρεῖν κατὰ τῶν ῥεόντων φέρεσθαι, ἀλλὰ τὸ γίγνεσθαι καὶ τὸ

ποιεῖσθαι καὶ τὸ ἀπόλλυσθαι, οὐκ εἴασε ῥυῆναι τοὺς Σωκρατικοὺς διαλόγους, οὐ τοῦ καλοῦ Φαίδρου τὰς ἐρωτικὰς ὁμιλίας, οὐ τοῦ εὐφυοῦς Θεαιτήτου τοὺς περὶ ἐπιστήμης ὅρους, οὐ τὰς περὶ ψυχῆς δόξας Σιμμίου καὶ Κέβητος, ἀλλὰ μεγίττων ἀνδρῶν γνώμας κινδυνευούσας συναπιέναι τῷ χρόνῳ καὶ λήθης ὅ φασι κρυφθῆναι βυθοῖς, ἐπέσχε τῷ λόγῳ καὶ παροδεύειν οὐ συνεχώρησε...

Νῦν οὐκ ἔστιν οὐδεὶς ὁ κρατῶν τὸ ἀκράτητον, οὐ λόγῳ πεζῷ, οὐ μέτροις τε καὶ ποιήμασιν· ἢ πάρεισί γε ἴσως πολλοί, ἀλλ' οὐ λόγος αὐτοῖς τοῦ πράγματος, ὡς μὴ δὲ λόγου αὐτοῖς ὄντος· καὶ ῥέει μὲν ὁ χρόνος ἀκάθεκτα, συρρεῖ δὲ πᾶν εἴ τι καλὸν ἐν αὐτῷ γέγονέ τε καὶ γίνεται, ὡς μὴ δὲ δόξαι γεγονέναι ποτέ. Καὶ θαυμαστόν γε σκοπῶν κατενόησα, πῶς ἐν οἷς μὲν γηραιῷ τινι ἔοικε μήτ' ὠδῖνας γενναίας ἔχοντι, μή τέ τι καινότατον ἀποτίκτοντι, Ὁμήρους εἰσάγει καὶ Πλάτωνας, ἐν οἷς δ' ἀνηβᾷν δοκεῖ καὶ ἀκμὴν ἔχειν νεότητος, καὶ παραδόξων πραγμάτων εἶναι τοκεύς, ἀντ' Ἀριστοτέλους καὶ Μενεκράτους, ὑφάντας ἀπογεννᾷ καὶ χυτρέας, καὶ δῆμόν τινα τεχνῶν πρακτικῶν ἐμπειρότατον. Εἰ γάρ τις ἀφέλῃ τὸν κόμπον τῶν ὀνομάτων καὶ τὸ πολυειδὲς τοῦ μέτρου καὶ τοῦ ῥυθμοῦ οἷς Ὅμηρος τὴν Ἰλιάδα συγγράφων ἐχρήσατο, εὑρήσει τὸ ὅλον Ἀλέξανδρον κόρην ἀρ-
φ. 112. πάσαντα|, καὶ μάχην ἐπὶ τούτῳ συγκροτηθεῖσαν, τὰ δ' ἄλλα, μύθους τινὰς καὶ σοφιστικὰ πλάσματα, ἔριν θεῶν ἑτερόδοξον, Κρόνου ῥίψιν καὶ σύντριψιν, Δία πατροφόνον καὶ τύραννον, Τιτᾶνας αὖθις γῆς παῖδας τῷ μεγίστῳ τούτῳ ἐπανισταμένους θεῷ, κεραυνοὺς οὐκ ἐκ νεφῶν ῥηγνυμένους ἀλλ' ἐκ τῆς αἰγίδος, ἴσως ἀφ' ἧς καὶ αἱ βρονταί, καὶ τὸν ἄλλον λῆρον ὃν ὁ τῆς ματαιότητος ἀνέπλασε λογισμός· ἐν στενῷ γὰρ κομιδῇ τῶν πραγμάτων καθεστηκότων καὶ τὴν ποιητικὴν οὐχ ὁρώντων μοῦσαν, παραδοξολογίαι τινὲς ἀνεπλάσθησαν, καὶ Καλλιόπη τις ἐσχεδιάσθη τῷ λόγῳ καλλιόπην διδοῦσα τῷ ποιητῇ.

Εἰ δὲ παρῆν Ὅμηρος νῦν, καὶ εἴ τις ἄλλος τῶν κατ' ἐκεῖνον,

οὐδὲ πᾶσαι ἂν ἤρκεσαν μοῦσαι ἐμπνέουσαι τῷ συγγραφεῖ τὴν σοφίαν αὐτόματον καὶ χάριν τῆς συγγραφῆς ἐνσταλάζουσαι· οὕτως καινὰ τὰ παρόντα καὶ πρὸς τὰ παρῳχηκότα τὸ ἀσύγκριτον ἔχοντα, καὶ οἶμαι μήδ' ἂν ἔτι τὸν χρόνον τοιαῦτα δυνηθῆναι τεκεῖν, κατὰ τοὺς ἅπαξ ἑαυτοὺς τῶν δρομικῶν ἐπιτείναντας καὶ τὸν τόνον τοῦ σώματος παραλύσαντας ὡς πρὸς δευτέρους ἀγῶνας μὴ ἐνεργεῖν. Τίνα δ' εἰσὶν ἃ τέτοκε νῦν; πολλὰ μὲν καὶ παράδοξα, ἀρχὴ δὲ πρώτη καὶ ὑπόθεσις, σύ.

Εὐτυχὴς δὲ ὢν πάντα καὶ θεῖος, ὦ βασιλεῦ, τοῦτο μόνον τὴν ἐμὴν γλῶτταν ἠτύχησας, οὔθ' ὑπὸ μουσῶν κινουμένην, οὔτε τινὸς ἄλλης δυνάμεως· ἀλλὰ θάρσει κἀνταῦθα· ἀντὶ γὰρ Καλλιόπης αὐτῆς καὶ μουσικῆς δάφνης αἱ τῶν παρὰ σοῦ πραγμάτων ἔσονταί μοι καινότητες, οὕτω τὸν λόγον ῥωννύουσαι, ὡς μὴ δὲ σοφίας δεῖσθαι τῆς ἔξωθεν· εἰ δὲ μηδέν τι κομψὸν εὐθὺς προβάλλεται, μὴ δέ τι γαῦρον καὶ ἐπηρμένον, μὴ κάκιζε, μὴ δ' ἀγροικίαν ἐγκάλει τῷ γράψαντι· ἱστορίας γὰρ ἁπτόμενος, χαρακτῆρα ἐπεμβάλλει κατάλληλον, τελευτῶν δὲ εἰς τοὺς σοὺς ἐπαίνους δώσει τι καὶ τῶν γλαφυρῶν καὶ ὥραν ἐχόντων χαρίεσσαν· ἀλλὰ νῦν τῆς ἱστορίας ἀπάρχεται.

Τῶν τοῦ Ῥωμανοῦ παίδων ἅτερος ἐν βαρεῖ καὶ βιαίῳ καιρῷ καὶ φύσεσι γενναίαις πρὸς ἅπερ ὁρμήσειε, τὴν αὐτοκράτορα Ῥωμαίων ἀρχὴν εἰληφώς, καὶ φύσιν μὲν ἔχων ὀξεῖαν, φρόνημα δ' οἷον ἀντιστῆναι δυνάμενον πρὸς χειμῶνα καὶ κλύδωνα, μὴ διδούσης τῆς ἡλικίας, οἰκονόμοις τισὶν ἐχρῆτο καὶ ἐπιτρόποις πρὸς τὴν τῶν ὅλων κυβέρνησιν· οὐ μὴν ὥσπερ ἕτερος ἐν εὐτυχίας μέρει τὸ τυχεῖν ἀρίστων τῆς πολιτείας ἐφόρων κρίνων καὶ λογιζόμενος, ψυχαγωγίαις ἐδίδου ἑαυτὸν καὶ ἀνέσεσι καὶ οἷς καταδουλοῦται τῆς ψυχῆς τὸ βασίλειον, ὥσπου φασὶ τὸν νεώτερον Διονύσιον τῷ συγγενεῖ Δίωνι καταπιστεύσαντα τὴν ἀρχὴν τὸ πρότερον· ἀλλὰ καὶ μᾶλλον ἤσχαλλεν, ἐδυσφόρει, τῷ ἀτελεῖ τῆς ἡλικίας ἐμέμφετο, καὶ ὅτι μὴ παρ' ὥραν ὁ τῆς φρο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

νήσεως αὐτῷ ἀνεφύη βλαστὸς ἐθυμοῦτο παραδοξότατα· καινότητα γὰρ ἐξ ἀρχῆς ἐζήτει καὶ φύσεως καὶ φρονήματος, καὶ παρ' ἡλικίαν γηράσκειν ἐμηχανᾶτο, καὶ πρὶν ἢ κώπης ἅψασθαι, οἰακοστροφεῖν, εἴ πως ἐνῆν, ἤθελεν. Ἀλλ' ἦν αὐτῷ καὶ τὸ ἐνδέον τοῦ λογισμοῦ, συμπλήρωσις τοῦ φρονήματος· οὐ γὰρ ἐπλήρου τὰ ἐνθυμήματα· ἀλλ' ἐξὸν αὐτῷ ὧν ἐζήτει τυχεῖν, οὐκ ἐβούλετο, μή τι παρὰ τὸ εἰκὸς πράξειν αἰσχυνόμενος πρὸς ἀνταγωνιστὴν οὕτω χρόνον βαρύτατόν τε καὶ δυσαπάλλακτον. Ἄρτι γὰρ αὐτῷ δύο μετὰ τὴν τοῦ πατρὸς ἡγεμονίαν βασιλειῶν καταστραφεισῶν καὶ γεγονυιῶν οὐκ ὀλίγων ἐν ἀμφοτέραις μεταβολῶν, οἳ τὴν τυχὴν ἐπὶ τὸ χεῖρον μεταλλαξάμενοι καὶ ἀντὶ τῆς προσούσης τιμῆς τὰς ἐσχάτας ἀτιμίας πάσχοντές τε καὶ ὑφιστάμενοι, καὶ μάλιστα πάντων οἱ τὸ γένος τῷ Φωκᾷ Νικηφόρῳ προσανάπτοντες, ἄνδρες Ἄρεος καὶ θούριδος ἀλκῆς μνήμονες, παράβολοί τε ἦσαν τοῖς λογισμοῖς καὶ δῆλοι πάντως τῇ Ῥωμαίων ἐπιβουλεῦσαι ἀρχῇ· ἐν οὖν τοιούτοις ὁ βασιλεὺς ἀνθήσας καιροῖς, παῖς μὲν ὢν τὴν ἡλικίαν, ἥβης δ' ἁψάμενος καὶ ταύτην αὐτῷ ὑποβάθραν ἀσφαλῆ ἐπιστασίας καὶ κυβερνήσεως λογισάμενος, αὐτὸς τῶν ὅλων ἐπεμελεῖτο πάντας ἐπιτρόπους καὶ οἰκονόμους ἐκ ποδῶν θέμενος· τύχαις δὲ ἀλλοκότοις καὶ παραδόξοις προσεντυχών, ἐντεῦθεν μᾶλλον εὐκλείας ὑπερβαλλούσης καὶ τιμῆς ἔτυχεν· οὐ γάρ, ἐπεὶ τόδε κατώρθωκεν, ἢ νενίκηκεν ὡς οὐκ ᾤετο, ἄλλο δ' εὐθὺς ἐπανέστη σφοδρότερον τοῦ νικηθέντος ἀγώνισμα, ἄνεσιν τῶν προτέρων ἀέθλων ἐζήτει, ἵν' ἀκμάζων αὖθις τοῖς δευτέροις ἀγῶσιν ἐπίθοιτο, ἀλλ' εὐθὺς ἐπιθέμενος, νίκην ἐκ νίκης ἐλάμβανε μείζονα· πολλάκις δ' αὐτῷ πρὸς ἑτέρους ἀγωνιζομένῳ, ἄλλος ἀντέπιπτε πόλεμος, καὶ ὥς περ τις ἀθλητὴς ἀμφιδέξιος ἑκατέρᾳ χειρὶ τοὺς ἑκατέρωθεν ἀμφοτέραις ἀνέστελλε βάλλοντας, ὥς που τῷ Σκληρῷ πολεμῶν ἀντέπεσεν ὁ Φωκᾶς, καὶ τὴν Σκυθῶν κακῶς ποιῶν καὶ δουλούμενος ὁ ἐκείνου βλαστός, τὴν συνήθη αὐτῷ ἐξήνεγκεν ἄκανθαν.

Βασιλικῇ δὴ μεγαλοπρεπείᾳ στρατηγικὴν ἐμπειρίαν συνάψας, ἀμφότερά τε φρονήσεως μεγαλοφυΐᾳ περιβαλών, ἐν οἷς μὲν στρατηγεῖν ἔδει βασιλικώτατα τῷ πολεμεῖν διέπρεπεν, ἐν οἷς δὲ τὸ φιλότιμον τῆς βασιλείας ἐνδείκνυσθαι, τῷ στρατηγῷ μᾶλλον ἐνεφαιδρύνετο, ὅπλοις ἐπι|χρύσοις ἀστράπτων καὶ δορυφορούμενος, οὐ σκήπτροις ἀπλήκτροις, ἀλλ' ἀσπίσι καὶ ἐπιμήκεσι δόρασιν· οὕτω δὲ πᾶν εἶδος στρατηγίας κατώρθωσε φανερᾶς τε καὶ ἀφανοῦς, ἢ μᾶλλον ἐφεῦρε καὶ ἐπενόησεν, ὡς μὴ δ' εἶναι ὅ,τι ἄν τις στρατηγικώτερον ἐνενόησεν. φ. 112ᵛ.

Ἐντεῦθέν σοι, ἡ νέα Ῥώμη, τὸ πολλῶν μὲν ἄρχειν ἐθνῶν, πολλῶν δ' ἐπικρατεῖν πόλεων καὶ τῶν θρυλλουμένων ὑπερκεῖσθαι ἐπαρχιῶν· ἐντεῦθέν σοι τὰ Ἀβατῶν κατεδουλώθη φρονήματα καὶ Σκυθῶν ὑποπέπτωκε, καὶ τἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγω, ἢ ἐν μοίρᾳ προσθήκης γέγονε, καὶ φόρους ὑποτελεῖ, ἢ παραχωρεῖ σοι τοῦ κρείττονος· ἀλλ' οὐ πρῴην οὕτως, πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἐλπίζου μὲν ὅσαι ἡμέραι, αἰεὶ δέ τι τοῦ παντὸς ὑπέσπω καὶ συνηλαύνου πρὸς τὸ στενότερον· οὕτως ἐκ στενῆς πλατεῖα, ἐκ πολεμ[ίας?] ἀπολέμητος γέγονας, καὶ τό, νέα Ῥώμη κεκλῆσθαι ἐδέξω τοῖς πράγμασιν οἷς ἐμπρέπεις, τὴν παλαιὰν ἀποκρύψασα.

Ὑπὸ τοιούτῳ καὶ σὺ βασιλεῦ, ταττόμενος βασιλεῖ, οὐκ ἀθήρατος ἦσθα βαθείᾳ γνώμῃ καὶ ὑψηλῇ, ἀλλ' ἐκ συμβόλων κατελαμβάνου, καὶ βασιλικὴν ψυχὴν εἰς χάριν προφητικὴν ἀνεκίνεις· καὶ πάρεισί γε πολλοὶ νῦν τῆς προφητείας ἀκροαταὶ καὶ τῷ λόγῳ μοι μαρτυρήσουσι, καὶ θαυμαστὸν οὐδέν· αἱ γὰρ μεγάλαι φύσεις ἐκ τῶν φαινομένων λαμβάνουσιν εἰκασίας τῶν ἀφανῶν· φασὶ δέ τοι καθῆσθαι καὶ ἐν ὀφρύσι καὶ ἐν ὀφθαλμοῖς ἀδήλων πραγμάτων τεκμήρια, τοῖς μὲν πολλοῖς ἀγνοούμενα, τοῖς ἄκροις δὲ καταλαμβανόμενα· εἰ δὲ τοῦτο οὕτως ἔχον ἐστί, τίς μὲν σοῦ συμβόλοις οὕτω πλέον ἐπεκοσμήθη καὶ σώματος καὶ ψυχῆς, τίς δ' ἐκείνου διαγνῶναι ταῦτα μᾶλλον ὀξύτερος; Ἀλλ' ἐκεῖνος

μὲν οὕτω μεγαλοπρεπέστατα χρησάμενος τῇ ἀρχῇ, ἐπὶ τέλει δὲ καὶ προφητευσάμενος, τὸ τελευταῖον τῆς φύσεως χρέος ἀπέδοτο, τῷ ἀδελφῷ Κωνσταντίνῳ τοὺς τῆς ἀρχῆς ἐγκαταλιπὼν οἴακας· ὁ δέ, καὶ ἡλικίας ὢν πρόσω, δυεῖν γὰρ πλέον ἢ ἔλαττον τῶν τοῦ ἀδελφοῦ χρόνων ἀπελιμπάνετο, καὶ μήτ' ἐρρωμένως ἔχων τοῦ σώματος, πλούτου τε ἀπείρου τὰ βασίλεια παραλαβὼν ἔμπλεα, οὐ τοῖς τοῦ ἀδελφοῦ ἐπαγωνίσασθαι ἐδοκίμασεν ἀγωνίσμασιν, οὔτε μὴν πολέμους κροτεῖν κατὰ τῶν ἀντιστατούντων ἐθνῶν ἐβουλεύσατο, ἀλλὰ χρυσοῦ πάντα ποιούμενος ὤνια καὶ λαμπροτήτων βασιλικῶν, ἐντεῦθεν τὰς τῶν ἁπάντων εὐνοίας ἐκέρδαινε, καὶ τὸ ὑπερκεῖσθαι πάντων ἐκ πολεμικῆς χειρὸς μὴ βουλόμενος, τὸ ἴσον ἔχειν ἐξ εἰρήνης ἐπιτετήδευτο. Ταὐτὸν δὲ κεκτημένος τῷ ἀδελφῷ τὸ ὀξύρροπον καὶ θυμοειδές, οὐχ ὁμοίως ἐχρῆτο· ὁ μὲν γάρ, ἐν πολέμοις τοῦτο κατεκενοῦτο, μηχανῶν τε ὢν εὑρετής, καὶ βουλευμάτων καινῶν ἀρχηγός, καὶ τῶν ἑαλωκότων τιμωρὸς ἀφειδής· ὁ δέ, δύσοργός τις ἦν καὶ πρὸς πᾶσαν ὑποψίαν δυσεκβίαστός τε καὶ δυσπαραίτητος· ἵνα γὰρ μὴ τῆς πρώτης συγχωρηθείσης τοῦ κακοῦ ἀφορμῆς, κίνδυνός τις μέγας ἐκ ταύτης ἀνακαυθῇ, τῷ ὑπαιτίῳ τὸν ἀναίτιον προσαπώλλυε.

Γήμας δὲ πρῶτα θυγατέρα τινὸς τῶν ἐν τέλει κάλλει διαπρεπῆ, καὶ καλλιτεκνότατος ἐξ αὐτῆς γεγονώς, οὐ Σκιπίωνα τεκούσης Φάβον, οὐ δὲ Τερτίαν (sic) τινὰ πυθικοῦ ἔμπλεων πνεύματος, ἀλλὰ χάριτας ὡς ἀληθῶς ταῖς θρυλλουμέναις ἐκείναις ἰσαρίθμους καὶ ἀνθαμίλλους, καὶ τῷ θείῳ τούτῳ ἀριθμῷ τὸ τῆς γονῆς περιορίσας φιλότιμον, τὴν μὲν ἀφῃρέθη θανάτου νόμῳ, τὰς δὲ θυγατέρας τροφῆς ἐν τοῖς βασιλείοις ἠξίου βασιλικῆς· καὶ τούτων τὴν πρεσβυτέραν ἀρρενωπότερον ἢ μᾶλλον θειότερόν τι φωνήσασαν, καὶ ἀγγέλων ἐντεῦθεν συναριθμηθῆναι ἐθελήσασαν τάγμασι, τὴν βασιλικὴν ὄντως στολὴν ἀμφιέννυσι καὶ τῷ θείῳ νυμφίῳ νύμφην εἰσάγει ἀκήρατον, καὶ ταῖς παστάσιν ἐγκαθιδρύει ταῖς κρείττοσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Μετὰ δὲ ταῦτα νοσήσας, ἐπεὶ ἔδοξεν ἀβιώτως ἔχειν, θατέρᾳ τῶν θυγατέρων, τῇ μείζονί τε καὶ κρείττονι κάλλει τε σώματος καὶ ψυχῆς σταθηρότητι, ἄνδρα πρωτεύοντα τότε Ῥωμαίων ἐπὶ πάσαις ἐπάγεται χάρισι· καὶ μικρὸν μετὰ ταῦτα βιώσας ἐξέλιπεν.

Ὁ δέ, εἶχε μὲν καὶ τὸ εἶδος ὡς ἀληθῶς τυραννίδος ἄξιον, μάλιστα δὲ τὴν ψυχὴν παντοίαις ἐκεκόσμητο ἀρεταῖς, καὶ τὸ ἦθος ἐπὶ τὸ πρᾳότερον μετεσκεύαστο, λόγου δὲ καὶ παιδείας οὐδεμιᾶς ἄμοιρος ἦν, ἀλλὰ τῇ πρὸς ταῦτα ἕξει τοῖς πρώτοις ἐφάμιλλος, καὶ ὅλως ἀνδρὸς ἡγεμονικοῦ καὶ πρὸ τῆς ἡγεμονίας τάξιν καὶ σχῆμα διέσωζεν. Ἐπεὶ δὲ καὶ ταύτης ἐπειλήπτο, ἔτι καὶ μᾶλλον συνεπεδίδου τῷ ἀξιώματι, καὶ πλέον ἢ πρότερον λόγου τε ἥπτετο καὶ φιλοσοφίας ἐπεμελεῖτο· βασιλικῆς δὲ κολακείας καὶ θρύψεως τοσοῦτον ἀπήλαυεν, ὅσον τῷ σώματι περισσῶς ἀμφιέννυσθαι, ἄλλης δὲ πάσης κατεφρόνει λαμπρότητος ἐν ἡδονῇ τὸ καλὸν ὁριζούσης· τὸ δὲ δίκαιον, οὐ κατὰ τοὺς κοινοὺς θεσμοὺς ἐδίωκεν, ἀλλ' ὥς περ ἐν τῇ Πλάτωνος πολιτείᾳ πολιτευόμενος, ἣν καὶ Κάτων ἐζήλωσεν· ἀπαραιτήτως τε τὸ ὀφειλόμενον εἰσεπράττετο, καὶ εὐδαπάνως τὸ χρεωστούμενον κατεβάλλετο· πρὸς τοὺς λιπαροῦντας ἢ κολακεύοντας ἄκαμπτος καὶ ὄρθιος ὤν, οὐ χαλεπαίνων, οὐ δὲ ὀργιζόμενος, ἀλλὰ τῷ ἤθει πρᾴως διατιθέμενος, τῷ στερρῷ δὲ τοῦ | λογισμοῦ φ. 113.
ἀνένδοτος μένων καὶ ἄτρεπτος. Καὶ ταῦτα μὲν πάρεργα τῆς τοῦ ἀνδρὸς ἀρετῆς, ἓν δὲ πρῶτα ἔργον ἐκείνῳ καὶ σπούδασμα, λύειν τὰ τῆς γραφῆς ἄπορα, καὶ τὸν κεκρυμμένον ἀνορύττειν νοῦν, καὶ τὸν σκοπὸν ἀνευρίσκειν τῶν αἰνιγμάτων, ὅθεν φιλοσόφοις ὡμίλει καὶ ῥήτορσι, καὶ περὶ τούτους μᾶλλον ἐσπουδάκει ἢ τὰ δημόσια.

Ἔμελλον δὲ αἱ τῶν φαύλων ὁμιλίαι τῷ τοῦ ἀνδρὸς ἤθει συνανακιρνάμεναι πλέον ἰσχύσειν τῶν ἀγαθῶν· γένος γάρ τι δουλοπρεπὲς καὶ ἐπείσακτον, πονηρὸν καὶ τὸ ἦθος καὶ τὴν διά-

νοιαν, λόγου μὲν οὐ μετεσχηκός, κακίας δὲ εἰς ἄκρον ἐληλακὸς καὶ ταύτῃ μᾶλλον γνώριμον καθεστῶς (*), τοῖς ἡμετέροις πάλαι ἐπεισφρῆσαν ἔθεσί τε καὶ πολιτεύμασιν, ἕως μὲν τῇ ἀρχαίᾳ συνεκαλύπτετο, αὐτὸ ἀφ' ἑαυτοῦ διεφθείρετο, μὴ κοινωνοῦν τῆς λύμης τοῖς πλησιάζουσιν· ἐπεὶ δέ, κατὰ τοὺς ἀρρήτους τοῦ θεοῦ λόγους, καὶ συγκλήτου μετέσχε βουλῆς, καὶ πάσης τῆς κρείττονος ἀπήλαυσε δαίμονος, συναναφαίνει τῇ τύχῃ τὴν πονηρίαν, καὶ ὥςπερ ἀπὸ ἡγεμονικοῦ μέρους τῆς τοῦ βασιλέως ψυχῆς ἀρξάμενον κατενεμήθη τὸ πᾶν. Καὶ μή τις καταγνοίη ἐκείνου κουφότητος, προδήλοις καὶ ἀσχηματίστοις τότε βασίλειον ἀνεῴξαντος καὶ αὐτὰς τὰς τῆς ψυχῆς πύλας ἀναπετάσαντος, καὶ πονηροῖς βίοις καὶ διεφθορόσι συγκοινωνήσαντος· οὐ δὲ γὰρ εὐθὺς τὴν ὅλην ἐγνώκει τοῦ γένους σειράν, ἀλλ' ἑνὶ γένει μὲν ἐκείνοις κοινωνοῦντι, τρόποις δὲ καὶ ἤθεσι διαφέροντι, ἀπορρήτων τε κοινωνήσας καὶ ἐς ψυχὴν συνανακραθείς, δι' ἐκείνου τὸ συγγενὲς ἐφειλκύσατο.

Ἐντεῦθεν γνώμαις φαύλαις συνομιλῶν καὶ διανοίαις συνδιαιτώμενος κακοήθεσι, μετεβλήθη τὴν ψυχὴν καὶ πρὸς πράξεις τὸν λογισμὸν ἠλλοίωσεν οὐ καλάς. Ἄραψί τε πόλεμον προσβαλὼν καὶ ἧτταν ἡττηθεὶς αἴσχιστον, πρὸς δὲ καὶ τὸ σῶμα νοσήσας, δύσοργός τις γέγονε καὶ μικρόλυπος, καὶ τὸ ἦθος ἀκροσφαλής, πρὸς πᾶσαν πρᾶξιν καὶ λόγον ἐξαγριούμενος· κατὰ μικρὸν δὲ τῇ νόσῳ δαπανώμενος, δῆλος ἦν πάντως τεθνήξεσθαι· τό τε γὰρ σθεναρὸν τῆς δυνάμεως καταλέλυτο, καὶ τὰ τῆς ὀρέξεως ἐπημβλύνετο, καὶ ὁ ὕπνος ἄκροις ἐφιζάνων βλεφάροις, ἐγρηγορότα ἐδίδου ἐνύπνια· καὶ τέλος λανθάνει ἐπ' αὐταῖς ταῖς θεραπείαις ἀποψύξας τοῦ σώματος· τοῦτο δέ τινι μᾶλλον κατάδηλον ἐγεγόνει, ἢ τῇ βασιλίδι τῇ καὶ νοσηλευομένῳ παρούσῃ καὶ θεραπευομένῳ τὰ ἐκ τῶν λόγων διδούσῃ παρηγορήματα· ἢ τὸν μὲν

(*) γρ. καθεστώς

ἄλλον χρόνον ἐν ᾧ τὰ τῆς θεραπείας ἦν πράγματα, τῷ ἐκείνου πάθει συνέπασχε καὶ τὸ ἴσον εἶχε τοῦ ἀρρωστήματος· τότε δὲ πάντων ἀπογνοῦσα οἷς τὸ σῶμα τεθεράπευται, μᾶλλον μὲν οὖν καὶ τὴν ψυχὴν τονώσασα ἀρρενωποῖς λογισμοῖς, οὐδὲν ἀγεννὲς ἔπαθεν, οὐ σάρκας ἐδρύψατο, οὐ κόμην ἐσπάραξεν, οὐ γοερὸν ἀνεκώκυσεν, ἀλλὰ τὰ εἰκότα θρηνήσασα τῷ νεκρῷ, τοῦ καθήκοντος γίνεται, καὶ ὅπως ἀσφαλῶς ἕξει τὰ τῆς βασιλείας λογίζεταί τε καὶ πραγματεύεται.

Ὅθεν κρύπτει τὸ γεγονός, καὶ βασιλέα τοῖς θρόνοις ἐγκαθιδρύει ὃν ἐκεῖνος τῶν ἄλλων ὑπερηγάπησέ τε καὶ προέκρινεν, ἴσως κἀν τούτῳ τιμὴν ἀφοσιουμένη τῷ ἀπελθόντι, ὅτι μὴ ἀντιθέτοις ἐκείνῳ, ἀλλ' οἷς μᾶλλον πεπίστευτο τὴν Ῥωμαίων ἡγεμονίαν ἐνεχειρίσατο, οὐκ ἀναμείνασα τὸν καιρόν, οὐ συγκλήτου ψήφους ἐκδεξαμένη, οὐ δήμου βουλήν, ἀλλὰ ταῦτά τε προλαβοῦσα καὶ ὅσα ἐν ταῖς μεταβολαῖς καινοτομεῖσθαι εἰώθασιν. Ἦν δὲ οὗτος οὐ τῶν εὐπατριδῶν, οὐ τῶν πλούτῳ κομώντων καὶ οἷς τὰ τῆς ἔξωθεν εὐγενείας χαρακτηρίζεται, ἀλλ' ἀσήμου γένους καὶ τύχης τῆς φαυλοτάτης· τῶν δὲ τῆς ψυχῆς ἀγαθῶν οὐ μάλα τις ἐνδεής· μεγαλεπήβολός τε γὰρ ἦν, καὶ νοῆσαι ὀξύτατος, καὶ ἡδονῶν ἧττον ἀπτόμενος, τό τε ἦθος χαρίεις καὶ τὸν λόγον οὐκ ἄμουσος· οὐ μεγαλοπρεπὴς δέ, οὐδὲ βασιλικώτατα διαπρέπων, ἀλλὰ χρηματιστὴς μὲν εἴπερ τις ἄλλος, ἀφιλότιμος δὲ καὶ σμικρολόγος, καὶ τὸ εὐεργετικὸν φειδωλόν τε καὶ ἄχαρι. Ἀλλ' οὗτος μέν, εἰ καὶ μὴ πᾶσι τοῖς ἀγαθοῖς, ἀλλ' ἐξ ἡμισείας τέως κεκόσμητο· οὐκ ἀδελφὰ δ' ἐφρόνουν οἱ ἀδελφοί, ἀλλ' ὅλως αἰσχροί τε ἦσαν ἀπ' αἰσχρῶν, καὶ αἰσχιόνων πατέρες ἐφαίνοντό τε καὶ ἐγινώσκοντο, ῥέκται κακῶν, τῶν ἀδικωτάτων ἐργάται πράξεων· πῶς γὰρ οὐκ ἔμελλον; ἄνδρες ἄμοιροι μὲν λόγου, ἀνήκοοι δὲ παιδείας, ἄγευστοι δὲ παντὸς ἄλλου καλοῦ, γαλακτοπόται δὲ καὶ βαλανοφάγοι, καὶ μηδὲν ἄλλο ἢ κεῖραι μὲν εἰδότες τὸ εριοφοροῦν, ἀμέλξαι δὲ οὔθατα βαρυνόμενα, καὶ

τῇ ποιμενικῇ ἐμπνεῖν σύριγγι, καὶ ἅττειν κατὰ τῆς χλόης ἀγροικικὰ μετὰ Πανός, ἢ Πριήπου, καὶ εἴ τίς ἐστι δαίμων ἕτερος τούτου τοῦ κόμματος, καὶ πρὸς τὴν ἠχὼ στρέφεσθαι καὶ ἀκκίζεσθαι ὡς πρὸς κόρην εὔηχον καὶ ἀντᾴδουσαν, καὶ καθαίρεσθαι τοῦ γράσου ἵνα μὴ ἀηδεῖς γένοιντο μαλακῇ καὶ τρυφώσῃ μείρακι· πῶς οὖν οὐκ ἔμελλον ἄνθρωποι τοσαύτης ἀνοίας μεστοὶ παρὰ πάσας ἐλπίδας τῆς ἄκρας εὐδαιμονίας ἐπιλαβόμενοι, ἄξια τῶν προτέρων ἐπιτηδευμάτων φρονῆσαι καὶ τῇ ἀγροικίᾳ καὶ πονηρίαν προσκτήσασθαι; Οἷς γὰρ περὶ τῆς τοῦ κρείττονος ἐφορείας ἀπηγροικίζοντο, μᾶλλον ἐπονηρεύοντο, ὡς μή τινος ὄντος τοῦ τιμωρήσοντος.

Ἀλλ' ἕως μὲν ὁ βασιλεὺς ἔρρωτο καὶ τῆς ἥβης ἀπέλαυε, λανθάνειν ἐμηχανῶντο καὶ μὴ προδήλως τὰ τῆς ἀδικίας ἐργάζεσθαι· ἐχαλέπαινέ τε γὰρ ἀδικοῦσιν ἐκεῖνος καὶ ἐπεξήρχετο· φ. 113ʳ. ἐπεὶ δὲ νοσεῖν ἤρξατο | καὶ τὰ τοῦ σώματος ὑπέρρει, ἢ μᾶλλον ὄγκοις ἀλλοτρίοις διῳδήκει τε καὶ ἐπηύξηται, δημοσίᾳ πράττειν τὸ κακὸν οὐκ ᾐσχύνοντο, δεδοικότες δὲ μὴ συνεξαπολήξῃ τῷ βασιλεῖ τὰ τῆς εὐτυχίας αὐτῶν, τάφρους τε πόρρωθεν ἀπεχώννυσαν καὶ ἑρκίοις ἑαυτοὺς ἐπελάμβανον, τὰ τῶν Ῥωμαίων ὅρια στοιχηδὸν ὥς περ περικυκλοῦντες καὶ πάντων φροντισταὶ καθιστάμενοι. Ἐπεὶ δ' ἐκτομίαι ὄντες ἐτύγχανον, ἑνὶ τῶν συγγενῶν τὴν ἡγεμονίαν ἐμνῶντο, καὶ τὸ τοῦ Καίσαρος περιβαλόντες ἀξίωμα, πρὸ τῶν βασιλείων πυλῶν ἔστησαν, ἵν' ἀντεπιρρεύσοι τῷ ὑπορρεύσαντι. Σὺ δὲ Κύριε ὁ ἐν οὐρανοῖς κατοικῶν ἐμυκτήριζες μὲν τὰς βουλὰς αὐτῶν, οὐκ ἤλεγχες δέ, ὅς περ σὸς νόμος, οὐδ' ἐχρῶ τῷ κολάζειν, ἀλλὰ τῷ ἀνέχεσθαι· οἱ δὲ τὴν σὴν ἀνοχὴν ἀκυβερνησίαν τοῦ παντὸς οἰόμενοι, κατὰ τὰς ἐνθυμήσεις αὐτῶν τὰς πονηρὰς ἐπορεύοντο, καὶ τῆς ἑαυτῶν ἐξήρτων βουλῆς τε καὶ σκέψεως τὰ τῆς σῆς προνοίας ἀποτελέσματα.

Εἶχε ταῦτα· καὶ ὁ μὲν βασιλεὺς ὑδέρῳ περιπεπτώκει· οὐ μὴν ἀλλά, τί γὰρ δεῖ κρύπτειν ἱστοροῦντας, οὐκ ἐπαινοῦντας;

καὶ περιοδικαῖς φρενίτισιν ἔκαμνεν, εἴτε τινὸς βασκανίᾳ δαίμονος πονηροῦ αὐτὸ δὴ τὸ τῆς ψυχῆς ἡγεμονικὸν περιτρέποντος, εἴτε τοῦ μελαντέρου καὶ γεωδεστέρου χυμοῦ ἐπὶ τὴν κεφαλὴν ἀνιόντος καὶ τὸ φρονοῦν ἀμαυροῦντος, οἷα δὴ τὰ πολλὰ γίνεσθαι εἴωθεν· ὁ μὲν οὖν ἀμφοτέρωθεν ἔκαμνε, καὶ τὸ ἐνεργὸν τῆς βασιλείας διὰ τῆς νόσου ἀποσεσύλητο, οἱ δέ, ἐκείνῳ μὲν τὸ τοῦ βασιλέως ἔσωζον ὄνομα, αὐτοὶ δὲ τῶν πραγμάτων εἴχοντο καὶ μετεκύβευον ὅποι βούλοιντο· καὶ ἅτερος μέν, ὁ τῆς ὅλης πρεσβεύων γενεᾶς, μεταγνοὺς ἐφ' οἷς ἐπεπράχει περὶ τοῦ Καίσαρος, πρὸς ἕτερον τῶν συγγενῶν ταῖς ψήφοις μετέπιπτεν, ἅτερος δὲ τοῖς ἅπαξ ἠγάπα δόξασι καὶ οὐκ ἦν ἑτεροκλινής.

Ἐν τούτῳ δὲ ἀνήρ τις, τό τε εἶδος τῶν φαυλοτάτων καὶ τὸ γένος τῶν ἀκλεῶν, τοῦ τῶν Βουλγάρων κούφου κατατρυφᾷ, καί τινα αὐτῷ ἐπιφημίσας εὐγένειαν, καὶ λόγον ἐλευθερίας ὑποβαλλόμενος πρὸς ἀποστασίαν ἐπαίρει, καὶ σπινθὴρ ἀφανὴς εἰς πῦρ ἀνακαίεται· ὅλον γὰρ τὸ ἔθνος συμφρονῆσαν λαβών, καὶ ταῖς ὁμοφροσύναις τοῦ πλήθους θαρρήσας, τὰ ἡμέτερα καινοτομεῖν ἐβούλετο ὅρια. Ζῆλος ἐντεῦθεν τῇ νόσῳ σβεννύμενος ἀνάπτει τὸν αὐτοκράτορα, καὶ ὃς μηδὲν ἐννοήσας τῶν ὅσα μαλακίζειν εἴωθε, μὴ τὴν διπλῆν δαπάνην τοῦ σώματος, μὴ τὸ τῆς ὁδοῦ μῆκος, μὴ τὸ τοῦ πολέμου δύσελπι, μὴ δ' ἄλλο μηδέν, τῆς πόλεως ἔξεισι καὶ κατὰ τοῦ ἀποστατήσαντος ἔθνους στρατεύεται, καί, ὢ τῶν κριμάτων σου Κύριε, λογίζεται, παρατάττεται, ἐλαύνει ἐφ' ἵππου νεκρός, τί γὰρ ἄλλο δεῖ λέγειν; στενοχωρίας καὶ ὀρέων κατατολμᾷ, ὁ χειρῶν ἀλλοτρίων δεόμενος πρὸς τὴν κίνησιν, νικᾷ τὸ ἀντίπαλον, ἐπάνεισιν αὖθις ἀπιστούμενος ὅτι ζῇ, ἐπεντρυφᾷ ταῖς τῶν ἑαλωκότων πομπαῖς. Λαμπρύνεται τοῖς τροπαίοις τὴν τήμερον, καὶ τὴν αὔριον τοῖς ἐξοδίοις περιστοιχίζεται· ἀπαμφιέννυται τὰ παράσημα τῆς ἀρχῆς, μεταμφιέννυται τὴν ἁλουργίδα τοῦ πνεύματος, τὸ νεκρὸν ἀποβάλλεται τῶν τριχῶν καὶ ἀναίσθητον, σταυροῦται τῷ κόσμῳ, ὁπλίζεται

τὰ νοητὰ ὅπλα, ζώννυται τὴν μάχαιραν, τῇ περικεφαλαίᾳ σκέπεται, καὶ τροπαιοφόρος ἀναίμακτος πρὸς τὸν δεσπότην χωρεῖ.

Καὶ ὁ μὲν ἀπῆλθε, τοῖς δὲ τῶν βασιλείων χειροτονηταῖς ἐντεῦθεν ἀμφιδοξία τις ἦν καὶ διχόνοια, ᾧ τινι χρὴ τὰ σκῆπτρα Ῥωμαίων ἐπιτραπῆναι· ὁ μὲν γάρ, ὑποπτεύσας τι πρὸς τὸν Καίσαρα τὸ ἐσόμενον, ἐδεδίει καὶ λάθρα τι ἐσκέπτετο, ὁ δέ, πολλὰς ἐκείνῳ πόρρωθεν προκαταβαλλόμενος χάριτας δι' ὃ πάντοτε ἔπραττεν, ἔσπευδε· καὶ τέλος νικᾷ, καὶ τὴν βασίλειον ἀρχὴν περιζώννυται, οὐκ Ἀντίοχος, οὐδὲ Σέλευκος, ἄνδρες καὶ πολεμῆσαι δεινότατοι καὶ τὸ δέον φρονῆσαι ὀξύτατοι, ἀλλ' ἀνὴρ χθές τε καὶ πρώην νῆας ἁρμόττων καὶ συμπηγνύμενος, καὶ πίτταν ἐπεμβάλλων τοῖς γόμφοις καὶ τῆς ἀσβόλης πληρούμενος, οὐκ εἶδος ἔχων τυραννικόν, οὐ φρόνημα μεγαλοπρεπές, οὐ λόγον ἔμμουσον καὶ χαρίεντα, οὐκ ἄλλο οὐδὲν τῶν οἷα ψυχὴν οἶδε καλλύνειν καὶ φύσιν σώματος· ὦ νέα Ῥώμη, καὶ γένος μεγαλοπρεπὲς καὶ ἐλεύθερον, ὦ οἱ ἀνέκαθεν βασιλεῖς, καὶ βῆμα βασιλικὸν καὶ βασίλεια, οἵαν αἰσχύνην τότε περιεβάλεσθε! οἷος ὑμῖν δαίμων ἐφθόνησε βάσκανος! πλὴν ἀλλὰ τοῦτο, εἰ μέν τις μὴ αἰτιῷτο, τῷ αὐτομάτῳ δοτέον, εἰ δὲ φιλευσεβοίη, τοῖς ἀρρήτοις τοῦ θεοῦ κρίμασιν.

Ὁ δέ, σαλευομένην ὁρῶν ἀκμὴν ἑαυτῷ τὴν ἀρχὴν καὶ πῆξιν βεβαίαν οὐκ ἔχουσαν, κρύπτει μὲν ἐν βάθει τῆς ψυχῆς τὸ κακόηθες, θεραπείαν δὲ πρὸς τὸ συγγενὲς ὑποκρίνεται καὶ ταῖς μεγίσταις λαμπρύνει τιμαῖς· ἔπειτα ῥηγνύει τὸ καταπέτασμα, τὰς πύλας τῆς καρδίας ἀναπετάννυσι, καὶ τὸν ἐκεῖσε δείκνυσιν ἐμφωλεύοντα δράκοντα, καὶ πρὸ τῶν ἄλλων ἐπὶ τοὺς οἰκείους καὶ συγγενεῖς τὸν κακίας ἰὸν ἐκκενοῖ· καὶ οὓς μὲν ὑπερορίᾳ καταδικάσας, οὓς δὲ τῶν παιδογόνων μορίων ἀποτεμόμενος ἤδη που γενειάσκοντας καὶ υἱέων ὄντας τοκεῖς, στεφανηφορεῖ καὶ λαμπρύνεται, οὐ Περσέα καθελών, οὐδ' Ἀντίγονον, οὐ δέ τι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

βάρβαρον ἀπελάσας φῦλον, ἀλλὰ τοὺς ἀφ' αἵματος ὁ δυσμενὴς καταγωνισάμενος. Σύ γε ὦ βέλτιστε, ἄνασσε γὰρ τῷ λόγῳ, σχολῇ γε τὴν ἐμὴν ἀποτέμοις κεφαλήν, κἂν ἐπίβουλός σοι φανήσομαι, ἀλλ' οὐδ' | ἀποτέμοις τὰς τρίχας κἂν ἱεροσυλήσας φανῶ, φ. 114.
ἢ δέδοικα μὴ καὶ τοὺς μαστοὺς ἐκκόψῃς, ἢ τὴν καρδίαν ἐξορύξῃς μετὰ τοῦ ἥπατος, ὅ φασι τοὺς Πέρσας διὰ ταριχείαν ἐπὶ τοὺς κατοιχομένους ποιεῖν· τύραννε καὶ μισάνθρωπε, τὰ Σικελῶν ὠδίνει, Ἰταλία πᾶσα πρὸς ἀπόστασιν κεκίνηται, καὶ σὺ ταῖς π . . . . . ἐπεμβαίνεις, καὶ ζηλοτυπεῖς τὴν γονὴν καὶ στρατεύεις κατὰ τῶν σῶν; ἀλλ' εὖ γε ποιεῖς, καὶ βάλλ' οὕτως, ἵνα παταχθῇ ὁ ἀσεβὴς διὰ σοῦ τοῦ ἁμαρτωλοῦ, εἶθ' ὕστερον ἐκζητηθῇ τὸ αἷμα αὐτοῦ ἀπὸ σοῦ· οἶδα γὰρ ὡς ὁδῷ προβαίνων, ψαύσῃ καὶ τῶν ἀψαύστων, καὶ πῶς εἴποιμι τοῦτο; Τῆς μητρὸς ὁ παῖς κατεξανέστης, μήτε νόμους ἱεροὺς αἰδεσθείς, μήθ' ὅρκους εὐλαβηθείς· ἀλλά με προφήτην ποιεῖς, πράττεις γὰρ ἃ προηγόρευσα, καὶ τῶν βασιλείων ἐξάγεις τὴν εὐγενῆ ὁ ἐπείσακτος, τὴν εὐεργετήσασαν ὁ ἀχάριστος· ὡς καλά γέ σοι τὰ τροφεῖα, καὶ μείζω τῶν εὐεργεσιῶν τὰ εὐχαριστήρια! ἀλλὰ μὴ δέδιθι· ἀνήφθη γάρ σοι ὁ τῆς πόλεως δῆμος, καὶ πᾶσα ἡλικία ξιφήρης χωρεῖ κατὰ σοῦ, καὶ ὠμῶν σου τῶν ἡπάτων ζητεῖ ἀπογεύσασθαι· σὺ δὲ νῦν πολὺς εἶ ῥέων κατ' αὐτῶν τῷ θυμῷ· αὖθις δὲ ὑποστέλλῃ καὶ δειλιᾷς, καὶ τῇδε κἀκεῖσε φοιτᾷς ἀπορούσῃ ψυχῇ, μηχανᾷ δὲ πολλά, καὶ πολυπρόσωπος γίνῃ ταῖς ὑποκρίσεσι, καὶ ἀμοιβὰς ἐπαγγέλλῃ τοῖς βοηθήσουσιν, ἀλλ' ὡς μελάμπους πεφώρασαι καὶ καταπεφρόνησαι. Ἀλλὰ πῆ φεύγεις μετὰ νῶτα βαλών, ποῖ δὲ καταφεύγεις πρὸς ὃν ἠθέτησας; οὐκ οἶδε φιλανθρωπεύεσθαι ὡς ἀεί, γίνεται πολλάκις ἀπότομος ὁ φιλάνθρωπος· σὺ δέ μοι καὶ τὴν κεφαλὴν ὑποκλίνεις τῷ ἱερεῖ, καὶ κείρῃ τὰς τρίχας καὶ δέχῃ δευτέραν παλινζωΐαν, καὶ γίνῃ φιλότιμος ἀθλητὴς ἐπὶ τοὺς τελευταίους ἀγῶνας χωρῶν, καὶ ἀπογεύῃ τῶν μυστηρίων καὶ ἐξαγορεύεις τὸ παρανόμημα, καὶ δακρυρροεῖς καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γίνῃ Μανασσῆς δεύτερος. Ἀλλ' οὐ δεκτά σοι τὰ δῶρα θεῷ, ἀλλὰ βδέλυγμα μὲν τὸ θυμίαμα, καὶ τὸ ὁλοκάρπωμά σου ὡς ῥάκος ἀποκαθημένης. Καὶ σὺ μὲν δοκεῖς ἀπηλλάχθαι, ὁ δὲ θεῖος βοᾷ καὶ τοῦ θείου σε βήματος τὸν σῦν ἀπελαύνει, καὶ θήγει τὸν δήμιον, κἀκεῖνος σχεδιάζει ἐλαύνων τὸν σίδηρον· καὶ σὺ κατὰ γῆς ἔρριψαι, καὶ τοὺς ὀφθαλμοὺς ἐκκοπεὶς ἐφ' ἡμιόνῳ πομπεύεις, ὥς περ ἧς ἄξιος· ἡ δὲ βασιλὶς αὖθις ἀνθεῖ, καὶ οὐ ζηλότυπος γίνεται κατὰ σέ, ἀλλὰ κοινωνεῖ τῶν σκήπτρων τῇ ἀδελφῇ, καὶ οἷά τις σελήνη δᾳδουχεῖ τὰ ἀνάκτορα. Δεῖται δὲ ἡλίου ἵνα λαμπροτέρου φανῇ μεταλαβοῦσα φωτός, καὶ κατὰ τοὺς ἐπιστήμονας ἀπὸ δύσεως τοῦτον ὁρᾷ προερχόμενον, οὐ λοξῷ πορείας σχήματι ὡς ἂν φυσικοὶ φήσαιεν, ἀλλ' ἀκλινεῖ καὶ ὀρθῷ· ὅθεν εἰς σύνοδόν τε ἐκείνῳ ἔρχεται καὶ παμφαὴς γίνεται καὶ τὸ οἰκεῖον αὖθις ἀπόλλυσι φῶς· οὐδὲ γὰρ ἡ μὲν πρόσγειον ἐλαύνει σφαῖραν, ὁ δὲ τὴν ὑπέργειον, ἵν' ὁ μὲν ἐσάπυξ, ἡ δ' ἐς δώδεκα κύκλους τὴν ἑαυτῆς ζώνην περιελίξηται καὶ ἀποβάλῃ τὸ φῶς καὶ πάλιν ἐνδύσηται, ἀλλ' ἀεὶ τῷ λαμπρῷ τούτῳ φωστῆρι συμπεριοδεύουσα τηλαυγής ἐστι καὶ λαμπρά.

Ἀλλὰ ταῦτα μὲν ὦ μέγιστε αὐτοκράτορ, πάρεργα τυγχάνει πονήματα, καὶ μόνον οἷα τῇ σῇ ἀκοῇ ἐντρυφήματα, ὁ δὲ λόγος ἐπὶ σέ τε χωρεῖ ἄνωθεν καὶ τῆς περὶ σὲ ἤδη ἱστορίας καὶ εὐφημίας ἀπάρχεται· καὶ πατρίδα μὲν καταλέγειν καὶ γένος, εἰ καὶ τεχνικόν ἐστιν ὑπερβήσομαι, οὔτε γὰρ πρὸς ἀγνοοῦσαν ἀκοὴν φθέγγομαι, οὔτε τοῖς ἔξωθέν σε σκιαγραφῆσαι τὸν καθ' αὑτὸν ζωγραφούμενον βούλομαι· τοῦτο δὲ τοῦ σοῦ πρώτου ἐπαίνου θεμέλιον τίθεμαι, ὅτι σοι τῆς μητρικῆς ῥαγείσης ὠδῖνος, αὐγήν τινα τοῦ νικοποιοῦ τύπου διέλαμπε τὸ μεσόφρυον, οὐκ ἐκ τριχῶν αὐτοματισθεῖσαν, ἀλλ' ἔκ τινων οἶμαι ἀκτίνων σχηματισθεῖσαν ἡλιακῶν. Οὕτως σοι ἅμα τῇ γενέσει τὰ ὑπὲρ γένεσιν καταμέμικτο, καὶ τὰ μέλλοντα προανεκηρύττετο πόρρωθεν, καὶ δι' ἑνὸς σχήματος ἀρχή σοι καὶ νίκος ἐπρυτανεύετο, καὶ πρὸ

τῶν σκήπτρων βασιλεὺς ἦσθα τροπαιοφόρος, καὶ πρὸ τῶν ἀνακτόρων ἀνακτορικῷ κοσμήματι λαμπρυνόμενος· οὕτως σοι οὐκ ἐκ λίθων ὁ σταυρὸς κατεσκεύαστο, ἀλλ' ἐκ θείων ἀκτίνων κατηύγαστο, οὐκ ἐν χρυσῷ στέμματι, ἀλλ' ἐν θείᾳ καὶ ἱερᾷ κεφαλῇ· σὺ δέ μοι ταῖς ἐν στήθεσι σεμνύνου θριξὶν ὅτι πτερῶν εἰκασίαν καὶ ῥάμφους διδόασι, καὶ τοῖς μητρικοῖς ἐπαγάλλου ὀνείρασιν οἷς πλάνη τις καὶ αὐτοματισμὸς ἕπεται ἄλογος· τούτου γάρ τί τις μεῖζον ἂν εἰπεῖν ἔχοι καὶ τηλαυγέστερον; Εἰ δὲ βούλει, τὰ μὲν σύμβολα ἄφες καὶ τὰ μηνύματα, ὅρα δέ μοι τὴν χάριν τοῦ σώματος ὅση, τὸ τῆς ψυχῆς κάλλος, καὶ ὡς πρὸς ἄλληλα ἤριζον καὶ θάτερον θατέρου ἡττᾶτο νικῶν· ἡ μὲν γὰρ ὀξεῖαν φύσιν προὐβάλλετο καὶ ἀγχίνοιαν, τὸ δέ, τὴν τοῦ προσώπου ῥοδωνιάν, τὴν τῶν ὀφθαλμῶν χάριν, τὴν τοῦ λευκοῦ πρὸς τὸ ἐρυθρὸν ἀνάχυσιν ἐφ' οἷς δεῖ καὶ ἀνάκρασιν, τὰς στιλβούσας ἀκτῖνας τῆς κεφαλῆς, οἷς τὸ μέν, ἐνίκα, τὸ δέ, οὐχ ἡττᾶτο. Ἀλλ' ἄρα ὀξὺς μὲν ἦν καὶ ἀγχίνους, ὀξύρροπος δὲ καὶ δυσκάθεκτος τὴν ὀργήν, ἢ τοῦτο μέν, οὐχί, ἧττον δὲ σπουδαστὴς ὡς τῇ φύσει θαρρῶν, ἢ καὶ τοῦτο μέν, ἄκρος, ταχὺ δ' ἀποβάλλων ἃ μεμάθηκεν; οὔμενουν, κἂν Πλάτωνες ἀντιφθέγγωνται κηρούς τινας ἀναπλάττοντες τῇ ψυχῇ ὑγροτέρους καὶ σκληροτέρους, καὶ τύπους γραμμάτων σχολῇ μὲν ἐνσημαινομένους, σχολαιότερον δὲ διαρρέοντας· οὐ γὰρ οὕτως ὁ ἡμέτερος βασιλεύς, ἀλλὰ ταχὺς μὲν ἐγγράφων τῷ κηρῷ τῆς ψυχῆς τὰ μαθήματα, ποιούμενος δ' αὐτὰ ὥσπερ ἐγκαύματα ὡς μηδέποτε ἀπαλείφεσθαι· καὶ πρὸς μὲν ὀργὴν ἀκίνητος | ὤν, πρὸς δὲ νοη- φ. 114ʳ.
μάτων ἀνάληψιν γενναίᾳ καὶ εὐκινήτῳ τῇ ψυχῇ χρώμενος· καὶ οὐχ ὥσπερ ῥεῦμα ἐλαίου ἀψοφητὶ ῥέοντος κατὰ τὸν σὸν Θεαίτητον, ἀλλ' ὥσπέρ τι ὕδωρ σφοδρότατα ῥέον καὶ τῷ ὀξεῖ τῆς φορᾶς παρασῦρον τὸ ἐνιστάμενον· καὶ σὺ μὲν τὸ εὐφυὲς τοῦτο θαύμαζέ μοι μειράκιον, καὶ φιλοσοφίας, γεωμετρίας δὲ μᾶλλον ἐπιμελούμενον, καὶ τὸν περὶ ἐπιστήμας ἀνακύκλει λόγον, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

διάστρεφε ὡς βούλει τὸ νόημα, καὶ πρόσπαιζε τῷ νέῳ ἀλλοτρίας δόξας ὑποκρινόμενος, καὶ ἐπαίνει τοὺς εἰδότας ἐν κύκλῳ μὲν ἐγγράψαι τρίγωνον, ἐν δὲ τριγώνῳ κύκλον· ἐγὼ δ' εἰ ἀπὸ τούτων βουλήσομαι τὸν ἐμὸν ἐπαινεῖν αὐτοκράτορα, ἀπὸ τῶν σκιῶν ἂν τὸν ἥλιον ἐπαινέσαιμι· οὐδὲ γὰρ ἡμέτερον, οὐδὲ θείου σκοποῦ ὅρους συντιθέναι πραγμάτων καὶ παίζειν ἐν οὐ παικτοῖς.

Ὅθεν ἐπιστήμην μὲν οὐχ ὡρίζετο εἴτε ὡς αἴσθησις, εἴτε ἄλλο τι, αὐτὸ δὲ τὸ ὑποκείμενον οὗπερ ὁ λόγος κατηγορεῖται, ἠπίστατο, οὐ κατὰ τὴν Πρωταγόρειον δόξαν, ἀλλὰ κατὰ τὴν τῶν θείων χρησμῶν ἀλήθειαν. Κύκλους δὲ γράφειν ἠπίστατο ἐν τῇ ψυχῇ τοὺς ἐξ ἀρετῶν, καὶ τούτοις τὴν ταύτης ἐγγράφων τριμέρειαν, οἷα τρίγωνον αὖθις μετήλλαττε, πῇ μὲν τὸ τριμερὲς τῇ τῶν καλλίστων πράξεων περιελίττων χρείᾳ, πῇ δὲ τὸ ἄλογον κοσμῶν τῷ λόγῳ, καὶ τὴν ἐπιθυμίαν πρὸς ἓν ἀπευθύνων τὸ ἐφετόν, καὶ τῇ τούτου δυνάμει τὰς ἀρετὰς ὁριζόμενος, καὶ τὴν ὑψηλοτέραν γεωμετρίαν ἀσκῶν· ἡ μὲν γάρ, ὡς καὶ Πρόκλος φησί, τὴν μέσην ἀπείληφε χώραν τῶν ἀμερίστων καὶ μεριστῶν, καὶ ἔστι τι χρῆμα παράλογον καὶ ἀσωματοασώματον· σὺ δὲ τὴν ἀσώματον ἐπετήδευες, κατὰ ψυχῆς γὰρ ἡ καταγραφή, καὶ γραμμὰς ῥητάς τε καὶ ἀλόγους ἐχάραττες· ἔστι γὰρ ἐν οἷς τῶν ἐπιτηδευμάτων οὐδὲ πρός τι ἐδέχου συγκριτικόν, τοῦτο γὰρ ἡ ἄλογος ὑπαινίττεται· βάσεις τε ὑπετίθεις, καὶ μεγέθη ἀνῳκοδόμεις ἀνάλογα, καὶ ταῖς κορυφαῖς εὐθείας τινὰς ἀπῃώρεις ἵνα σοι στερρὸν τὸ δοκούμενον γίνηται· κἀντεῦθεν κινούμενος τοὺς ὁμοκέντρους καὶ ἑτεροκέντρους κύκλους ἠπίστασο, καὶ τὰς τῶν φωστήρων περιόδους ἠκριβολόγεις εἴτε κατ' ἔκκεντρον, εἴτε καθ' ὁμόκεντρον τὴν οἰκείαν ἀποτελοῦσι περιστροφήν, εἰ ἐπὶ τῶν κατεστηριγμένων ζωδίων κινοῖτο ὁ ἥλιος, ἢ τοῦ ζωδιακοῦ κύκλου κατώτερον φέρεται, καὶ εἰ διαλάττει τὴν κίνησιν, καὶ εἰ μὴ διαλλάττει, πῶς ἐνισοταχής ἐστιν. Οὕτω σοι πάντα τῇ φύσει

ἐσχεδιάζετο καθ' ὑψηλοτέρους μάλιστα λόγους καὶ κρείττονας· ὁμοκέντρους τε γὰρ κύκλους ὠνόμαζες οἷς ἡ αὐτὴ τοῦ καλοῦ καὶ πρώτη ἀφορμή, ἑτεροκέντρους δὲ τοὺς ἀπ' ἄλλης αἰτίας πράξεις ἑλίττοντας, καὶ φωστῆρας τοὺς καθ' ἡμᾶς ἐνεργητικοὺς λόγους νοῶν ἑώρας ἰσοταχῶς μὲν κινουμένους, τὸ δὲ ἀνιὸν ταῖς παραχρήσεσιν ἔχοντας, καὶ ἐφ' ὕψους μὲν τοῦ νοὸς διατρέχοντας, ἔστι δ' ὅτε καὶ ὑποτρέχοντας, ὁπηνίκα τὰ ἄλογα τῆς ψυχῆς ὑπερνικῶσιν εἴδωλα. Οὕτω πρακτικαῖς ἀλληγορίαις ἡρμήνευες τὰ νοήματα, καὶ ἥκιστα λόγου δεόμενος σκοπῶν ὑπανῆγες τοὺς τελουμένους πρὸς τὰ θειότερα.

Τί οὖν ἐντεῦθεν; πάντες σοι προσεῖχον ὡς κρείττονι καὶ ἀπὸ σοῦ προεφήτευον· οὐ γὰρ μάτην ᾤοντο τοσαύτην σοι καταβεβλῆσθαι σύνεσιν, εἰ μή τι μεῖζον ὁ καταβαλλόμενος οἰκονομεῖν ἔμελλεν· ὅθεν ἐν τοῖς ἁπάντων ἔκεισο στόμασι, καὶ οὐδὲ ὑπνώττων ἀπῆς, ἀλλὰ κἂν τοῖς ὀνείρασι τούτοις παρίστασο, ἢ ὑψιπετεῖ σκεπόμενος αἰετῷ, ἢ στεφανηφορῶν, ἢ λέουσι βασιλικώτατα φυλασσόμενος. Ἐπεὶ δὲ δεινὸς ὁ τηνικαῦτα τὰ σκῆπτρα διέπων Ρωμαίων ὑποψίαν τε λαβεῖν καὶ τιμωρίαις εὐθὺς χρήσασθαι, πλανᾷ τοῦτον ὁ θεός, καὶ τὸν Ἰωσὴφ σὲ ἀφεὶς τιμωρεῖται τὸν Ἰακώβ, τὴν χρυσῆν ἐκείνην καὶ θεοειδῆ ψυχήν· οὕτως σοῦ μᾶλλον ἢ τοῦ πατρὸς ἐφείδετο ὁ θεός, ἢ κἀκείνου μᾶλλον ἀρρήτοις τρόποις ἐκήδετο καὶ βασιλείαν ἡτοίμαζεν οὐρανῶν διὰ τῆς ἐνταῦθα κακώσεως· οὐκ ἔμελλες δὲ πάντη ἄβλητος τῷ φθόνῳ γενήσεσθαι, οὐδὲ τοὺς πάντων διαλαθεῖν ὀφθαλμούς, οὐδ' ἄνευ καμάτου καὶ πόνου τὸ τῆς βασιλείας γέρας λαβεῖν, ἵνα μὴ χάρις σοι τὸ πρᾶγμα δόξῃ, ἀλλὰ ἀντίδοσις.

Ἐπεὶ γὰρ ὁ μὲν πατὴρ πρὸς τὸ θεῖον ἀπῆλθε βασίλειον, αὐτὸς δὲ οἷα νῦν φωστὴρ τοῖς συγκλητικοῖς διέλαμπες ἄστρασιν, ἡ δὲ βασιλεία Ρωμαίων πρὸς φαύλους τινὰς μετέπεσεν ἄρχοντας, θείους μὲν ἀγνοοῦντας νόμους, καὶ ὡς ἀμετάτρεπτα τῆς προνοίας τὰ δόγματα, ὑπερορίαν πρὸ τῶν ἄλλων καταδι-

κάζῃ, καὶ νῆσός σε φαύλη, διὰ σὲ δὲ ὄλβιος Βαβυλὼν ἢ νέον Βυζάντιον, πολιοῦχον τάχα καὶ οἰκιστὴν δέχεται, καὶ γίνῃ κατάκριτος τῶν πάντων ὁ πρόκριτος, καὶ καρτερεῖς παροράσεις καὶ κακοπαθείας ἀνέχῃ, καὶ ὄρη τινὰ ἀνεπλάττου τοῖς λογισμοῖς ὑφ' οἷς κρυβήσῃ φυγών, καὶ σταθμὸν ἔσχατον ἐπεζήτεις, καὶ σχισμὰς πετρῶν ἐνενόεις, καὶ τὰς χρυσᾶς τέμνειν τρίχας προεθυμοῦ, καὶ τοῖς συμβόλοις ἐπεμέμφου, καὶ τῶν πλεονεκτημάτων κατεβόας τῶν σῶν. Ἀλλ' ἄρα, ὦ θεία καὶ βασιλικὴ κεφαλή, τούτοις ἀλύων τοῖς λογισμοῖς, ἔσχες τὸν θεραπεύοντα καὶ λόγοις παρηγοροῦντα τῆς ψυχῆς τὸ λυπούμενον, καὶ ἱστορίαις καὶ παραδείγμασι πρὸς τὸ εὔθυμον ἐπανάγοντα; ἢ καὶ τοῦτο μετὰ πάντων τὸ ἀπαραμύθητον ἐκαρτέρεις; αἴθε παρῆν ἐγὼ τῇ νήσῳ, αἴθε συμπαρεκαθήμην ὀδυνωμένῳ καὶ σκυθρωπάζοντι, καὶ τὸ δύσθυμον ἀπήλαυνον πρὸς τὸ εὔελπι, τὴν τοῦ Ἰωσὴφ καταλέγων αἰχμαλωσίαν, τὴν εἱρκτήν, τὰ δεσμά, καὶ ὡς ἐκ τῶν ἐναντίων τὸ τῆς βασιλείας αὐτῷ κράτος ἐγένετο, πρὸς τούτοις τὴν ἐν τοῖς ποιμνίοις ζωὴν τοῦ Δαβίδ, τὴν δίωξιν, τοὺς πολλοὺς ἐκείνους κινδύνους οἷς οὐχ ἥλω περιπεσών, καὶ τὰ λοιπὰ τῶν βασιλέων τοιουτότροπα παραδείγματα! Ἆρα δὲ μετὰ τοὺς πολλοὺς στεναγμοὺς οὓς ἔστενες, μετὰ τὴν τῶν δακρύων ῥοήν, οὐκ ηὐγάζετό σοι παρὰ θεοῦ ἡ ψυχή, οὐδ' ἐφαρμάσσετο εὐσυμβόλοις ὀνείρασι τὰ παθήματα, ἢ τισιν ἄλλαις ὁράσεσι; Μὴ ἀποκρύψῃς τὸν λόγον, ὦ βασιλεῦ, περιβόητον γὰρ τὸ γεγονὸς γέγονε καὶ παρὰ πᾶσιν ᾄδεται στόμασιν· εἰ δὲ σὺ σιωπᾷς, ἐγὼ τοῦτο κεκράξομαι.

Πρὸς οὐρανὸν εἶχες τὰ ὄμματα, καὶ τὴν ποικίλην τῶν ἄστρων
φ. 115. χορείαν ἐθαύ|μαζες, καὶ τὸν δημιουργὸν ἀνύμνεις θεόν, τάχα δή που καὶ διηπόρεις ταῦτα δὴ τὰ ζητούμενα, πέπηκταί που τὰ ἄστρα, ἢ ἀπηώρηται, ταὐτομεγέθη πάντα καὶ ἰσοφανῆ, ἢ τὰ μέν, ἐλάττονα, τὰ δέ, μείζονα; ἐπιμήκη, ἢ κυκλικά, πολλῷ ἀπέχοντα τῷ διαστήματι, ἢ πλησιάζοντα; τὰ πλείω τούτων

καὶ τῆς γῆς μείζω ὡς Ἀριστοτέλης φησίν, ἢ κέντρῳ τινὶ πρὸς ἐκείνην τὰ πάντα ἔοικεν; ἔπειτα πρὸς ἓν τούτων πήξας τὸν ὀφθαλμὸν « νῦν, ἔφης, γνώσομαι, εἰ κατὰ τὸ ῥῆμα ὃ ἐλάλησε Κύριος ἔσται μοι », καὶ σύμβολον τῆς βασιλείας τὴν ἐκείνου κίνησιν καὶ ῥίψιν ποιεῖς, καὶ ὢ τῶν ἀρρήτων σου κριμάτων Κύριε, ὢ τῆς πάντα νοῦν ὑπερεχούσης σου σοφίας καὶ δυνάμεως, ἀκοντίζεται τὸ ἄστρον εὐθὺς ἐξ οὐρανοῦ ὥς περ τινὸς ὤσαντος καὶ κενὸν ἀφῆκε τὸν τόπον ἐφ' οὗ βεβηκὸς ἦν, καὶ σοὶ τὸν οἰωνὸν δέδωκε τηλαυγέστατον. Καὶ μή μοι κενοφώνει φυσικώτατα, Ἀριστότελες, ὡς τῶν ἄστρων οὐδὲν τὴν οἰκείαν ἕδραν ἀφίησιν· ἀλλ' αὐτὰ δὴ τὰ δοκοῦντα δίκην ῥεύματος χεῖσθαι καὶ φέρεσθαι τοῦ αἰθερίου πυρός εἰσιν ἀποσπάσματα πρὸς τὸ κάταντες· φύσεως γάρ μοι λέγεις ἀκολουθίαν οὐκ ἀπορρήτου δυνάμεως ἀποτέλεσμα· φύσει μὲν γὰρ τὰ ἄστρα οὔτε ῥιπτεῖται, οὔτε πρὸς τὸ κάταντες φέρεται, ἀλλ' ὅταν δόξῃ τῷ δημιουργήσαντι λόγῳ, καὶ σβέννυται καὶ ἀπόλλυται, καὶ τῆς οἰκείας περιόδου ἐξίσταται. Οὐ παύεται ὁ ἥλιος τῆς κινήσεως, ἀλλ' ἔστη ποτὲ κατὰ Γαβαὼν ἵν' ὁ Ἰσραὴλ νικήσῃ καὶ πανωλεθρίᾳ φονευθῇ τὸ ἀλλόφυλον.

Ἀλλὰ τοῦτο μὲν οὕτως, καὶ μάρτυρες πολλῶν ὀφθαλμοί, καὶ πρὸ τούτων σύ. Ἐκεῖνο δὲ καὶ λίαν θαυμάσιον· κυροῦται κατὰ σοῦ παρὰ τῶν πονηρῶν ἡγεμόνων πονηρότατον βούλευμα· πῶς εἴποιμι τοῦτο; πῶς καρτερήσω λαλῶν; ἐκκοπὴ τῶν σῶν ὀφθαλμῶν τὸ βουλευθὲν ἦν, ταὐτὸν δὲ εἰπεῖν σβέσις τῶν οὐρανίων φωστήρων καὶ σύγχυσις τοῦ παντός· ὁ δήμιος εὐτρεπής, ἡ ναῦς ἕτοιμος, τὸ πνεῦμα ἐπίφορον, τὸ ἱστίον ἐπτέρωτο, ἐπὶ μέσου πελάγους τὸ σκάφος, ἐν ἐλπίσι τε ὁ λιμήν, καὶ ὁ σίδηρος ἐν χερσί, τί οὖν γίνεται; αἰθρίας οὔσης, ἐπεισβάλλει ἄφνω ἀπαρκτίας λαμπρός, καὶ θαυματουργεῖται πρᾶγμα μεῖζον λόγου καὶ ἐνθυμήματος· ἐγείρεται ἐφ' ὕψους ἡ θάλασσα, ἀνάγει τὴν ναῦν ἐπὶ μετέωρον, ἔπειθ' ὑποδραμόντος τοῦ κύματος εἰς χάσμα διαρρα-

γεῖσα αὐτοῖς ἱστίοις καὶ οἴαξιν ἀναρροιβδήσασα ὥς περ ἄμπωτις τοῖς βάθεσιν ἐναπέκρυψε. Τί οὖν τούτου μεῖζον ἂν ἢ θαυμασιώτερον γένοιτο τῆς περὶ σὲ τοῦ θεοῦ προνοίας τεκμήριον; σὺ δέ μοι σκυθρώπαζε καὶ κατηφὴς ἔσο καὶ ἀπογίνωσκε, καὶ τὴν Σιὼν περινόει, ἢ τὸ Καρμήλιον ὄρος ἵν' ἐκεῖ κρυβήσῃ γενόμενος· διὰ ταῦτα γάρ σοι τὸ ἄστρον ἐχεῖτο, ὁ ἀπαρκτίας ἐσχεδιάζετο, ἡ θάλασσα ἵστατο, ἡ ναῦς ἐβιάζετο, ὁ δήμιος, ἵνα σὺ τὴν ἔρημον οἰκήσῃς καὶ γένῃ ὡς στρουθίον μονάζον ἐπὶ δώματος; ἀλλὰ μέλει τὰ γενησόμενα· τοιοῦτόν ἐστι τὸ θεῖον, οὐκ εὐθὺς ἃ ὑπισχνεῖται δίδωσιν, ἀλλὰ τὰς μὲν ἐπαγγελίας οὐκ ἀναλύει, δοκιμάζει δὲ προαίρεσιν, καὶ τὸ μακρόθυμον ἀποδέχεται· ἐπράχθη ταῦτα, καὶ ὁ οὐρανὸς καὶ ἡ θάλασσα τῆς τοῦ θεοῦ βουλῆς ᾔσθετο, ὁ δὲ τετράρχης Ἡρώδης ἐτύφλωττε, καὶ τὸν ἄνεμον ᾐτιᾶτο σφοδρότερον τῇ νηῒ ἐπαρράξαντα.

Εἶτα τί; πληροῖ τὸν τῆς ζωῆς ὅρον ὁ βασιλεύς, ἀνίσταται ἕτερος ἐκ τῆς αὐτῆς φυλῆς τε καὶ αἵματος, εὐθὺς ἀχαριστεῖ πρὸς τοὺς εὐεργέτας, τὸ πολύαρχον εἰς μοναρχίαν κατακλείει τυραννικήν, κακοῦ κακὸν ἀλλαξάμενος· οὐχ ἡσυχάζει ἡ δίκη, ἀνάπτει τοὺς ἄνθρακας, πέμπει τὸ βέλος, πίπτει ὁ πονηρός, συμπίπτει πᾶν εἴ τι σφαλερώτατα ὑπηρείδετο, λάμπει καὶ αὖθις ἡ βασιλίς, καὶ ἦν σελήνη μὴ ἔχουσα ἥλιον· γῆς ἐζητεῖτο φωστήρ, καὶ τοῦτον εἶχέ σε ἡ Μιτυλήνη· τριήρεις οὖν σοι εὐθὺς ἐπέμποντο καὶ τὰ παράσημα τῆς ἀρχῆς.

Ἡ δὲ πόλις αἰσθομένη τοῦ πράγματος ἆρ' ἐκαρτέρησεν, ἢ μερισθεῖσα ταῖς γνώμαις ἐφ' ἡμισείας σοι προσερρύη καὶ προσυπήντησεν; οὔμενουν· ἀλλὰ πᾶσα χυθεῖσα τῆς σῆς θέας ἀπέλαυε, καὶ δεσπότην ἐκάλει, καὶ κατήπειγε τὴν εἰσέλευσιν· γίνεται οὖν φωστήρων ἐπὶ γῆς σύνοδος, καὶ ἀντιλάμπεις φανεὶς τῇ σελήνῃ, καὶ δεικνύεις ὅσον ἀμφοῖν τοῦ φωτὸς τὸ διάφορον.

Εὐθὺς οὖν οὐχ ἡδοναῖς σεαυτὸν δέδωκας, εἰ μή πού τις ἡδονὰς λέγει τὰς πρὸς τὸ ὑπήκοον χάριτας καὶ τῶν εὐεργετημάτων

τὸ ἄφθονον· τοῦτο γάρ σοι καὶ ψυχαγωγία καὶ θυμῆρες ἐντρύφημα· οὐδὲ γὰρ ἅπαξ ἀνοίξας τοὺς θησαυροὺς αὖθις συνέκλεισας, ἀλλὰ μᾶλλον ἐπεμβάλλεις τῷ ῥεύματι, καὶ τοὺς κρουνοὺς αὔξεις καὶ κατακλύζεις τοὺς ἐπαντλοῦντας, καὶ γίνῃ χρυσόρειθρος Πακτωλός, καὶ οὐ βασκαίνεις τοῦ νάματος τοῖς ἀρύουσιν· οὐ γὰρ ὥς περ ἕτεροι μεταποιεῖς τὰ βασίλεια, καὶ καινοτομεῖς τὰ πολλὰ πράγματα, καὶ νέους καθιστᾷς τῶν δημοσίων ἐπιμελητάς τε καὶ σπουδαστάς, ἵν' ἐκπλήξῃς ταῖς μεταποιήσεσι, καὶ ὕποπτος δόξῃς πρὸς ἅπαντας, καὶ καινοποιός, ἀλλὰ τηρεῖς μὲν ἀδιάπτωτον τὸ σχῆμα τῆς πολιτείας, οὐ μεταλλάττεις δὲ τοὺς τῶν κοινῶν φροντιστάς, μᾶλλον μὲν οὖν λαμπρύνεις, καὶ ταῖς προσούσαις δόξαις τε καὶ τιμαῖς ἑτέρας προστίθῃς, καὶ ὅσα ταῖς τῶν ἀνέκαθεν βασιλέων κατὰ μέρος κατεκοσμήθησαν εὐκλείαις τε καὶ λαμπρότησι διὰ μιᾶς φιλοτιμίας τῆς σῆς ἐσάπαξ γεγονυίας ἀπέκρυψας.

Ἀλλ' ἴσως ψυχὴ μέσως ἔχουσα πονηρίας καὶ ἀρετῆς, καὶ μὴ τὴν θατέραν τοῦ κακοῦ ἕξιν ἄμικτον φέρουσα, οἷς εὖ πάσχει καὶ φιλανθρώπων τυγχάνει, ταπεινοῖ μὲν τὸ κακόηθες, τὸν δὲ εὐεργέτην κηρύττει, καὶ πρὸς τὰς ἐκείνου οὐκ ἐξαγριαίνεται χάριτας· εἰ δέ τις ἐστὶ μόνον κακός, ἐχιδνῶν πάντως τε γέννημα, κἂν θάλασσα | τούτῳ ῥαγῇ, κἂν πέτρα βλύσῃ κρουνούς, φ. 115ᵛ.
κἂν ποταμὸς πεδήσῃ τὰ ῥεύματα, κἂν ἐξ οὐρανοῦ κατενεχθῇ τροφὴ δαψιλὴς καὶ αὐτόματος, κἂν εἰς μαθητείαν κληθῇ καὶ πνεύματος μυστηρίων ἀξιωθῇ, οὐ λογίζεται τὰς εὐεργεσίας, τοῦ δοτῆρος καταγογγύζει, μόσχον αὐτοματίζει θεόν, ζητεῖ πλησμονὰς ἑτέρας, ἢ δυσμεναίνει τῷ διδασκάλῳ, καὶ νιπτόμενος οὐ καθαίρεται, ἀλλὰ μᾶλλον ῥυπαίνεται, καὶ προδίδωσι, καὶ τιμὴν λαμβάνει τοῦ ἀτιμήματος, καὶ μεταμέλεται μέν, ἀπογινώσκει δέ, καὶ τῇ κακίᾳ συναποθνήσκει ὥσπερ ὁ παλαιὸς Ἰὴλ καὶ ὁ ἐκείνου βλαστός· ὧν εἷς καὶ ὁ καθ' ἡμᾶς ἐγεγόνει Δαθὰν ἢ Ἀβειρὼν τὴν προαίρεσιν, τὸ τῆς ἑῴας ἕσπερον θρέμμα καὶ

ζοφερόν, ὁ τῆς ἀπωλείας υἱός, ἡ πρόδρομος τοῦ Ἀντιχρίστου ψυχή, ἐκ τῶν αἰσχίστων καὶ ὧν ἐνθουσιαστικώτατα ἐμεμήνει γνωριζόμενος καὶ καλούμενος, ὁ Ἀσσύριος νοῦς, ἡ ἐπηρμένη φύσις καὶ ὑπερήφανος, ὁ τοῦ σκότους προστάτης, ὁ τὸν αὐτοῦ μὲν θρόνον ἐπὶ τῶν νεφελῶν θεῖναι διανοηθείς, ἀντιταχθῆναι δέ σοι τῷ υἱῷ τοῦ ὑψίστου ἀλαζονικώτατα βουληθείς, καὶ ἀντὶ τοῦ ἑωσφόρος, καλεῖσθαι σκότος, ἤ τι ἄλλο τῶν ζοφωδεστέρων γενόμενος καὶ λεγόμενος.

Καὶ τούτῳ καὶ πέτρα ἔβλυσε νάματα, ἡ στερρὰ τοῦ βασιλέως ψυχὴ εὐεργεσίας καὶ χάριτας, καὶ ἡ πᾶν εἴ τι καλὸν βλύζουσα γῆ ἤνοικτο εἰς κατοίκησιν, τί δὴ λέγω; τούτῳ τῷ πονηρῷ καὶ ἀνοσίῳ τὰ κράτιστα τῶν ἡμετέρων ταγμάτων τε καὶ δυνάμεων ὥςπερ τινὶ σατράπῃ, ἢ πρωτοστρατήγῳ ὑπέκειτο, οὐ διὰ μέσων ἑτέρων τὰ τοῦ βασιλέως διαπορθμεύοντι δόγματα ὥς που τῷ ἐκείνου πατρί, ἀλλ' εἴπερ ἐβούλετο, αὐτόπτης τε ἂν ἦν ἀεὶ τοῦ ἀνακτορικοῦ βήματος καὶ τῶν θείων θεσπισμάτων αὐτήκοος· ἀλλ' οὐκ ἐβούλετο. Ἀλλὰ κινεῖ μὲν Ἰταλίαν πᾶσαν καθ' ἡμῶν ἧς ἄρχειν κατεδικάσθη, οὕτω γὰρ ἐγὼ τὴν ἐκείνου ζώνην καλῶ, ὑποσπᾷ δὲ καὶ τῆς παλαιᾶς Ῥώμης οὐκ ὀλίγην ἱππικήν τε καὶ πεζικὴν δύναμιν, συνάπτει τούτοις καὶ τῆς ἑῴας τὸ κράτιστον στράτευμα, καὶ τῆς Ῥωσικῆς μοίρας οὐκ ἐλάχιστον, καὶ ἀνυπόστατος τοῖς πλήθεσι γίνεται καὶ ταῖς εἰς τὸ πολεμεῖν ἐμπειρίαις· ὅθεν κατατολμᾷ τοῦ πελάγους, ἐν τοῖς τῶν Βουλγάρων ὁρίοις γίνεται, καὶ φόρων ἀνέσεις εὐθὺς πρυτανεύεται· συμβάλλει τῷ τῆς δύσεως στρατηγῷ, νικᾷ, τροπαιοφόρος ἐπάνεισι, σοβαρώτερος τῷ εὐτυχήματι γίνεται καὶ τὰ τοῦ Καπανέως μιμεῖται· τί τὰ ἐπὶ τούτοις; Συλλέγεται τὰ ἡμέτερα τάγματα ἐκ παντὸς ἔθνους καὶ πόλεως, ἵσταται εἰς συνασπισμόν, οὐκ Αἴλιον εὐτυχοῦντα στρατηγόν, οὐ Περσέα, οὐ Βροῦτον, ἄνδρας θυμοειδεῖς καὶ θρασεῖς, ἀλλά τινα Γερήνιον Νέστορα ἢ Ὀδυσέα τὸν ποικιλόφρονα, οἷς ἀντὶ ξίφους ὁ νοῦς,

ἀντ' ἀσπίδος ὁ λογισμός, ἀντὶ θυρεοῦ τῶν μηχανῶν αἱ κατασκευαί· ταῦτα δὴ τὰ ὅπλα ἐκεῖνος ὥπλιστο, τούτοις πρὸς τὸ ἀντίπαλον ἀντετάττετο, βουλευόμενος, μηχανώμενος, διεγείρων λόγοις παρακλητικοῖς τὸ στρατόπεδον, ἐλαύνων τὸν ἵππον διὰ παντὸς τοῦ στρατεύματος, αὐτὸς τῶν ὅλων προκινδυνεύων.

Εἶτα τί; κλέπτει τὴν ἔφοδον ὁ ἐχθρός, ἀναφαίνεται σὺν μυριάσιν ἱππέων, συρρήγνυται ταῖς ἡμετέραις δυνάμεσιν αὐτὸς καὶ στρατηγῶν καὶ μαχόμενος, καὶ γὰρ ἦν κατ' ἀμφότερα ἀμφιδέξιος, φόνον πλεῖστον εἰργάζετο, νικᾷ τῷ πλείονι μέρει· τί γὰρ δεῖ μηκύνειν δὶς περὶ τῶν αὐτῶν ἐγγράφοντας; κατὰ τοῦ χάρακος ἵεται, ἐπὶ τὸν ἡμέτερον βουληφόρον ὁρμᾷ, οὐ τὴν τοῦ πολέμου ῥοπὴν ὑποπτήξαντα, ἀλλ' ἀπτόητον ἑστηκότα καὶ ἄτρεστον, καὶ τὸν στρατὸν διεγείροντα· γίνεται οὖν πρᾶγμα παράδοξον· πίπτει νεκρὸς ἄϐλητος ὁ ἐχθρός, ὥς τινος ὤσαντος ἢ καιριώτατα πλήξαντος· καὶ παρευθὺ κλίνει τὰ τῆς μάχης, συνίσταται τὸ διαρραγέν, θυμοῦται τὸ φοϐηθέν, νικᾷ τὸ ἡττώμενον.

Ὁρᾷς, ὦ βασιλεῦ, οἷα τὰ σά, οὐκ ἀκολουθίᾳ δουλεύοντα, ἀλλ' ὑπὲρ φύσιν καὶ λόγου τυγχάνοντα δύναμιν; τί οὐκ ἂν εἶπεν εἰ παρῆν Ὅμηρος νῦν; πόσας ἄν μοι δοκῇς Ἰλιάδας συνθεῖναι καὶ παραδοξότερον φθέγξασθαι τὰ παράδοξα; ὃς γὰρ Ἀχιλλέως τὸν Ἕκτορα τρώσαντός τε καὶ κτείναντος, ὡς αὐτὸς διαρρήδην βοᾷ, τῇ Ἀθηνᾷ τὸν φόνον χαρίσασθαι οὐκ ἐφείσατο, ποίαν οὐκ ἂν ἐντεῦθεν παραδοξολογίαν ἐκίνησεν; Ἀλλ' ἡμεῖς γε οὐκ οἴκοθεν ἀναπλάττειν βουλόμεθα, οὐδ' Ἀθηνᾶς τινας προσάγειν τῷ λόγῳ καὶ πλάνας ἐπικυκλεῖν τοῖς συγγράμμασιν, ἀλλ' αὐτὰ δή που φθεγγόμεθα ἃ πάντες ἤκουσάν τε καὶ ἐθεάσαντο· οἱ μὲν γὰρ ἄστρον τι τῶν ἀσυνήθων ἐπὶ τὴν κεφαλὴν εἶδον χυθὲν τοῦ ἐχθροῦ καὶ θροῆσαν αὐτόν, τοῦ φωστῆρος ἀκμὴν τὸν δυτικὸν οὐχ ὑπελθόντος ὁρίζοντα· οἱ δ' αὐτοῦ βοῶντος ἐπήσθοντο, « ὑφ' ἱππότου τέτρωμαι, ἱππότης με ἀναιρεῖ, ἱππότης

με πλήξας καιρίως ἀπῆλθεν· ἵππος αὐτῷ καὶ ἐσθὴς τὰ πάντα λευκά»· ἐγὼ δὲ οὐκ ἄλλο παρὰ τὸν ἱππότην τὸ ἄστρον φημί, ἀλλ' ἄγγελον μὲν εἶναι τὸ φανὲν τίθεμαι, διττὴν δὲ παρασχεῖν φαντασίαν, ἵνα καὶ τὸ λαμπρὸν παραστήσῃ τῆς φύσεως καὶ τὸ οἰκεῖον σχῆμα τῷ πολέμῳ ἐνδείξηται. Τοῦτό σοι τάχα τὸ ἄστρον καὶ πάλαι ἐθεᾶτο ἐν οὐρανῷ καὶ διστάζοντός σου ἐπιστοῦτο τὸν λογισμόν, τοῦτο καὶ αὖθις κατ' εὐθεῖαν τοῦ δυσμενοῦς ἔστη τῆς κεφαλῆς, διαπρυσίως τὴν κρείττω συμμαχίαν φθεγγόμενον.

Γεγόνασι πολλάκις, ὦ βασιλεῦ, ἀνελπίστων πραγμάτων μεταβολαί, ἀλλ' οὐκ ἐπισημήναντος οὕτω τοῦ κρείττονος, εἰ μή πού τις τὰ Ἰσραηλιτικὰ φήσειε κατορθώματα, οἷς ἐγὼ τὰ σὰ ἀντιθεῖναι οὐκ ἂν ὀκνήσαιμι· διέστη τοῖς Ἰσραηλίταις ἡ ἐρυθρὰ καὶ ποσὶν ἀβρόχοις ἐπεζεύθη ἡ ἄβατος, ἐταράχθη καὶ διὰ σὲ κύμασιν ἀνελπίστοις ἡ θάλασσα, καὶ ἄνεμος ἐσχεδιάσθη μὴ προσδοκώμενος· συνεκαλύφθη τοῖς κύμασι τὸ Αἰγύπτιον αὐτοῖς ἵπποις καὶ ἅρμασι καὶ ὅπλοις πολεμικοῖς, βυθοῦ κἀνταῦθα γέ-
φ. 116. γονεν ἀνὴρ διὰ σοῦ τιμωρός, παρα|νάλωμα· στῦλος ἐκεῖ πυρός, ἄστρον ὧδε ἐξ οὐρανοῦ· χειρὸς ἐκεῖ ἔκτασις μυριάδας ἐτρέπετο, καὶ ὧδε ἱππεύων ἄγγελος περιφανεστέραν νίκην εἰργάζετο. Ἔχω τι πλέον εἰπεῖν τῶν θαυμασίων ἐκείνων· ἐν τύποις ἐκεῖ καὶ εἰκονίσμασιν ὁ σταυρός, ὄφις χαλκοῦς ἐπ' ἰθυτενοῦς στηλιτευόμενος ἐπιδόχμια, καὶ ξύλον γλυκαῖνον ὕδωρ πικρόν, καὶ αὖθις ἕτερον σίδηρον ἐξ ὕδατος ἀνιμώμενον, ἐνταῦθα δὲ δακτύλῳ θεοῦ γεγραμμένον ἐν οὐρανῷ ὥς που πάλαι τῷ σοὶ ὁμωνύμῳ καὶ βασιλεῖ, ᾧ σε καὶ παραβάλλω, καὶ φειδοῖ τοῦ ἀνδρὸς οὐχ ὑπερτίθεμαι, ἀλλὰ τὸ ἶσόν σοι δίδωμι, τιμῶν κἀνταῦθα τὸν αὐτοκράτορα· ἀμφοτέρων γὰρ τὴν αὐτὴν δύναμιν ὑπεσήμηνεν ὁ βασιλεύσας θεὸς καὶ ταῖς αὐταῖς παραδοξοποιΐαις ἐλάμπρυνε.

Καὶ ταῦτα μὲν τὰ σὰ οὕτως ὦ βασιλεῦ, πᾶσαν τέχνην καὶ μεγαλοφυΐαν ῥητόρων ὑπερεκπίπτοντα, τὰ δ' ἡμέτερα οἷα; ἀπερρίμμεθα, καταπεφρονήμεθα, μὴ κακίσῃς εἰ καὶ τοῦτο φήσω, οἱ

τῆς γνώσεως τρόφιμοι, οἱ τῆς σοφίας ἐθάδες, οἱ τῶν μουσῶν θιασῶται. Ὁ μέν τις βέλει τὸν ἐχθρὸν ἔπαισεν, ἢ μόνον τὸ δόρυ ἐπετείνατο, καὶ τὰς πρώτας ἔχει τιμάς· ἄλλος τὸ εὔγνωμον μέχρι σχήματος ἐνεδείξατο, καὶ τὸ τοῦ πλούτου ῥεῦμα τούτῳ ἔρρευσεν ἄφθονον· ἡμεῖς δὲ λόγοις κηρύττομεν, εὐφημίαις βάλλομεν, οἷς ἔχομεν θεραπεύομεν, καὶ μόγις που ῥανίδα ἐλέους δεχόμεθα. Ἀλλὰ πάλιν τὸν αὐτὸν λόγον ἐρῶ, μὴ κάκιζε τὴν παρρησίαν, ὦ βασιλεῦ, τόκος ἐστὶν ὀδυνωμένης ψυχῆς· πόθεν Ῥωμῦλοι κηρύττονται, πόθεν Βροῦτοι καὶ Αἴλιοι, Ἀντίοχοί τε καὶ Σέλευκοι καὶ Ἀλέξανδροι; οὐκ ἐκ λόγων, οὐκ ἐκ συγγραμμάτων; οἱ δὲ συγγράφοντες πόθεν εἰς συγγραφὰς ἐκινήθησαν; οὐκ ἐξ ὧν εὖ ἔπασχον; οὐχὶ Διόνυσος Ἑλίκῳ τῷ Κυζικηνῷ ἡλίου προειπόντι ἔκλειψιν, ἀργυρίου τάλαντον ἐδωρήσατο; ὁ δ' αὐτὸς καὶ Πλάτωνι μικροῦ δεῖν ὡς θεῷ προσεῖχε, τοῖς τῆς φιλοσοφίας τοῦτον ἠθικοῖς προβιβάζοντι· πόσους ἂν μοι δοκῇς, εἴπερ βούλει, ἀπογεννήσειν Πλάτωνας νῦν, πόσους Ὁμήρους, εἰ δὲ μὴ τοιούτους, διὰ τὸ τοὺς ἄνδρας πάντων ὑπεξῃρῆσθαι, ἀλλὰ πόσους Μητροδώρους, πόσους Φοιβάμωνας; Καὶ οὐ τοῦτο λέγω, βασιλεῦ, παντὶ συγγράφοντι τὰς τοῦ ἐλέους ὑπανοίγειν πηγάς, ἵνα μὴ τῆς αὐτῆς ἢ τιμῆς ὁ χείρων τῷ κρείττονι, ἀλλὰ δοκιμαζέσθω τὰ συγγράμματα ὑπὸ πολλαῖς ἀκοαῖς, καὶ ὅτῳ ἂν δοθῇ τὸ ἐξαίρετον, ἐκείνῳ οἱ τῆς σῆς βασιλείας θησαυροὶ ἀνοιγέσθωσαν· ἔχεις, ὦ βασιλεῦ, κριτὰς λόγων πολλούς, μούσας αὐτόχρημα, οὗτοι κρινέτωσαν τὰ ἡμέτερα, οἱ δ' ἄλλοι τὸν ἄρνα καθ' εἱρμὸν διαιρείτωσαν. Αἰσχύνομαι παρ' οὐ κανόνι κανονιζόμενος· ἔχε τὰς τῶν τιμῶν ἀμοιβάς, ἔα με καὶ πάλιν πένεσθαι, δίδου τὰς τῶν ἐπαίνων, καλοίμην παρὰ σοὶ συγγραφεὺς πρόκριτος, καὶ πάλιν ἐν μοίρᾳ εἴην τῶν δυστυχῶν. Ὁ δὲ βασιλεύσας σε καὶ λαμπρύνας θεὸς αὐτός σοι καὶ προσθείη τοῖς ἔτεσι, καὶ τὴν ἐκεῖθεν βασιλείαν χαρίσαιτο τὴν ὄντως ὑψηλήν τε καὶ ἀκατάλυτον.

φ. 175ʳ. Ἐγκώμιον εἰς Ἰωάννην τὸν θεοσεβέστατον μητροπολίτην Εὐχαΐτων καὶ πρωτοσύγκελλον.

Ὁ μὲν λόγος ἐλάττων ἴσως τῆς ὑποθέσεως, ὁ δὲ πόθος προδήλως μείζων τοῦ ἐγχειρήματος, δι' ὃν ἐγὼ τῷ σοφῷ Ἰωάννῃ τῷ τῆς Εὐχαΐτων προκαθημένῳ λαμπρᾶς μητροπόλεως, οὐδὲν δὲ ἧττον καὶ οἰκιστῇ ταύτης ἐρεῖν, τῷ ἐμῷ φημὶ καὶ φίλῳ καὶ διδασκάλῳ, οὐ δὲ γὰρ αἰσχύνομαι τοῦτο εἰπεῖν ὅτι μὴ καὶ μᾶλλον ἐντεῦθεν σεμνύνομαι, πεποίημαι τὸ ἐγκώμιον· ἄτοπον γάρ, εἰ παρ' ἐκείνου λαβόντες τοῦ λόγου τὴν δύναμιν, ἔπειτα μή τι τοῦ προσειλημμένου ἐκείνῳ ἐπαναθήσομεν, μὴ δὲ τιμήσομεν τὰ εἰκότα, παρ' οὗ τοῦ λόγῳ τιμᾶν δύνασθαι τὰς ἀφορμὰς προειλήφαμεν· ἔτι δὲ ἀτοπώτερον, εἰ τοῖς μὲν τελευτήσασι τῶν ἀγαθῶν καὶ γενναίων ἀνδρῶν εὐφημίας ἀποδιδόαμεν, ὧν τε εἰρήκασιν ἐφ' οἷς πεπράχασι, καὶ ὧν πεπράχασιν ἐφ' οἷς εἰρήκασί, τοὺς ζῶντας δὲ τοῦ λόγου στερήσομεν, ὃς τήν γε ἀρετὴν τούτοις δημοσιεύσειε, καὶ προσέτι ὁδὸν εὑρεῖαν τῶν ἀγαθῶν ὑπανοίξομεν πράξεων. Ἐκείνοις μὲν γὰρ ἄδηλον εἴ τις ἐμφανιεῖ λέγων τὰς φιλικὰς χάριτας, ἐνταῦθα δὲ καταφανὴς ἡ ἀντίδοσις τοῦ καλοῦ· κἀκεῖ μὲν δυοῖν θάτερον πράττεται, τοῦ τε ἐγνῶσθαι τοῖς ἐγκωμιαζομένοις τὸν λόγον, καὶ τοῦ τοῖς ἄλλοις γενέσθαι ἀφορμὴν τοῦ καλοῦ τὸ ἐγκώμιον τοῦτο δὴ μόνον, οὐ γὰρ δὴ τὸ πρῶτον ὁμολογουμένην ἔχει τὴν δήλωσιν· εἰ δέ τις ἐγκωμιάζειν τοὺς ἔτι περιόντας ἐπιχειρεῖ, τούτοις τε λαμπρὰν τὴν χάριν ἐπιδεικνύει, καὶ τοὺς ἀκούοντας ὡς πρὸς ἔμψυχον ἐπαναφέρει τοῦτον παράδειγμα, ἵνα καὶ ὧν ἀκούοιεν, καὶ οὓς ὁρῷεν ἄμφω πρὸς ὁδηγίαν τοῦ κρείττονος ἔχοιεν.

Σὺ δέ μοι φίλτατε πάντων ἀνδρῶν καὶ σοφώτατε, εἰπεῖν δὲ καὶ θεοειδέστατε, καρτέρει γενναίως τὴν εὐφημίαν, καὶ μὴ προεξαναστῇς τοῦ λόγου, μὴ δ' ἐπικλείσῃς τὰ ὦτα, ὅπερ δὴ ποιεῖν

εἴωθας ἐν τοῖς κοινοῖς διαλόγοις, μὴ δὲ τὸν βραχύτατον ἔπαινον προσιέμενος· εἰ δ' οὖν, ἀλλὰ τοσοῦτόν μοι φιλοσόφησον, μὴ τοὺς λοιποὺς ἀποστερῆσαι τὴν ἐκ τοῦ λόγου ὠφέλειαν· οὐ γὰρ ὥς τέ σοι χαρίσασθαι ὑφαίνω τὴν σὴν εὐφημίαν, ἀλλὰ δυοῖν τούτοιν ἕνεκα, τοῦ τε σοὶ τὸ χρέος τῆς διδασκαλίας ἀφοσιώσασθαι καὶ τοὺς μισθοὺς ἐκτίσασθαι καθῶς ἂν δυναίμην, καὶ τοῦ τοῖς ἄλλοις ὑπόδειγμά σε καὶ ἀρετῆς καὶ γνώσεως καταστήσασθαι ὁποτέρας βούλοιτό τις ἀκούειν, εἴτε τῆς ἐκ θεωρημάτων συναγομένης, εἴτε τῆς μετὰ τὴν τελείωσιν τῶν ἀρετῶν ἀναφαινομένης, ὧν ἡ μὲν τὰ κάλλη ἐπιδεικνύει τῆς φύσεως, ἡ δέ, τῶν ὑπὲρ φύσιν δείκνυσι τὰς ἀρχάς.

Τοσοῦτον δὲ ὁ λόγος ἐπιστραφεὶς πρὸς τὸν ἐπαινούμενον, κεκλίσθω πρὸς ἑαυτὸν καὶ ὃ προὔθετο περαινέτω· ἡ δὲ πρόθεσις ἀνδρὸς λόγον καὶ πρᾶξιν ἐγκωμιάσαι· ἃ δὴ πρὸς ἄλληλα μόλις ἀντικρινόμενα, οὐδ' ἐγγὺς ἐλθεῖν αὐτῶν τοῖς ἄλλοις διδόασι. Καὶ εἰ μέν μοι καὶ τοῦτο ἦν παρ' αὐτοῦ δεδομένον καὶ ἀπὸ τῶν ἔξωθεν λαμπροτήτων συγκροτῆσαι τούτῳ τὴν εὐφημίαν, οὐδενὸς ἂν τῶν ἐνταῦθα σεμνοτέρων ἠπόρησα, οὔτε βασιλείων αὐλῶν, οὔτε θρόνων ὑψηλοτέρων, οὔτ' ἰδίων, οὔτε δημοσίων καλῶν. Ἐπεὶ δὲ οὐ μᾶλλον σεμνύνεται τούτοις ὁ ἐγκωμιαζόμενος, ἢ αἰσχύνεται, ὅς γε μικροῦ δεῖν καὶ ἐπιλέλησται ὅθεν γεγένηται, τοσοῦτον ἐντεῦθεν τοῦτον σεμνολογήσομεν, ὅτι δύο τινὲ καθηγητὰ ἐγενέσθην αὐτῷ τῆς ἀρετῆς ὁμοῦ καὶ παιδεύσεως, θείω μὲν τὸ γένος αὐτῷ καὶ τὴν ἀληθῆ τοῦ ὀνόματος δύναμιν ἐκ σπαργάνων ἀνατεθειμένῳ αὐτοῖς, οὐ τῷ ἐδάφει προσερριμμένω τοῦ θείῳ νεώ, ἀλλ' εὐθὺς ἔνδον τῶν ἀδύτων καθιδρυμένω· σοφὼ ἄμφω καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, ὁμοτίμω τὴν ἀρετήν, περιδεξίω τὴν φύσιν, χαρίτων ἄμφω μετέχοντες· ὧν ὁ μέν, τῆς ἐν Κλαυδιουπόλει ἐκκλησίας ἰθύνας τοὺς οἴακας ἐκ πρώτης εὐθὺς ἀφετηρίας, πρὸς τοὺς ἄνω πυρσοὺς ἀποβλέψας, ἐκείνην τε ἐς ὅρμους ἀκλύστους κατέστησε, κἀκεῖνος οὐ πολὺς ἐξ οὗ χρόνος τῷ θείῳ

φ. 176. καὶ πρώτῳ ἀνεχύθη φωτί. Ὁ δέ, ἀπο|στολικὴν κληροδοσίαν πιστεύεται, καὶ μετὰ λαμπρῶν τῶν ἐλπίδων ἐς τοὺς πρὶν Νομάδας κεκλημένους Σκύθας, ἔπειτα δὲ Βουλγάρους ὠνομασμένους ἐκ τῆς προκαθημένης συμπασῶν τῶν πόλεων πέμπεται· οὐκ ἔψευσε τὰς ἐλπίδας τοῖς ἀποστείλασιν, ἢ τοσοῦτον, ὅτι κρείττων ἐκείνων ἐγένετο, ὅλον ἔθνος καθαρῶς μεταπλάσας πρὸς τὸν θεόν, οὐδὲν ἔλαττον ἢ τὴν Ἰνδῶν ὁ Δίδυμος σύμπασαν.

Ὑπὸ τοιούτοις οὗτος καθηγηταῖς καὶ πρὸς γνῶσιν καὶ πρὸς ἀρετὴν ἐκπαιδεύεται, οὐ μόνως πρὸς τὰ κρείττω παιδοτριβούμενος, ἀλλὰ καὶ ἀδελφὸς αὐτὸς ἕτερος, θεῖος ἐκ πρώτης τριχὸς καὶ τὴν φύσιν καὶ τὴν ψυχήν, ὑπὸ τὸν αὐτὸν τούτῳ ἐπωλοδαμνεῖτο ζυγόν· καὶ ἤστην ἄμφω κατωμαδὸν ἀραμένω τὴν παίδευσιν καὶ ἀροτριῶντε τὸν λόγον, καὶ οὐ πολλοστῷ μηνὶ τῶν σπερμάτων, ἀλλὰ παραυτίκα κομιζομένω τὸ θέρος, καὶ ἵνα τὸ τοῦ Εὐαγγελίου εἴποιμι, ἔτρεχον μὲν οἱ δύο ὁμοῦ, τὸ δ᾽ ἐφεξῆς ὀκνεῖ μὲν ὁ λόγος ἐρεῖν, εἰρήσεται δ᾽ οὖν· προέλαβεν ἐκεῖνος τὸν συνοδοιπόρον καὶ σύννομον, καὶ εἰσῆλθε πρῶτος εἰς τὸ μνημεῖον· ὢ τῆς ὁμονοίας τῶν ἀδελφῶν καὶ τῆς ἀδιαιρέτου συζυγίας τὸ πρότερον· ὢ τῆς τελευταίας διαζεύξεως καὶ οἱονεὶ τομῆς ἑνὸς σώματος καὶ μιᾶς φύσεως.

Ἀλλ᾽ ὁ μέν, ὁπόσον ἐδόκει τῷ λόγῳ παραβιώσας ἐνταῦθα, οὕτω γὰρ δέον ἐρεῖν, ἐπεὶ καὶ τοῖς πράγμασι παραχρώμενος ἦν, τὸν κεκληρωμένον αἰῶνα καταλελυκὼς ἐν νέῳ τῷ σώματι, πρὸς τὴν ἀγήρω μετετέθη ζωήν· ὁ δ᾽ ἀπερρωγὼς τοῦ ξυμφυοῦς, ἐκείνῳ μὲν ἀπετέτμητο, ὅλος δὲ τοῖς σύμπασιν ἦν, τῇ τε προτέρᾳ δυνάμει προσθεὶς καὶ ὅλον τὸν τῆς ἀρετῆς ἀναδεδεγμένος ζυγόν. Εἱστήκει δὲ οἷά τις γραφεὺς δυοῖν μέσον παραδειγμάτων, φημὶ δὴ τῶν θείων, ὁμοτίμων μὲν τὴν τοῦ καλοῦ θεωρίαν, ἐχόντων δέ τινας ὥς περ δὴ κοινότητας, οὕτω δὴ καὶ διαφοράς· οὐ γὰρ μονοειδὴς ἡ τῆς ἀρετῆς φύσις, ἀλλὰ καὶ τὸ χάριεν αὐτῆς καὶ τὸ ἀμειδές· ἄμφω μὲν καλά, διάφορα δέ· καὶ τοῖς μέν, ἄκρατα

ταῦτα προσεγεγόνει, οἱ δέ τινες, ὥς περ ἐν κρατῆρι ἄμφω συνεκεράσαντο. Ὁ μὲν γὰρ τὴν Κλαυδίου πόλιν κεκοσμηκώς, ᾧ δὴ πολλάκις καὶ αὐτὸς πεπλησίακεν, ὥς περ δὴ καὶ θατέρῳ, ἔσω τε τὰ ἴχνη τῶν ἀρετῶν ἔστρεψε, καὶ οὐδὲν ἧττον, καὶ τὴν γλῶτταν ἐκεκόσμητο χάρισιν, ἠθῶν τε κρᾶσιν ἀρίστην καὶ οἵαν οὐκ ἄλλος εὐτύχησε· παντοδαπός τε τὸν λόγον ἦν, καὶ εἴ τις αὐτῷ παρετύγχανεν, εὐθὺς χαρίτων ἐμπέπληστο.

Τοιοῦτος μὲν οὗτος· ἅτερος δέ, οὐδὲν ὅτι μὴ τὸ ὅλον τῶν τῇδε μὲν ἀπεστραμμένος, ὅλος δὲ ἐπεστραμμένος πρὸς τὸν θεόν· διηγωνισμένος γενναίως πρὸς σῶμα, πρὸς φύσιν, πρὸς ἑτέρας ἀναγκαιότητας, καὶ τοῖς ὅλοις ὅλους νενικηκώς, αὐχμοῦ πλέως ἅτε ἰσχυρῶς πρὸς τοὺς ἀνταγωνιστὰς κονισάμενος, καὶ ἀθλητικοῖς ἢ μαρτυρικοῖς ἱδρῶσι περιρρεόμενος, οὐδὲν ὑφιέμενος τοῖς ὅπη δεῖ παρρησίας, ἀλλὰ σχῆμα μὲν ᾔδει βασιλείας, οὗ δὲ καιρὸς ἦν λόγον δημοσιεῦσαι καὶ ἀντιστῆναι γενναίως, οὐκ ἐκ τοῦ ἐλάττονος, οὐδ' ἐκ τοῦ ὑφειμένου, ἀλλ' ἐξ ὑπερυψήλου τοῖς κρατοῦσιν ὡμίλει φρονήματος.

Τοιούτοις ὁ ἐγκωμιαζόμενος χρώμενος πρὸς τὸ παντοδαπὸν καλὸν παραδείγμασιν, οὐχ ὥς περ δυοῖν πελάγοιν ἀπείροιν, τὸ μέν, μεθῆκεν, ἐς τὸ δ' ἀφῆκεν, ἀλλ' ἄμφω διέπλευσε· πῶς καὶ τίνα τρόπον; ὥς περ ἂν εἰ καὶ ζωγράφος βουλόμενος ξανθὰς τρίχας ἀπομιμήσασθαι, τὰ ἄκρα συγκεράσειε χρώματα, οὕτω δὴ καὶ ὁ σοφὸς τὸ ταὐτὸν καὶ θάτερον τῆς ψυχῆς συνεκέρασε· τὸ γὰρ ἐκ τῶν ἐναντίων κρᾶμα ἀμφοῖν τῶν ἄκρων μετέσχεν. Οὕτω τοιγαροῦν ὁ ἐμὸς σοφὸς Ἰωάννης, τοῦ μέν, τὴν χάριν, τοῦ δέ, τὴν ἀκλινῆ στάσιν, καὶ τοῦ μέν, τὸ ἀτενὲς τοῦ δέ, τὸ εὐκαμπές, καὶ τούτου μὲν τὴν πρὸς τὸ κρεῖττον, τελείαν ἐπιστροφήν . . . . ὅσον τάξιν ἐνθεῖναι πράγμασι καὶ λόγον οἰκονομῆσαι, καὶ προστασίαν πολλῶν ἀναδέξασθαι, καὶ ἑκάστου τὰ ἰδιαίτατα συλλαβὼν εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν ἐκεράσατο, καὶ ἀπολελυμένος ἀμφοῖν τῶν ἄκρων, τῷ κράματι ἀμφοτέρους



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐνενικήκει, τοῦ μέν, τὸ χάριεν τῷ σεμνῷ, τοῦ δέ, τῇ χάριτι ὑπερβαλόμενος τὸ σεμνόν. Καὶ νῦν ὁ αὐτὸς ἀμφοῖν τοῖν τρόποιν διήρηται καὶ συνήνωται· τίς γὰρ τούτου καλλίων ἐν συνουσίαις καὶ διαλόγοις κρατῆρα χαρίτων γέμοντα στήσασθαι, καὶ λόγον ἐξενεγκεῖν καταμελιτοῦντα τὴν ἀκοήν, καὶ μύθῳ χρήσασθαι, καὶ μεθ' ἡδονῆς ὑπόθεσιν ἀφηγήσασθαι, καὶ ἐπιμειδιᾶσαι ὅσον εἰκός, καί τι καὶ τοῖς πολλοῖς χαρίσασθαι, ἵνα μὴ δὲ τούτοις δόξῃ ἀξύμβολος ἢ δυσοιώνιστος; τίς δὲ τὰ κρείττω θαυμασιώτερος, ἀρετῆς τε πέρι φιλοσοφῆσαι, καὶ τοῦ καλοῦ δεῖξαι τὸν ὅρον καὶ τὸ ὑπερκείμενον ἀγαθόν, καὶ ὡς ἐν προθύροις τοῦτο ἐκείνου; τίς δὲ ἀκριβέστερος περί τε φύσεως ἐρεῖν καὶ τῶν ὑπὸ τὴν φύσιν σωμάτων, καὶ τῶν ὑπὲρ τὴν φύσιν ψυχῶν, καὶ περὶ τοῦ ὄντος καὶ ὅθεν πρώτως τούτῳ ὕπαρξις;

Ἀλλ' ἵνα μὴ πρὸ τῶν κρηπίδων οἰκοδομεῖν ἐπιβάλωμεν, ὁ θαυμάσιος οὗτος καὶ τὴν φύσιν καὶ τὴν σπουδήν, πολλὴν μὲν καὶ ἀπὸ τῆς συμφυοῦς ἀρχῆς πρὸς τὸν λόγον συντέλειαν εἴληφε, πολλὴν δὲ καὶ ἀπὸ τῆς οἰκείας γνώμης ἐνταῦθα μερίδα συνεισηνέγκατο· καὶ φύσεως ἐκ πρώτης γενέσεως εὖ ἔχων ὑπεραλλομένης ὡς εἰπεῖν καὶ πᾶσαν ὑπερβαλλομένης δύναμιν, οὐ πέπονθε ταὐτὸν τοῖς πολλοῖς, οὐδὲ πιεῖν ταύτῃ τεθαρρηκώς, αὐτόθεν ἕξειν τὸν λόγον ᾠήθη δεῖν, εἰ μὴ καὶ σπουδὴν προσλάβοι ταύτης συλλήπτορα· ὥςπερ εἴ τις καὶ στρατιώτης σίδηρον προειληφὼς τῶν εὐθήκτων καὶ τῶν αὐτίκα τεμνόντων, εἴπερ ἐν πολέμοις εὐδοκιμεῖν βούλοιτο, καὶ τὴν τέχνην προσλαμβάνει πῶς ἂν αὐτῷ χρῷτο, καὶ πολλὴν περὶ τοῦτο εἰσφέρει τὴν ἐπιμέλειαν. Οὐ γὰρ ἀποχρῶσα καθ' ἑαυτὴν ἡ φύσις πρὸς τὴν τελεωτάτην κτῆσιν τοῦ λόγου, ἀλλὰ δεῖ καὶ σπουδῆς τοῖς οὕτως ἔχουσι, καὶ λόγου ὑποδεικνύοντος πρῶτα μὲν τίς ἡ πρὸς τὴν φύσιν ὁδὸς ἀπάγουσα, καὶ τίς ἡ πρὸς τὰ μαθήματα, καὶ τίς ἡ πρὸς θεολογίαν, ἔπειτα τί ταῦτα βούλονται, καὶ τί μὲν δεῖ ὡς στοιχεῖον λαβεῖν, τί δὲ ὡς μετ' ἐκεῖνο, καὶ ποῦ τῆς τελειό-

τητος μετασχεῖν· ὡς πολλούς γε ἑωράκειν ἐγὼ οὐκ ἀρχομένους τούτων, οὐδὲ προκόπτοντας, ἀλλ' ὥς περ ἐμπίπτοντας καὶ σπαράττοντας, εἶτα οὐδ' ὑφιεμένους τοῖς κρείττοσιν, ἀλλὰ καὶ παρρησίᾳ χρωμένους, καὶ ἅττα ἂν αὐτοῖς ἡ γλῶττα συλλάβοι, οὐ γὰρ ὁ νοῦς εἴποιμι, ἐκχέοντας καὶ ἀλλήλους ἐξαπατῶντας, εἰπεῖν δὲ καὶ τοὺς ἀκούοντας· καὶ πολλάκις οὗτοι καὶ κατὰ τῶν ἀκριβεστέρων εὐδοκιμήκασιν, οὐκ ὄντος κανόνος, οὐδὲ τῆς ἀκριβοῦς κρίσεως.

Ἀλλ' οὐχ ὁ θαυμάσιος οὗτος τοιοῦτος· ἀλλ' ἐπειδὴ ἑαυτὸν ἐγνώκει ἀφορμήν τινα παρὰ θεοῦ πρὸς τὴν παιδείαν εἰληφότα τὴν φύσιν, εὐθὺς ὑπὸ κρείττονας ἑαυτὸν διδασκάλους πεποίηται, καὶ τὴν ἐγκύκλιον πρῶτα παιδείαν μεμαθηκώς, πρὸς δὲ καὶ (*) τῆς γραμματικῆς τέχνης εἰς ἄκρον ἐληλυθώς, οὕτω δὴ τῶν μειζόνων μαθημάτων ἀντιλαμβάνεται. Εἰ μὲν οὖν οὐδεὶς ᾔδει τὸν ἄνδρα, ἔπειτα ὧν ἐρεῖν μέλλω περὶ αὐτοῦ ἠκηκόει, ὑπώπτευσεν ἂν ὡς ψευδῆ τὸν λόγον διὰ τὴν ὑπερβολὴν τῶν ἐπαίνων· ἐπεὶ δὲ τὸ ἄγαλμα ἵσταται ἐν μέσῃ περιωπῇ ὑπὲρ πᾶσαν ἀκρόπολιν, ἐφερμηνεύω δὲ τούτῳ ἐγὼ τὴν ἀκριβῆ στάσιν, ὡς οὕτως ἔχει αὐτῷ τὼ χεῖρε, ὡς οὕτω τὼ πόδε, ὡς ἡ κεφαλή, ὡς πάντα οὕτως εἰπεῖν τὰ μέρη τοῦ σώματος, εἴ τις ἀπιστοίη τῷ ἐπὶ πᾶσιν εὖ ἔχειν καὶ ὑπερβαλλόντως, διοράτω τὸ ἄγαλμα, κἀκεῖθεν τὴν πίστιν λαμβανέτω τῶν λεγομένων. Πλὴν τοσοῦτον ἂν εἴποιμι, ὡς οὐ δημοσιεύει τὸ κάλλος ὁ ἀγαλματίας οὗτος ἀνὴρ τὴν ψυχήν? οὐδ' ἔστηκε κατὰ τὰς στήλας τὴν ἔξω δεικνυούσας μορφήν, ἀλλ' ἐμφανὴς μέν ἐστι τοῖς ὁρᾷν βουλομένοις.... | κρύπτει δὲ τὰ πολλὰ τῶν ἀρετῶν τὴν ἰδέαν ἐξ φ. 176'.
ὧν μεμόρφωται, καὶ οὔτε τῇ γλώττῃ τὸν λόγον σαλπίζει, οὔτε δημοσιεύει τὴν ἀρετὴν σύμπασαν, ἵνα καὶ τοῦτο αὐτῷ μεγαλομερὴς πρὸς τὸ καλὸν εἴη συνεισφορά. Δεῖ οὖν ἡμῖν ἀγῶνος

(*) χειρόγρ. καὶ καί.

ἀνασκοπεῖν τὸν ἄνδρα καὶ ἀνιχνεύειν, ὥς περ δὴ κἀγὼ ἀναχωννύων τοῦτον, ὁμοῦ τε καὶ ἐγνώκειν οἵαν ἐν λαγόσιν ἔχει πηγήν, καὶ ἐπεπώκειν εἰς κόρον τοῦ νάματος.

Ὡμίλησα γὰρ πρωθήβης ὢν ἔτι τῷ μεγάλῳ τούτῳ ἀνδρί, διψῶν πῶς ἂν εἴποιμι τῆς παιδεύσεως καὶ περιφλεγόμενος, καὶ ἀπαρρύσας ἀθρόον τῶν ἐκείνης ῥευμάτων εἰς δύναμιν, ἀρκοῦσαν ταῦτα πρὸς πᾶσαν μάθησιν ἔσχον παρασκευήν· οὐδὲν γὰρ παρ' οὐδενὸς ἑτέρου οὔτε προείληφα, οὔτε προσείληφα, ἀλλ' ὥς περ ὁ τοῦ Μένωνος οἰκογενὴς ἀπὸ τῶν τοῦ Πλάτωνος ὀλίγων ἀρχῶν, τὸ διπλάσιον τοῦ σχήματος συνεπερενάμην, καὶ τὸν βωμὸν ἐδιπλασίασα, οὐκ ἀνεπιστημόνως ἔξω τοσοῦτον περιθέμενος σῶμα, ἀλλὰ τὰς μέσας γραμμὰς εὑρηκὼς οὐκέτι μὲν παρὰ τοῦ διδασκάλου, παρὰ δὲ τῆς φύσεως καὶ τοῦ κρείττονος.

Ἀλλὰ περὶ μὲν ἐμοῦ τοσοῦτον εἰρήσθω· ὁ δὲ μέγας οὗτος ἀνήρ, ἐξ ὑπερδεξίων ἄνωθεν εἰδὼς βάλλειν περὶ τὰ μαθήματα, ἀπὸ τῶν ῥητορικῶν λόγων ἀρξάμενος, ἐς τὴν φιλοσοφίαν συνεπεράνατο, οὐ δὲ τῆς Ἰταλῶν σοφίας ἠμεληκώς· ὅσοι μὲν γὰρ ἓν τούτων προσειληφότες, τῶν λοιπῶν κατολιγωρῶεν, ἢ ὦτα νοῦ προϊστῶντες γλῶτταν ἀδιανόητον ἔχουσιν, ἢ πηγαῖον ὕδωρ καὶ ὄντως ἔννουν ἀπαντλησάμενοι ἐστέρηνται τοῦ ἐξάγοντος τοῦτο ὁλκοῦ· δεῖ γὰρ καὶ φιλοσοφίᾳ γλώττης ῥητορικῆς, καὶ τῇ τέχνῃ τῆς ἐπιστήμης· ὅ τε γὰρ μόνως φιλόσοφος, ἄχαρις, καὶ ὁ τὴν τέχνην διῃρημένως κομπάζων, τοῦ κοσμοῦντος ἐστέρηται σχήματος· καὶ ὁ ἄμφω συνειλοχώς, εἰ μὴ καὶ τὰ πολιτικὰ εἰδείη πράγματα, κύμβαλόν ἐστιν ἀλαλάζον κατὰ τὸν ἀποστολικὸν λόγον, εἰ μή γε βούλοιτο πόρρω πολιτείας ἑστάναι, τότε γὰρ αὐτῷ καὶ μέρος ἓν ἀποχρῶν, φημὶ δὴ τὸ τῆς φιλοσοφίας. Ἀλλ' οἵ γε πολλοὶ περί τι τούτων πραγματευσάμενοι, αἴρουσι τὴν ὀφρὺν κατὰ τῶν ἑτέρων καὶ συγκρίνουσιν ἃ οὐκ ἴσασι· φιλοσοφίᾳ μὲν γάρ, ἅτε τὸ ἐκ πασῶν οὔσῃ, καὶ τὴν διὰ πασῶν συμφωνίαν ἐχούσῃ, οὐδὲν ἂν παραβάλοιτο· αὐτὴν γὰρ

ἑαυτῇ συγκρίνοιεν ὁ οὕτω ποιῶν· ἢ πῶς ἂν αὐτῇ σωθείη, τὸ τέχνη τεχνῶν εἶναι καὶ ἐπιστήμη ἐπιστημῶν; Ῥητορικῆς δὲ καὶ νομικῆς τέχνης τοσοῦτόν ἐστι τὸ διάφορον, ὡς ἡ μέν, τὰς ἀρχὰς καὶ τὰς πίστεις τῶν ἀγώνων παρέχει καὶ ῥυθμίζει, τοὺς ἀντιδιατιθεμένους διδάσκουσα οἷς μὲν ὁ κατήγορος, οἷς δὲ ὁ ἀπολογούμενος ἄριστα χρήσαιτο· ἡ δέ γε νομικὴ ἐντεῦθεν ἰσχύσασα, τούς τε προσφόρους ἑκάστῳ ἀνελίττει νόμους καὶ τὰ συμπεράσματα τῶν ὑποθέσεων δίδωσιν.

Οὕτω τοιγαροῦν ἐκεῖνος ταῦτα μετεχειρίσατο, καὶ κατώρθωσε συνάψας τὰ διαστῆναι δοκοῦντα, καὶ τόν τε νοῦν καθηδύνας ταῖς ἀπὸ τῆς ῥητορικῆς χάρισι, τήν τε γλῶτταν σεμνύνας τοῖς φιλοσόφοις νοήμασι, καὶ μὴ δὲ πρὸς τὴν πολιτείαν ἀσύμβολος εὑρεθείς, ἀλλὰ καὶ τοῦτο τὸ μέρος συνεισενεγκὼν τῷ παντί, παρὰ μέντοι τῆς τέχνης καὶ κομψείας ἀγοραίου ἀπώνατο· οὐ δὲ μέχρι τῶν περιττῶν ἔστη σχημάτων, οἷς τοὺς πολλοὺς ὁρῶ χαίροντας καὶ τούτοις . . . . . . τρίβοντας τὰ οἰκεῖα συγγράμματα, ἀλλ' ἀφ' ὧν τὸ πείθειν καὶ ἡ παρασκευὴ τῶν ἀγώνων ταῦτα συνειλόγει, πρῶτος ἐξ ἀμφοτέρων τε ἐπιχειρεῖν ἐγνώκει, καὶ ἴσους ἑκατέρωθεν τοὺς λόγους ποιεῖν, ἵνα τοὺς ὅρους τῇ τέχνῃ φυλάξαιτο. Ἐφρόντισε μέντοιγε καὶ συνθήκης καλῆς καὶ ὀνομασίας ἐπιτερποῦς· ἐπιπρέπει δὲ αὐτοῦ τοῖς λόγοις ἠρέμα καὶ ἡ τοῦ κάλλους ἐπιρροή· τούς τε ἐπιστολιμαίους τύπους ἐγνώκει ὡς ἄλλος οὐδείς, καὶ ἐνιαχοῦ μὲν στύφων αὐτῷ ὁ κρατήρ, ἀλλ' ἡ λέξις παρ' ἐλπίδας ἀνθήσασα ῥόδον ἐν χειμῶνι παρέδειξε· καὶ κατά γε τοῦτο τὸ μέρος τῶν μὲν καθ' ἡμᾶς καὶ οὓς αὐτὸς ἐγνώκειν, οὐδεὶς ἂν τούτῳ παραβληθείη, τῶν δέ γε πρὸ ἡμῶν καὶ ἀκριβῶς λαμψάντων ἐν λόγων λαμπρότητι πολλοῖς ἂν περί γε τοῦ πρωτείου δοίη ἀμφιβολίαν.

Οὐ γὰρ εἴ τις ἐμοὶ μακροὺς λόγους ἐπιδεικνύει, εἶτα δὴ καὶ ἐπὶ διφθερῶν τηνάλως τούτους ἐγγράφοι, ἀλλοίους ἑαυτοῖς καὶ παρεσχηματισμένους, καὶ νῦν μὲν τρυφῶντας, νῦν δὲ αὐχμῶντας

καὶ μέχρι νεαροπρεποῦς ἑστηκότας λέξεως, οὗτος ῥήτωρ ἐμοὶ λογίζοιτο καὶ σοφός· μᾶλλον γάρ μοι ὁ νοῦς ἕστηκεν, ἢ τὸ οὖς ἵδρυται· ἀλλ' ὅς τις ἀπ' ἐννοίας ἀρίστης ἀρξάμενος καὶ προοιμιασάμενος, εἴτ' αὐτόθεν τεχνικῶς, εἴτε κεκρυμμένως καὶ ἀφελῶς, νῦν μὲν ῥαγδαῖον ὑετὸν μιμοῖτο καὶ καταβαίνοι ὥς περ Ἑλλησποντίας, νῦν δὲ ἠρέμα ψεκάζοι, οὔθ' ὑπὸ τῆς ῥύμης ἀγόμενος, οὔτ' ἐνταῦθα στενούμενος, ἀλλ' εὐλόγως καὶ κατὰ καιρὸν ἀμφοῖν χρώμενος· καὶ οὔπω λέγω τὰς μείζους τοῦ λόγου δυνάμεις, ὧν τοῦ μὲν καθ' ἡμᾶς λόγου τὰ πρῶτα ὁ τῆς θεολογίας Γρηγόριος, ὃν οὐδ' ἂν οὐδ' ἡ οὐρανία σάλπιγξ ὑπερηχήσειε, μετὰ δὲ τοῦτον τῆς θύραθεν σοφίας Δημοσθένης τε καὶ Δημάδης, προσθήσω δὲ καὶ Ἰσοκράτους ἀστραπαὶ καὶ βρονταί, τῆς μὲν Γρηγορίου ἥττους φωνῆς τοσοῦτον, ὅσον κρείττους τῶν ἄλλων, καθηγεμόνες δ' ὅμως τῆς ῥητορικῆς ξυμπάσης δυνάμεως· Λυσίαν δ' εἴ τις ἐπαινεῖν βούλοιτο, προσίεμαί τε καὶ ἀποδέχομαι, ἀλλ' οὔ μοι λόγος τὰ ῥητορικὰ ἐν πᾶσιν ἐπαινεῖν κλέμματα, οὐδὲ τὰς ὑποκαθημένας φωνάς· τὸ δέ μοι μεγαλοπρεπὲς μᾶλλον ἀρέσκει τοῦ μικρολόγου καὶ κατατέχνου.

Τούτων τοιγαροῦν τῶν ἀπηριθμημένων σοφῶν ὁ νῦν τῷ λόγῳ τιμώμενος, Γρηγόριον μὲν μιμεῖσθαι βούλεται, καί γε καὶ παραψαύει τῶν τοῦ μεγάλου ἰχνῶν, δεδίττεται δὲ ὥς περ προσεγγίσαι τῷ λέοντι· διὰ ταῦτα Ἰσοκρατικὸς μᾶλλον τούτῳ ὁ χαρακτήρ, πλὴν ὅσον οὐκ ἐκκεχυμένος, ἀλλὰ συνεστραμμένος· καὶ οὐδὲν καινὸν εἰ, ᾧπερ ὡς ἥκιστα θαμίζων προσωμίλησεν, ἐμιμήσατο· οὐ γὰρ ἐκ τοῦ βούλεσθαι οἱ τύποι τῶν χαρακτήρων, ἀλλ' ἐκ τοῦ πεφυκέναι· τὸ δὲ σύμπαν εἰπεῖν, κρᾶμα τούτῳ συνηρμοσμένον ὁ λόγος ἐκ τῶν ἄριστα τοὺς ἀρίστους μιμησαμένων, ἢ καὶ ὧν αὐτοὶ καθηγεμόνες ἐγένοντο.

Τοιοῦτος μὲν τὴν τέχνην ὁ θαυμάσιος οὗτος ἐγένετο, πλείων δὲ τὴν ἐπιστήμην, ὅλην εἰς μέρη μερίσας, καὶ ὥς περ οὐ διελεῖν βουλόμενος αὖθις συμπτύξας καί . . . . οὐδὲν ἔλαττον ξυν-

θεὶς ἢ ἀναλύσας, πάντας μὲν τοὺς συλλογισμοὺς ἀνεζητηκώς, ἑκάστων δὲ τὰς αἰ[τίας] . . . ἀνευρηκώς, τάς τε πρώτας καὶ τὰς ἀπὸ τῶν πρώτων, καὶ τὰς μετὰ ταῦτα τῶν ὑποθέσεων καὶ ὧν ἄλυτον τὸ | τεκμήριον· καὶ οὔτε διαλεκτικὸν τοῦτον διέφυγε φ. 177. πρόβλημα, οὔτε ἀποδεικτικὸν ζήτημα, οὔτ' ἄλλο τι τῆς λογικῆς οὐδέν· ἀλλὰ καὶ προτάσεων κατὰ λόγον ηὐπόρησε, καὶ ἀνήνεγκεν εἰς ἀρχὰς τὰ συλλελογισμένα, τούς τε ὅρους τοῦ πρώτου νοῦ εὑρηκώς, καὶ τοῦ καθ' ἡμᾶς τοὺς ξυγκειμένους· τὴν δέ γε σοφιστείαν τήν τε ἐν ὀνόμασι καὶ ἐν διανοίαις ἐγνώκει μέν, ἀπήλασε δὲ τῆς κατὰ ψυχὴν πόλεως, οὐδὲν ἔλαττον ἢ τὸν ποιητὴν ὁ Πλάτων τῆς ἑαυτοῦ, μόνον οὐκ ἐρίῳ στέψας, ἀλλὰ γυμνήν τε καὶ ἀστεφάνωτον.

Εἶτα δὴ καὶ τὰς τῆς φύσεως ἀγασθεὶς θεωρίας, ἀπὸ τῶν ἀρχῶν ἀρξάμενος ἐπὶ τὸ σύμπαν ἀφῆκε· καὶ ἐπέζευσε μὲν ἤπειρον, ἔπλευσε δὲ ἄχρι τῶν ἐφ' ἑκάτερα πόλεων· ἐστείλατο δὲ καὶ πρὸς οὐρανόν, καὶ οὐδὲν ἀφῆκεν αὐτῷ ἀθεώρητον, οὐχ ὅσα ἐν ψυχαῖς, ἐπεὶ καὶ τὸ γένος τοῦτο ἀρχὴν πρώτην τῶν φυσικῶν λόγων τιθέασιν, οὐχ ὅσα ἐν ζώοις, οὐχ ὅσα ἐν φυτοῖς. Εἶτα τί; λεληθότως καὶ τοῖς μαθήμασι προσωμίλησεν· ὥς περ εἴ τις ἐς Ἑλλάδα ἢ ἐς Ἰωνίαν ἀποπλεῦσαι θελήσας οὐ ναῦν φιλοτεχνοίη, ἀλλὰ χρῷτο τῇ εὑρημένῃ τοσοῦτον ὅσον ἐς τὸν ἀπόπλουν, οὕτω τοιγαροῦν ἐκεῖνος τοῖς μαθήμασιν ὡς ὀχήμασι χρώμενος, ἀπὸ τῶν σωμάτων τοῖς ἀσωμάτοις προσέβαλε, τῷ κράματι πρότερον προσεληλυθώς. Ἔνθα δὴ καὶ γενόμενος ἐγνώκει τὸ πρώτως ἕν, τὰς ἐκεῖθεν ἑνάδας, τὸ κυρίως ὄν, τὰς τοῦ ὄντος μερίδας, τὰ τοῦ καλοῦ παραδείγματα, τὴν θαυμασίαν σειράν, τοὺς μέσους δεσμοὺς δι' ὧν τὰ ἄκρα συνάπτεται.

Τοιοῦτος ὁ ἐμὸς τῷ ὄντι καὶ φιλόσοφος καὶ διδάσκαλος, οὐ κατὰ τοὺς πολλοὺς τῶν νῦν τὴν ἐπιστήμην μεταχειριζομένων, οὐδὲ κατὰ τὴν ἑτέραν μερίδα ὅσοι καὶ διαπτύουσι ταῦτα καὶ περιττὴν σοφίαν τιθέασιν, ὥς περ αὐτοὶ μάλιστα τὸν καθ' ἡμᾶς

λόγον κτησάμενοι καὶ μηδενὸς τῶν ἄλλων ἐπιδεόμενοι· οἵ γε οὔτε τοῦτον ἴσασιν, οὔτε τι τούτων ἐγνώκασιν· ὁ δὲ λόγος πρὸς ἐνίους τῶν οὕτως οἰομένων. Εἰσὶ γὰρ ὑπὲρ τοὺς ἑπτάκις χιλίους οἱ μήτε τῇ Βάαλ τὸ σέβας ἀπονειμάμενοι κἀκ τῶν Ἑλληνικῶν λόγων ὠφελημένοι πρὸς θεοσέβειαν· εἰ μὲν γὰρ πάντας τοὺς λόγους ἐγνώκεισαν, ὅσοι τε ἀπ' Αἰγυπτίων, ἢ Χαλδαίων, ἢ τῶν συνεγνωσμένων ἡμῖν Ἰουδαίων μετωχετεύθησαν πρὸς ἡμᾶς, τῶν γε Ἑλληνικῶν εἰς ἄκρον προεληλύθεσαν καὶ ὅπως οὗτοι τοῖς λογίοις ἐχρήσαντο, εἶτα διακρίνοιεν τούτους, καὶ τοὺς μέν, ἐγκρίνοιεν, τοὺς δέ, ἀποκρίνοιεν καὶ ἀπελέγχοιεν, ὥςπερ δὴ οἱ περὶ τὸν μέγαν Βασίλειον καὶ τὸν τῆς θεολογίας φωστῆρα Γρηγόριον πεποιήκασιν, οὐκ ἀγαίμην ἂν τούτοις μόνον, ἀλλὰ καὶ ἐμαυτὸν ὑποθείμην μαθεῖν ὅπερ ἂν ἐκεῖνοι διδάξωσιν· εἰ δὲ μὴ δ' ὅσον ἑνὶ βήματι τοῦ πεζοῦ προβεβήκασι λόγου, μὴ δὲ ἕν τι τῶν πάντων ἐγνώκασιν, αἰσχύνεσθαι μᾶλλον αὐτοὺς προσήκει καὶ ἐπικρύπτειν τὴν ἀμαθίαν ἢ ἀναισχυντεῖν κατὰ τῶν τὰς ἐπιστήμας συνειλοχότων.

Ἔγωγ' οὖν, ἵνα τι καὶ περὶ ἐμαυτοῦ τῷ τοῦ φίλου λόγῳ προσθήσω, καί με μὴ βάλοι βέλος νεμέσεως, οὐκ ἐγνώκειν μόνον ὁπόσα Ἕλληνες οὐδ' ὁπόσα Χαλδαῖοι, ἢ Αἰγύπτιοι, ἀλλὰ καὶ κατεγνώκειν αὐτῶν, πλὴν οὐ πάντων, οὐδέ μοι ὁ ἔλεγχος διὰ πάντων τῶν ἐκείνοις εὑρημένων πεφοίτηκεν, ἀλλὰ καὶ πολλοῖς τῶν παρ' ἐκείνοις πρὸς τὴν ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου ἀπεχρησάμην ἢ τίποτε τῶν καθ' ἡμᾶς φιλοσόφων οἱ ἄκροι τῶν Ὠριγένους συγγραμμάτων οὐκ ἐλάχιστον μέρος συνειλήχασι, καὶ Φιλοκαλίαν τὸ συνειλεγμένον κατωνομάκασιν, ὅτι καὶ σοφοὶ τὴν παίδευσιν ἤστην, καὶ πρὸς ἀλήθειαν πάντα καὶ λέγοντες καὶ συγγράφοντες. Τοσοῦτο δὲ παρεκβέβηκα, οὐκ αὐτὸς κομπᾶσαι βουλόμενος, ἀλλὰ τοῖς πολλοῖς ὑποθεῖναι μὴ καταμελεῖν παιδείας, μὴ δὲ πρόφασιν ἀμελείας καὶ ῥαθυμίας τὸν ἡμέτερον λόγον ποιεῖν· ἔσω τὰ κρείττω αὐτόθεν εἰδώς, ἀλλ' ἔνθα δεῖ καὶ συλ-

λόγισαι, ἵνα σφενδονήσῃς ποτὲ τὸν ἀλλόφυλον· οἱ μὲν γὰρ τρεῖς λίθοι παρὰ τοῦ καθ' ἡμᾶς λόγου, ἡ δὲ τῆς σφενδόνης τέχνη καὶ παρὰ σοῦ, καὶ δέος, μή που τις ἀντισταίη ποτὲ καὶ Γολιὰθ τῷ καθ' ἡμᾶς Ἰσραήλ, εἶτα μὴ ποιμένος ἔξωθεν δεηθείημεν πρὸς τὴν τοῦ ἀλλοφύλου ἀναίρεσιν, καὶ ἄδηλον εἴ τίς ἐστι νῦν υἱὸς Ἰεσσαὶ ὄπισθεν τῶν λοχευομένων ἀναλαμβανόμενος καὶ πρὸς τὸν βάρβαρον ἀνταγωνιζόμενος· οὕτω τὰ Ἑλλήνων καθήρηται, οὕτω τὰ Αἰγυπτίων ἀπεσκεύασται, οὕτω τὰ Βαβυλωνίων διέφθαρται. Οὐκ ἐλέγχειν γοῦν πειρῶμαι τοὺς ἀσυλλογίστους, ἀλλὰ διδάσκειν ὅπως ἂν ἀπὸ τῶν ἐναντίων κατ' ἐκείνων τὴν μάχαιραν λάβοιεν, ὥς περ δὴ καὶ τὸ ἐπίγραμμα τοῦ Ἀθήνησι ναοῦ κατὰ τῶν Ἀθηναίων ὁ μέγας ἀπόστολος.

Ὁ δὲ λόγος αὖθις ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω· ὃς τὴν σύμπασαν τοῦ λόγου τέχνην καὶ ἐπιστήμην τῷ ἐγκωμιαζομένῳ συνειλοχώς, νῦν βούλεταί τι ἐρεῖν καὶ περὶ τῶν λοιπῶν αὐτοῦ ἀρετῶν, ἃς δὴ καὶ τοῦ λόγου ἑαυτῷ προϋπέθετο καὶ σὺν αὐταῖς τοῦτον μετεχειρίσατο, καὶ διὰ παντὸς βίου ταύταις φαίνεται χρώμενος· οὐ γὰρ ὥς περ ἔνιοι τῷ τεχνικῷ λόγῳ ἐποχηθείς, ἀρκεῖν οἴεται δι' αὐτοῦ δὴ τούτου μόνου ἀναβεβηκέναι πρὸς οὐρανόν· οὐ γὰρ οὕτως Ἠλίας, ἀλλ' ἑαυτῷ πρότερον ὑποζεύξας τὸ τῶν ἀρετῶν τέθριππον, οὕτω τοῦ καταβάντος ὀχήματος κατετόλμησε. Διὰ ταῦτα ταῖς γενικωτέραις ἐμφιλοχωρήσας τῶν ἀρετῶν, καὶ ἀφ' ὧν ἄν τις πρὸς τὰς λοιπὰς ὄναιτο, οὕτω πρὸς τὰς ὑποβεβηκυίας ἐχώρησε. Τίς γὰρ τούτου τὴν γνώμην εὐθύτερος, ἢ τίς οὕτω στάθμη δικαία τοῖς πράγμασιν ἐχρημάτισε, τῷ κρείττονι δοὺς κατὰ τοῦ χείρονος ἀριδήλως τὰ νικητήρια, καὶ δικάσας δικαίως τῷ κράματι; τίς δὲ σωφροσύνην οὕτω τετίμηκεν, ἢ ὑπερεβάλετο, ὡς μὴ δὲ τὴν γειναμένην, ὥς περ δὴ παρὰ πολλῶν ἠκηκόειν, ἐπὶ πλεῖστον ἰδεῖν ὑπενεγκεῖν, ἀλλὰ καὶ αὐτοῦ δὴ τοῦ ἀδιαβλήτου καταφρονῆσαι μέρους τῆς φύσεως; κατὰ δὲ τῶν παθῶν, τίς οὕτως ἠνδρίσατο; καὶ κεκράτηκε μὲν

τῶν ἐμφυλίων παθῶν, κατετροπώσατο δὲ καὶ εἴ τινες ἔξωθεν ἐπιστρατεύοιεν βάρβαροι καθ' ὧν καὶ μέγιστα ἤγειρε τρόπαια; τίς δὲ πάντα ὑπερφυῶς τοῖς τῆς φρονήσεως διεσκέψατο μέρεσι καιροῦ καὶ πρέποντος στοχασάμενος; γλῶτταν δὲ τίς οὕτως ἐπέσχε, καὶ ταῦτα νεανικὴν καὶ τρέχειν ἐπισταμένην ὑπὸ χαλινὸν ἅμα καὶ τεχνικῶς; τίς δὲ οἷς λέγει νοῦν ἐφιστάνει, καὶ τῶν λεγομένων ἕκαστον ἐπιχρώννυσι πρώτως, εἶθ' οὕτως ἐξάγει, πολλάκις ἐπιχρώσας τὸ εἰκονιζόμενον, ἵνα σὺν καλῷ καὶ πρέποντι ὀφθείη τῷ σχήματι; τίς δὲ τηλικαῦτα ἔχων παρὰ τοῦ γένους τὰ ὑποδείγματα, αὐτὸς καὶ τοῖς ἄνω καὶ τοῖς μετὰ τοῦτον εἰς τελεώτατον παράδειγμα ἤρκεσε, καὶ βεβοήθηκεν οὐ τῷ λόγῳ μόνον, ἀλλ' ἔστιν οὗ καὶ τοῖς πράγμασιν, αὐτὸς μὲν οὖν τῆς ἐνταῦθα τιμῆς κατωλιγωρηκώς, τὸ δὲ γένος ξύμπαν ἀνενεγκών; τίς δὲ ἕτερος οὕτως ἢ πρὸς βασιλέα πεπαρρησίασται, ἢ τὴν τῶν ὅλων προστασίαν ἀναδεξάμενος πᾶσι πρὸς τὸ δέον ἐξήρκεσε; ποῖος δὲ τῶν πάντων οὕτω παρὰ τῶν κρατούντων τετίμηται, ὡς καὶ δεξιὰς τούτῳ ἐμβάλλειν καὶ κοινωνεῖν κρατῆρος καὶ ἀπὸ τῆς αὐτῆς σιτεῖσθαι ἐᾶν;

Ὅ γέ τοι τοὺς βασιλεῖς πάντας ὑπερβαλόμενος ἀρετῇ καὶ φιλοτιμίᾳ, ὁ τῷ μεγάλῳ Κωνσταντίνῳ καὶ ὁμώνυμος καὶ ὁμότροπος, καὶ μόνος πρὸς πάντας γενναίως ἀνταγωνισάμενος, καὶ τὴν ὁμωνυμίαν λαβὼν τῆς τέχνης καὶ τῆς νίκης κατήγορον, καὶ πατέρα τοῦτον σοφῶς προσηγόρευσε, καὶ μᾶλλον τετίμηκεν ἢ τὸν Πλάτωνα Διονύσιος· ἐς γὰρ τὸν ὅμοιον ἐγκαθίσας θρόνον οὐ μετεβάλετο, οὐδὲ μετέστησε τὸν φιλόσοφον ἐς τοὺς ἀντιζήλους, οὐδ' ὑφειμένην δίαιταν ἐκλήρωσεν, ἀλλὰ καὶ διδασκάλῳ ἐκέχρητο, καὶ πολλὰ παρὰ τούτου πρὸς τὴν βασιλικὴν ἐπιστήμην ὠφέλητο, θαμά τε ὡμίλει, καὶ ἐκοινώνει τῶν ἀπορρήτων, καὶ παρ' αὐτοῦ τὰ συνθήματα τῶν πρακτέων ἐλάμβανεν. Οὗτος δὴ οὖν ὁ αὐτοκράτωρ καὶ τὸ ἀρχιερατικὸν ἀξίωμα τούτῳ ἐσκιαγράφησε, καὶ πρώτως ἰδών, (ἦν γὰρ εἰ καί τις ἄλλος εἰς ψυχὴν

βάλλων ἀπὸ τοῦ σχήματος, καὶ τὸ μέλλον ἀπὸ τοῦ ἐνεστῶτος εἰκάζων) τῆς τοῦ πνεύματος χάριτος ἄξιον οὕτως εἰπεῖν ἐδογμάτισεν.

Ἀλλὰ τί μὴ εἰς ἀρχὴν τὸν περὶ τούτου λόγον ἐπανάγω, ἵν' ἔχοιμι ἐκεῖθεν καὶ μὴ αὐτόθεν εἰσβάλλειν εἰς τὴν τῆς ἀρχιερωσύνης ἀναγωγὴν τοῦ ἀνδρός; Τοῦτον γὰρ ἐδημοσίευσε μὲν ὁ λόγος καὶ ἡ ἀρετή, καὶ ἐς μέσην καθίστων περιωπήν, συνέστελλε δὲ ἡ περὶ τὰ κρείττω εὐλάβεια|, καὶ τὸ τῆς ψυχῆς φ. 177ᵛ.
ἦθος, καὶ τὸ καταφρονεῖν ὕψους θρόνων καὶ τῆς ἐκεῖθεν δόξης τε καὶ λαμπρότητος· τὰ μὲν οὖν ἐβιάζετο τοῦτον εἰς τὴν τοῦ καλοῦ παρρησίαν, τὰ δέ, κατεῖχεν ἐφ' ἑαυτοῦ κατατρυφᾶν τῆς μυστικῆς εὐδοξίας· ἦν δὲ αὐτῷ τὰ μέν, ἄπο τρόπου, τὰ δὲ πρὸς τρόπου· ὅθεν καὶ νικᾷ ἑαυτῷ, καὶ παραχωρήσας τοῦ βήματος τοῖς ἐλάττοσι, τοῦτο γὰρ νῦν προστίθημι, αὐτὸς μετὰ τῶν κρειττόνων ἐντὸς ἐγεγόνει τοῦ ἄνω καταπετάσματος.

Ἔγωγ' οὖν αὐτῷ πολλάκις τὴν ἀμετρίαν τῆς ἀδοξίας ὠνείδιζον, εἶχον γὰρ τὸ θαρρεῖν αὐτῷ παρὰ τὴν τοῦ λόγου κοινωνίαν, καὶ ἐπειρώμην ἐκκαλύπτειν καὶ ἐπὶ τῆς λυχνίας τιθέναι, ἵν' οὕτως πυρσεύοι τῇ οἰκουμένῃ ἃ συνειλόχει σωτήρια διδάγματά τε καὶ δόγματα· ὁ δέ, ταχύ τι μὲν τὸ πτερὸν ἡπλώκει, ὥς περ δὲ δεδιὼς τὸν πολὺν ἀέρα, αὖθις ἐπὶ τοῦ φωλεοῦ λανθάνων ἐμεμενήκει· εἶθ' ἑκατέρωσε διαλαβόντες, ἔνθεν μὲν ὁ αὐτοκράτωρ, ἐκεῖθεν δὲ ὁ τὴν ἀρχιερωσύνην ἰθύνειν λαχών, ὁ μέν, ταῖς ἀνάγκαις, ὁ δέ, ταῖς ψήφοις, ὥς περ δὴ ἀετιδῆ, καὶ ταῦτα κούφοις πτεροῖς ἐπαιρόμενον, ἐπὶ τοῦ τῆς ἀρχιερωσύνης θρόνου τιθέασι, καὶ ἐξαίρουσιν αὐτῷ ὥς περ τινὶ κρείττονι τὰ Εὐχάϊτα, οὐ μᾶλλόν γε τοῦτον ἀνάθημα τῇ μητροπόλει παρέχοντες, ἢ ἐκείνην ἐξαρτῶντες τῆς ἐκείνου ψυχῆς· ἔδει γὰρ τῷ μεγίστῳ μὲν τῶν μεγίστων, τοῖς μείζοσι δὲ τοῦ μείζονος, ὅθεν εὖ ποιοῦντα τὰ ἄκρα συνέδραμεν εἰς ταὐτό.

Ἆρ' οὖν τοῦ μὲν λόγου εἰς ἄκρον ἀντεποιήσατο, τῶν δ' ἐπὶ

τοῖς λόγοις ἔργων ἠμέληκεν, ἢ καὶ ταῦτα μὲν κατώρθωκε, τῆς δὲ τῶν ἠθῶν ἠμέλησε κράσεως; ἢ καὶ ταῦτα μὲν ὑπὲρ λόγον συνεκεράσατο, τῆς δὲ ἀρετῆς ξυμπάσης οὐκ εἰς ἄκρον ἀφίκετο; ἢ καὶ πρὸς τοῦτο μὲν ἀνέπτη, οὐκ ἀρκοῦσαν δὲ παρασκευὴν πρὸς τὴν ἀρχιερωσύνην πεποίηται; ἀλλ᾽ ἀποχρῶν οὕτω δόξας· εἶτα δὴ τοὺς θρόνους ἐδίωξεν ὡς ἐπὶ τούτους παρεσκευασμένος; ἀλλ᾽ οὐκ ἐδίωξε μέν, διωχθεὶς δὲ καὶ λαβὼν τῶν ἐπειλημμένων κατωλιγώρηκεν, ὥς περ καταπαύσας τῶν σπουδασμάτων, ἀλλ᾽ οὐκ αὐξάνειν τὸ δεδομένον βουλόμενος τάλαντον; πολλοῦ γε καὶ δεῖ· οὐ γὰρ ἵνα τρυφῴη πέπειστο τὸν θρόνον λαβεῖν, ἀλλ᾽ ἵνα στενοχωροῖτο μὲν αὐτός, ἑτέροις δὲ παρασκευάζοι τὸ ἀποχρῶν· οὐδ᾽ ἵνα τι ὑφαιροῖτο τῶν τῆς ἐκκλησίας, ἀλλ᾽ ἵνα πλείονα ταύτῃ ὧν ἔχοι προσθείη. Διὰ ταῦτα, καίτοι τἆλλα ἀφελῶς ἔχων τῶν πραγμάτων; οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην καὶ τὸ οὕτω βούλεσθαι βιοτεύειν, ἐνταῦθα γενόμενος, ὥς περ τὸν ἄλλον χρόνον καταδαρθάνων, ἀθρόον ἀνίσταται, καὶ περιζωσάμενος τὴν ὀσφύν, τί μὲν οὐκ εἰρήκει περὶ τῶν τῆς ἐκκλησίας πραγμάτων, τί δ᾽ οὐκ ἐπεπράχει, ποίαν δ᾽ οὐκ εἰσηνέγκατο προθυμίαν τε καὶ σπουδήν;

Αὐτίκα, ἵν᾽ ἀφ᾽ ἑστίας ἄρξωμαι, ὥς περ τὴν ὑπερουράνιον πᾶσαν τάξιν ὀφθαλμοῖς θεασάμενος, κατὰ τὴν ἐκεῖσε ἰδέαν καὶ σύνταξιν τὴν τῆς ἐκκλησίας ῥυθμίζει κατάστασιν, οὐχ ἧττόν γε ἢ Μωϋσῆς τὴν κάτω σκηνὴν συμπηγνὺς κατὰ τὸ δειχθὲν ἐκείνῳ παράδειγμα· εἴτε γὰρ ἐν Σεραφὶμ μέλη ὑμνούμενα, εἴτε ἐν Χερουβὶμ προσᾳδόμενα, εἴτε παρὰ τῶν θρόνων συναρμοζόμενα, εἴτε παρὰ τῶν ἐφεξῆς τάξεων μελουργούμενα, εἴτε παρὰ τῶν θείων ψυχῶν μουσουργούμενα, πάντα ἄν τις ἴδῃ ἐν τῇ κατ᾽ αὐτὸν μητροπόλει τῷ κρείττονι φωναῖς ἀσιγήτοις ἀναπεμπόμενα· προστέθεικε ταῖς χοροστασίαις τοὺς κύκλους τῶν ψαλλόντων, ἐπηύξησε τοῖς μέλεσι μέλη, καὶ τοῖς ῥυθμοῖς ῥυθμοὺς προσενήνοχεν· ἐξαπτέρυγά τινα καὶ πολυόμματα περὶ τὴν ἱερὰν

ἔστησε τράπεζαν· τὰς στάσεις ἐφεξῆς ἐν μέτροις ἐρρύθμισεν ἀποστάσεων· ἐδημοσίευσε πᾶσι τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος· διέλυσε τὰ αἰνίγματα, ἀνεκάλυψε τὰ συνθήματα, διεῖλε τὰ σύμβολα, γυμνὴν πᾶσι παρέστησε τὴν χάριν τοῦ πνεύματος· πᾶν ἔθνος ἐπισυνήγαγε, πᾶσαν τέχνην, πᾶν ἐπιτήδευμα, ἔνδον τοῦ ἱεροῦ πάντας συνήγαγε, καὶ τὰς ἀγροίκους γλώσσας πρὸς τὴν τοῦ κρείττονος ὑμνῳδίαν ἐρρύθμισεν· ὢ τοῦ θαύματος, οὔθ' ὁ τέκτων, οὔθ' ὁ σκυτοτόμος, οὔθ' ὁ χαλκεύς, οὐδ' εἴ τις ἕτερος χειρῶναξ ἢ βάναυσος, τῶν μυστηρίων ἀτέλεστος, οὐδὲ τῆς πρὸς τὸ θεῖον ἐμμελείας ἀμέτοχος, ἀλλ' ᾧ πρὸ βραχέος τὸ σκύτος ἐν ταῖς χερσίν, οὗτος ἔνδον γενόμενος τοῦ νεὼ ἀθρόον μεταπεποίηται, καὶ τήν τε φωνὴν συνηχεῖ ταῖς ἀγγελικαῖς σάλπιγξι, τούς τε δακτύλους ῥυθμίζει πρὸς τὴν τοῦ χοροῦ συμφωνίαν· οὐδὲ τὸ θῆλυ πόρρω τ....... ἀλλὰ καὶ ταύταις ἔστι τινὰ μέλη τοῖς μείζοσι συνυπηχοῦντα χοροῖς· οὐ γὰρ κόκκινον νενησμένον, οὐδὲ τρίχας αἰγείας τῇ τοῦ θεοῦ σκηνῇ συνεισφέρουσι, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ ταῦτα μὲν ἔξω που τοῦ ναοῦ ἀφιᾶσιν ὡς ἀσυντελῆ πρὸς τὴν κρείττω ἱερουργίαν, ψυχῆς δὲ ἁρμονίαν προσάγουσι, καὶ γλώττης εὐρυθμίαν, καὶ χειρῶν ἐργασίαν πνευματικήν.

Τὰ μὲν οὖν περὶ τὴν ἐκκλησίαν αὐτῷ τοιαῦτα καὶ οὕτως εὖ ἔχοντα, ποδαπὰ δὲ καὶ τὰ ἐκτὸς τοῦ νεὼ θεωρήσωμεν· δημοσίων τελῶν ἐκκοπαί, γεωργικῶν ἔργων τῶν ἔξωθεν ἐπηρεαζόντων σχολαί, δυναστῶν ἐποχαί, δικαστῶν περὶ τὸν θεῖον ἀρχιερέα ὑποπτώσεις τε καὶ εὐλάβειαι, βασιλέων περὶ τὴν ἐκκλησίαν χεῖρες καὶ γνῶμαι φιλότιμοι. Ἐπωρύονται κύματα ἕως τῶν οὐρανῶν ἀναβαίνοντα καὶ αὖθις μέχρι τῶν ἀβύσσων συγκαταρρέοντα, ἀλλὰ τὴν θείαν ταύτην οὐκ ἐπικλύζει μητρόπολιν, ἀλλ' ἐπειδὰν ἅψηται τῆς περιβολῆς τοῦ νεώ, ὑποστρέφει καὶ ἠρεμεῖ· πνεύματα ἐκ τῶν νεφῶν συρρηγνύμενα, τυφῶνες καὶ ἐκνεφίαι αὐτὸ δὴ τὸ νέφος ἐπισυρόμενοι, καὶ τὸ προστυχὸν

παρασύροντα, ταύτην μόνην τὴν ἐκκλησίαν οὐ θορυβεῖ· δεδίασιν αὐτὴν καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ σεισμοί· καὶ βασιλεῖς πῦρ πνέοντες ταύτην μόνην οὐκ ἐμπιπρῶσιν, αἰδοῖ τοῦ ἀρχιερέως καὶ φόβῳ τοῦ κατ' αὐτὸν ἀξιώματος· δεδίασι γὰρ τούτου καὶ χεῖρας ἐπαιρομένας πρὸς τὸν θεόν, τάς τε προφανεῖς εὐχὰς καὶ τὰς ἀφανεῖς, καὶ τὴν τῶν δακρύων ἐπιρροήν, καὶ τοὺς λεπτοὺς στεναγμούς, καὶ τοὺς τῶν γονάτων τύλους· πεφρίκασι τὴν τῶν νώτων ἐν ἀδύτοις κάμψιν, καὶ διὰ ταῦτα οὔτε τις πράκτωρ ἐκεῖσε βαρύς, ἢ ἵνα αἰνιττόμενος εἴπω, οὔτ' ἐρυσίβη τοῖς τῶν Εὐχαΐτων καρποῖς ἐνοχλεῖ, οὐ βροῦχος ἐμβέβηκεν, οὐκ ἀκρὶς καθίπταται, οὐ κάμπη συγκαταρρεῖ, οὐκ ἄλλο τι τῶν πικροτέρων ἢ τὴν καλάμην διαλυμαίνεται, ἢ τὰς θήκας κενὰς δείκνυσι τῶν καρπῶν· ἀλλ' οὐδὲ τὰς ἀμπέλους διολλύει ἡ χάλαζα, ἀλλ' αἵ γε ἐλαῖαι τεθήλασι, καὶ τὰ δένδρα βρίθουσι τοῖς οἰκείοις καρποῖς, καὶ καθ' ὥραν πάντα τετρύγηται. Οὕτως ὁ ἀρχιερεὺς ἀντ' ἄλλου φυλακτηρίου πᾶσιν ἐστίν, οἷα δή τι χάλκεον τεῖχος ὅλην τὴν ἐκκλησίαν περιλαμβάνων, καὶ πᾶν ἐκεῖθεν τὸ βάρβαρον ἐμπιπρῶν, οὐχ ὡς ὁ ἐκ Σικελῶν Ἀρχιμήδης μηχαναῖς τισιν ἀστραπὰς ἐκεῖθεν ἐκπυρρηνίζων, ἀλλὰ θείῳ πυρὶ καταφλέγων τοὺς προσύλους καὶ φρυγανώδεις καὶ τὴν γνώμην καὶ τὴν προαίρεσιν.

Ἴσως μὲν οὖν τις τῶν πάντων ἐρεῖ, ὅτι χειρὸς εὐπορούσης ταῦτα, ἀλλ' οὐ φιλοτίμου ψυχῆς· τί δ' ἄν τις εἴπῃ περὶ ὧν πρὸ τῆς ἀρχιερωσύνης, ὁπηνίκα οὐδὲ πολλαὶ τῶν χρημάτων ἦσαν αὐτῷ ἀφορμαί, λαμπρῶς κατεσκεύασε καὶ μεγαλοπρεπῶς ἀπειργάσατο; ὃν γὰρ ἤγειρε τῷ μάρτυρι Θεοδώρῳ ναὸν ἐπ' αὐτῆς τῆς πατρίδος οὐκ οἶμαι δεύτερον εἶναι τῶν περιβοήτων τινὸς καὶ οὓς
φ. 178. βασιλεῖς ἀφι|δρύσαντο· οὕτω γὰρ καὶ τοῦτον ἐδείματο καὶ πᾶν ὅσον λαμπρότατον συνεισήνεγκεν, ὡς μηδένα τῶν ἄλλων τοῦτον νικᾶν δύνασθαι, ἀλλ' αὐτὸν ἑαυτοῦ ἡττᾶσθαι ἐφ' οἷς μετὰ ταῦτα πεποίηκε. Καὶ οὐ μέχρι τοῦ μεγαλοπρεποῦς ἔστη, ἀλλὰ καὶ

ψυχῶν κάθαρσιν καὶ σώματος ἁγνείαν οὐκ ἔξωθεν τοῦ νεώ, ἀλλ' ἔσωθεν οἱονεί τινα ψυχὴν σώματι ἐπεισήνεγκεν· ἱεροὶ γὰρ ὕμνοι κἀκεῖσε καὶ θεοπρεπεῖς λειτουργίαι διηνεκεῖς, καὶ Ναζιραίων χοροστασίαι οὐκ ἐλάττους τῶν Δαυϊτικῶν χορῶν, τῷ γε καλλίστῳ τοῦ σχήματος παρὰ τοῦ ἀνδρὸς ἐνομοθετήθησαν· ἔνθα ψυχῆς μὲν κάθαρσις τὸ φιλοσοφούμενον, ὕμνος δὲ εἰς θεὸν τὸ τελούμενον· καὶ μεμίμηται τὴν τῶν κρηπίδων τοῦ νεὼ πῆξιν τῆς νομοθεσίας τὸ πάγιον· αἱ γὰρ ἔγγραφοι περὶ ὧν τοῖς ἀσκηταῖς ἐνομοθέτησε διατάξεις, ἀντ' ἄλλου τινὸς φυλακτηρίου αὐτάρκεις τῷ πράγματι· ἔσται τοιγαροῦν ὥς περ φιλότιμος χείρ, οὕτω καὶ πλουσία ψυχή, ταμεῖον ἔχουσα μὴ κενούμενον τὸν Θεόν· καὶ ὅπερ ταῖς εὐπόροις χερσὶ τὰ ταμεῖα καὶ τὰ κιβώτια, οὕτω ταῖς μεγαλοπρεπεστέραις ψυχαῖς αἱ ἄνωθεν θησαυροί· κἂν βουληθείη πένης φιλόσοφος ὕδωρ οὐράνιον ἐπισπάσασθαι, ἀνοιγήσονται τούτῳ οἱ καταρράκται τοῦ οὐρανοῦ, οὐχ ἧττον ἢ τῷ Θεσβίτῃ, κἂν χρημάτων ἐπιδεηθείη ποτέ, ὁ τῶν πάντων πλοῦτος εἰς ἔρανον τούτῳ ἀρκέσει· καὶ ὥς περ τὴν θείαν ἐργαζομένῳ σκηνήν, οὐκ ἀρρένων μόνον βραχίονες εἰς τὴν ἐργασίαν λυσιτελήσουσιν, ἀλλὰ καὶ τὸ θῆλυ νήθουσαι τοῖς δακτύλοις ἔρια βεβαμμένα καὶ ὑφάσματα συνεισάξουσιν. Οὕτω γοῦν καὶ τῷ νέῳ τούτῳ Βεσελεὴλ καὶ ὄντως τῶν θείων σκηνῶν ἀρχιτέκτονι, αὐτὸς ὁ παρὰ τῶν στοιχείων εἰσαγόμενος πλοῦτος, θεοῦ προστάττοντος ἄνωθεν εἰς τὰ φιλοτεχνήματα ἐξαρκεῖ.

Ἔοικα δὲ πολλὰ ὑπερβαίνειν τῶν ἀναγκαίων εἰρῆσθαι, οὐ γάρ μοι κατ' ἐξουσίαν ὁ λόγος συντέθειται ὥς περ ἐπ' ἐλευθέρου ἀγῶνος, ἀλλ' ὥς περ εἰ κωμῳδίαν ἐποιούμην τινὶ τῶν ἀξίων ἀκούειν κακῶς, ᾐσχύνθην ἂν τὸν κωμῳδούμενον, οἷος ὁ ἐμὸς τρόπος, βάλλων ἀπὸ τῆς σκηνῆς καὶ πολλοῖς προσώποις τοῦτον ὑποκρινόμενος· οὕτω δὴ ἐρυθριῶ καὶ τὸν ἄνδρα τοῦτον τιμῶν, εἰδὼς ὅτι περ καὶ τοῖς ὀλίγοις ἐπαίνοις ἀπέχθοιτο, καὶ φορτικὸν ἄλλως αὐτῷ καὶ τὸ βραχὺ τῆς εὐφημίας πρόσρημα. Τοσοῦτον

γοῦν ὁ λόγος ζῶντι τῷ ἀνδρὶ ἐζημίωται, ὅτι μὴ ἔχει τῶν ἐγκωμίων ἐλευθερίαν, τοσοῦτον τὸ περιὸν τῆς ἀρετῆς τῷ ἀνδρί, ὅτι ὥς περ αὐτὸς τὴν καλοῦ διώξας ἰσότητα, τὴν ἐναντίαν ὁδὸν πρὸς ἑαυτὸν ἔρχεται, καὶ ἀγρυπνῶν μὲν εἴποι ἂν ὑπνώττειν πολλά, καὶ δικαιοσύνης ἐπιμελόμενος, ἀδικίαν ἑαυτοῦ καταγνοίη, καὶ τὰ πρῶτα ὢν γνώσεως καὶ φρονήσεως, μή τ' εἰδέναι τι τῶν ὅσοις σοφία ἐπιστατεῖ, μήτε πράττειν τε καὶ λέγειν ὁπόσα δὴ ἐν καιρῷ ποιεῖν προσποιοῖτο, ἀλλὰ τἀναντία πράττων τε καὶ λέγων, ἐκ τῶν ἐναντίων ἡδέως ἂν αὑτὸν γράψειεν· οὕτω δὴ καὶ τοὺς περὶ αὐτοῦ λέγειν προῃρημένους, εἰ μὴ ἀτιμάζειν πείσειεν, ἀλλ' ἐλαττοῦν ἀναγκάσειε τὰ ἐγκώμια.

Ἔγωγ' οὖν, εἰ μὴ τοῦτον ἐφοβούμην τὸν φόβον καὶ ὑπώπτευον τοῦ ἀνδρὸς τὴν εὐλάβειαν, πάλαι ἂν καὶ τοῖς Παύλου πόνοις τὰ κατ' αὐτὸν ἀπείκασα πράγματα· ποιοῦμαι δὲ ἐν τῷ λεληθότι πρὸς ὑμᾶς τὸν λόγον, ἵνα μὴ ὁ ἐγκωμιαζόμενος πύθοιτο· εἰ γὰρ καὶ μὴ σύμπασαν διελήλυθε τὴν οἰκουμένην κηρύττων τὸ Εὐαγγέλιον, μὴ δ' εἰς Ἀρραβίαν ἀνελήλυθε, μὴ δὲ μέχρι τοῦ Ἰλλυρικοῦ προελήλυθεν, ἀλλ' ἥν γε ἐκληρώσατο πόλιν καὶ ὅπερ ἐπιστεύθη ποίμνιον, οὕτω δή, τὴν μὲν ἐτείχισε, τὸ δὲ ἔθρεψε καὶ ἐποίμανεν, ὡς ἐκείνην μὲν ἀντ' ἄλλου τινὸς φυλακτηρίου καὶ τῶν ἐγγὺς προβεβλῆσθαι πόλεων, τοῦτο δὲ μήτε πηγῶν ἀπορεῖν τῶν ἡδίστων, μήτε νομῆς τῶν τροφίμων, ἀλλ' ἔχειν τὰς μὲν καὶ ἑτέροις ποιμνίοις ἐκχεῖν, τῶν δὲ καὶ ἑτέροις μεταδιδόναι· καὶ θαλαττίους μὲν ἴσως οὐχ ὑπέμεινε κλύδωνας, τοῖς δὲ κατ' ἤπειρον καμάτοις ἐστὶν ὅπῃ παραμετρηθείη τῷ Παύλῳ. Περὶ δὲ τῶν σκανδάλων καὶ τῶν πυρώσεων, εἰ βούλοιτ' ἂν εἴπῃ περὶ αὐτοῦ μεγαλοφωνότατα, καὶ τοσοῦτον αὐτῷ τὰ περὶ τῆς πυρώσεως, ὅτι μηδενὶ τοῦ λοιποῦ σκανδαλίζεσθαι δέδωκεν, οὔτε περὶ τῶν μειζόνων, οὔτε περὶ τῶν ἐλαττόνων· ἀνεῖλε γὰρ τὰ σκῶλα πᾶσι καὶ τὰ προσκόμματα, καὶ διέλυσε τοὺς ἐν μέσῳ φραγμούς, καὶ πᾶσιν ἐσπείσατο, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πάντας ἀλλήλοις εἰς ὁμόνοιαν συνεκέρασε, καὶ συνασθενήσας τοῖς ἀσθενοῦσι, νῦν ἐρρωμένος καὶ ὅλος ὑγιὴς εὐεκτοῦντι παντάπασι τῷ ποιμνίῳ συνήδεται. Τὸ μέντοιγε περὶ πασῶν μεριμνᾷν τῶν ἐκκλησιῶν, τοῦτο οὐκ ἄν τις ἀφέλοιτο τοῦ ἀνδρός, τεκμήριον τῆς τοιαύτης φροντίδος ποιούμενος τὸ οὕτω φροντίσαι τῆς ἑαυτοῦ, ὡς παράδειγμα τοῖς ἄλλοις στῆσαι, εἰ βούλοιντ' ἂν τῶν ὁμοίων ἔχεσθαι πράξεων· τῷ γὰρ περὶ ἓν πιστῷ γεγονότι κατὰ τὸ Εὐαγγέλιον, ἀρκεῖ πρὸς τὸ κατὰ πολλῶν ἢ ἐπὶ πολλοῖς. Οὐ γὰρ ὥσπερ φιλοτιμούμενος τὴν κατ' αὐτὸν ἐκκλησίαν παντοδαποῖς τρόποις συνηύξησε καὶ ἐκόσμησεν, ἵν' ἔχοι κατὰ τῶν ἄλλων ἐπαίρεσθαι, ἀλλ' ὡς παντὸς ἐχόμενος τοῦ θείου σκοποῦ τὸν ἑαυτοῦ ζῆλον διὰ μιᾶς ταύτης ἐγνώρισε· καὶ εἴ γε ἐξῆν, καὶ πάντες ἐδίδοσαν, οὐκ ἂν ὤκνησεν ἁπανταχῆ διαβῆναι, καὶ πᾶσαν ὑψῶσαι καὶ καλλῦναι μητρόπολιν· ἔστι δὲ ταὐτὸ τοῦτο καὶ ῥᾷστον ὁμοῦ καὶ ἐπίπονον τῷ ἀνδρί, τὸ μέν, διὰ τὴν τῆς ψυχῆς φροντίδα τὰς σάρκας ἐκτήκουσαν, τὸ δέ, διὰ τὸ τῆς γνώμης ἀξίωμα, πάντων ὑποχωρούντων καὶ ὑποστελλομένων αὐτῷ. Τοῦτο γοῦν ἔχει πλέον τοῦ Παύλου, ὅτι τῷ μέν, δι' ὑπερβολὴν τῶν ἀποκαλύψεων, ἄγγελος ἐδόθη Σατάν, ἵνα μὴ φαντασθείη τι κρεῖττον περὶ ἑαυτοῦ, μὴ δ' ὑπεραίρηται ὅς τις ὁ Σατὰν οὗτος καὶ ὁ τῆς σαρκὸς σκόλοψ, τῷ δέ, οὐδεὶς τῶν πάντων ἀντεπανίσταται, ἀλλ' ὅπη δὴ καὶ χωρήσειε, ῥᾷστα πάντα καὶ ἕτοιμα, οὐδὲν ἔλαττον ἢ τῷ τοῦ Ἀμφιτρύωνος πᾶσαν γῆν ἐπιόντι καὶ τοῦ ἄγους καθαίροντι· χρῶμαι δὲ καὶ τοῖς Ἑλληνικοῖς λόγοις ἐνιαχοῦ, οὐ τοῦτο ἀγνοῶν, ὅτι χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα, οὐδ' ὅτι μὴ δεῖ τοῖς ποτίμοις ὕδασι συγκρίνειν τὰ ἁλμυρά, ἀλλ' ἐπειδὴ τὰ παρ' ἡμῖν ὑπερβάλλει ἐν θαύμασιν, ἀποχρῶμαι ταῖς παρ' ἐκείνοις ὑπερβολαῖς, ἵν' ἔχοιμι δεικνύειν ὅτι μὴ δ' ὧν Ἕλληνες ἐπ' ἐξουσίας συμπλάττουσιν, ἔλαττον ἡμεῖς ἐπὶ τῆς ἀληθείας συνομολογούμεθα· εἶεν. Περὶ δὲ τῆς εἰς τρίτον οὐρανὸν ἀναβάσεως καὶ τῆς ἐκεῖθεν εἰς τὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

παράδεισον μεταθέσεως, καὶ τῶν ἀρρήτων ῥημάτων τῶν οὔτε νῷ ληπτῶν, οὔτε γλώσσῃ ῥητῶν, οὔτε ἀκοῇ χωρητῶν, τί ἄν τις εἴπῃ, καὶ πῶς εἰς ταὐτὸν ἀγάγοι τῷ Ἀποστόλῳ τὸν εὐφημούμενον; οὔκουν ἐγὼ τὴν ἐνταῦθα σύγκρισιν ψεύσομαι, οὐδὲ ταὐτὸν πείσομαι τοῖς περιττοῖς σοφισταῖς, τῷ περιόντι τῆς πιθανότητος καὶ τῆς περὶ τὸ λέγειν δυνάμεως εἰς ταὐτὸν ἄγουσι τὰ ἀσύμβατα, ἔνθα καὶ τὸ μεῖζον ὑβρίζουσι καὶ τοῦ ἐλάττονος καταψεύδονται.

φ. 178ʳ. | Ὁ μὲν οὖν Παῦλος, ἅτε δὴ καὶ θείαν φύσιν λαχὼν καὶ κρείττονα χάριν τοῦ θείου πεπλουτηκὼς πνεύματος, καὶ Βενιαμεὶν τῷ ὄντι νεώτερος ἐν ἐκστάσει προκηρυχθείς, ἐπῆρται πρὸς οὐρανόν, λέγω δὴ τὸν τρίτον, τόν τε ὑπὲρ κεφαλῆς ἀέρα διαβεβηκώς, καὶ τὸ αἰθέριον σῶμα ὃ δὴ στερέωμα τῇ ἐκκλησίᾳ φίλον καλεῖν, καὶ τῷ ἐν ἀρχῇ πεποιημένῳ παρὰ τοῦ ποιήσαντος πεπλησιακώς· τούτῳ δὲ οὐ τοιαύτη ἡ ἔπαρσις, ἐπεὶ μὴ δέ τῳ τῶν ἄλλων ἀνθρώπων, οὐ τῶν νῦν, οὐ τῶν πώποτε, τίς γὰρ ἂν Παύλῳ γένοιτο παραπλήσιος; ἀλλ᾽ εἴ τίς ἐστι νοῦ θεωρία τις καὶ ἀνάβασις, καὶ μερικὴ τῶν ὄντων κατάληψις, καθ᾽ ἣν οἱ οὕτως αἰρόμενοι καὶ φωνῶν τινων δοκοῦσιν ἀκούειν καὶ συνεῖναί τισι θεοειδεστέραις δυνάμεσιν, ἦρται κατὰ ταύτην καὶ οὗτος, καὶ ὑπερβὰς τὴν ἀχλὺν τῆς γενέσεως, καὶ εἰς τὸ ὕψος τῆς γνώσεως διαβάς· ὥς περ γὰρ τὸ τελευταῖον ἄκρον τῆς πράξεως τῷ πρώτῳ τῆς θεωρίας συνάπτεται, οὕτω καὶ εἴ τις ἀκριβῶς θεωρήσειεν, εὐθὺς ἔχει τὰ κρείττονα, δυοῖν θατέρου συμβαίνοντος, εἴτε τοῦ θεοῦ καταβαίνοντος εἰς τὸν νοῦν, εἴτε τοῦ νοῦ πρὸς θεὸν ἀναβαίνοντος. Ἀλλὰ τίς τόπος τῆς τοῦ θεοῦ ἀναπαύσεως, ἢ τίνι τῶν πάντων χωρητὸς ὁ ἀχώρητος, οὐχὶ δὲ καὶ διὰ κενοῦ τοῦ παντὸς χωρήσει, κατιὼν ἢ ἀνιών, ὅς γε δὴ ἑαυτοῦ τὸ πᾶν συμπεπλήρωκε καὶ ὑπὲρ τὸ πᾶν ἐφ᾽ ἑαυτοῦ ἕστηκεν; οὔκουν ἐκεῖνον γινώσκομεν καταβαίνοντα, ἀλλ᾽ ἡμεῖς ἀναβαίνοντες, ἐλλάμψεις παρ᾽ αὐτοῦ εἰς τὴν ἐκείνου γνῶσιν δεχόμεθα·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ τὸ ἐνοικεῖν γὰρ τὸν Θεὸν καὶ ἐμπεριπατεῖν ἡμῖν, καὶ τὸ σὺν τῷ πατρὶ δὲ τὸν λόγον συνιέναι καὶ μονὴν ἐπὶ τοῖς θειοτέροις ποιεῖν, καὶ τἆλλα ὅσα οὕτως ἡ Γραφὴ συγκαταβαίνουσα διαλέγεται, οὐ συγκαταβάσεώς ἐστι τοῦ Θεοῦ πρὸς ἡμᾶς σύμβολον, ἀλλὰ τῆς πρὸς ἐκεῖνον ἡμῶν ἀναβάσεως· αὐτῇ γὰρ οὐσίᾳ καὶ αὐτῷ πράγματι ἅπαξ καταβέβηκε πρὸς τὴν ἡμετέραν φύσιν ὁ ταύτην προσειληφὼς ἀπορρήτῳ τρόπῳ καὶ ὃν οὐδ' ἂν γνοῖεν οὐδ' ἄγγελοι, οὔτε τὸν πατρῷον κόλπον ἀφεὶς καὶ τὴν τῆς παρθένου νηδὺν οἰκήσας καινοπρεπῶς. Εἰ γοῦν τεθεώρηκεν ὁ εὐφημούμενος, πάντως καὶ ἥρπασται, τοῦτο γὰρ ὁ λόγος διηγωνίσατο· μετετέθη δὲ καὶ πρὸς τὸν παράδεισον, ἔνθα καὶ μεμύηται τὰ ἀπόρρητα· τῶν μὲν γὰρ ἐν οὐρανῷ φωνῶν ἴσως ἀχώρητος, ἡ δὲ χθαμαλωτέρα μετάθεσις διομαλίζει τῷ θεωρῷ τὰ μυστήρια, καὶ δεῖ καταβαίνοντας τοὺς μύστας ἐκ τῆς οὐρανίας περιωπῆς, μὴ εὐθὺς εἰς τὴν γῆν καθέλκεσθαι, ἀλλ' ὥς περ ἐν ἐλάττονι σταθμῷ μεταβάντας εἰς τὸν παράδεισον, κἀκεῖ τῶν προσφυῶν μυστηρίων ἀξιωθέντας, οὕτως ἐξ ὑπογύου πρὸς τὴν γῆν κατιέναι.

Τοιοῦτος ἡμῖν ὁ θεῖος ἀρχιερεύς, τοῖς μὲν ἄκροις ἀπεικασμένος, καί τινα σκιὰν ἔχων τῆς ἐκείνων μορφῆς, τοῖς δὲ μέσοις ἀφωμοιωμένος, τῶν δὲ μετὰ τούτους ὑπερανέχων. Ἔγωγ' οὖν αὐτὸν ὥς περ καθυφῆκα τοῦ Παύλου, οὕτως εἰς ἴσον ἄγω τῷ Σαμουὴλ καὶ τῶν μετ' ἐκεῖνον ἀρχιερατευσάντων προτίθημι· προκέκληται γὰρ καὶ οὗτος ὑπὸ τοῦ λόγου, καὶ τῆς ἐπωμίδος καὶ πρὸ τῆς ἀρχιερωσύνης ἠξίωται, καὶ κέχρισται τῷ ἐλαίῳ τῆς χάριτος, ἐντὸς δὲ τοῦ καταπετάσματος οὐχ ἅπαξ, ἀλλὰ πολλάκις τοῦ ἔτους γίνεται, καὶ τὴν κιβωτὸν ὁρᾷ ἀτρεμίζουσιν ὄμμασιν, οὐκ ἐν τοῖς συμβόλοις, οὐδ' ἐν τοῖς χρυσοῖς Χερουβίμ, ἀλλὰ καθαρῶς καὶ γνησίως δορυφορουμένην ὑπὸ τῶν ἄνωθεν τάξεων, φημὶ δὴ τὴν παρθένον καὶ θεοτόκον, ἧς ὁ σωματικὸς τύπος αὐτὸ δὴ τοῦτο σύμβολον καὶ προχάραγμα. Ζήλῳ δὲ πολλάκις θείῳ πυρούμενος, πῦρ μὲν οὐκ ἐφέλκεται ἐπὶ τοὺς

πονηροτέρους οὐράνιον, οὐδὲ δι' ἀμφοῖν τῶν ἀσελγαινόντων τὸν σειρομάστην ὠθεῖ, ἀλλὰ παρρησιάζεται κατὰ τῶν ἀσεβούντων, καὶ τὴν πλάνην αὐτοῖς ἐλέγξας καὶ διασείσας μετατίθησι πρὸς εὐσέβειαν· ἀναλύει τε τὴν τῆς ἁμαρτίας πλοκὴν καὶ τὸ τῆς αἰσχύνης αἶσχος ἐν τῇ διαιρέσει προδείκνυσι, καὶ οὓς ὁ τῆς ἐπιθυμίας οἶστρος εἰς μισουμένην μίξιν συνέπλεξε, τούτους ἐντεῦθεν ἀποδιελών, ἑνοῖ τῷ θείῳ σκοπῷ καὶ τῷ τῆς σωφροσύνης θεσμῷ. Οὐ ταῦτα μείζω τῶν πάλαι θαυμαζομένων; ἔμοι γοῦν κριτῇ, καὶ εἴ τις ἕτερος τὴν διὰ λόγου παιδαγωγίαν κρείττονα πάσης ἡγεῖται τομῆς τε καὶ καύσεως.

Εἶτα τί, ὦ τιμία μοι καὶ αἰδέσιμος κεφαλή; πρὸς σὲ γὰρ ἤδη τὰς τοῦ λόγου μεταβάλλω ἡνίας, ἵνα σοι ἐγγύτερον καὶ γνησιώτερον διαλέξωμαι, εἰ δὲ καὶ ἐν μέρει καθάψωμαι, πράως τὸν λόγον ὑπένεγκαι, κἂν εἴ σοι τὸ ἀπόρρητον ἐκκαλύψω, μὴ ἐρυθριάσῃς, οὐ γὰρ ἵνα σοι δημοσιεύσω τὸ κεκρυμμένον, ἀλλ' ἵνα σοι τὴν γνώμην ἐλέγξω, πρὸς δὲ καὶ ἐπίσχω τοῦ ἐνθυμήματος, ἔκφορον τοῖς πολλοῖς ποιήσομαι τὸ τέως ἀπόρρητον· εἰ μὲν γὰρ ᾔδειν ἄνωθέν σοι τὸ βεβουλευμένον δεδόσθαι, ἵν' ὥς περ εἰς τὴν ἀρχιερωσύνην ἐκ τῆς προτέρας ζωῆς μετελήλυθας, οὕτω δὴ πάλιν ἐντεῦθεν εἰς ἑτέραν μεταχωρήσειας κρείττονα, ἐδεξάμην ἂν ὡς θεῖον τὸ βούλευμα, καὶ συνεβούλευσα ἄν σοι μὴ δὲ βεβουλεῦσθαι περὶ τοῦ πράγματος, ἀλλ' αὐτίκα καταπράξασθαι τὸ ἐντεταλμένον ὡς ἄνωθεν ἧκον καὶ τοῦ θείου βουλευτηρίου· ἐπεὶ δέ, οὔτε θείας περὶ τούτου ἠκηκόεις φωνῆς, οὔτε παρά του τῶν κρειττόνων ἐχρηματίσθης δυνάμεων, τὰ τῆς ἱερωσύνης μὲν ἀποθέσθαι σύμβολα, ἐπ' ἄλλον δὲ σαυτὸν βίον μετενεγκεῖν, πόθεν οὕτως ἰσχυρογνώμων περὶ τοῦ δεῖν ὑποδύσασθαι τὸν ποδήρη καθέστηκας; ὅτι δεῖ σοι τῷ σώματι ἀναπαύσεως, καὶ τῶν πολλῶν ἀπηλλάχθαι πόνων τε καὶ καμάτων ὧν τοῖς λογικοῖς εἰσενήνεξαι θρέμμασιν; Ἀλλ' οὐ τοῦτο· θεὸς βούλεται μέχρι μέν τινος ἐργάζεσθαι ἡμᾶς ἀρετὴν καὶ ἐπαυξάνειν τὸ τάλαντον, εἶτα δὴ

μετατίθεσθαι τοῦ σκοποῦ καὶ ἵστασθαι τοῦ προσωτέρου δρόμου καὶ τῆς συνεχοῦς συντονίας, ἀλλ' ἀεικινήτους εἶναι πρὸς τὸ καλόν, ἄχρις ἂν πρὸς τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων, ἔφησέ τις σοφὸς καὶ παρὰ σοὶ θαυμαζόμενος, καὶ στῶμεν καὶ τῆς ἐφέσεως καὶ τῆς ἀναβάσεως. Ἕως δ' ἂν ἀθέατος ἡ τοιαύτη πηγή, φωτὶ προσληψόμεθα φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον· καὶ τοῦτο γὰρ τοῦ αὐτοῦ κρατῆρος· ἀλλ' οὐκ ἀμβλυντέον ἡμῖν τοὺς ὀφθαλμοὺς ἐξεπίτηδες, οὐδὲ τὴν πορείαν ἀναλυτέον, ἵν' ἀπὸ φωτὸς μείζονος ἔλαττον θεασώμεθα, ἀπὸ δὲ τῶν ἄκρων περάτων ἐς τὴν μεσημβρινὴν ζώνην ἀναποδίσωμεν. Ἀλλ' οὐδὲ τὸ ἱερατεύειν τοιοῦτόν ἐστιν, ὁποῖον δὴ τὸ παλαίειν, ἢ τὸ παγκρατιάζειν, ἢ ἀκροχειρίζεσθαι, ἵν' ἐπειδὰν παρηκμακώς τις ὀφθείη, παύσοιτο τοῦ ἐπιτηδεύματος· οὐ γὰρ τὰ πολλὰ χειρῶν τῇ ἀρετῇ δεῖ, καὶ ποδῶν κινήσεως, ἀλλ' ὀλίγα μὲν γλώττης, τὰ πολλὰ δὲ κινήσεως νοῦ καὶ τῆς πρὸς θεὸν ἀναβάσεως· τοῦτο γάρ ἐστι τὸ θεῷ λειτουργεῖν, τό, τὸν νοῦν ὑποδύεσθαι καὶ ὁρᾷν δι' αὐτοῦ τὰ ἐν τοῖς ἀδύτοις μυστήρια. Ὥς τ' εἰ μὲν εὖ ἔχων σώματος, ἐρρῶσθαι φράσας τοῖς πράγμασι, τὴν μετὰ τῶν πολλῶν ἐκκλίνεις διατριβήν, ἐντολὴν ἀθετεῖς, καὶ νόμων καταφρονεῖς ἱερῶν· εἰ δ' ἀπηγόρευκέ σοι τὸ σῶμα πρὸς τοὺς ἐν τῇ ἀρχιερωσύνῃ καμάτους, οὐδεὶς λόγος σε ἀναγκάζει τῆς αὐτῆς ἔχεσθαι συντονίας, οὐ μᾶλλόν γε εἰ καὶ τοὺς πυρέττοντας ἀναγκάσαιμι ἱππάζεσθαί τε καὶ προϊέναι καὶ προκινδυνεύειν τῶν πόλεων· ἔπειτα καὶ οἷς πεποίηκας τἀναντία βεβούλευσαι· συναγαγὼν γὰρ διεσπαρμένον τὸ ποίμνιον, καὶ πολλοῖς καμάτοις καὶ πόνοις εἰς τὴν αὐτὴν μάνδραν εἰσαγαγών, εἶτα διασπείρειν ἐπιχειρεῖς καὶ διαιρεῖν τὸ συνημμένον, καὶ ἀπελαύνειν εἰς ὄρη καὶ ἐρημίας καὶ βάραθρα ἀφ' ὧν συνηγήοχας· καὶ ταὐτὸν ποιεῖς, ὥσπερ ἂν εἴ τις στρατηγὸς τειχίσας πόλιν καὶ περιφράξας ἵνα μηδὲν ἐξ ἐπιδρομῆς πάθῃ, ἔπειτα ταύτην ἀφείς, ἐφ' ἑτέραν βαδίζοι ἀτείχιστον· ἀλλ', ὦ μακάριε, εἴποιμ' ἂν ἐγὼ πρὸς αὐτόν, εἶτ' οὐ

δέδιας μὴ θᾶττον τὸ τεῖχος καθαιρεθείη οὐκ ὄντος τοῦ περιέποντος; τὴν αὐτὴν δὴ καὶ πρὸς σὲ φωνὴν ἀφίημι, ὅτι σοι αὐτίκα καὶ τὸ ἔρεισμα διαπεσεῖται ἐφ' ᾧ δὴ πολλὰ πεπόνηκας, καὶ ἡ
φ. 179. περιβολὴ διαιρεθήσεται, καὶ | ἁλώσιμος ἡ πόλις γενήσεται.

Ἀλλ' εἰ μὲν ἦν σοι τὸ ποίμνιον ὁποῖον δὴ τὸ τῶν πολλῶν ἱερὸν πόλεων, ὀλίγον καὶ εὐαρίθμητον, καὶ τοῦτο νοσοῦν, πρὸς δὲ καὶ πόας καὶ μάνδρας δεόμενον, ἀλλ' οὐδ' οὕτως ἀποστατέον ἦν σοι τούτου, οὐδὲ τὴν ποιμαντικὴν ῥάβδον ἀπορριπτέον, οὐδὲ διαθραυστέον τὴν σύριγγα, ἀλλ' ἔδει καὶ τὸ νενοσηκὸς ἰάσασθαι καὶ τὸ πεπλανημένον ἀνακαλέσασθαι, καὶ τὸ διεσπαρμένον συναγαγεῖν· ἐπεὶ δέ σοι καὶ ἡ ποίμνη πολλή, καὶ ἡ μάνδρα πλατεῖα, καὶ ἡ νομὴ δαψιλής, οὐκ οἶδα ὅντινα δὴ τρόπον βεβούλευσαι, τῶν καλλίστων ἀφέμενος, τὰ χείρω τούτων ἀλλάξασθαι. Ἔοικας δέ μοι οἴεσθαι τὸν ἐφ' ἡσυχίας βίον αὐτόχρημα ὁμιλίαν τε πρὸς θεὸν εἶναι καὶ ἐπιτυχίαν κρειττόνων, καὶ λογισμῶν ἔπαρσιν ἢ ἀνάπαυσιν. Ὅτι μὲν οὖν καὶ χάρις τοιαύτη τοῖς ἡσυχάζουσι γίνεται, οὐκ ἂν ἀρνηθείην, ἀλλ' ἐνίοις, καὶ οὐδὲ τούτοις ἀεί, οὐδ' ἐπὶ πολύ, ἀλλ' ὥσπερ ἀστραπὴ ὁμοῦ τε ἔλαμψε καὶ παρελήλυθε τὸ φανέν, καὶ τοσοῦτον μὲν ἡ εἰρήνη, τὸ δὲ λειπόμενον μέρος τῆς ζωῆς οἱ κίνδυνοι· τῷ δ' ἀρχιερεῖ ἔστι μὲν πολλάκις καὶ πράγματα, τὰ δὲ πλείω εἰρήνη ψυχῆς καὶ κατάστασις· καὶ ἵνα τ' ἀκριβὲς εἴποιμι, ἣν νοῦς ἐπιστατῇ φιλόσοφος πᾶσι πράγμασιν, οὐδὲν ἂν ἀηδὲς τοῖς μεταχειρίζουσι ταῦτα γένοιτο· σοὶ δὲ αὐτὸ τοῦτο φιλοσόφῳ τυγχάνοντι, τίς ἐπήρεια παρὰ τῶν πραγμάτων γενήσεται; ὥσπερ οὐδὲ κυβερνήτῃ παρὰ τῶν πραγμάτων, ἀλλὰ στρέψει καὶ μεταστρέψει τοὺς οἴακας καὶ πηδαλιουχήσει ἐπιστημόνως τὴν ναῦν.

Εἰ μὲν οὖν αὐτόθεν τῶν κρειττόνων κατέγνωκας, ἄλλο τοῦτ' ἂν εἴη πρᾶγμα, κρεῖττον συμβουλῆς τε καὶ παραινέσεως· εἰ δ' ἕπεσθαι λόγοις κρείττοσι βούλοιο, οὐκ ἂν οἶμαί σε καλλίοσιν ἐντυχεῖν, καὶ αὐτὸς ἂν ἐρεῖς, ὅς γε δή μοι καὶ τοὺς πρώτους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λόγους κατασπείρας ἐν τῇ ψυχῇ τοῦ ἐπὶ πᾶσι πρωτείου παραχωρεῖς.

Ἔχεις οὖν ἤδη φίλτατε πάντων ἀνδρῶν, παρ' ἡμῶν καὶ τὸν λόγον καὶ τὴν παραίνεσιν, τὸν μὲν ἐπηγγελμένον πάλαι σοι καὶ ὡς χρέος ἐκτετισμένον, εἰ καὶ μὴ αὐτὸς τὴν ὀφειλὴν ἐθέλοις λαβεῖν, τὴν δὲ ἀπ' εὐνοίας ἅμα σοι προσενεχθεῖσαν καὶ ἀκριβοῦς διασκέψεως· οὐ γὰρ ὥσπερεὶ κοινωνῶν σοι τοῦ πράγματος, ἔπειτα δέδια μὴ τοῦ μέρους αὐτὸς στερηθήσομαι. Ἐμοὶ δὲ τίς ἀποδώσει τὸν λόγον ἢ ζῶντι, ἢ τελευτήσαντι; πολλοῖς μὲν γὰρ αὐτός, εἰ δὲ βούλει καὶ ξύμπασι τὰς τοῦ συγγράφειν ὑπέθηκα ἀφορμάς, οὐκ οἶδα δὲ εἴ μοι περὶ τὸν λόγον εὐγνωμονήσουσι, μᾶλλον δὲ θάτερον δέδοικα, ὅπερ οὐκ ἂν εἴποιμι, καὶ μᾶλλόν γε τοῦτο βουλοίμην ἢ συγκεχῦσθαι· ἀλλ' εἰ μὲν ἀρκέσει μοι τὸ ζῶν ἦθος καὶ τὰ συγγράμματα, ἀπέχω τὸ ἀποχρῶν μοι ἐγκώμιον, εἰ δ' οὖν, ἀλλά μοι καὶ τοῦτο κέρδος ἀμνημονεύτῳ κεῖσθαι ὑπὸ τὴν γῆν, οὔτε τιμωμένῳ πέρα τοῦ δέοντος, οὔτ' ἐλεγχομένῳ ἐφ' οἷς βεβίωκα· μόνον εἴη μοι θεὸς ἵλεως παρ' οὗ μοι καὶ τὰ κρείττω συμβέβηκε, καὶ ᾧ μόνῳ τὴν ἐμὴν ζωὴν ἀνατέθεικα, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# Γ.

## Ἀπολογητικοὶ λόγοι.

φ. 64. 1. Τοῦ αὐτοῦ, πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς.

Οὔθ' ὑμῖν βασκανίας περιλείψεται ἀφορμή, οὔτ' ἐμοὶ τιμῆς ὑπόθεσις καὶ αὐξήσεως· ἐμοίτε γὰρ οἱ βασιλεῖς εὔνοι, κἀγὼ δὲ ἐκείνοις ἐν καιροῖς λυσιτελής τε καὶ χρήσιμος, ὑμεῖς τέ μοι δύσνοι ἀεί, κἀγὼ πρὸς ὑμᾶς ἀλυσιτελής· καὶ γὰρ ἔσθ' ὅ,τι ποιήσας νοσούσας ὑμῶν ἰάσομαι τὰς ψυχάς; εἴ τε γὰρ λόγους δημιουργήσω καλούς, αὐτὸ δὴ τοῦτο βάσκανοι τῶν καλῶν, εἴτε τὸ ἦθος ἐνδείξομαι, ὃ δὴ πρὸς πάντας εἰμὶ εὐμενής τε καὶ ἵλεως, ὅτι τοιοῦτος ἀλλὰ μὴ τὸ ἐναντίον, φθόνου μοι μεστὴν καὶ τὴν ὄψιν καὶ τὴν ψυχὴν δείκνυμι· εἰ δὲ καὶ εὔνοιά μοι τὰ παρὰ τῶν βασιλέων γεγένηνται, τοῦτο δὴ τὸ κεφάλαιον τῆς κακοηθείας ὑμῶν. Ἡδέως δ' ἂν πυθοίμην ὑμῶν, πότερον μᾶλλον αἱρήσεσθε, εἰ ἀλλοιωθεὶς αὐτὸς τὴν γνώμην ἄχθος ἀρούρης ἐτώσιον ἔσομαι, ἢ ἔχειν μὲν οὕτω τῆς ἕξεως, ἐλάττους δέ μοι στέφανοι γίγνοιντο; ἀλλ' εἴτε τοῦτο, εἴτ' ἐκεῖνο κολωβωθείη μοι, δυσμενῶς αὖθις θατέρῳ ἕξετε· ἔστι γὰρ ὅτε παρὰ θάτερον τοῖν μεροῖν γίγνομαι, οὐ γὰρ πάντοτε τοῖς ἀρίστοις στεφάνοις ἀναδοῦμαι τῶν λόγων, ὑμεῖς δὲ καὶ τότε τῷ φθόνῳ τηκόμενοι διαρρήγνυσθε.

Θαυμάζω δὲ ὑμῶν ὅτι πολλάκις ταῦτα πεποιηκότες ἢ πεπονθότες ἐμοί, καὶ μηδὲν πλέον σχόντες τῆς κακοηθείας καὶ ἀβελτηρίας, οὐ πρὸς τὸ μέλλον ἐσωφρονίσθητε, ἀλλ' ὥς περ ἐμὲ ἀναποδίζειν οἰόμενοι ἢ ἐμποδὼν ἵστασθαι, ἀλλ' οὐ σφᾶς ἑαυτοὺς συμποδίζειν, τοῖς αὐτοῖς ἐπιβάλλετε· οὐκ ἔστι δὲ ὁπότε προσκεκρουκότες ἐμοί, μὴ πεπόνθατε μᾶλλον ἢ πεποιήκατε.

Κἀγὼ μὲν οὔτε ἀνταγωνίζομαι πρὸς ὑμᾶς, οὔτε ἀντιπαλαίειν αἱροῦμαι, ἀλλ' ἢ ἀτρέμας ἵσταμαι, ἢ βαδίζω τὴν τεταγμένην, οὐδετέρωσε ἐπινεύων, οὔτε τοῖν ποδοῖν, οὔτε τοῖν ὀφθαλμοῖν· ὑμεῖς δὲ κατόπιν ἐμοῦ ἑπόντες κεκράγατε μὲν ὁπόσα παγγλώσιοι κόρακες τὸ τοῦ Πινδάρου φᾶναι, ἐμοὶ δὲ οὐδὲ τὴν ἀκοὴν βραχὺ κατασείετε, ὥς πέρ τινες ἀρουραῖοι μῦες ἀετοῦ καθιπτάμενοι· κἀγὼ μὲν ἐπὶ μεῖζον αἴρομαι καὶ περιπτύσσομαι, ὑμῖν δὲ αὖθις αἱ μυωξίαι ἡ συνήθης καταφυγή.

Ἐστὲ δὲ εὐήθεις οὐδὲν ἧττον ἢ κακοήθεις· δέον γὰρ τοῖς ἰσοπάλοις ἀνταγωνίζεσθαι καὶ τοῖς ἴσοις ὅλως ἀνθαμιλλᾶσθαι, ὑμεῖς ὥς περ κακοὶ κῦνες, τὸν μὲν λαγωὸν οὐ μεταδιώκετε, εἰθισμένον τοῦτο, ἀλλὰ καὶ τῶν ἠθάδων καὶ προσεχῶν ἀπογνόντες, ὧν οὐκ ἐφικνεῖσθε τῇ φύσει κατὰ τούτων ἐνάλλεσθε.

Εἰ μὲν γὰρ οὐ κρίσις καὶ ψῆφος, οὐδὲ ἀντίδοσις αἰτιῷ[το] ἔμμετρος, ἀλλὰ πάντα ὥς περ αἱ χάλαζαι καταρριπτεῖται ἄνωθεν εἰκῇ καὶ ὡς ἔτυχεν, εἶτα δὴ ἐμοὶ κατὰ τύχης ἀναλογίαν τὰ κρείττω συνεπεπτώκει, εἶχεν ἂν ὑμῖν ἡ βασκανία λόγον· ἐπεὶ δὲ πάντα τοῖς κρείττοσιν ἠρίθμηται καὶ ἠκρίβωται, καὶ ὥς περ τῷ πρώτῳ ἀνθρώπῳ ἐπὶ τοῖς θηρίοις τὰ ὀνόματα τέθειται κατὰ τὸν λόγον τῆς φύσεως, οὕτω δὴ καὶ ἐφ' ἡμῖν τὰ ἀξιώματα ῥιπτεῖται κατὰ τὸ μέτρον τῆς ἕξεως, τί μὴ μᾶλλον τὸ εὐδόκιμον τῆς κρίσεως ἀποδέχεσθε, ἀλλὰ τὸ σὺν λόγῳ ὑμεῖς ἀλογίστως κακίζοιτε; Λογίσασθε γάρ· ἦσαν πρὸ τῶν ἀντιδόσεων καὶ πόνοι καὶ κάματοι, τὰ μέν, ἐν λόγοις, τὰ δέ, ἐν πράγμασι· καὶ ἵνα συγκαλύψας ἐρῶ, ἔδει δραμεῖν, ὑμῶν πλέον δεδράμηκα· πυγμὴ προὔκειτο, καὶ πυκτικώτερος τῶν ἄλλων ἐγώ· δίσκου βολή, καὶ ἀνέρριψα ὑμῶν ὑψηλότερον· ἠκόντισα καὶ ἐτόξευσα ὁπόσον οὐδεὶς τῶν πάντων ὑμῶν· τὸν πένταθλον διηγωνισάμην καὶ τὸν παγκράτιον· εἴπω καὶ τὰ λανθάνοντα τοῖς πολλοῖς· προὔστην τῆς φάλαγγος, ἐξιππασάμην, ἔννομά μοι πάντα καὶ οὐδὲν παρὰ τὸν κα[νόνα ?] . . . . . ἐχρησάμην καὶ

τοῖς οἰκείοις, ἐπειδὴ καὶ τούτων καιρός· ἔγραψα ὅ φησιν ὁ Παιανιεὺς καὶ ἐπρέσβ[ευσα] . . . . ἐκεῖνα δ' οὔκ, ἢ τοῦτο μὲν πλέον, ἧττον δὲ τὸ λοιπόν; ἀλλὰ καὶ ἐδημηγόρησα ὀπ . . . . . .
φ. 64ʳ. | [σε]μνότερον τοῦ Πυλίου γέροντος, καὶ προήγγειλα καὶ ἐξήγγειλα οὐδὲν ἔλαττον ἢ εἰ προφήτης ἦν καὶ ἐπὶ τούτῳ τεταγμένος παρὰ θεοῦ.

Τῶν δ' ἄλλων, οἱ μὲν ταῦτα, οἱ δ' ἐκεῖνα ἠρίστευσαν, καὶ οὐδεὶς ξύμπαντα, εἰ δέ τις, ἀλλ' οὐχ ὡς ἐγὼ καὶ αὐτοὶ φαίητ' ἄν, οὐδ' ἐννόμως καὶ μετὰ τῶν ἀμέμπτων θεσμῶν· εἶτα τί; λῦτο δ' ἀγὼν ὅσα γε ἐπὶ τῇ ἱππασίᾳ καὶ ταῖς ἡνιοχήσεσι, συνειστήκει δ' ἔτι τὸ θέατρον, καὶ ὑψοῦ βραβευτὴς ὁ ἀγωνοθέτης μετρῶν ἑκάστῳ τὰ τοῦ καιροῦ καὶ τῆς ἕξεως· ἐνταῦθα τοὺς μὲν ἄλλους ἀπηριθμήσατο καὶ κατὰ συνέχειαν ἔταξεν, ἐμὲ δὲ ὡς κορυθαιόλον καὶ τῶν ἐπικούρων καὶ Τρῴων προέκρινε, καὶ τοῖς ἀριστείοις στεφάνοις μᾶλλον τῶν ἄλλων ἐκόσμησε, καὶ ἀσύγκριτον τὴν πρὸς τοὺς ἄλλους τιμήν, οὐ τῷ ὀνόματι μόνον, ἀλλὰ καὶ τῷ πράγματι τέθεικε.

Καμοὶ μὲν οὐδὲν ἧττον καὶ αὖθις τὸ ἦθος ὁποῖον καὶ πρότου, ὑμῖν δὲ τοιοῦτον μέν, οὐ τοσοῦτον δέ, ἀλλὰ πλέον καὶ πρόσθε κάκιον· ἕως τίνος οὖν οὐχ ἑαυτῶν γένοισθε, οὐδὲ τὴν ἧτταν ἐνέγκοιτε, ἀλλ' ἑαυτοῖς τε καὶ ἀλλήλοις διαφθαρήσεσθε; ἆρ' οὖν εἰ ἐπίγρυπος μὲν ἐγὼ τὴν ῥῖνα, ὑμεῖς δὲ σιμοὶ ξύμπαντες, οὐκ ἦν δὲ εἴ τι ἂν πεποιηκότες ἢ πεπραχότες ἐκοινωνήσατέ μοι τοῦ σχήματος, οὐκ ἂν ἡσυχάζειν εἵλεσθε τὴν δημιουργὸν ἴσως φύσιν ἐπαιτιώμενοι; Οὕτω τοιγαροῦν τῆς ἐμῆς γλώττης ἥττους τυγχάνοντες, Σπάρταν λαχόντες ταύτην κοσμεῖτε, μᾶλλον δὲ μὴ ἥττους ἐμοῦ τοῖς ὅλοις ὁμολογοῦντες εἶναι, ἐπὶ τῇ ἀνισότητι βιάζεσθε τὴν ἰσότητα. Εἰ μὲν γὰρ οὕτως ἔχοιτε, τοιούτων ἀεὶ λόγων ἀκούσεσθε, εἰ δ' ἑαυτῶν συνίετε, κἀμοὶ τῶν κρειττόνων ἐθελονταὶ παραχωρήσετε, δυοῖν θάτερον, ἢ ἐμαυτῷ συμμετεωρίσω ὑμᾶς, ἢ τό γε μετριώτερον ἑαυτὸν συγκαταβιβάσω ὑμῖν.

2. Τοῦ αὐτοῦ, ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν. φ. 91ᵛ.

Ἐδόκει τοῖς πάλαι σοφοῖς, οἷς τό, σοφοῖς εἶναι τῶν ἄλλων προκέκριτο, τὰ μὲν ἐν ταῖς πολιτείαις πράγματα ταῖς τε μοναρχουμέναις καὶ ὅσαι εἰς δημοκρατίαν καὶ ἀριστοκρατίαν διῄρηνται, περὶ ἐλάττονος εἶναι σπουδῆς, ὅτι δέον τὴν ἐντὸς φύσιν κατακοσμεῖν, αἱ δέ, ἐπιπλάστως τὴν ἐκτὸς καλλωπίζουσιν· ὅθεν τὰ μὲν ἄλλα τούτοις ὅσα σπουδῆς ὁ πολὺς ἀξιοῖ, ἠτίμαστό τε καὶ ἔρριπτο, φιλοσοφίας δὲ μόνης ἀντείχοντο καὶ πάσης ὡς ἁπλῶς εἰπεῖν μουσικῆς· μουσικὴν δέ φημι οὔτε τὴν ἐν αὐλοῖς καὶ ῥυθμοῖς, οὔτε τὴν ἐν ἁρμονίαις καὶ λόγοις, ἀλλ' ἣν ἡ περιβολὴ τῆς γλώττης εὖ ἠσκημένη τοῖς λόγοις χορηγεῖ δύναμιν. Διῃρημένων γοῦν αὐτοῖς τῶν πάντων ὥς περ εἰς ὕλην καὶ εἶδος, τὰ μὲν ἐν τοῖς πράγμασι μετὰ τῆς ὕλης ἐτίθουν, τὸν δὲ λόγον τῷ εἴδει προσείκαζον· ὅθεν οἱ μέν, ἐπὶ καθαρὸν τὸ εἶδος ἀνήεσαν, ἀφέντες κάτω τὴν ὕλην, οἱ δ' ἐκεῖθεν ἀρξάμενοι, καὶ τὰ τῇδε πράγματα κατεκόσμουν τῷ λόγῳ. Οὐ γὰρ ἀπογνωστέον τῷ φιλοσόφῳ τῶν ἐν ταῖς πολιτείαις πραγμάτων, ἀλλὰ μετὰ λόγου πρὸς ταῦτα ἰτέον· σῶμα γάρ εἰσιν ἄντικρυς καὶ δέονται τῆς ὡς ἐν εἴδει ψυχῆς, ἵνα τὸν σκεδασμὸν ἀποβάλοιντο.

Ταῦτ' ἄρα Πυθαγόρας μὲν καὶ Σωκράτης, ἀφωσιοῦντο ταῖς πολιτείαις τὴν γνώμην, καὶ ὁ μέν, τοὺς Ἰταλικούς, ὁ δέ, τοὺς Ἀττικοὺς νόμους ἐσέβοντο. Πλάτων δὲ καὶ Ἀριστοτέλης, ὁ μὲν δὴ καὶ πολιτείαν τὴν ἀρίστην τῷ λόγῳ συγκατεσκεύακε, καὶ τὰς Ἀθήνας πρὸς ὀλίγον ἀφείς, εἰς Σικελίαν ἔπλευσε διορθωσόμενος Διονύσιον, καὶ μὴ τυχών, αὖθις ἀπέπλευσεν, οὐ μνησικακήσας κατὰ τοῦ παιδὸς τῷ πατρί· ἔνθα δὴ καὶ Δίωνι προσέμιξεν, ἀνδρὶ γενναίῳ καὶ φιλοσοφίας ἐραστῇ, καὶ φίλους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἄλλους συχνοὺς ἐποιήσατο, καὶ τοὺς τοῦ τυράννου θησαυροὺς οὐκ ὀλίγοις τῶν ἀκαδημαϊκῶν καὶ στωϊκῶν φιλοσόφων ἐξήντλη-
φ. 92. σε· τὴν δὲ τυραννίδα? | μεθαρμόσαι μὴ δυνηθεὶς εἰς ἐπιστασίαν ἔννομον, αὖθις ἐπανῆλθεν εἰς Ἀττικὴν ὅλον ἑαυτὸν τοῖς λόγοις ἐμπαρασχών. Ἀριστοτέλης δὲ διὰ τὸν τοῦ Φιλίππου Ἀλέξανδρον τῶν Ἀθηνῶν τὴν Μακεδονίαν ἀνταλλαξάμενος, νόμους τε τῷ βασιλεῖ ὑπέθετο καθ' οὓς ἐκεῖνον ἐδέησε ζῆν, φιλοσοφίᾳ τε τὸ τῆς ψυχῆς ἦθος διορθωσάμενος, καὶ μένοντι κατὰ χώραν συνῆν καὶ στρατευομένῳ συναπεδήμησε, νῦν μὲν τὸν Εὐφράτην διαπεραιουμένῳ κατὰ τῶν Πάρθων, νῦν δ' ἐκεῖθεν τῆς Αἰγύπτου ἐλαύνοντι ἵνα χειρώσηται τὸν Ἰνδόν· καὶ ὁ Μακεδὼν ἐφ' ἑκάστης ἡμέρας τροπαίων αὐτῷ ἐγειρομένων, τῷ, τῷ Ἀριστοτέλει μᾶλλον συνεῖναι ἢ ἐκείνοις ἐκαλλωπίζετο· κἀκείνοις δὲ συνήδετο, ὅτι μετὰ λόγου αὐτῷ ἐγίνετο τὸ νικᾶν, αἱ γὰρ πρὸς τοὺς πολέμους τάξεις καὶ τὰ κατὰ τῶν ἀντιμαχούντων μηχανήματα, ἐκ τῶν Ἀριστοτέλους αὐτῷ ἐπινοιῶν συνειλόχατο· οἵ τε οὖν λόχοι αὐτῷ ἐν μέτρῳ, καὶ αἱ φάλαγγες, νῦν μὲν δίστομοι, νῦν δὲ ἀντίστομοι, καὶ αὖθις ἀμφίστομοι, τό τε πλῆθος, ἄλλοτε μὲν κατὰ τετράγωνον σχῆμα συνείλεκτο, καὶ αὖθις δεῆσαν, κατὰ πρόμηκες, ἢ ἑτερόμηκες· ἀντέστραπτό τε θᾶττον ἢ λόγος ἡ φάλαγξ ἧπερ ἐβούλετο, καὶ τὸν μὲν οὐραγόν, λοχαγὸν γενέσθαι, τὸν δὲ λοχαγὸν εἰς οὐρὰν ἀπιέναι· τοῦ δὲ λόχου, τὸ μὲν ἐζύγει, τὸ δέ, ἐστοίχει, τὸ μὲν πλάτος ἐζύγει, τὸ δὲ βάθος ἐστοίχει· ἐκεῖ μὲν γὰρ πρωτοστάτης παρὰ πρωτοστάτη, ἐνταῦθα δὲ πρωτοστάτης παρὰ δευτεροστάτη. Ἦν δὲ τῶν μὲν ἄλλων κρείττων ὁ λοχαγός, τούτου δὲ ὁ φαλαγγάρχης, ὃν ἡμεῖς τὴν λέξιν μεθαρμοσάμενοι στρατοπεδάρχην κατονομάζομεν, μεθ' ὃν ὁ οὐραγός, καὶ αὖθις ὁ δευτεροστάτης, μεθ' οὓς ὁ ἡμιλοχίτης, ὃν δή τινες ἐνωμοτίαν κικλήσκουσιν· εἰ γάρ που ἐδέησε διχοτομῆσαι τὸν λόχον καὶ ἀντιστρέψαι τὴν διχοτομίαν, ὁ ἡμιλοχίτης τὸν τοῦ λοχαγοῦ τόπον ἀνεπλήρου. Ἐπεὶ δὲ ἐβούλετο

τῷ τοῦ Φιλίππου νῦν μὲν πολλαπλασίους τοὺς λόχους τοῖς πολεμίοις καταφαίνεσθαι, νῦν δὲ πολλοστημορίους, ἵνα δι' ἐκεῖνο μὲν φοβήσας ἀποσοβήσειε, διὰ τοῦτο δὲ ἀπατήσας ἐφελκύσειεν, ἐτριγώνιζεν ἐνταῦθα τὸ στράτευμα· καὶ εἰ μέν, εἰς πλῆθος φαίνεσθαι, κατὰ τὴν βάσιν ἐτίθει τοὺς λοχαγούς, εἰ δ' ἐλάττους τῶν ὑπαρχόντων, τὴν κορυφὴν προτιθείς, τὸ βάθος ὑπέκλεπτεν· ἐντεῦθεν αὐτῷ τὰ μεγάλα ἐκεῖνα προσεγεγόνεισαν κατορθώματα. Α'ριστοτέλης δὲ καὶ τὴν πᾶσαν αὐτοῦ διῄρει δύναμιν εἰς ἱππικήν τε καὶ πεζικήν, καὶ τοῦ πεζοῦ, τὸ μέν, ψιλὸν ἐτίθετο, λίθοις βάλλον καὶ τοξεύμασι, τῷ δὲ θώρακα καὶ κνημῖδα ἐνήρμοζε, τῷ δέ, κοῦφα ἐδίδου πελτάρια· ὡς δὲ καὶ τοῦ ἱππικοῦ, τὸ μὲν ἀγχέμαχον ἦν ξίφεσι μᾶλλον ἢ δόρασιν, ἢ ταῖς ἐκείνου σαρίσσαις· ἡ δὲ σάρισσα ὅπλον Μακεδονικὸν ἐκτεταμένον ἔχον τὸν στύρακα καὶ πρόμηκες τὸ σιδήριον· τὸ δέ, ἠκόντιζεν ἢ ἐτόξευε πόρρωθεν· ἐτόξευε δὲ οὐ κατὰ τὸν Ὁμήρου τοξότην προσάγον τῷ μαζῷ τὴν νευράν, ἀλλὰ κατὰ τὸ μέτωπον ἕλκον πρὸς αὐτὸ τὸ δεξιὸν οὖς, οὐδ' ὡς ὁ Τεῦκρος ὑπὸ τὴν τοῦ Αἴαντος ἀσπίδα κρυπτόμενος, ἀλλὰ καὶ διῶκον καὶ φεῦγον καὶ βεβηκός. Καὶ τί δ' ἂν τὰ πλείω λέγοιμι ὧν Ἀριστοτέλης μὲν ἐπενόησεν, ἐνεργὰ δὲ δέδειχεν ὁ Ἀλέξανδρος;

Ἀλλ' ἡμῖν ὁ λόγος εἰς τὴν οἰκείαν ἀνίτω ἀρχήν· ὅτι τοῖς ἄνω χρόνοις τὰ πράγματα λόγος ἐκόσμει, καὶ σπουδάζουσα περὶ ταῦτα ἡ παρὰ τούτων σπουδαζομένη φιλοσοφία· ἔδει γάρ που λόγου τοῖς καθέκαστον βίοις, διὰ ταῦτα ὅπῃ τύχῃ συγκεραννύμενος τάξιν ἐτίθει καὶ κόσμον ἐποίει, καὶ πάντα μετεῖχε νοῦ τε καὶ χάριτος. Νῦν δὲ ἡ τάξις ἀντέστραπται, καὶ τὸ μὲν ἄνω, κάτω δοκεῖ, τὸ δὲ κάτω, ἄνω τοῖς πολλοῖς ὑποπτεύεται· διὰ τοῦτο φιλοσοφίαν μὲν ἄνω που τῶν οὐρανίων νώτων προκαθημένην καὶ πάντα κοσμοῦσαν καὶ περιέπουσαν μετὰ τῶν ἐσχάτων οἱ πολλοὶ τῆς ὕλης ἀπορριπτοῦσιν, αὐτὰ δὲ τῆς ὕλης τὰ παίγνια, οἷς δὴ κακοδαίμονες ὑπόκεινται ἄνθρωποι, μᾶλλον δὲ

ἀνθρώπιάττα πονηρὰ καὶ ἀνόητα, τῷ αἰθέρι ἐπελαφρίζουσι· κἂν μέν τις πρὸς αὐτὰ παραγίνηται, ἢ καὶ τυγχάνῃ παραγινόμενος, ἢ καὶ τοῦ παντὸς τύχῃ παραγεγονώς, ὄλβιόν τε τὸν ἄνδρα καλοῦσι, καὶ τοῦ μακαρίζειν ἀφέμενοι ἐπαινοῦσι· τοῦ γὰρ μακαρισμοῦ ταῖς τύχαις προσαρμοζομένου, ὁ ἔπαινος ταῖς ἀρεταῖς συνῳκείωται· περιέπουσί τε τοῦτον καὶ δορυφοροῦσιν ὥς περ τοὺς πάλαι Ρωμαίων ὑπάτους δωδεκαπελέκεις καὶ ἑξαπελέκεις σωματοφύλακες. Ἢν δέ τις ἐπὶ φιλοσοφίαν ὁρμήσειε, τοῦτον εὐθὺς οἰωνίζονται, κἄν τις πρῶτον ἴδοι παρανατειλάσης ἡμέρας, καθαρσίων εὐθὺς δεῖται καὶ καθαγνίζεται, ὥς περ οἱ τοὺς ἵππους ζευγνῦντες ἢν τριβωνοφόρον ἄνδρα θεάσωνται. Τοῦτο δὲ τί ἐστιν ἄλλο ἢ ναυτιᾶν, μᾶλλον δὲ μελαγχολᾶν ἄντικρυς; ὥς περ
φ. 92ᵛ. γὰρ ἐκείνοις ἐναλλὰξ ὁρῶνται | τὰ χρώματα, οὕτω δὴ καὶ τούτοις ἑτεροίως τὰ πράγματα· καὶ ἢν μέν τις αὐτοῖς τὰ περὶ τῶν ὀχημάτων ἀφηγῆται, καὶ τὰ ἐν τοῖς θεάτροις γινόμενα, καὶ τίνες μὲν ἐπὶ τοῦ βήματος ἐγράψαντο, τίνες δὲ ἑάλωσαν φεύγοντες, καὶ ὅπως τοῖς μὲν ηὐδρόμει ἡ γλῶττα συκοφαντοῦσι, τοῖς δέ, ἐπεσχέθη, ἐμβριμησαμένου τοῦ δικαστοῦ, καὶ ὡς ὁ στρατηγὸς τούςδε ἢ τούςδε τοὺς πολέμους νενίκηκε, καὶ ηὔξηνται μὲν οἱ φόροι τῷ βασιλεῖ, κατὰ ῥοῦν τε τούτῳ τὰ πράγματα φέροιτο, ὑπερφυής τε δοκεῖ καὶ μετὰ τῶν ἡμιθέων ἠρίθμηται· εἰ δέ τις ἐπὶ νοῦν ἄγοι, καὶ πρὸς τὰ τῆς φιλοσοφίας προβιβάζοι ἄδυτα, καὶ δεικνύοι τί μὲν φύσις, τί δὲ ψυχή, τί δὲ νοερὰ ἕξις, τί δὲ οὐσιώδης νοῦς, πῶς τε περὶ τοῦτον ἔχοι ψυχή, καὶ οὗτος περὶ τὸ ἕν, καταφρονοῦσιν ὡς μαινομένου, καὶ θᾶττον ἀποπηδῶσιν ἢ τῶν βελῶν· γεωμετροῦντα δὲ εἴ ποτε θεάσαιντο, καὶ μετροῦντα μὲν οὐρανόν, μετροῦντα δὲ ἥλιον, παραβάλλοντα δὲ σελήνην πρὸς γῆν, καὶ τὸ μᾶλλον ἢ ἧττον ἐφ' ἑκάστῳ εὑρίσκοντα, ἐνταῦθα δὴ τὸ τοῦ Ἀριστοφάνους κατὰ τοῦ Σωκράτους προσεξευρίσκουσιν, ὡς τὴν ψύλλαν ὁ γεωμέτρης λαβών, εἶτα τῷ κηρῷ ἐμβάψας τὼ πόδε, ἐπειδὴ ψυγέντων πε-

ριέφυσαν περσικαί, ταύτας λαβών, ἀνεμέτρει τὸν οὐρανόν· τοῦτο γὰρ μόνον τῆς ἀρχαίας παραλλάττουσι κωμῳδίας, καὶ οὐκ ἴσασιν ὡς ἣν μὲν ἐκεῖνοι πολιτεύονται πολιτείαν τὸν τῆς ψυχῆς ὀφθαλμὸν ἐξορύττει, ἣν δὲ οὗτοι μετίασι φιλοσοφίαν, ἀναπλάττει καὶ ἀναζωπυρεῖ, καὶ τῶν ἐν οὐρανῷ φώτων ἀνάπτει· οἱ δὲ τούτων σεμνότεροι καὶ μέχρι τοσούτου συγκαταβαίνοντες, ὥς τε τὰς Γταλῶν ξυνθήκας καὶ τὰ παρ' ἐκείνοις νόμιμα ἀξιοῦν πρὸς φιλοσοφίαν συγκρίνειν, ἐκεῖνα μὲν ὅλῳ τῷ πτερῷ ὑπὲρ τὸν αἰθέρα κουφίζουσι, ταύτην δὲ ὥς περ οἱ μῦθοι τὴν Ἕλλην τῇ θαλάττῃ καταποντίζουσι· κἀκεῖνα μὲν ὥς περ αὐτὴν τὴν Ἥραν προσάγουσι τῷ Διΐ, ταύτην δὲ ὥς περ εἴδωλον ἀληθείας ἡμῖν διδόασι τοῖς Ἰξίοσιν· ἀλλ' ὁ μὲν πρὸς ἐκείνους λόγος ἀναβεβλήσθω τανῦν, μᾶλλον δὲ μηδέποτ' ἂν πρὸς ἐκείνους ἀντικριθείην αὐτός· ἔστων γὰρ ὅπως ἂν βούλοιντο σοφοὶ τὰ κρείττονα, καὶ πρὸς φιλοσοφίαν απότροφοι· ἐγὼ δὲ μικρὰ περὶ ἐμαυτοῦ, οὐ πρὸς τοὺς Τελχῖνας ἐκείνους, ἀλλὰ πρὸς ὑμᾶς διαλέξομαι, ὧν δὴ τὰ πλείω καὶ αὐτοί μοι σύνιστε· οὐ γὰρ ἄλλοθί που βεβίωκα, ἢ παρ' ὑμῖν, φησὶν ὁ Παιανιεύς.

Ἔγωγ' οὖν, ὦ φιλοσοφίας τρόφιμοι, δυοῖν ὁδοῖν ἐκ πρώτης ἐμαυτὸν ἐπιστήσας τῆς ἡλικίας, τῇ μὲν ἐπὶ λόγους καὶ φιλοσοφίαν φερούσῃ, τῇ δέ, ἐπὶ πολιτείαν καὶ πράγματα, οὐ τὸ τῶν πολλῶν φιλοτόφων πέπονθα, μᾶλλον δὲ τῶν ἀ . . . . . καὶ ὀλίγων, ὥς τε πρὸς μὲν τήν, εὐθὺς ἰέναι, τῆς δὲ παντελῶς ἀποσχέσθαι, ἀλλὰ κατατείνας ἐμαυτὸν ὥς περ ἐπὶ ζυγοῦ, καὶ τὰς ὁδοὺς πρὸς ἀλλήλας ἀντισυγκρίνας, προσεθέμην μὲν τῇ καλλίονι, ἀφωσιωσάμην δὲ καὶ τῇ χείρονι· διὰ ταῦτα οὔτε ἐν οἰκίσκῳ καθείρξας ἐμαυτὸν φιλοσοφεῖν μόνον ἐκέλευον, οὔτε παρωσάμενος τὰ βιβλία, ταῦτα δὴ τὰ ἐν δικαστηρίοις μόνα ποιεῖν, γράφεσθαί τε καὶ διώκεσθαι καὶ ξυνηγορεῖν τοῖς ἑκάτερα δρῶσιν ἢ πάσχουσιν, ἀλλὰ καὶ ἐν χεροῖν ἔχων ὅσα δὴ ἐς μνήμην τῆς ἑαυτῶν προαιρέσεως ἄνδρες φιλόσοφοι ξυγγεγράφασιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οὐκ ἠμέλουν τῶν ἐν ταῖς πολιτείαις γινομένων, καὶ πολιτεύων δὲ ἐναργῶς ἑωρώμην φιλοσοφῶν· ὅθεν καὶ τοῖς μὲν μόνως πολιτεύουσι καλλίων ἐφαινόμην τὰ πολιτικά, τοῖς δὲ φιλοσοφοῦσιν .......

Ἐντεῦθεν οὗτοι μὲ ἐμακάριζον, καὶ βασιλεῖ γέ τοι τῷ μεγάλῳ ἐντεῦθεν μᾶλλον, ἀλλ' οὐκ ἀπὸ τῆς φιλοσοφίας κρείττων ὡς ἐδόκει, ἔδοξα· ἐγὼ δέ τι κἀνταῦθα τῶν φιλοσοφουμένων καταμιγνὺς λόγοις καλλίοσι τὰ ἐκείνου ἐκόσμησα δόγματα, καὶ τὰ θεσπιζόμενα ῥητορικώτερον ἐξεφώνησα· πολλά γέ τοι τούτῳ καὶ τῶν κοινῶν συνέπραξα, καὶ περὶ πολιτείας ὑπεθέμην ἀρίστης, καὶ πᾶσιν οἷς ἐμφαίνεται μοναρχία ὥς γέ μοι δοκεῖ, συνήρμοσα. Ἐπεὶ δὲ ἅπαξ ἐμαυτὸν εἰς τὰ πολιτικὰ φέρων ἐνέθηκα, οὐ τὸ τῶν πολλῶν πέπονθα, οὐδ' ἐπελαθόμην τῆς μοίρας τῆς κρείττονος, ἀλλὰ καὶ τὴν ἑτέραν ὁδὸν βαδίσαι κατὰ φιλόσοφον γνώμην ᾤμην δεῖν, καὶ ταὐτὸ τοῖς νέφεσι πέπονθα, μᾶλλον δὲ πεποίηκα ἄντικρυς· ἐκεῖνα γὰρ τέως μὲν πηγνύμενα καὶ συναγόμενα, ἀπερίοπτα τοῖς πολλοῖς ἐδόκει τυγχάνειν, ὡς ἐς ὕδωρ ἀποθλιβήσεται, ἐπειδὰν δὲ ὕῃ, τότε συνίασιν ὡς ἐπυκνώθη τε πρὶν καὶ τοῦ ὄμβρου ἐνεπέπληστο· καὶ γὰρ αὐτὸς πρὶν οὔπω τοῖς πολλοῖς ἐδόκουν φιλόσοφος, οὐδ' ὅτι πληροῦμαι τοῦ καλλίστου νάματος, καὶ συνάγω τὸν νοῦν, καὶ αὐτίκα τοῦτον ἀποθλίψω εἰς ὕδωρ· πόρρω γὰρ ἦν τοῦ τῶν θεωμένων με ὀφθαλμοῦ· οἱ μὲν γὰρ ἐπὶ γῆς, ἐγὼ δὲ ἐβεβήκειν ἐπ' οὐρανοῦ· διὰ ταῦτα στεγανὸν καὶ ἀνέφελον τὸν ἐν ἐμοὶ ἀέρα ὑπώπτευον· ἀλλ' οὕτως ἔχουσι τὸ ἐπιπροσθοῦν ῥήξας νέφος, ἀπείροις ὡς ἴστε κατέκλυσα νάμασιν, οὐ μονοειδέσιν, οὔτε μὴν ἐπὶ τῆς αὐτῆς ποιότητος καὶ ποσότητος. Ἀλλ' ἵνα τὸ τροπολογεῖν ἐάσω, φιλοσοφίαν ἐν παραβύστῳ κειμένην αὐτὸς μόνος ἐδημοσίευσα, καὶ βραχεῖαν δοκοῦσαν, καί ..... (ἐλλείπει τὸ τέλος).

3. (*) Στίχοι Ἰακώβου τινὸς μοναχοῦ ἀπὸ τῆς μονῆς τοῦ Συγκέλλου κατὰ τοῦ Ψελλοῦ.

Ὦ δέσποτα Ζεῦ, καὶ πάτερ καὶ βακλέα,
ὀβριμοβουγάϊε καὶ βαρυβρέμων,
Ὄλυμπον οὐκ ἤνεγκας κἂν βραχὺν χρόνον,
οὐ γὰρ παρῆσαν αἱ θεαί σου, Ζεῦ πάτερ.

---

Ταῦτα ἀκούσας ὁ Ψελλός, ἐποίησε κανόνα κατὰ τοῦ αὐτοῦ Ἰακώβου· οὗ ἡ ἀκροστιχίς, Μέθυσον Ἰάκωβον εὐρύθμως ᾄδω, Κώνστας.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην.

Μέθοι καὶ πότοι καὶ χοροὶ Ἰάκωβε, ἡ σὴ πανήγυρις, καὶ σὺν ποτῷ κρότοι, καὶ τρυφαὶ καὶ χάριτες, ὀρχίσματα καὶ κύμβαλα, καὶ βοτρύων ἐκθλίψεις, καὶ ῥάγες ληνοβατούμεναι, καὶ κοιλίαι πίθων πληρούμεναι.

Ἐπιποθήσας τὰς τρυφὰς Ἰάκωβε, πάσας ἐμίσησας ἀσκητικὰς πράξεις, πρῶτον τὴν ἐγκράτειαν, τὴν χαμευνίαν ἔπειτα, καὶ τὴν σκληραγωγίαν, καὶ τὴν εὐχὴν καὶ τὰ δάκρυα, καὶ τὴν πρὸς θεὸν πάτερ, ἔπαρσιν.

Θαυμάτων πέρα ὁ καλὸς Ἰάκωβος, ὁ τῆς Συγκέλλου μονῆς, ὡς γὰρ ληνὸς ἄλλη, δέχεται τοὺς βότρυας, καὶ σφίγγων ἐν τῷ λάρυγγι, ἀποθλίβει τὸν οἶνον, ὥςπερ εἰς πίθον τὸν στόμαχον, καὶ μεταγγιζόντων οὐ δέεται.

Ὑποχωρεῖ σοι καὶ διψᾷς Ἰάκωβε, ζῶον ἀκόρεστον, καὶ πυρετὸς φλέγων, πόσει μὴ σβεννύμενος, καὶ ἐμπρησμοῖς ἀφόρητος, καὶ κατάξηρον πέδον· ὥς περ γὰρ ᾅδης ἢ θάλασσα, πίνων οὐκ ἐπλήσθης τὸν στόμαχον.

(*) Ἀντεγράφη ὑπὸ τοῦ ἐλλογίμου φίλου κυρίου Ἰ. Βελούδου, ἐφόρου τῆς ἐν Βενετίᾳ βιβλιοθήκης τοῦ ἁγίου Μάρκου (Cod. CCCCVIII, Bessar. p. 148).



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὠδὴ β'. Οὐρανίας ἁψῖδος.

Σταθηρὸς τὴν καρδίαν, καὶ τὴν ψυχὴν πάντολμος, καὶ ἀκατανόητον ὤφθης, ῥοφῶν τὸν ἄκρατον· ὅθεν οὐκ ἔπτηξας, οὐδὲ ληνοὺς κενουμένους, οὐδὲ πίθους ῥέοντας ἐν τῇ κοιλίᾳ σου.

Ὁ πληρώσας ἀβύσσους, δημιουργὸς Κύριος, καὶ τὴν τῆς θαλάσσης κοιλίαν μεστώσας ὕδατος, σὴν οὐκ ἐπλήρωσε, πάτερ, πλατεῖαν γαστέρα, ὡς σωλὴν γὰρ ἅπαντα κενοῖς δεχόμενος.

Νόμος ἔστι σοι πάτερ, κανονικὸς κείμενος, πάντα σου τοῦ βίου τὸν χρόνον, πίνειν ὡς ἄσαρκος· ὅθεν οἱ ὄρθροι σε, καὶ μέσαι νύκτες πολλάκις, ἔχουσι μεθύοντα καὶ γαστριζόμενον.

Ἰωνᾶς μείζων πάτερ, νῦν ἐφ' ἡμῖν γέγονας, μένων τῆς ζωῆς σου τὸν χρόνον ἐν τῇ τοῦ πίθου γαστρί, καὶ ψάλλων ἄπαυστα, οὐ τὸ ἀνάγαγε πάτερ, ἀλλὰ τὸ κατάγαγε εἰς φθορὰν οἴνου με.

Ὠδὴ γ'. Σύ μου ἰσχύς, Κύριε.

Ἀναπεσὼν ὕπτιος ἐπὶ τῆς κλίνης σου, καὶ γυμνώσας στῆθος καὶ τὸν τράχηλον, καὶ τὸν μηρὸν ἄχρι τῆς αἰδοῦς, πίνεις ἀνενδότως, ἴσως καὶ πέρδεις Ἰάκωβε, ἐξόδοις τὰς εἰσόδους ἐκμετρῶν παραχρῆμα, καὶ σκορπίζων κακῶς ἃ συνήγαγες.

Κανονικῶς πίνεις ὁ μέγας Ἰάκωβος, οἶνον τάξας μέλανα καὶ ἄκρατον, καὶ μετρητὰς ἀκράτου ποτοῦ, κατὰ τὰς αἰσθήσεις, τὰς τῆς ψυχῆς καὶ τοῦ σώματος, τὰς δέκα γὰρ βαπτίζεις ἐν ἑνὶ νυχθημέρῳ, μηδεμίαν καθαίρων ὁ πάντιμος.

Ὤφθης ἐν γῇ, ἄμπελος πάτερ πολύκαρπος, οἶνον στάζων πάντοθεν παχύτατον, ἐκ τοῦ λαιμοῦ, ἐκ τῶν ὀφθαλμῶν, ἐκ τῆς κάτω θύρας, ἀπὸ παντός σου τοῦ σώματος· ἱδρῶτας γὰρ ἐκχέεις, ἀλλὰ μέθην βαρεῖαν, ὡς ἀσκὸς διαρρεύσας Ἰάκωβε.

Βέλει τρωθείς, σὺ τὴν καρδίαν ὡς ἔλαφος, ἀνενδότως τρέχεις ἐλαυνόμενος, πάσας πιεῖν οἴνου τὰς πηγάς, ὅλους ἐκροφίσαι (*)

(*) χειρ. ὅλως ἐκροφίσας.

ληνοὺς καὶ πίθους ἀκόρεστε, καὶ στῆσαί σου τὴν δίψαν, οὐδὲ Νεῖλος ἰσχύει, οὐδὲ θάλασσα, πάτερ Ἰάκωβε.

Ὠδὴ δ'. Ἵνα τί με ἀπώσω.

Οὐ φυτεύσας ἀμπέλους, πάτερ ἐν τῷ βίῳ σου, πολλὰς ἐτρύγησας, οὐδὲ θλίψας βότρυν τοῖς ποσί σου, ληνοὺς ὅλους πέπωκας, οὐδὲ ὕδωρ βάλλων ἐν τῇ φιάλῃ σου, τῆς μέθης ἐκροφᾷς θαυμασίως τὸν ἄκρατον.

Νυσταγμὸν σοῖς βλεφάροις, οὐδὲ τῇ γαστρί σου ἀνάπαυσιν δέδωκας, πίνεις γὰρ τὰς νύκτας, ὡς ἀσώματος πάτερ Ἰάκωβε, χαίρων τῇ καρδίᾳ, τῇ ἐργασίᾳ τῆς μέθης, καὶ γελῶν ἀκρατῶς εἰς τὸν ἄκρατον.

Ἐκ κοιλίας κραυγή σου ἤκουσται Ἰάκωβε, ἐν τῇ τοῦ πίθου γαστρί, καὶ ὑπήκουσέ σου ὁ τὸν οἶνον ἐκχέων σοι πάντιμε· πληρωθεὶς γὰρ μέθης βορβορυγμούς, ὀξυρεγχίας, ὀρυγάς (*) τε ἀποπέμπεις καὶ πνεύματα.

Ὑπέταξας τὴν σάρκα, ἐχαλιναγώγησας εις τὰ συμπόσια, καὶ ὡς δούλῃ πίθους ἐπεφόρτισας ἀκράτου γέμοντας (**), καὶ πρὸς πᾶσαν μέθην, καὶ ἀκρασίαν ἀναγκάζεις, καὶ ὑπείκει σοι, πάτερ Ἰάκωβε.

Ὠδὴ ε'. Ἱλάσθητί μοι.

Ροφήματί σου ἑνί, ἐκένωσας δέκα κύλικας, τῷ πνεύματι δὲ προσθεὶς ἀσκὸν εἰκοσάμετρον· λείπεται Ἰάκωβε, τὸ στόμα πλατύνας, ἐκροφῆσαι καὶ τὴν θάλασσαν.

Ὑπείκουσι σταλαγμοῖς καὶ σίδηροι καὶ ἀδάμαντες, ῥανίδι δὲ συνεχεῖ αἱ πέτραι κοιλαίνονται· τὸν σὸν δὲ ἀκόρεστον στόμαχον οἱ πίθοι ἐκκενούμενοι οὐκ ἤμβλυναν.

Θυμὸν ὀργῶντα δεινῶς, σβεννύεις πάτερ Ἰάκωβε· πληρώσας γὰρ εὐφυῶς ἀκράτου τὴν κύλικα, τῷ ψυχρῷ φλεγμαίνουσαν, τὴν ὀργὴν κοιμίζεις, καὶ νικᾷς τὰ πάθη πάνσοφε.

Μὴ ἔλθῃς εἰς τὰς ἐμὰς ἀμπέλους πάτερ Ἰάκωβε, μὴ κείρῃς

(*) γραπτέον, ὀξυρεγμίας, ὠρυγάς. (**) χειρ. γέμοντος.

βότρυν ἐμόν, μὴ ληνοβατήσαίς μοι· ὡς γὰρ σπόγγος ἄνικμος, ἀνιμᾷς τὸν οἶνον πᾶσι μέρεσι τοῦ σώματος.

ᾨδὴ ς΄. Παῖδες Ἑβραίων.

Ὤφθης κανὼν καὶ τύπος πάτερ, τοῖς μεθύουσι, μὴ συγκιρνῶν τὸν οἶνον, μήδ' ἀμβλύνων αὐτοῦ δι' ὕδατος τὸν τόνον, ἀλλ' ὡς ἐρρύει χρώμενος, τῶν βοτρύων ἐκθλιβόντων.

Στέψον τὴν κάραν σου ταῖς δάφναις, ἐπενδύθητι καὶ δέρματα δορκάδων, καὶ τοὺς θύρσους κινῶν, τῷ Διονύσῳ κράζε· εὖ υἱὲς οὕτως βρόμιε, βοτρυοῦ χεληνοβάτα.

Ἅπτουσαν κάμινον τῆς μέθης κατεπάτησας ὡς ἄλλος Ἀζαρίας, καὶ ἀγγέλου χωρίς, οὐδόλως κατεφλέχθης, σβέσας τὴν φλόγα πάντιμε, ἀκράτῳ πολυποσίᾳ.

Δάκρυσι πλύνεις σου τὴν κλίνην καὶ βαπτίσματι βαπτίζῃ καθ' ἡμέραν· ἡ γαστήρ σου καὶ γὰρ τὸν οἶνον μὴ χωροῦσα, δι' ὀχετῶν τοῦ σώματος ἀποβλύζει τοῦτον πάτερ.

ᾨδὴ ζ΄. Ἑπταπλασίως κάμινον.

Ὥριμος βότρυς πέφυκεν ἡ σὴ ὄψις Ἰάκωβε, οἴνους διαφόρους πανταχόθεν βλύζουσα, τὸν Χῖον τοῖς ὄμμασι, τοῖς γνάθοις τε τὸν Πράμνειον, καὶ τὸν ἀνθοσμίαν ὀχετοῖς τῶν ὀφρύων, τοῖς χείλεσι τὸν Κεῖον, καὶ τῷ στόματι, πάτερ, ἡδύοσμον ὀσφρήνῃ, καὶ μέλανα τῇ χρόᾳ.

Κλινοπετὴς καὶ πάννυχος ἐκτελεῖς τὸν κανόνα σου, χαίρων τῇ ἀσκήσει τῆς σαρκὸς Ἰάκωβε· ἀσκοὺς γὰρ προθέμενος, φιάλας τε καὶ κύπελλα, πίνεις ὅλην νύκτα, καὶ καυχώμενος λέγεις, οὐκ ἔμιξα τῷ οἴνῳ, ὥσπερ κάπηλος, ὕδωρ, οὐ ψύχον, οὐδὲ ζέον, ἀκράτου τούτου σπῶμαι.

Ὡς οἰκονόμος πάνσοφος, νουνεχής τε καὶ φρόνιμος, ἀποθησαυρίζεις μετοπώρῳ πάντοτε, κεράμια γέμοντα οἴνου καλοῦ, Ἰάκωβε, καὶ κατακλιθεὶς ἐπὶ τῆς κλίνης εὐθέως, ἀφρόντιδι καρδίᾳ, ἀμερίμνῳ τε βίῳ, τὸν χρόνον ὅλον πίνεις· ὢ ξένων θαυμασίων.

Νέον ἀσκὸν εὐμήχανον ἀπειργάσω τὸ σῶμά σου, τάξας εἰσο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

χὰς καὶ ἐκβολάς, Ἰάκωβε· καὶ γὰρ εἰσδεχόμενος, πρηγορεῶνι πέμπεις εὐθύς, καὶ ἐμπιπλαμένη ἡ γαστήρ σου οὐκ ἔστιν· ὡς θάλασσα καὶ γὰρ πάτερ, ποταμοὺς δεχομένη, ἰσόμετρος τυγχάνει διὰ μηχανουργίαν.

Ὠδὴ η'. Ἐξέστη ἐπὶ τούτῳ.

Στηρίξας σου τοὺς πόδας ἐν τῷ ληνῷ, ἐν τοῖς βότρυσιν ἔχεις τὰς χεῖράς σου, καὶ τοῖς ἀσκοῖς πέμπεις σου τὸ βλέμμα, πάτερ σοφέ· ἐρείσας δὲ τὸ στόμα σου βαθεῖ (*) κυπέλλῳ, πίνεις ὡς βοῦς οὐδόλως ἀναπνέων, οὐδόλως ἐπασθμαίνων, ἀλλ' ἀνελκύων ὥςπερ ἄμπωτις.

Τὰς τάξεις τῶν ἀγγέλων ἐν οὐρανῷ, ἐπὶ γῆς δὲ ἐκπλήττεις ἀνθρώπων ψυχάς, ὅτι τὰ σὰ χείλη ἐναρμόττων ἐν τοῖς ἀσκοῖς, ἀπορροφᾷς τὸν ἄκρατον, βλέπων ὥςπερ ταῦρος τοῖς ὀφθαλμοῖς, καὶ πίνων ἀνενδότως, ἄχρις ἰλύος πάτερ, καὶ συγκοπτόμενος τῷ πνεύματι.

Ἀσκήσεως κανόνας οὐκ ἀναγνούς, ἀσκητὴς ἀνεφάνης αὐτόματος, ἀσκῶν, σοφέ, ἄσκησιν τὴν ὄντως ἀσκητικήν· ἀσκητικῶς γὰρ ἤσκησας, πίνων ἐν ἀσκήσει πολλοὺς ἀσκούς· ἀσκήσας δὲ ἐν βίῳ ἀσκήσεως τοὺς ἄθλους, ἀσκοὺς ἐν βίῳ πάντας εἴληφας.

Στεφάνους ἐξ ἀμπέλων σῇ κορυφῇ ἐπιθήσωμεν πάτερ Ἰάκωβε, καὶ τοῖς ὠσὶ βότρυας κρεμάσωμεν εὐφυῶς· ἀσκοὺς δὲ τοῦ τραχήλου σου κύκλῳ ἐξαρτήσωμεν οἰνηρούς, καὶ κράξωμεν εὐτόνως, Ὁ πίνων ἀνενδότως οὕτως πομπεύῃ καταγέλαστα.

---

4. Ἀπολογία ὑπὲρ τοῦ Νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ. φ. 149.

Ἀπέκειτό μοι μετὰ τῶν ἄλλων καὶ τουτονὶ δυστυχῆσαι τὸν λόγον, ὃν ὡς οὐδὲν ἄλλο δεινὸν μετὰ πολλῆς ἀνεδεξάμην βαρύτητος· τὸ γὰρ πρὸς ἄνδρα φαῦλον καὶ τοῦ μηδενὸς ἄξιον, ὑπὲρ ἀνδρὸς ἀπολογεῖσθαι ἐκ διαμέτρου πρὸς ἐκεῖνον ἀντικει-

(*) χειρ. βαθύ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μένου ταῖς ἀρεταῖς καὶ τοσαύταις κεκοσμημένου ταῖς χάρισιν, ὅσων ἐκεῖνος ἐστέρητο, πόσης οὐκ ἂν εἴη δεινοπαθείας τῷ γράφοντι αἴτιον, ᾧ τὸ κρατῆσαι ἴσον τῷ ἡττηθῆναι ἐστί, καὶ ἀμφοτέρων ἡ ἀδοξία περίεστι; Ἀριστείδῃ μὲν γὰρ ὑπὲρ τῶν τεσσάρων ἀγωνιζομένῳ πρὸς Πλάτωνα, δύναμιν ὁμοῦ τῷ λόγῳ καὶ εὐθυμίαν τῷ ῥήτορι ὁ φιλόσοφος ἐνεποίει, καὶ αὐτὸς ἀκκιζόμενος, οἷα δὴ δεινὸς ῥήτωρ, οὐκ ἔχειν φησὶ πᾶσι χρήσασθαι πρὸς τοιοῦτο διαγωνιζόμενος πρόσωπον, ἐκ δὲ ὑπὲρ αὐτοῦ Πλάτωνος μὴ δὲ πρὸς Περικλέα ἢ Κίμωνα, ἀλλὰ πρός τινα λῆρον διαμαχομένῳ, οἷον ὁ τῆς ἱστορίας λόγος ὑπογράφει τὸν Κόροιβον, αὐτὸ δή που τὸ ἀντιμαχόμενον πρόσωπον, τοῦ τε μὴ ἐρρῶσθαι τὸν λόγον, καὶ τοῦ μὴ προθυμεῖσθαι πρὸς τοῦτον, ὑπόθεσις ἀκριβὴς καὶ ἐξ ἐναντίου πρὸς Ἀριστείδην τῷ Πλάτωνι.

Δι' ἃ μὲν οὖν μέχρι πολλοῦ δυσανασχετῶν τὸν παρόντα λόγον ἀνεδεξάμην, καὶ τὸν μέχρι τοῦ νῦν διατέτριφα χρόνον ταῦτά ἐστιν· ἐπεὶ δὲ τοῖς πολλοῖς ἡ φλυαρία τοῦ λόγου σύνεσις ἔδοξε καὶ ἀτεχνία τοῦ γράψαντος, ἁπλότης ἀληθινή τε καὶ ἀνεπιτήδευτος, κἀντεῦθεν ἡ βασκανία χώραν λαβοῦσα μετὰ συνηγόρων ἐπισυνέστη τῷ Νομοφύλακι, δεινόν μοι ἄλλως ἔδοξε μὴ καὶ τῷ Πλάτωνι διὰ τὸν νέον ὡς ἀληθῶς Ἀριστείδην βοηθῆσαι διακινδυνεύοντι, ὃς πολλοῖς τε ἄλλοις λόγοις καὶ μάλιστα τοῖς πολιτικοῖς τὴν ἡμετέραν πόλιν ἐκράτυνεν. Εἰ μὲν οὖν εὐγνώμων ἅπας ἀκροατὴς ἦν, οὐδεμιᾶς ἔδει τῷ λόγῳ δυσχερείας καὶ ἀποδείξεως, ἀλλ' ἤρκει τὸν διαβαλόντα δηλώσαντι ἀπηλλάχθαι πραγμάτων· ὧν γὰρ ἡ δόξα ἀνοήτως ἐχόντων προείληπται, τούτων αὐτὸ δὴ τοὔνομα δηλωθέν, σαφὴς κατηγορία καὶ ἔλεγχος· ἐπεὶ δὲ οὐ ταῖς ὑπολήψεσι διδόασιν οἱ πολλοί, ἀλλὰ τοῖς τῆς διαβολῆς προσέχουσι ῥήμασιν, ἵνα καὶ μᾶλλον αὐτῶν τε τὴν βασκανίαν ἀβέβαιον καὶ τὸν ἡμέτερον λόγον προθυμότερον ἐργασώμεθα, μὴ τὸν Ὀφρυδᾶν δώσομεν εἶναι τὸν γράψαντα, τὸ ἀνόητον ἐκεῖνο γερόντιον, ἄλλον δέ τινα καὶ λόγου μετέχοντα

καὶ τῶν πολιτικῶν ἀντεχόμενον, καὶ τὸν προστησόμενον ἱκανῶς εἰδότα τῶν νόμων.

Διατί οὖν ὥςπερ τῶν στρατιωτῶν οἱ δειλότεροι τὰ νῶτα τηρῶν ἔδαλε, τὸ δὲ συμμίξαι καὶ εἰς χεῖρας ἐλθεῖν, ὡς ἄλλο τι τῶν φοβερῶν ἀπεδίδρασκε; τοῦτο γὰρ οὔτε θαρροῦντος, καὶ βασκαίνοντος τοῖς ἐπαινουμένοις· οὕτω γὰρ τοὺς τῶν λόγων ἀγῶνας εὑρίσκομεν, ὅσοι τε ῥητορικοὶ καὶ ὅσοι φιλόσοφοι· ἐγράψατό τις ἀδικημάτων τὸν δεῖνα· ἐπηκροάσατο πρῶτον ὁ δῆμος τοῦ λέγοντος, εἶτα ὁ φεύγων ἐπ' αὐτῷ τούτῳ ἀπελογήσατο· ἠλέγχετο Πρωταγόρας, ἀλλ' ἐπὶ πολλοῖς φιλοσόφοις καὶ ἐπὶ τοῖς αὐτοῖς ὁ συνδοξάζων ἐκείνῳ ἀπελογεῖτο Θεαίτητος. Οὗτος ὁ νόμος κατηγορίας καὶ ἀπολογίας, κἀντεῦθεν ἡ ἀκριβὴς τῶν πραγμάτων δοκιμασία εὑρίσκεται· ὁ δέ, καινὸν εἶδος γραφῆς εἰς τὴν πολιτείαν εἰσήγαγεν, οἴκοι μᾶλλον καὶ ἐν παραβύστῳ τοξεύων· καὶ διώκων μὲν οὐδενὸς φεύγοντος, μόνος δὲ καὶ γράφων καὶ ἀποφαινόμενος, καὶ παρ' ἑαυτῷ κριτῇ δοκιμάζων καὶ ἐγγράφων τὰ δόξαντα.

'Αλλ' οὐχ οὕτως | ἔχει, ὦ βέλτιστε, οὐδ' ἐπὶ τῇ τοῦ διώ- φ. 149ᵛ. κοντος δόξῃ τὰ τοῦ φεύγοντος ταλαντεύεται πράγματα, ἀλλ' ἐπὶ ταῖς τῶν δικαζόντων γνώμαις ἡ τῶν λεγομένων κεῖται ἀναφορά· ὁ δὲ τὴν κρίσιν τῶν δικαστῶν ἀπωσάμενος, ἑαυτὸν δὲ καθίσας ὧν διώκει κριτήν, δυοῖν θάτερον, ἢ τὴν ἔμμιξιν δεδιὼς καὶ οὐ θαρρῶν τὸν ἀγῶνα, ἀλλὰ τοὺς τῆς ψευδολογίας ἐλέγχους φοβούμενος, αὐτόθεν τυγχάνει κατάκριτος, ἢ ἀνόητός ἐστι πάντη, τοῖς ἰδίοις πάθεσι διαιτᾷν οὐκ εἰδώς, ὡς δεκάσει πάντως τὴν κρίσιν, τὰ οἰκεῖα περιέπων γεννήματα, καὶ ὡς ἀγάλμασιν ἐνατενίσειε ταῖς σκιαῖς. 'Αλλ' Ἀπελλῆς μὲν καὶ Λύσιππος οἱ γραφεῖς τὴν ἑτέρου κρίσιν ἕκαστος εἰς τὰς οἰκείας παρεισῆγε γραφάς· οὔτε δὲ Λύσιππος ἑαυτῷ ἐν πᾶσιν ἐχρᾶτο, καὶ Ἀπελλῆς ἦν οὐδαμοῦ. Ὅτι δὲ οὕτως ᾤετο καὶ τῶν πάντων πλέον ἐδόκει φρονεῖν, δῆλον ἐξ ὧν τῆς περὶ τὸν Νομοφύλακα ψήφου

δοθείσης, καὶ πλείστων ὅτι δικαστῶν καὶ τῆς λοιπῆς λογιότητος ἐπισυνδραμόντων τῷ πράγματι καὶ συναινεσάντων τῇ ψήφῳ, οὐδεὶς οὔτε τῶν παρόντων, οὔτε τῶν ἀπόντων ἄλλο τι παρὰ τὰ δόξαντα λέγειν ᾤετο δεῖν· τῶν γὰρ κρειττόνων ἡ μαρτυρία πρὸς ἑαυτὴν τὰς πάντων δόξας συνήθροιζε.

Μόνος δὲ ὡς ἔοικεν οὗτος ὁ ὑπερνέφελος, καὶ πλέον τι τῶν τοῦ Διὸς δέλτων εἰδώς, οὐρανῷ καὶ γῇ καὶ πυρὶ καὶ θαλάσσῃ τὴν ἑαυτοῦ γνώμην ἀντέθηκεν, οὐ δημοσίᾳ φωνήσας, τάχα γὰρ ἂν λάϊνον ἕδυ χιτῶνα κατὰ τὸν ποιητήν, ἀλλ' εἰς τὸν ὀπισθόδομον τοῦ θεοῦ γράψας τὰ δόξαντα, ἵνα καὶ γράψῃ καὶ λάθῃ γράψας· καὶ τάχ' ἂν ἔλαθεν, εἰ μὴ τῆς χειρὸς ἡ ἐπισημασία ὥς πέρ τινα τυμβωρύχον ἢ ἱερόσυλον τὸν γράψαντα ὡς ἀτόπημα· εἰ δὲ μὴ θανὼν ἦν, καὶ εἰς δικαστήρια ἂν εἰσῆγον καὶ δίκας τῶν τετολμημένων ἀπήτησα, ὅτι βασιλέως ἀνεῖλε ψῆφον ἢ ἀνελεῖν ἔσπευσε, καὶ τοῖς δοκιμάσασιν ἡμῖν τὸν ἄνδρα καὶ οὕτως ἐγκρίνασι τὴν ἐναντίαν ἐβάδισεν· οἷς γὰρ τῷ δοκιμασθέντι ἐμέμψατο, τούτοις κακίζει τοὺς δοκιμάσαντας. Νῦν δὲ ὁ μὲν ἐκεῖθεν τιννύτω τὰς δίκας, τῆς ἀκολάστου γλώσσης φημί, οὐδὲν ἧττον ἢ Τάνταλος ὑπερτέλλοντα πέτρον φοβούμενος, καὶ τιμωρίαν ταύτην ἐναέριον ὑφιστάμενος· ὁ δὲ λόγος ἐνταῦθα ἐξεταζέσθω, καὶ τῆς τοῦ πατρὸς ὀμφακοφαγίας ὑφιστάσθω τὴν αἱμωδίαν.

Ἀλλ' ἡ μὲν εὐθύνη τοῦ λόγου ὀλίγον ἀναμεινάτω, τῷ δὲ περὶ τὸν Νομοφύλακα λόγῳ ἐνδιατρίψωμεν, ὃν αἰσχυνοίμην ἀπολογούμενος ἢ σιγῶν, καὶ σιωπῶν ἢ συνιστάμενος· ἀμφότερα γάρ μοι ἀμφιδεξίως περίεστι, τὸ μὲν διὰ τὴν τοῦ γεγραφότος ἄνοιαν, τὸ δὲ διὰ τὴν περὶ αὐτὸν αἰδῶ καὶ ψυχικὴν πάλαι ἀνάκρισιν· ὃν ᾤμην μόνον ἐγὼ τὰς λαβὰς ἐκπεφευγέναι τῶν ὑβριστῶν, καὶ ἀνάλωτον εὑρεθῆναι καὶ αὐτοῖς τοῖς βασκαίνουσι, τὸ μέν, λόγῳ νικῶντα, τὸ δέ, αἰδοῖ χειρούμενον καὶ τῇ περὶ αὐτὸν κοσμιότητι· ὃν τί σὺ παθών, ἢ μᾶλλον ποίῳ συνελαθεὶς

δαίμονι κακῶς ἐπήρθης εἰπεῖν καὶ ἀλογίαν τῷ λόγῳ προστρίψασθαι, καὶ τῷ Ἑρμῇ μὲν τὸ ἀνόητον, τῇ δὲ μούσῃ τὴν ἀμουσίαν προσενεγκεῖν; ὃς γραμματικῆς μὲν πᾶσαν ἐξεπαιδεύθη φωνήν, ποιητικῆς δὲ τὸ ὑποκριτικὸν εἰς ἄκρον ἐξήσκησεν, ὀρθογραφίας δὲ οὐδενὶ παρεχώρησεν, ὁποτέρας βούλει, εἴτε τῆς ἐν συλλήψεσι καὶ διαστάσεσι συλλαβῶν, εἴτε τῆς ἄλλης, ἣ νῦν μᾶλλον σπουδάζεται; ῥητορικῇ δὲ οὕτω τὴν γλῶτταν ἐνίσχυσεν, ἢ ῥητορικὴν τῇ γλώττῃ ἐκράτυνεν, ὡς μέχρι μόνου τοῦ βήματος ἁμιλλᾶσθαι τῷ ῥήτορι, τὰ δ' ἄλλα μηδὲν Φωκίωνος ἔχειν τὸ ἔλαττον, ὃς κἀκείνου κόπις ὠνομάζετο; εἰ δὲ καὶ τόνῳ δεῖ δοῦναι φωνῆς, οὐδὲ γὰρ τοῦτο ἀπαξιοῦται τῇ τέχνῃ, καὶ στροφῇ γλώττης εὐρύθμῳ, σὺ τάχα μόνον αὐτῷ πλησιάσειας, ὅς γε ἀργότερον μὲν ἢ τὸ θαλάσσιον κῆτος ἀνέχαινες, θέρους δὲ τὸ πνεῦμα κινήσας, χειμῶνος ἐποίεις τὴν προφοράν, ὥς πέρ τινα μυλικὸν λίθον βίᾳ τὴν γλῶσσαν μετακινῶν, ἀνεῳγὸς δὲ πολλάκις τὸ στόμα ἐῶν, ὥς περ τὰ ὄστρεια ταῖς ἡλιακαῖς ἀκτῖσι θαλπόμενα, καὶ εἴγε καρκῖνός τις ψηφίσι τὰς τῶν χειλέων συμβολὰς [μὴ] ἀπετείχιζε μέχρι παντὸς ἂν ὤφθης χασμώμενος, καὶ τοῦτο μόνον τοῖς χερσαίοις θαλάττιος;

Ἀλλ' ὁ Νομοφύλαξ; οὐ παραβάλλων δέ σοι τοῦτον φημί, μὴ οὕτω φρενῶν ἐκσταίην, ᾧ καὶ τὸν βοῦν αἰσχυνοίμην, τῷ λόγῳ δὲ τὸ ἐνδέον ἐπισυνάπτων· Κατωνικῆς μὲν εὐτονίας οὐδὲν ἧττον ἰσχύει τῷ λέγειν, ῥητορικῇ δὲ εὐγλωττίᾳ πάντων μᾶλλον τῶν ἄλλων εὐδοκιμεῖ· ἀλλὰ μέχρι τοῦ σοφιστὴς εἶναι δοκεῖν προῆλθεν ἐν τοῖς μαθήμασι, καὶ τὴν μὲν γλῶσσαν ἐκάθηρε, τὸν δὲ νοῦν εἴασεν ἀβοήθητον; φιλοσοφία δὲ τοῦ νοῦ ἡ βοήθεια, ἧς τἆλλα μὲν εἰς ἄκρον ἐξεπαιδεύθη, ἀποδεικτικήν τέ φημι μέθοδον, καὶ φύσεως κατανόησιν, καὶ ὅσα κατὰ ταύτην κινεῖται, ἔτι δὲ μετεώρων κατάληψιν καὶ τῶν ὑπὲρ τὴν αἴσθησιν, τὴν διὰ νοῦ θεωρίαν, καὶ τἆλλα, ἵνα μὴ καθέκαστον λέγω οἷς ἐκείνη σεμνύνεται· τοῦτο δὲ μᾶλλον ταύτης τὸ μέρος θαυμάσας πρα-

κτικὴν ἠγκαλίσατο, καὶ πρὸς τὸ ἦθος κέκτηται τὴν ἀναφοράν, καὶ κοσμεῖ τὸν ἐντὸς ἄνθρωπον τὸ νῦν συνάπτων ἀπὸ τῆς αἰσθήσεως. Τοῦ δὲ μαθηματικοῦ ταύτης ἄρα μέχρις ἁφῆς, οὐχὶ δὲ τομῆς ἥψατο, ἵνα μαθηματικῶς καὶ αὐτὸς εἴποιμι περὶ τούτων τὸν λόγον ποιούμενος; οὐχὶ τὸ μέν, τῶν Εὐκλείδου κατέλαβε, τὰ δέ, ἐξεῦρε, τὰ δέ, ἀνεπλήρωσεν; Εἰ δὲ μὴ αὐτὸς ταῦτα ἐπίστασαι, καινὸν οὐδέν, ὃς οὐδὲ γραμμὴν ὅ,τι ἐστὶν οἶδας, οὐδ' εἰ συνέστηκεν ἔκ τινων, ἢ εἰς ἄπειρα τυγχάνει διαιρετή, πολλοῦ γε δέῃ ἑξαγώνου καὶ δεκαγώνου εἰδέναι πλευράν, καὶ ὡς ἰσοδυναμεῖ ταύταις τετραγωνιζομένη ἡ πεντάγωνος.

Ἀλλ' ἔγωγε οἶδα τοῦτον καὶ θεώρημα τῶν βαθυτέρων γραμμικῆς ἑρμηνεύσαντα, καὶ οἶδε τὸ ἑρμηνευθὲν Αἴγυπτος ἢ παρεπέμφθη τὸ θεωρούμενον· ἦν δ' ὅπως τὰ ὅμοια τρίγωνα πρὸς ἄλληλα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμιλικίτων? πλευρῶν τοῦ

φ. 150. διπλασίονος, ἄλλον τρόπον ἢ ὃν λέ|γεται τὴν ἐξήγησιν ἔχοντος.

Τῆς δὲ σῆς πολιτικῆς τέχνης τῶν νόμων, ἣ καὶ τὰ ἐπίγεια συνέχει καὶ τὰ οὐράνια, ὡς αὐτὸς οἶμαι κομπάσειας, τῆς ἀλήπτου καὶ θείας, ἆρ' οὐχὶ μᾶλλον τῶν ἄλλων ἁψάμενος, εἰς τέλος ἀφίκετο, καὶ μᾶλλον αὐτὴν ἐκ τοῦ κατειλῆφθαι εἴ τίς ἐστιν ἔδειξεν, ἢ σὺ δὲ προσμαρτυρῶν ταύτῃ τὸ ἄληπτον; οὐ τῶν δικαστικῶν θρόνων δικαστικὸν ἐπλήρου ἀξίωμα, ἀντιπνέων ὑμῖν ἔστιν οὗ τοῖς δικάζουσι, καὶ διερμηνεύων τῶν νόμων τὰ δύσφραστα, γράμμασί τε ἐγνωσμένα παραδιδούς, νόμιμον μὲν τὸν ἀποδεικνύμενον ἔχουσι, τὰ δὲ ἀποδεικνύμενα οἷα καὶ ἐξ οἵων συγκείμενα; οὐ πρὶν ἢ σὲ δύο ἢ τρία τῶν νόμων συνεῖραι κεφάλαια, τίτλους ὅλους οὗτος διὰ στόματος ἔφερεν, εὐφυῶς μὲν ἀπομνημονεύων, προσφυῶς δὲ ἑρμηνεύων, ὑπερφυῶς δὲ συμβιβάζων; Ἀλλ' ὢ τί δ' ἂν εἴποιμί σε οὕτως ἔχοντα καὶ οὕτω μαινόμενον; οὐχὶ σὺ μὲν ὁ ἄριστα τοὺς νόμους εἰδὼς καὶ ἑρμηνεῦσαι τούτους δεινός, οὗ μᾶλλον ἔχρηζε τὰ πολιτικὰ πράγματα, σὺν δικασταῖς ὁμοῦ σὺν ἄρχουσι καὶ βασιλεῦσι καταπε-

φρόνησο καὶ γῆς ἄχθος ἐλογίζου ἐτώσιον, ἀφορμὴ δὲ πᾶσιν ὑπέκεισο γέλωτος γελοιασταῖς καὶ μίμοις παιζόμενος, τὴν γένυν κνώμενος ἐπὶ πᾶσι, καὶ ταχὺ μὲν ἐπιλανθανόμενος, εἶτα καὶ ἐκπλήκτως σιγῶν ἐφ᾽ ᾧ τὴν μνήμην ἀθροίσειας; οὗτος δὲ τἀναντία τούτων ὑπείληπτό τε καὶ ἕδρα, πρὸ τοῦ θρόνου τῶν θρόνων ἐπάξιος λογιζόμενος καὶ μετὰ τὸν θρόνον τοῦ προκαθέζεσθαι; ἁπτόμενος μὲν ὡς οὐκ ἄλλος τῶν πολιτικῶν ὑποθέσεων, τέμνων δὲ εἰς λεπτὰ καὶ διαιρῶν ἀκριβέστατα, νόμους τε πᾶσιν ἐπάγων οἰκείους προσφυεῖς; Ἀλλ᾽ ὅτι ἐν ἀκμαίῳ τῷ σώματι καὶ πρὸ τῆς ἡλικίας ταῦτα κατώρθωσε, διὰ ταῦτά σοι καὶ νόμων καὶ τῶν ἄλλων μαθημάτων ἀποκεκήρυκται; σοὶ δὲ ἐν βαθεῖ γήρᾳ ποία μετουσία παιδεύσεως; τίς δέ σε τῶν πάντων ἔγνω ὅσα ἐμὲ εἰδέναι μετὰ τὴν λευκὴν τρίχα ῥητορεύσαντα, ἢ φιλοσοφήσαντα, ἢ λόγους γενναίους ἀπογεννήσαντα, ἢ τισὶ συμπλακέντα διαλεκτικῶς, ἢ ἀναμφίβολόν τι κατασκευάσαντα; Εἰ δ᾽ ὅτι τοὺς περὶ προικὸς μετὰ τὴν παρακμὴν ᾔδεις λόγους, διὰ τοῦτό σε τοῦ γήρως τιμήσομαι καὶ τὸν χρόνον λογίσομαι αἰτιώτατον τῆς παιδεύσεως· ὅτι μὲν γὰρ καὶ οὗτος μέγα μέρος συμβάλλεται τῷ μανθάνοντι, οὐδένα ἀντειπεῖν οἶμαι· οὐχ οὕτως δὲ ἔχει ἀεί, οὐδὲ πᾶσιν ὁ βαθὺς χρόνος ἀθρόα δίδωσι τὰ καλά, ἀλλά τι καὶ ἡ φύσις νεανιεύεται καὶ τοῦ χρόνου μᾶλλον κρατεῖ.

Καὶ Σωκράτης γὰρ οὐκ ἐν γήρᾳ μόνον σοφός, ὅτε Θεαιτήτῳ ὡμίλει καὶ Τίμωνι, ἀλλὰ καὶ ἐν νεότητι, ὅτε Ζήνων Παρμενίωνι παρεγένετο, καὶ τῶν περὶ τῶν ἰδεῶν λόγων ἐπακροώμενος, θαυμασίως ἀντέπιπτε, καὶ τῶν γερόντων ἐπελαμβάνετο· καὶ αὐτὸς δὲ ὁ Νεοθεαίτητος πολὺ κρείττων τῷ φιλοσόφῳ τῶν μακροὺς ἐχόντων τοὺς πώγωνας ἐλογίζετο· ἀλλ᾽ ὅπερ παίζων ὁ Πλάτων φησίν, ὁ τῆς ψυχῆς κηρὸς αἴτιος· ἔστι γὰρ ἐν ἑκάστῳ κηρὸς ὥς περ τύπους δεχόμενος τὰ μαθήματα. Οὐκ ἀκούεις τοῦ ποιητοῦ, κῆρα πολλάκις τὴν ψυχὴν λέγοντος, ἵνα τι καὶ αὐτὸς προσπαίζω μικρόν, ὅπερ ἀπὸ τοῦ κηροῦ παραχθείη, πόθεν

γὰρ ἄλλοθεν; ἀλλ' οὗτος οὐ πᾶσιν ὁμοίως ὑπόκειται, ἀλλὰ τοῖς μὲν ὑγρός ἐστι καὶ εὐδιάλυτος, τοῖς δέ, στερρός τε καὶ συνεστηκώς, τοῖς δὲ ἀπεσκλήρωται καὶ πρὸς ὁντιναοῦν τύπον ἐστὶν ἀνένδοτος· οἱ μὲν οὖν τὸν ὑγρὸν λαχόντες κηρόν, ῥᾳδίως ἐντυποῦνται τὴν παίδευσιν, οἱ δὲ τὸν συνεστηκότα, τούτων μὲν ἔλαττον, μέγα δὲ μέρος τούτοις ὁ χρόνος ἐστὶ πρὸς ἀνάληψιν· οἱ δὲ τὸν τρίτον, μεθ' ὧν σε αὐτὸς τάττοιμι, κτήνεσιν ὅσον εἰς παίδευσιν ἀπεικάζονται, μήθ' ὑπὸ χρόνου, μήθ' ὑπὸ φύσεως βοηθούμενοι.

Τί οὖν, εἰ ὁ μὲν τὸν ὑγρὸν ἔχων κηρόν, ῥᾳδίως τοὺς τῆς παιδεύσεως λόγους ἐδέξατο, δεχομένης τῆς φύσεως ὁμαλῶς τὰ μαθήματα, σὺ δὲ τὸν σκληρόν τε καὶ ἄτμητον, μέχρι παντὸς ἀδιατύπωτος ἔμεινας, εἰ μή που ἐπιπολαίους τινὰς κατεγράφης γραμμάς, οἷά τινός σοι πέτρας ἐπὶ ποσὸν κοιλανθείσης τῆς φύσεως πρὸς τὴν πολυήμερον τῆς ἀναγνώσεως ἐνδελέχειαν; Εἰ οὖν σὺ μὲν δι' ἀμβλύτητος ὄψεως οὐδέποτε ταῖς ἡλιακαῖς αὐγαῖς ἐνητένισας, χρόνῳ δέ τινι καὶ μεθόδῳ βραχεῖάν που κατιδεῖν ἀκτῖνα ἐνίσχυσας, ὁ δέ, διὰ ῥώμην τοῦ ὀπτικοῦ πνεύματος ὅλον ἐκ τοῦ εὐθέος τὸν ἥλιον εἰσεδέξατο, οὐ διὰ τοῦτο μᾶλλον ἐπαινετέος καὶ τιμητέος τῆς φύσεως, ἢ κακίζοιτ' ἂν ὅτι μὴ σοὶ ἀπεικάζετο, καὶ τοῖς σοῖς κρίνεται πάθεσι παρὰ σοὶ τῷ πεπονθότι κριτῇ; Τί δὲ μὴ καὶ Σωκράτην κακίζοις, μᾶλλον τοῦ τῆς φιλοσοφίας τὸν κορυφαῖον ἀποβάλλεις καιροῦ, ὃς τὰ πλεῖστα τῶν μαθημάτων, μᾶλλον δὲ πάντα νέος ὢν ἀνελέξατο; Ἀριστοτέλην δὲ οὐκ ἀκούεις τὸν παρὰ Πλάτωνι νοῦν, ὅτε τῆς ἐν Ἀκαδημίᾳ μετεῖχε σχολῆς αὐτῷ Πλάτωνι ἀντιλέγοντα, ὃν καὶ πῶλον διὰ τοῦτο χαριεντιζόμενοί τινες κατωνόμαζον; ἀλλ' οὐ δή που διὰ τὸν χρόνον οὐκ ἐγκριτέος ὁ ἀνὴρ τῇ φιλοσοφίᾳ, προκριτέος δὲ μᾶλλον καὶ τῇ φύσει πολλὰ χαρίσαιτο, ὅτι παιδόθεν αὐτὸν ἐνηγκαλίσατο· ἀλλ' οὐδὲ τῶν συγγραμμάτων αὐτοῦ, ἃ μὲν ἐν γήρᾳ ἐξενηνόχει ἰσχύει καὶ κρατεῖ, ἃ δὲ ἐν

ἀκμαζούσῃ τῇ ἡλικίᾳ ἀπαράδεκτά τισι διὰ τοῦτο γεγόνασιν, οὐδὲ Πορφυρίῳ καὶ Πρόκλῳ τοῖς Πλατωνικοῖς εὐθυνόμενα, τῷ χρόνῳ φαίνοιτ' ἂν ἐγκρινόμενα ἢ ἐλεγχόμενα, ἀλλὰ τῷ λόγῳ καὶ τῷ μὴ ὀρθῶς ἔχειν ἢ κατ' ὀρθὸν φέρεσθαι.

Ζωροάστρην δὲ ποῦ θήσεις τὸν Αἰγύπτιον, ἢ Ἑρμῆν τὸν Τρισμέγιστον, οὓς καὶ φασὶν αὐτοδιδάκτους γενέσθαι, τῆς ψυχῆς μόνης ὥς περ ἔκ τινος κεκρυμμένης φλεβὸς ἀναστομωσάσης αὐτοῖς τὰ μαθήματα; Ἀλλ' οὐ δ' αἱ μακρόβιοι νύμφαι, εἰ δεῖ πιστεύειν τῷ Πλάτωνι, δι' ἃς τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῷ τοῦ ἀνθρώπου ὅρῳ προστέθειται, διαδόσιμον ἔσχον τὴν γνῶσιν ἑτέροις σοφοῖς ὁμιλήσασαι, ἀλλ' Ὁμηρίδας ὅ φασιν αὐτοφυεῖς αὐτὰς γεγενῆσθαι.

Ἀλλ' οὐ δεκτέα σοι ταῦτα, καὶ διὰ τοῦτό σε καὶ πάλιν γελάσομεν, τὸ καλὸν γέννημα ἀντὶ σοῦ τοῦ πατρὸς θυμῆρες καὶ ψυχαγωγὸν ἔχοντες, ἔοικε γάρ σου τῷ χαρακτῆρι καὶ ὡς ἀληθῶς τοῦ πατρός ἐστιν· ἥ τε γὰρ συνθήκη τῶν λέξεων, πῶς γὰρ ἂν ἄλλως εἴποιμι, βαβαὶ τῆς ἀναρμοστίας καὶ τῆς τραχύτητος! ἥ τε τῆς φράσεως ἑρμηνεία, ὡς λίαν δυσαχθής τις καὶ γεηρά, καὶ τοῖς παρείοις προσεοικυῖα παρὰ πολὺ ὄφεσι, παχεῖ τῷ ὁλκῷ κινουμένη καὶ ἐπαχθεῖ λίαν τῷ ἐπισύρματι, ὡς λίαν δὲ καὶ τοῖς σχήμασι κεκαλλώπισται! Ἑλλήνων παῖδες μὴ μέγα φρονείτωσαν τὴν ὕλην εὑρόντες, ἢ | ἀναπλάσαντες, καὶ μόνην ἄποσον, φ. 150ᵛ.
ἄποιον, ἀνείδεόν τε καὶ ἀσχημάτιστον ἀποφήναντες, καὶ μὴ ὂν μέν, ὂν δὲ ὅμως, τὸ μέν, κατὰ τὴν ἐντελέχειαν, τὸ δέ, κατὰ τὴν ταύτης πρόοδον· ἰδοὺ γὰρ αὐτομάτως ἑτέραν ἡμῖν ὕλην ἔδειξεν ὁ καιρός, τὸ τοῦ ὑβριστοῦ σύγγραμμα, ὕλην ὡς ἀληθῶς καὶ ὑλώδους νοὸς ὑλικώτερον γέννημα, ἰδέας ἄτερ καὶ σχήματος, καὶ μορφῆς ἀλλότριον τεχνικῆς· πῶς ἄν σου τὸ καλὸν ἐκφράσαιμι φρόνημα, μᾶλλον δὲ πῶς ἂν τὴν τούτου ἀκοὴν διαφύγοιμι, ἐκ διαμέτρου μὲν τοῖς σειρηνίοις ἔχουσαν μέλεσι, τὸ δ' αὐτὸ ἀποτέλεσμα; αἱ μὲν γὰρ τῷ ἡδεῖ διαφθείρουσιν, ἡ

δέ, τῷ ἀηδεῖ θανατοῖ τὸν ἀκροατήν· ὄνειος γάρ τις ὡς ἀληθῶς ἐστιν ὁ ὀγκηθμός, ἢ εἴ τι βαρυθυμότερόν τε καὶ ἐπαχθέστερον.

Ἑρμογένης μὲν οὖν ὁ ῥήτωρ τὴν ῥητορικὴν τέχνην διοργανούμενος, παραδείγματι πανταχοῦ τοῦ πῶς δεῖ ταῖς τέχναις ἢ ταῖς οἰκονομίαις κεχρῆσθαι, τῷ Δημοσθένει ἐχρήσατο· ἐγὼ δέ, εἰ μὴ φορτικὸς ὑμῖν ὦ νέοι, δόξαιμι τῷ τεχνικῷ ἀντεπιδεικνύμενος, ῥητορικὴν μὲν ἑτέραν ἐκθήσομαι, παράδειγμα δὲ καινὸν ὡς ἀληθῶς τοῦ πῶς δεῖ γράφειν τὸν τούτου λόγον ἐκθήσομαι, ἵν' ἔκ τε τῆς θέσεως τῶν Δημοσθενικῶν παραδειγμάτων, ἔκ τε τῆς ἀναιρέσεως τῶν τοῦ Ὀρρυδᾶ παραληρημάτων, ἄριστα ὑμῖν προΐῃ τὰ τῆς μαθήσεως. Εἰ δέ τις οὕτως ἔχων φύσεώς τε ὁμοῦ καὶ μαθήσεως, συγγράμματά τινα κατὰ Δημοσθένους συντίθησι, δότε γάρ μοι πρὸς τὸν καιρόν τι φθέγξασθαι, ὅτε καὶ τὸν Αἰσχίνην ἐρευνήσαντες οὐχ εὑρήσομεν, οὐ παράφορος ὡς ἀληθῶς καὶ μαινόμενος; ἀλλ' εἰ μὲν τῶν ἄρτι ἀκμαζόντων ὁ συγγραφεὺς ἦν, συγγνώμην ἂν διὰ τὸν χρόνον δεδώκαμεν· ἐπεὶ δὲ τῶν καταλυσάντων ἐστί, τὸ φιλότιμον αὐτὸς καταλελυκώς, οὐδὲ γὰρ προσεκτήσατο, οὐκ εἰς βάραθρον ὠθῆσαι χρεών; Καὶ εἰ μὲν τοῖς πολιτικοῖς ἐξητάζετο πράγμασιν, εἶτα οἷα εἰκός, ζήλῳ τοῦ ἀντιτέχνου διαφιλοτιμούμενος τοῖς τοιούτοις ἐκέχρητο λόγοις, οὐκ ἄν τις ἴσως κατέκρινεν, ἢ οὐ πικρῶς ἐχαλέπηνεν· ἐπεὶ δὲ πόρρω καὶ νόμων καὶ δικαστηρίων, ὡς μέχρι τινὸς ἐδόκει πεποίηκας ἑαυτὸν καὶ τοῖς καθ' ἡμᾶς Ναζιραίοις φέρων ἑαυτὸν συνηρίθμησας, ἔπειτα ὥσπερ νὺξ ἀρξάμενος τῶν πολιτικῶν βασκαίνων ἑάλω, καὶ γραφὰς ἐξενηνοχέναι ὕβρεων, καὶ βασιλικοῖς ἀντιπίπτειν θεσπίσμασιν, οὐκ ἄν τις εὖ φρονῶν καὶ ἐν εἰδώλῳ καὶ σκιᾷ τιμωρήσαιτο, ὕβρεσι πλύνων καὶ ἐπεγγελῶν καὶ εἰκότα ἀντισυγγράφων; Εἰς ταῦτά σου τὸν νοῦν οἱ περὶ Σισόην καὶ Ἀγάθωνα προετρέψαντο; ταῦτά σε οἱ ἐν τῇ σκήτει καὶ ἐν τῷ Σινᾷ ἐξεπαίδευσαν μοναχοί; ὧν σὺ τὴν ἀναχώρησιν μιμησάμενος, τὸν βίον οὐ παρεζήλωσας, μᾶλλον δὲ ἐκεῖνον μὲν

ἔπαιξας ἀκριβῶς, ἀλλ' οὐκ ἀκριβῶς τοῦτον δὲ ἐμίσησας; οὕτως ὁ τοῦ Κυρίου παιδευόμενος; ὁπότερον βούλει, εἴτε τὸν τῆς σκιᾶς, εἴτε τὸν τῆς ἀληθείας, προσθήσω δὲ καὶ τρίτον τουτονὶ τὸν πολιτικόν· ὧν ὁ μέν, οὐχ ὑβρίζειν ὅλως ἐᾷ, ὁ δὲ καὶ πλέον προστίθησιν, ὥςπερ κἂν τοῖς ἄλλοις εἴωθεν, ὁ δέ, καὶ προστιμᾶται τὸν ὑβριστήν. Σὺ δέ γε ὦ λῷστε, καὶ τὴν μίαν σιαγόνα τυφθείς, ἀντιπαρέσχες καὶ τὴν ἑτέραν τῷ παίοντι, ἢ παρεκάλεσας ὑβρισθείς, ἢ βλασφημηθεὶς ἀντευλόγησας; ὥςτε καὶ ὕβρεως ἄρχῃ, καὶ οὐδὲ νεώτερος ὤν, ὅ φησιν ὁ ποιητὴς αἰνιττόμενος, ἀλλ' ὑπὲρ τὴν γηράσασαν ἔλαφον, καὶ ταῦτα πρὸς οὐ διενεχθέντα σοι πώποτε, οὐκ ἐν δίκαις, οὐκ ἐν βουλαῖς, οὐκ ἐν κοινοῖς, οὐκ ἐν ἰδίοις; οὐδὲ τοῦτο μὲν γὰρ ἀκατηγόρητον, εἶχε δέ τινα ὁ λόγος ἀπολογίαν.

Ὅθεν δῆλον ὡς τοῦ θρόνου τούτῳ ἐβάσκηνας, καὶ τῆς κοινῆς κρίσεως καὶ τῆς ὑπὲρ σὲ εὐδοκιμήσεως· ἐβούλου γὰρ αὐτὸς προκαθῆσθαι τοῦ βήματος, καὶ τὴν νομικὴν ἐπιδείξασθαι τέχνην ὅση τε καὶ ἥτις ἐστιν· ὡς λίαν ἀτυχῶ εὐτυχῶν, ὅτι σε μὴ προκαθήμενον εἶδον, ἐν ταὐτῷ δὲ καὶ παιζόμενον οἷα μαινόμενον· ὁ γὰρ τῆς μιᾶς πολλάκις λέξεως ἀπολύων τὸ ἥμισυ, καὶ τοὺς οἴκοθεν λογισμοὺς οὓς πολλάκις διεμελέτησας προφέρειν ἀδυνατῶν, τί ἂν ἐποίησας αἰτίας τῶν κεφαλαίων καὶ λογισμοὺς ἀπαιτούμενος καὶ ἀντινομιῶν συμβιβάσεις, καὶ ταῦτα μὲν ἐπ' οὐδεμιᾶς ἀναβολῆς, ἀλλ' ἐν αὐτοῖς τοῖς ζητήμασιν; οἶδ' ὡς ἀνέχαινες μὲν ἂν πολλάκις, προήνεγκας δὲ οὐδὲν πλὴν τοῦ πνεύματος. Ἀλλ' αὖθις ἀτυχήσας εὐτύχησα, ὅτι μὴ κρίσις τοῦ ἐμοῦ βασιλέως ἠλέγθη τοῖς πράγμασιν· οἷα δὲ καὶ τὰ τοῦ λόγου; νῦν γὰρ αὐτὸς εὐθυνέσθω, ὃς βασιλέως ἐπαγγειλάμενος ἔπαινον, καὶ τοῦτον ὑπόθεσιν ἑαυτῷ προστησάμενος, αὐτῆς τε τῆς ἐπαγγελίας πάσης μικροῦ δεῖν ἐπελάθετο, καὶ ψόγον ἀντ' ἐγκωμίου παρὰ τὴν ὑπόσχεσιν ἐξηρεύξατο· ὡς λίαν τοὺς ῥητορικοὺς νόμους ἠκρίβωσας καὶ μετὰ δεινότητος ἅπτῃ τῶν ὑπο-

θέσεων· λεληθότως τε καὶ ὁμαλῶς μεταβαίνεις ἀφ᾽ ἑτέρων εἰς ἕτερα, καὶ μάλιστα ἔνθα καί τις δεινὸς ἀντικρούσειεν ὡς κατηναγκᾶσθαι δοκεῖν ὑπὸ τοῦ λόγου, καὶ οὐχὶ οἰκείαν εἶναι ὁρμὴν τὴν μετάβασιν· ὅς γε τοὺς ἐπαίνους ἀφείς, οὐδὲν δέον ἐπὶ τοὺς ψόγους χωρεῖς, μὴ προοικονομήσας τὴν εἰσβολήν, μὴ προκαταστησάμενος, μὴ διηγητικὸν προοίμιον προστησάμενος, ἀλλ᾽ εὐθὺς ἀπὸ τῆς ἑῴας εἰς τὴν ἑσπέραν τραπείς, ὡς μὴ δεηθῆναι μεσουρανήσεως; Πῶς δέ σε καὶ τοῦτο διέλαθεν ἐν μέσῳ προκείμενον, ὡς διὰ μέσου τοῦ Νομοφύλακος ὁ ψόγος πρὸς τὸν ψηφισάμενον ἀναφέρεται; εἰ μὲν γὰρ ἄνευ ψήφου καὶ συναινέσεως, οἷα δὴ τύραννος οὗτος πολιορκήσας τὰ κοινά, τοῦ διδασκαλικοῦ θρόνου ἐκράτησεν, εἶχεν ἄν σοι λόγον ὁ λόγος· ἐπεὶ δὲ μᾶλλον οὗτος ἐτυραννήθη, δεδόσθω γὰρ οὕτω λέγειν τοῦ βασιλέως καταναγκάσαντος, οὐ μᾶλλον ἐκείνου ὁ ψόγος ἢ τοῦ Νομοφύλακος ἅπτεται; ἐγκωμιάζεται δέ τις ἐξ ὧν αὐτὸς πεποίηκε μάλιστα, ἢ ἐξ ὧν ὁ πατήρ, ἢ ὁ πάππος εἰργάσαντο; δῆλον γὰρ ὡς ἐκεῖνα μὲν φιλοτιμίας ἔχει τοῦ γένους, ταῦτα δὲ αὐτὸν καθ᾽ ἑαυτὸν τὸν ἐπαινούμενον δείκνυσι.

Συλλόγισαι οὖν, σὺ γὰρ αἴτιος τοῦ συλλογισμοῦ, οἷά σοι ὁ αὐτοκράτωρ καθύβρισται! Τί δέ σοι καὶ ἡ πολλὴ φλυαρία τοῦ λόγου βούλεται, καὶ ἡ ἄλογος ἐκείνη σκηνή, ἣν τελεστικῶς καὶ μυστηριωδῶς τῷ λόγῳ συνέπηξας; τίς ἡ προσαγομένη μήτηρ ἄνευ τοῦ σχήματος καὶ τὸ ἀρτιγενὲς βρέφος, ἣν αὐτὸς τῷ λόγῳ ἐμαίευσας, καὶ ὁ καινὸς δρόμος, καὶ ἡ τῆς τεκούσης ὑπόληψις, καὶ τἆλλα τῶν ληρημάτων ἃ μόνος αὐτὸς ἐξήγησαι ὁ καινὸς τῷ ὄντι δραματουργός; ἐγὼ δὲ κλείσω τὰ ὦτα, ὡς μὴ φλυαροῦντος ἐπακροᾶσθαι. Ἀλλὰ ταῦτα μὲν ἐατέον ὡς δεῖ μὴ ληρεῖν,
φ. 151. ὡς ληρῳδίας πάσης ἐπέκεινα· ἐπὶ δὲ | τὸν θαυμάσιόν σου ἰτέον συλλογισμὸν ὃν καὶ σφραγῖδα τοῦ λόγου πεποίηκας. Εἰ μὲν γὰρ ὁ Νομοφύλαξ φὴς λόγοις ἀνθρωπίνοις καὶ τῇ κοινῇ φύσει οὐχ ὑπόκειται, ῥᾳδίως τοὺς νόμους μεμαθηκώς, ὁ δὲ σαρκωθεὶς

λόγος ὑπόκειται πλάσιν δεξάμενος καὶ μορφήν, ἄρα, καὶ πάλιν αὐτὸς εἰπὲ τὸ συμπέρασμα, τοῦ Θεοῦ μείζων ὁ Νομοφύλαξ καθέστηκεν, ὁ ὑπὲρ φύσιν τοῦ κατὰ φύσιν· ἆρ' οὖν ὦ βέλτιστε, καὶ πᾶν ὃ τὴν φύσιν ἐνίκησε, τοῦτο καὶ τὸν σαρκωθέντα ὑπερηκόντισε; ὥρα οὖν σοι ἐπανιστᾷν τὴν κτίσιν τῷ κτίσαντι, μᾶλλον δὲ ὑπερανιστᾷν τε θάλασσαν διαιρουμένην διχῇ, καὶ ἱσταμένην τὴν ῥύσιν οἷα τειχίον, ποταμὸν ἐπαναστραφέντα, πῦρ λεπτούμενον ἁπτόμενον σώματος, φυλάττον δὲ τοῦτο ἀδάπανον, ἀκρότομον πέτραν ὕδωρ πηγάζουσαν ἄφθονον, καὶ ξύλῳ γλυκαινομένην ὑδάτων πικρίαν, καὶ τούτῳ αὖθις ἑλκόμενον σίδηρον. Εἰ οὖν παρὰ φύσιν μὲν ἵστατο τὸ ῥυτόν, καὶ ὁ ποταμὸς ἀνεστρέφετο, καὶ ἡ τοῦ πυρὸς φύσις οὐκ ἔφλεγε, καὶ ἡ ἀκρότομος τὰς πηγὰς ἠφίει, καὶ τὸ ξῦλον ὧδε μὲν τὴν πικρίαν ἐγλύκαινεν, ἐκεῖσε δὲ τὴν βαρεῖαν φύσιν ἐκούφιζεν, ὁ δὲ σαρκωθεὶς λόγος κατὰ φύσιν ἐμορφοῦτο καὶ διεπλάττετο ὑπὲρ ἐκεῖνα, σοὶ δὲ λογιζέσθω ἡ βλασφημία, τὰ τὴν φύσιν νικήσαντα κτίσματα· ἀλλ' οὔθ' ὃ τὴν φύσιν ἠγνόησε, τοῦτο καὶ τὸν τῆς φύσεως ὑπερῆρε δημιουργόν, οὔθ' ὁ Νομοφύλαξ τοὺς ὅρους ὑπερανέβη τῆς φύσεως· οὐ γάρ, εἰ ὁ μέν, μᾶλλον τῶν μαθημάτων ἀντιλαμβάνεται, ὀξεῖαν ἔχων τὴν νόησιν, ὁ δέ, ἧττον, ἀμβλυώπως πρὸς τὰς μαθήσεις ἐρχόμενος, παρὰ τοῦτο ὁ μέν, οἶδε τὴν φύσιν, ὁ δέ, ταύτην ἐνίκησεν, ἀλλ' ὁ μέν, λεπτοτέραν ταύτην ἐκτήσατο, τοῦ φανταστικοῦ πνεύματος ἀερώδους ὑποκειμένου αὐτῷ, ὁ δέ, παχεῖαν αὐτὴν ἐδυστύχησε, καὶ περιττότερον τὸν ἐγκέφαλον. Τοῦτο γὰρ ὑπὲρ φύσιν, ὦ βέλτιστε· τοῦτό ἐστιν ὅταν ὡς ἐν εἰκόνι τῶν ἐπ' εὐθείας φερομένων σωμάτων, τὸ μὲν κάτω πεφυκὸς φέρεσθαι μετεωρισθείη πως πρὸς τὸ ἄναντες ἐξ οἰκείας ἀρχῆς, τὸ δ' ἄνω λαχὸν τὴν κίνησιν, οὕτω πάλιν κατενεχθείη· εἰ δὲ τῶν ἄνω φερομένων ἢ κάτω, τὰ μέν, μᾶλλον ἄνω ἢ κάτω κινεῖται, τὰ δὲ ἧττονα, αὐτὸ τοῦτο ἐνεργεῖ· οὐ παρὰ τοῦτο, τὰ μέν, τὴν φύσιν οἶδε, τὰ δέ, ἠγνόησεν· ἀλλὰ παρὰ τὴν φύσιν,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὰ μέν, μέχρι τινὸς ἵσταται βαρυνόμενα, τὰ δέ, ἐπὶ τὸ κέντρον ἐλθεῖν ἐπείγεται· καὶ τὰ μέν, ὅρον τῆς ἑαυτῶν κινήσεως τὴν τοῦ ἀέρος σφαῖραν ἐπίσταται, τὰ δέ, πρὸς τὸν αἰθέρα ἐπείγεται.

Εἰ μὲν οὖν τῆς καθ᾽ ἡμᾶς φύσεως τὴν γνῶσιν ἐχούσης διὰ μαθήσεως, ὁ Νομοφύλαξ ἄνευ ἐκείνης ταύτην ἐκτήσατο, τὸ ὑπὲρ φύσιν αὐτῷ προσμαρτυρῶ καὶ αὐτός· εἰ δὲ νοῦν εὐτυχήσας ὀξύν, ὀξέως τὴν παίδευσιν ἀνελέξατο, παρὰ τοῦτο δώσω τούτῳ τὸ ὑπὲρ φύσιν, ὅς γε μᾶλλον τὴν φύσιν ἔσχηκε συνεργήσασαν; ἀλλ᾽ ὑπὲρ φύσιν μὲν αὐτὸν ἂν εἴποιμι, τὴν σὴν δὲ καὶ οὐχὶ τὴν ἐμὴν ἴσως, εἰ δὲ καὶ τὴν ἐμήν, ἀλλ᾽ οὐχὶ καὶ τὴν κοινήν. Σὺ δὲ ἀμούσως πάνυ καὶ ἀμαθῶς τόν τι τῶν ὑπὲρ φύσιν οἰκονομουμένων νικήσαντα, καὶ τὴν φύσιν αὐτὴν συμπεραίνῃ νενικηκέναι, ἢ καὶ αὐτὸν τὸν πλάστην τῆς φύσεως· καὶ καινὸν οὐδὲν λέγεις, ὅς γε μὴ ὅτι φύσις ἐστὶν ἐπίστασαι, πότερον ἡ ὕλη, ἢ τὸ εἶδος; ὅτι κυρίως τὸ εἶδος· ἐντεῦθεν γὰρ ὁριζόμεθα· καὶ πότερον, τὸ φυσικὸν ἢ τὸ τεχνητόν; ὅτι τὸ φυσικόν, ἐπὶ γὰρ τοῦ λοιποῦ ἡ ὕλη μᾶλλον ἔχει τὸ κῦρος· καὶ ὅτι ἀρχή ἐστιν ἠρεμίας τε καὶ κινήσεως· καὶ τἄλλα τῶν Ἀριστοτέλους φυσικῶν θεωρημάτων, ἃ μὴ δὲ ψιλῶς οἶμαι ἀκηκοέναι σε πώποτε· τί δὲ βούλεται καὶ ἡ καινὴ σύγκρισις, ἄλλου πρὸς ἄλλο παραβαλλομένου καὶ οὐ κατὰ λόγον συγκρίσεως; Εἰ γὰρ ὁ μὲν Νομοφύλαξ ὑπὲρ φύσιν ἐστί, μὴ διὰ πολλοῦ χρόνου τοὺς νόμους μεμαθηκώς, ὁ δὲ τοῦ Θεοῦ υἱὸς κατὰ φύσιν πλασθεὶς ἅμα καὶ μορφωθείς, ἆρα τι συμπεραίνεται· ἔδει γὰρ οὕτως εἰπεῖν· εἰ ὁ μέν, διὰ πλείστου, ὁ δέ, δι᾽ ἐλαχίστου πάνυ· ἤ, εἰ μὴ οὕτως, ἐκείνως· εἰ ὁ μέν, ἐπλάσθη, ὁ δέ, αὐτομάτως μεμόρφωτο· ἢ γὰρ τὴν πλάσιν πρὸς τὴν πλάσιν ἐξέταζεν, ἢ τὴν μάθησιν πρὸς τὴν μάθησιν· εἰ δὲ μή, ἀντισυλλογίσομαί σοι ἐγὼ κατὰ τὴν σὴν πρόθεσιν· εἰ ὁ Κύριος πλαττόμενος μὲν καὶ μορφούμενος οἶδε τὴν φύσιν, συλλαμβανόμενος δὲ καὶ γεννώμενος οὐκ ἐπί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σταται, ὑπὲρ φύσιν ἅμα ὁ αὐτὸς καὶ κατὰ φύσιν ἐστίν, ἀλλ᾿ οὐχ ἅμα, ἤτοι κατὰ ταὐτό, ἀλλὰ κατ᾿ ἄλλο καὶ ἄλλο.

Εἰ μὲν οὖν δείξεις ὡς ὁ μὲν Νομοφύλαξ πρὸ τῆς πολιᾶς τὴν γνῶσιν τῶν νόμων ἐπήνθησεν, ἡ δὲ αὐτοσοφία καὶ βραδεῖά πως πρὸς τὴν μάθησιν ἀπαντήσασα ἐν ἐσχάτῳ γήρει μόλις κατέλαβεν, οὐδ᾿ οὕτω μὲν νικήσεις· ἐγὼ γὰρ αὖθις τὸ μᾶλλον καὶ ἧττον τῆς φύσεως· ὅμως δέ σοι τὰ τῆς συγκρίσεως ἔρρωται· εἰ δ᾿ ἐστένωτό σοι τὰ τῆς ἀποδείξεως, πῶς οὐχὶ πλατεῖά μοι ἡ νίκη ἐστίν; Εἰ δὲ τριακονταετὴς βεβάπτισται, πρὸ τοῦ βαπτίσματος δὲ τὸ ἱερὸν κατέχων ἐδίδασκεν, ὅτε καὶ παρὰ τῆς μητρὸς ζητούμενος οὐχ εὑρίσκετο, πῶς οὐχὶ πρὸ τῆς τοιαύτης ἡλικίας τὴν γνῶσιν ἔχειν ἀποδεικνύμενος, παρά σοῦ τε τὸ κατὰ φύσιν προσμαρτυρούμενος, αὐτὸ τοῦτο προσμαρτυρήσειε καὶ τῷ Νομοφύλακι, ὃς καὶ τὸν χρόνον τοῦτον ὑπερανέβη; καὶ εἰκός γε ὦ βέλτιστε, ἐλευθεριωτέραν γὰρ τὴν φύσιν καὶ κατὰ ἀνθρώπινον ὁ Χριστὸς ἔσχηκεν.

Εἴτε οὖν τὸ ὑπὲρ φύσιν συγχωρηθείη τῷ Νομοφύλακι, ἄλογον τὸ συμπέρασμα· οὐ γὰρ διὰ τοῦτο τοῦ τῇ φύσει δουλεύσαντος δι᾿ οἰκονομίαν ὑπερανέστηκεν, εἴτε μὴ τοῦτο δοθείη, ἔτι γε μᾶλλον ὁ ἄτεχνός σοι συλλογισμὸς διαπέπτωκε, καὶ ἐξ ὑπερδεξίων ἑκατέρωθεν βέβληται. Ἀμφιβόλου δὲ καὶ τοῦ περὶ τῆς πλάσεως ὄντος λόγου, καὶ πλείστων λογίων καὶ μάλιστα τῶν τοῦ πνεύματος ἐνταῦθα διαμφισβητησάντων, καὶ τῶν μέν, τοῖς κατὰ μικρὸν δεξαμένων πλάσιν καὶ διαμόρφωσιν, τῶν δέ, τὴν ἀθρόαν καὶ ἄμεσον· εἰκὸς γὰρ μὴ τοῖς πέρασι μόνον, ἀλλὰ καὶ τῇ μεσότητι τὴν φύσιν ὑπεραναβῆναι τὸν Κύριον, καὶ τὴν τοῦ πρώτου Ἀδὰμ μιμήσασθαι σύστασιν· ἐπεὶ δὲ καὶ δι᾿ ἐκεῖνον ἐχρημάτισε δεύτερος, διατί σὺ τὸ τοῖς θεοφόροις πατράσιν ἀμφιβαλλόμενον ὡς κοινὴν ἔννοιαν παρεδέξω καὶ ἀναμφίβολον, καὶ τὸν σὸν ἐντεῦθεν συλλογισμὸν κρατύνειν ᾠήθης, ὃς τῷ ἀντιπίπτοντι λόγῳ εὐφυῶς καταβέβληται, καὶ ἀδιασείστου μεμενη-

κότος τοῦ ἐρείσματος, πῶς καὶ σὺ συλλογισμοὺς πλέκειν ἐτόλμησας; ἐξ οἵων ὡρμημένος φωνῶν, ποίοις ὁμιλήσας γένεσιν, ἢ λόγοις ἁπλοῖς, ἢ ταῖς τούτων διαφοραῖς, πότε δὲ τὴν μέθοδον τούτων κτησάμενος; ἀπόκριναί μοι, τίς ὅρος συλλογισμοῦ, καὶ πόσαι τούτων διαφοραί, καὶ τίς μὲν ὁ ἀληθής τε καὶ ἀποδει-
φ. 151ʳ. κτικός, τίς δὲ ὁ διαλεκτικός, τίς δὲ ὁ σοφιστικός; καὶ πότερον|, περὶ τὴν ὕλην, ἢ τὸ εἶδος, ἢ τὸ σχῆμα, ὁ μὲν ἀναμαρτήτως ἀποδεικνύει, ὁ δὲ [ἀξιοῖ], ὁ δὲ ψεύσεται, ὁ δὲ πρὸς τῆς ποίας ἐστὶ τάξεως;

Νῦν γὰρ ἂν ἀπολογήσῃ ἀπολελυμένος τοῦ σώματος, ἢ ὅτε τὴν γλῶτταν ἐκέκτησο, ἣν ἀργότερον ἐκίνεις, ἢ τὸν ἐκ κόπρου πόλον? ὁ κάνθαρος· δέδοικα δὲ μὴ καὶ τῇ ψυχῇ σου ὁ μέγας τῆς ἀφωνίας βοῦς ἐπικάθηται, ἢ τῆς ἀνοίας εἰπεῖν οἰκειότερον ἀναπεπλησμένης τῆς τοῦ σώματος φύσεως, καὶ συμμεταβληθήσῃ τούτῳ πρὸς τὸ ἀργὸν καὶ ἀνόητον· καὶ οὐκ ἐμὸν τὸ δόγμα, Πλάτωνος δὲ καὶ Σωκράτους, εἴ γε τῷ Φαίδωνι καθωμίλησας· ἔδει μέν, εἴποι τις ἂν τοῦ μηκέτ' ὄντος φείσασθαι, καὶ μὴ σκιαμαχεῖν ἀτεχνῶς, ἀλλὰ πρὸς τὸν ἐξιτήριον, ὦ λῷστε, ὁ προπεμπτήριος· οὐ γὰρ ὁ ἀνθυπενεγκὼν κακίζοιτ' ἄν, ἀλλ' ὁ πρώτως εἰπὼν κακῶς· ἔδει δὲ πάντως πρὸς τὰς ἐπενεχθείσας αἰτίας ἀπολογήσασθαι, ἵνα μὴ διὰ τῆς σιωπῆς κυρωθείη τὰ κατηγορήματα· εἰ δέ τις ἐκείνου ἀντιποιοῖτο καὶ τῶν ἐκείνου λόγων ὑπερμαχεῖν ἐθέλοι, συνιστάσθω καὶ ὑπεραγωνιζέσθω, καὶ μάλιστα λόγος εἴη ὁ ὑπερμαχόμενος, ἵνα μὴ πάλιν σχεδιάζειν καὶ παίζειν ἀναγκασθείημεν.

# Γ'.

## ΔΙΚΑΣΤΙΚΑ.

### Δικαστικὴ ἀπόφασις συνταχθεῖσα ὑπὸ Ψελλοῦ?

Τοῦ αὐτοῦ· ὑπόμνημα ἕτερον. φ. 43ᵛ.

Τῶν τοῦ πάππου δικαίων ὡς ἐδόκει ἐχόμενος ὁ πρωτοσπαθάριος Ἰωάννης καὶ βεστιαρίτης ὁ Ἰβηρίτζης, ὧν οὐ μετῆν τῷ πατρί, δίκην τινὰ ἀργῶν οἶμαι καὶ παίζων ἀνεπλάσατο καὶ ἐμόρφωσεν, ἥτις αὐτῷ μὲν τῷ πράγματι ἀνυπόστατος ἦν, σκιὰν δέ τινα καὶ μορφὴν ὑποστάσεως παρ' αὐτοῦ εἴληφε, καὶ ἦν ὡς ἀληθῶς εἰκασμένη τοῖς καθ' ὕπνον φανταζομένοις ἃ δὴ τὸ ἄλογον καὶ παθητικὸν τῆς ψυχῆς μέρος ὑφίστησιν· ἐπλάττετο δὲ τὴν ἀνύπαρκτον | κατὰ στάσιν οὕτως ὑπόθεσιν. Τὸ γὰρ προάστειον φ. 44. ἔφασκεν ὃ καλεῖται Βιβάριον, ὁ πάππος αὐτοῦ καὶ ἡ μάμμη διὰ χρυσοβούλλου δωρεᾶς τοῦ μακαρίτου βασιλέως κῦρ Βασιλείου κτησάμενοι, ἐκεῖνοι μὲν ὡς εἰκὸς ἀμφότερα εἶχον καὶ τὸ χρυσόβουλλον καὶ τὸ Βιβάριον, αὐτὸς δὲ θατέρου μὲν καὶ οὗ μᾶλλον ἐβούλετο, τοῦ κτήματος ἀπεστέρηται, θάτερον δὲ καὶ οὗ ἐρᾷ ἔλαττον, κενὸν καὶ ἀνόνητον κέκτηται· καὶ δυεῖν ἔλεγε δεῖν γενέσθαι τὸ ἕτερον, ἢ τὸν μαγγλαβίτην Βασίλειον τὸν τοῦ Πικρίδου υἱὸν σὺν τῷ κτήματι καὶ τὸν χρυσόβουλλον λόγον λαβεῖν, καὶ τὴν δεσποτείαν ἔχειν ἀπαρασάλευτον, ἢ παραχωρῆσαι τούτῳ τοῦ κτήματος, καὶ μὴ τὸν μὲν ἔχειν τὴν κτῆσιν, τὸν δὲ τὸ κῦρος τῆς δεσποτείας τῆς κτίσεως.

Τοιαύτη μὲν αὐτῷ ἡ τῆς δίκης εἰσαγωγή, εἰ καὶ μὴ τοιαύτη· πρόσωπον γὰρ καὶ μορφήν τινα κρείττονα ὁ λόγος ἀττικίσας αὐτῇ περιτέθεικεν· ὡς γὰρ παρὰ τῆς ἐκείνου γλώττης ἐχεῖτο,

ἀνείδεός τις ἐδόκει καὶ δικαστηρίοις καὶ νόμοις παντελῶς ἀπαράδεκτος· ὁ δὲ μαγγλαβίτης Βασίλειος, ταῖς ὀλίγαις ταύταις προτάσεσιν ἀντιθέσεις ἀπεδίδου πολλαπλασίονας, ὡς κτήσαιτο μὲν ὁ πάππος διὰ δωρεᾶς τὸ προάστειον, ἀποποιήσαιτο δὲ διὰ πράσεως, ὡς ὁ ἐκείνου μὲν υἱός, τούτου δὲ πατήρ, τοῦ κτήματος εἰδὼς τὴν ἐκποίησιν ἐφ' ὅλον τὸν βίον ἡσύχασε, τὴν τοῦ πατρὸς πρᾶξιν αἰδούμενος· ὡς ἐπὶ τῇ πράσει προικῷα δόσις προέβη τοῦ κτήματος, ὡς ἐπὶ ταύτῃ πράσις αὖθις ἑτέρα, καὶ μετὰ ταύτην ἑτέρα, καὶ αὖθις ἀγὼν περὶ αὐτοῦ, καὶ ἐπὶ τῷ ἀγῶνι διάλυσις, καὶ πάλιν πράσις ἑτέρα καὶ δικαστικὸν ἐπὶ ταύτῃ δικαίωμα· καὶ ὡς σειρᾶς δίκην ἀλλήλων τὰ πάντα ἔχονται, θάτερον ἠρτημένον θατέρου, καὶ συνῳδὰ πάντα ἀλλήλοις καὶ σύμφωνα, θατέρῳ θάτερον βεβαιούμενον, καὶ τὸ μὲν ὑποστηρίζον, τὸ δὲ ὑποστηριζόμενον, καὶ τὸ μὲν κρηπῖδος ἔχον λόγον καὶ βάσεως, τὸ δὲ οἰκοδομῆς καὶ ὑψώσεως, καὶ ὡς εἴπού τι διὰ μέσου νενόσηκε, δι' ἑτέρας πράξεως τεθεράπευται. Καὶ ἡ μὲν γλῶττα ἔλεγε ταῦτα, ἡ δὲ χεὶρ σφάκελλον ἐπεδίδου δικαιωμάτων, τὴν τομὴν πᾶσαν τῆς ἀντιθέσεως αὐτοῖς σημαινόντων τοῖς γράμμασιν, ἃ καὶ διεξιέναι καθεξῆς ἀναγκαῖον.

Καὶ ἵνα κεφαλαιώδεις ποιήσωμεν τὰς ἐπιτομάς, καὶ μὴ καθέκαστον ἐν μέρει διεξιόντες ταῖς μακρηγορίαις κόπτωμεν τὸν ἀκούοντα, τὸ μέν, εἶχε τὸν πρωτοσπαθάριον ἐκεῖνον Στέφανον τὸν Ἰβηρίτζην τὸν τοῦ ἐγκαλέσαντος πάππον πωλοῦντα τὰ κτῆμα Μιχαὴλ τῷ ἀδελφῷ Λέοντος κουβουκλεισίου κατὰ τὸν ὀκτώβριον μῆνα τῆς ιαʹ ἰνδικτιῶνος τοῦ ͵ϛφθʹ ἔτους, μεθὸ καὶ ἀπόδειξις ἦν αὐτοῦ ἀποληπτικὴ τῆς τοῦ πεπραμένου τιμῆς· ἐν ἀμφοτέροις δέ, τῷ μέν, ἐ π έ γ ρ α ψ α, τῷ δέ, ὑ π έ γ ρ α ψ α, αὐτὸς δὴ ὁ πωλήσας καὶ τὸ τοῦ πραθέντος ἀπολαβὼν τίμημα. Συνεκρίθη δὲ καὶ τὰ γράμματα πρὸς ἄλληλα, αὐτοῦ δὴ τοῦ ἐγκαλέσαντος τοῦτο προτειναμένου, καὶ ἦν ἡ ὁμοιότης ἀπαράλλακτος· οὐ γὰρ μόνον ὁ αὐτὸς χαρακτὴρ τοῖς γράμμασιν ἐπε-

φαίνετο, οὐδὲ τὸ αὐτὸ ἰδίωμα τῆς χειρὸς, ἀλλὰ καὶ ἡ παρὰ τὸν κανόνα γραφὴ ἡ αὐτή, καὶ ἥν τις ὀρθογραφία ἐν μὴ ὀρθογραφίᾳ· ὥς περ γὰρ οἱ τὸν ὀξύρυγχον ἢ στρογγῦλον χαρακτῆρα ἐπιτηδευσάμενοι ἢ αὐτοματίσαντες, τὸν αὐτὸν ἀεὶ ἐπισημαίνονται γράφοντες, οὕτω δὴ καὶ ἡ τοῦ ὑπογράψαντος χείρ, ὥς πέρ τινα ἰδιάζοντα χαρακτῆρα τῆς ἰδιωτίας, ἴσον πρὸς ἑαυτὸν καὶ σύμφωνον ἐφυλάξατο.

Καὶ ταῦτα μὲν τοιαῦτα τὰ ἔγγραφα· ἕτερον δὲ νομίμου συναφείας συμβόλαιον ἦν, αὐτοῦ δὴ τοῦ ἠγορακότος Μιχαὴλ συνάψαντος ἀνδρὶ τὴν αὐτοῦ θυγατέρα Μαρίαν, καὶ δεδωκότος εἰς προῖκα αὐτὸ δὴ τὸ τεθρυλλημένον προάστειον· ἄλλο δὲ εἶχε, τὴν τοῦ πρωτοσπαθαρίου Στεφάνου τοῦ Ἰβηρίτζη γαμετὴν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἐπικυροῦσαν τῇ τοῦ Μιχαὴλ θυγατρὶ ᾗ ἐπροικίσθη τὸ κτῆμα, τὴν τοῦ ἀνδρὸς πρᾶσιν, ἣν πρὸς τὸν ἐκείνης πατέρα πεποίηκε· χρόνος δὲ τούτῳ τῷ δικαιώματι ὁ ͵ςφκα΄· καὶ ἕτερον, αὐτὴν τὴν Μαρίαν ἅμα τῷ οἰκείῳ ἀνδρὶ διαπωλήσασαν τοῦτο τῷ τοῦ μαγγλαβίτη πατρὶ τῷ Πικρίδῃ· καὶ ἐπεὶ τοῦτο ἐνόσει, ἑτέρῳ δικαιώματι τὸ νοσοῦν τεθεράπευτο· αὐτὴ γὰρ ἡ πρὸς τὴν πρᾶσιν παρανομήσασα, καὶ διὰ τὸν βοηθοῦντα νόμον εἰς τὴν ἀνάληψιν δικαιουμένη τοῦ κτήματος, ἀγῶνα μὲν δικαστηρίου μετὰ τὴν τοῦ ἀνδρὸς ἀποβίωσιν κατὰ τοῦ Πικρίδου ἐκρότησε, πρινὴ δὲ ἐξενεχθῆναι ἀπόφασιν νομίσματά τινα παρ' αὐτοῦ λαβοῦσα, καθαρῶς διελύσατο· ἐπὶ δὲ τῇ διαλύσει παρ' αὐτοῦ δὴ τοῦ δικάζοντος ἀπελύθη ὑπόμνημα· μεθὸ ἡ αὐτὴ πάλιν δευτέραν ἔννομον πρᾶσιν τοῦ κτήματος πρὸς τὸν αὐτὸν Πικρίδην ἐξέθετο|, μεθὸ καὶ ἕτερά φ. 44ᵛ.
τινα δικαιώματα προβεβήκασι παρέλκοντα τῇ γραφῇ· τί γὰρ χρὴ εἰς ἀπέραντον γενεαλογεῖν τοὺς τὸ κτῆμα διαδεξαμένους, μᾶλλον δὲ ἀπαριθμεῖσθαι τὰ ἔγγραφα; Ἀλλ' ὁ ἐνάγων Ἰβηρίτζης ἐθελοκακῶν [μέν, εὐφυῶς δέ τινος ἀντελαμβάνετο πράγματος· ἀναποδίζων γὰρ εἰς τὸν χρόνον καθ' ὃν τὸ χρυσόβουλλον

γένοιτο, καὶ συγκρούων αὐτὸν τῷ χρόνῳ τῆς πράσεως, ὑποψίαν τινὰ πλαστογραφίας τούτῳ προσέπλαττε· τὸ μὲν γὰρ προάστειον πέπρατο εἰς τὸ ͵ϛφθʹ ἔτος, ὁ δὲ χρυσόβουλλος λόγος γεγένητο κατὰ τὸ ͵ϛφιεʹ. Ἐπελαμβάνετο οὖν ὁ ἐνάγων τῆς πράσεως ὡς πλαστῆς, πῶς γὰρ ἦν εἰκὸς πωλεῖν τὸν πάππον αὐτοῦ ὃ μήπω διὰ τῆς χρυσοβούλλου δωρεᾶς εἴληφε; καὶ οὐ μικράν τινα ταραχὴν καὶ θόρυβον παρεισήγαγε τῷ δικαστηρίῳ, μέχρις ἂν ἡ ἀκριβεστέρα τοῦ χρυσοβούλλου ἀνάγκη τὸ ταράττον κατεύνασε· πρινὴ γὰρ προβῆναι τὸ χρυσόβουλλον, τὸ κτῆμα τῷ Ἰβηρίτζῃ οὐ διὰ χρυσοβούλλου, ἀλλὰ διὰ πιττακίου δεδώρητο κατὰ τὸ ͵ϛφδʹ ἔτος· μεθὸ δὲ τούτου τούτῳ τῷ τρόπῳ ἐδέσποσε, προέβη τὸ χρυσόβουλλον· ἡ δὲ πρᾶσις μέση πως ἦν τῶν διττῶν καὶ διαλλαττουσῶν κατὰ τὸν τρόπον δωρεῶν· καλῶς οὖν ὁ Ἰβηρίτζης τὸ κτῆμα ἐπώλησε· καὶ αὐτὸ δὲ τὸ χρυσόβουλλον μετὰ τὴν τοῦ Ἴβηρος γέγονε τελευτήν· ὁ γὰρ πατρίκιος ἐκεῖνος ὁ Ξιφίας γαμβρὸς ἐπὶ θυγατρὶ ὢν τοῦ Ἴβηρος ἐκείνου, ἐπεὶ οὗτος μὲν ἐξ ἀνθρώπων ἠφάνιστο, ἡ δὲ ἐκείνου σύμβιος ἔτι τῷ βίῳ περιῆν, ἐπικυρῶν οὗτος τῇ πενθερᾷ, αἰτεῖται τὸν τηνικαῦτα κρατοῦντα ἐπικυρῶσαι ταύτῃ διὰ χρυσοβούλλου δωρεᾶς τὸ κτῆμα ὃ φθάσας τῷ ἀνδρὶ ἐχαρίσατο, οὐκ ἀναδιδάξας ὅτι πέπρακε τοῦτο ὁ τὴν πρώτην εἰληφὼς δωρεάν· ὅθεν οὐδ' ὁ χρυσόβουλλος λόγος δύναμίν τινα βοηθοῦσαν τῷ ἐγκαλέσαντι κέκτηται· οὐ γὰρ μετ' εἰδήσεως ὁ κρατῶν ἐδωρήσατο τὸ ἀλλότριον, ἦ, γὰρ ἂν ἐπεσημήνατο τοῦτο τῇ δωρεᾷ.

Ἔδει μὲν οὖν τὸν ἐνάγοντα τούτοις ἅπασιν ἐπιστομισθέντα, μηκέτι λόγους ἐκ λόγων ἀμείβειν, μηδ' ἀφ' ἑτέρων ἀκύρων ἐφ' ἕτερα μεταπηδᾷν ἄκυρα· ἀλλ' ὃ ἐβούλετο, σφόδρα ἐβούλετο· διὰ ταῦτα πᾶσιν ἐχρᾶτο, καὶ πᾶσιν ἐμάχετο, οὐ ξίφει πλήττων, οὐδὲ μαχαίρᾳ τέμνων, οὐδὲ λίθῳ βάλλων τὸν ἀντικαθιστάμενον, ἀλλὰ δακτύλῳ θιγγάνων αὐτοῦ· τοιαῦται γὰρ αἱ τῶν ἀντιθέσεων τούτῳ δυνάμεις· ἐν οἷς ὁ μητροπολίτης Ἀγκύρας ἦν οὐκ ἀπροσφό-

ρως μόνον, ἀλλὰ καὶ ἀφελῶς τῆς δίκης ἁπτόμενος, καὶ ἀρχὴν τῆς δωρεᾶς τὴν χρυσόβουλλον ποιούμενος δωρεάν, καὶ τῇ τοῦ ἐνάγοντος φωνῇ ἐν ἅπασι χρώμενος, καὶ ἡ τοῦ Μιχαὴλ θυγάτηρ Μαρία τούτῳ διαλυομένη δῆθεν, μεθὸ διέπρασε καὶ προσμαρτυροῦσα αὐτῷ τὴν δεσποτείαν τοῦ κτήματος, καὶ τὰς ἐπὶ τούτῳ ἀγωγὰς αὐτῷ ἐκχωροῦσα· ἡ παρὰ φαῦλον αὖθις τοῦτο θεμένη πρὸς τὸν τοῦ μαγγλαβίτου πατέρα περὶ τοῦ αὐτοῦ διελύσατο· καὶ τὴν μὲν δευτέραν διάλυσιν, εἰκὸς διάλυσιν ὀνομάζεσθαι, ἀμφιβολίας παρεμπιπτούσης ἐπὶ τῷ πράγματι, τὴν δὲ πρώτην διάλυσιν, πλάσμα· ἔπαιξε γὰρ αὐτὴν ἡ γυνή, τὸ τοῦ ἀντιδίκου προσωπεῖον ὑποκριναμένη καὶ τὰς ἐκείνου μιμησαμένη φωνάς. Πρὸς τούτοις καὶ αὐτὸς ὁ ἐνάγων, ἐνάγων πολλάκις ἦν καὶ ἐπιφωνούμενος, καὶ ψηφίσματα προκομίζων δικασταῖς δικαστῶν· ἐπεὶ οὖν οὐδὲν ἐντεῦθεν ἀπώνατο, ἐπὶ τὴν τελευταίαν κατέφυγεν ἄγκυραν, συστάσεις ἀπαιτῶν τὸν ἀντίδικον, ἢ τῆς πράσεως ἐμφανισθείσης τοῦ πάππου αὐτοῦ, ἢ τοῦ τῆς μάμμης ἐπικυρωτικοῦ δικαιώματος· ἀλλ' ὁ χρόνος αὐτῷ πολὺς μετὰ τὴν πρώτην ἐκποίησιν ῥέων, οὐδὲ εἰσαγώγιμον ἐποίει τὴν ἀγωγήν· παρ' ἀμφοτέροις μὲν γὰρ ὡμολογεῖτο κατὰ τὸ ͵ςφθ' ἔτος τὴν τοῦ κτήματος γενέσθαι παρὰ τοῦ Ἴβηρος ἐκποίησιν, ὁ δὲ τῆς ἐκποιήσεως τρόπος ἠμφισβητεῖτο· ὁ μὲν γὰρ πρᾶσιν τοῦτο ὠνόμαζε, καὶ αὐτῷ τῷ τῆς πράσεως ἐγγράφῳ τοῦτο ἐπεσφραγίζετο, ὁ δὲ ἐνεχυρίασιν, ἁπλῶς οὕτως διϊσχυριζόμενος. Πεντηκοστὸς οὖν τρίτος διαρρεύσας μετὰ τὴν ἐκποίησιν χρόνος, ἀπαράδεκτον τὴν τοῦ Ἴβηρος ἀγωγὴν ἐποίει περὶ τοῦ κτήματος· ὁ δὲ διατεμεῖν τὸν χρόνον πολλὰ μέγα βοῶν, ἐπιφωνήσεως ἐνεφάνισεν ἔγγραφα, ὧν τὰ μὲν ἄλλα μετὰ τὴν τριακονταετίαν γεγονότα εὑρίσκετο, ἓν δὲ κατὰ τὴν ιβ' ἰνδικτιῶνα γεγονέναι ἀνεγέγραπτο· ἐνίστατο δὲ οὗτος ταύτην εἶναι καθ' ἣν ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κῦρ Ρωμανὸς τῆς βασιλείας ἐπείληπτο, ὁ δὲ τότε χρόνος κη' ἦν, μεθὸ ἐξεποιήθη παρὰ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πάππου τὸ κτῆμα. Ἀλλ' ἡ τῶν τριῶν μαρτύρων ὑπογραφὴ ἀνίσχυρον τοιαύτην εἰργάζετο ἐπιφώνησιν· ὅμως μέντοι κατὰ συγχώρησιν δόντες ἰσχυρὰν αὐτὴν καὶ ἔννομον εἶναι, πιστώσασθαι ταύτην ἀπαιτοῦμεν τοῖς μάρτυσι, καὶ τηνικαῦτα ἀρχὴν ἀγώνων ἔχειν περὶ τοῦ κτήματος. Ὁ δὲ οὐχ οἷός τε ἦν ταύτης τὸ βέβαιον παρασχεῖν, ἀλλ' ἦν μέγα βοῶν, καὶ ὄχλον τῷ δικαστηρίῳ ποιῶν, ὡς τῶν ἰδίων ἀποστερούμενος, τῆς τε πράσεως ὡς πεπλασμένης καταψευδόμενος, καὶ τὴν σύστασιν αὐτῆς ἀπαι-
φ. 45. τῶν τὸν ἀντίδικον· ᾔδει γὰρ ὡς τοῦ μακροῦ χρόνου | τοὺς ἐν αὐτῇ ὑπογράφους ἐξαφανίσαντος μάρτυρας, μετοκλάσειεν οὗτος εἰς τοιοῦτον ἐμπεσεῖν ἀγῶνα καὶ παραχωρήσειε καὶ ἄκων τούτῳ τοῦ κτήματος. Ἀλλ' ὁ μαγγλαβίτης, ἵνα μὴ καὶ αὖθις ὑπερήμερος ἡ δίκη γένηται, ἑκοντὶ χωρεῖ πρὸς ἀγῶνας, καὶ χειμῶνος ὥρᾳ ἀβάτους ὁδοὺς διελθὼν καὶ πολλὴν ἀμείψας ἧκε κομίζων ἄνδρας τρεῖς, ὧν ὁ μὲν ἐμαρτύρησεν ὅτι παρῆν ἐν τῇ πράσει καὶ αὐτὸ τὸ λογάριον αὐτὸς ἐπεφέρετο, καὶ ὅτι αὐτοῖς ὀφθαλμοῖς ἐθεάσατο καὶ τοὺς μάρτυρας ὑπογράψαντας καὶ τὸν πωλήσαντα Ἴβηρα ἐν τῷ γράμματι τῆς πράσεως ἐπιγράφοντα· οἱ δὲ λοιποὶ ἐμαρτύρουν, ὡς αὐτοὶ μὲν τῇ τοιαύτῃ πράσει οὐ παραγένοιντο, ἀκούσειαν δὲ τῶν ὑπογράφων μαρτύρων ἐν τῷ ἐπικυρωτικῷ ἐγγράφῳ τήν τε ὑπογραφὴν πολλάκις ὁμολογησάντων, καὶ τὴν προτέραν πρᾶσιν καὶ τὴν μετ' ἐκείνην ἐπικύρωσιν ἀληθεῖς τιθεμένων. Ἀλλ' ὁ Ἴβηρ αὐτοὺς ἐκείνους τοὺς ὑπογράψαντας ἀνιστᾷν ἀπὸ τῶν νεκρῶν καὶ παράγειν κατηνάγκαζε τὸν ἀντίδικον, τὸν Ἀϊδωνέα παραιτησαμένους, δέχεσθαι δὲ τούτους, κἂν ἐξ ἡμισείας ἐφθάρησαν καὶ ἀμεννηνὰ τυγχάνωσι κάρηνα· ἐπεὶ δὲ πᾶσι προσβάλλων καὶ ῥητοῖς καὶ ἀρρήτοις γέλωτα παρὰ πάντων ὠφλίσκανε, τελευταίαν ταύτην ἐξεῖπε φωνήν, ἐπομόσασθαι τὸν μαγγλαβίτην ὡς οὐκ εἴη γινώσκων ὅτι κατ' ἐνεχυρίασιν ἐδόθη παρὰ τοῦ πάππου τῷ Μιχαὴλ ἐκείνῳ τὸ περιβόητον τοῦτο προάστειον, καὶ ἀπιέναι νενικηκότα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καὶ ἀπεφήνατο ὁ δικάζων, ὅρκους ἀμφοτέρους παρασχεῖν, τὸν μέν, ὡς οὐ συκοφαντοίη, τὸν δέ, ὡς οὐκ ἐπίσταται τὴν ἐνεχυρίασιν· προβέβλητο οὖν τὸ θεῖον. Τῶν δὲ ἐπομοσομένων, ὁ μὲν μαγγλαβίτης πρόθυμος ἦν, ὁ δὲ Ἰβηρίτζης μετώκλαζε, τὸν μαγγλαβίτην μόνον ἐπομόσασθαι καταναγκάζων τὸν ἐκβιβάζοντα τὴν ὑπόθεσιν. Ὁ δὲ ἀντεπῆγε τούτῳ τὸν ὅρκον, ὁ δὲ οὐδέτερον προσεδέχετο, δοκῶν ἐντεῦθεν τὴν ἀπόφασιν γενέσθαι ἀνήνυτον, καὶ εἰς χρόνους ἀπεράντους ταμιεῦσθαι τὴν δίκην.

Ἀλλ' ἄκουσον, ἀπειθέστατε σύ, τί σοι ὁ νόμος βοᾷ· « ὁ ἐπαγαγὼν ὅρκον, καὶ μὴ ὀμνὺς τὸν τῆς συκοφαντίας, ἔοικε τῷ παραχωροῦντι τὸν ὅρκον, καὶ ἐκπίπτει τῆς ἀγωγῆς ». Ἐπεὶ οὖν ἐπήγαγες, σὺ δὲ τὸν τῆς συκοφαντίας οὐκ ὤμοσας, ἐκπέπτωκας, κατὰ τὸν νόμον, τῆς ἀγωγῆς· ἀλλὰ καὶ κατὰ συγχώρησιν ἐκ μόνου τούτου καταδεδίκασαι· ἐξ αὐτῆς γὰρ γραμμῆς καὶ οὐκ ἐκ περιόδου κατακέκρισαι· ὅπου γε οὐδὲ εἰσιτητόν σοι τυγχάνει τὸ δικαστήριον, ἀλλ' ἀπὸ τοῦ χρόνου μετείληψαι καὶ περῶρασαι κακουργῶν τὸν ἀγῶνα, καὶ μάτην κόπτων τὰ δικαστήρια· ἀλλὰ τὸ κύκνειον ἐφ' ἡμῖν ᾖσας, ἢ μᾶλλον τὸ Κασάνδρειον καὶ λοίσθιον μέλος, τοῦ παρόντος σοι δικαιώματος τὴν φωνὴν ἐπικόπτοντος. Ὃ δὴ καὶ συνήθως πιστωθὲν παρ' ἡμῶν ἐπεδόθη, μηνὶ μαρτίῳ ἰνδικτιῶνος β', ἔτους ͵ςφνζ' (1049).

---

## Δικαστικὴ ἀπόφασις κατὰ Ψελλοῦ.

### Σημείωμα.

| Σοφὸν ἄρα τὸ προορᾶν καὶ ὡς ἐνεστῶτι χρῆσθαι τῷ μέλ- φ. 42.
λοντι, καὶ τίθεσθαι εὖ τὰ πραττόμενα, τοῦτο δὲ καὶ τῆς θείας ἐγγύς που καθέστηκε φύσεως· ἄνθρωποι δὲ σφαλλόμεθα, τῶν ἐσομένων τὴν γνῶσιν οὐκ ἔχοντες, καὶ πολλοῖς ἀβουλήτοις πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ριπίπτομεν πράγμασι, καὶ πολλάκις οἷς δοκοῦμεν ἐσκέφθαι καλῶς, ἀντέκρουσεν ὡς οὐκ ἂν ᾠήθημεν τὸ παρὰ τοῦ μέλλοντος ἄδηλον, καὶ τὸ τοῦ προβουλεύματος ἀσφαλὲς καὶ ἀκριβὲς ἀνέτρεψε τοῦ γενησομένου τὸ ἀφανές· τὴν δὲ προοιμιακὴν ταύτην ἔννοιαν ἡ τῆς ὑποθέσεως ἑρμηνεύσει περίστασις.

Ὁ εὐλαβέστατος μοναχὸς Μιχαήλ, ὃς τὸ μὲν βεστάρχης γεγονέναι παρὰ βασιλέως εὕρατο, τὸ δὲ φιλοσόφων ὑπατεύειν ἐκεῖθέν τε καὶ παρ᾽ ἑαυτοῦ, πολλήν τινα μοῖραν τοῦ λόγου νειμάμενος τῇ ψυχῇ· οὗτος τοιγαροῦν ὁ ἀνὴρ θυγάτριόν τι ἑαυτῷ εἰσποιητὸν τὴν εὐφημίαν πρὸ πολλοῦ θέμενος, τὴν θέσιν εἰς φύσιν μετήλλαξε, καὶ τῷ ὄντι πατρῴαν καὶ φυσικὴν περὶ αὐτὸ διάθεσιν ἔσωζε· μὴ γὰρ ὑπούσης αὐτῷ γονῆς ἄλλοθεν, περὶ τὴν παῖδα τὸ τῆς ψυχῆς ἅπαν ἐκίνει φιλότιμον, οὐ τὰ παρόντα μόνον ταύτῃ διατιθέμενος εὖ, ἀλλ᾽ ὅπως ἂν καὶ τῶν μελλόντων κάλλιστα ἕξει πόρρωθεν προνοούμενος· μὴ γάρ τοι τὸν τῆς ἐφηβείας ἀναμείνας χρόνον καθ᾽ ὃν γάμοι καὶ συνάφειαι νόμιμοι πεφύκασι γίνεσθαι, ἐν ἀτελεῖ ἔτι τῇ ἡλικίᾳ καὶ μήπω γάμου ἔτι ὥραν ἀγούσῃ, κατεγγυᾶται αὐτῇ τὸν τοῦ πρωτοσπαθαρίου Ἰωάννου τοῦ Κεγχρῆ υἱὸν Ἐλπίδιον, ἄρτι που τὸν ἔφηβον παραλάττοντα χρόνον, καὶ διπλᾶ τῇ μνηστῇ ἔτη βιώσαντα. Τοῦτο μέντοι καὶ πολλοῖς ἑτέροις ἐγεγόνει καὶ γίνεται, καὶ ὁ νόμος οἶδε τὸ πρᾶγμα καὶ οὐκ ἀποδοκιμάζει τῶν συναλλαττόντων τὴν αἵρεσιν· τὸ γὰρ μὴ εἰδέναι ἕκαστον ὁπόσα ἔτη βιώσεται, καὶ εἰ τοῖς παισὶν αὐξανομένοις συζήσεται, ἐμβάλλει τῇ ψυχῇ πόρρωθεν φροντίζειν τῆς φύσεως καὶ τὰς συζυγίας ἁρμόζεσθαι, τῷ δέ γε βεστάρχῃ καὶ ἄλλο τι ἐπισυμβεβήκει· ἀγχοῦ γὰρ τοῦ τηνικαῦτα βασιλεύοντος κῦρ Κωνσταντίνου τοῦ Μονομάχου ἑστώς, κἀν τῇ συγκλήτῳ διαπρέπων βουλῇ, δεῖν ἔγνω τοῖς καιροῖς ἐν οἷς αὐτῷ τὰ τῆς λεγομένης παρὰ τοῖς πολλοῖς τύχης εὖ ἵστατο, εἰς φροντίδα τῆς παιδὸς ἀποχρήσασθαι, ἵνα μὴ μεταβολῆς γενομένης, κατόπιν τε τῶν πραγμάτων

γένοιτο καὶ μεταμελοῖτο ἀνόνητα· ᾔδει γάρ, οἷα σοφὸς ὡς οὐκ ἐν στάσει τὰ καθ' ἡμᾶς, ἀλλὰ λανθάνει τοὺς πολλοὺς τὰ δοκοῦντα ἑστηκέναι κινούμενα καὶ περιτρεπόμενα· καὶ δεῖ πρὸ τῆς ἐσχάτης περιτροπῆς καὶ τὸν τῆς νεὼς κυβερνήτην μεταχειρίζεσθαι τὰ πηδάλια καὶ τὸν ἐφεστηκότα πράγμασι πρὸς τὸ δοκοῦν συμφέρον αὐτὰ διατίθεσθαι· ἀλλὰ ταῦτα ἄν τις ὑπεραπολογήσαιτο τοῦ ἀνδρὸς καὶ ἀπολύσαιτο αὐτὸν αἰτιάματος.

Ὅθεν καὶ πολλοὺς μὲν τῶν ἐν τέλει παραιτησάμενος, οὐκ ὀλίγους δὲ καὶ τῶν οἷς ἡ κρηπὶς τοῦ γένους ἄνωθεν εὐκλεής, τῇ εἰσποιήτῳ θυγατρὶ μνηστεύεται τὸν Ἐλπίδιον, καὶ ἀπ' αὐτῆς ὅ φασι γραμμῆς τῆς πρὸς αὐτὸν διαθέσεως ἄρχεται· τοῖς τε γὰρ πρωτοσπαθαρίοις τοῦτον ἐγκαταλέγει, καὶ τοῖς ἐς τὸ τοῦ Ἀντιφωνητοῦ σέκρετον μικροῖς βασιλικοῖς νοταρίοις ἐγκατατάττει, ἔτι γε μὴν καὶ τοῖς ἐς τὸν ἱππόδρομον ἐγκρίνει κριταῖς· ἀλλὰ τὸ μὲν πρωτοσπαθαράτον εἰς μέρος προικὸς τῷ Ἐλπιδίῳ λελόγισται, τὰ δ' ἄλλα φιλοτιμίας λόγον ἐπέχει· πεντήκοντα γὰρ λίτρας τῇ θυγατρὶ ὑποσχόμενος, τὰς μὲν δέκα διὰ κεχαραγμένου χρυσίου δέδωκε, τὰς δὲ εἴκοσιν εἴδεσι διαφόροις ἀπαριθμεῖται, τὰς δέ γε λοιπὰς εἴκοσι διὰ τῆς τοῦ πρωτοσπαθαράτου τιμῆς τῇ ποσότητι τῆς ὑποσχέσεως ἀνεπλήρωσεν. Ἦν δ' ἄρα πρὸ τούτων ὁ ταῦτα εἰληφὼς σπαθάριος δυοκαίδεκα νομίσματα ῥογευόμενος, ὁ δέ γε βεστάρχης ἑξήκοντα ἕτερα τούτοις προστέθεικε, πολλαπλασιάσας τοῖς ἑπομένοις τὰ προηγούμενα. Ἔδει δὲ ἄρα μὴ τοῖς ἐκτὸς αὐτὸν εὐθὺς καλλωπίζειν, μηδὲ περιάπτοις κατακοσμεῖν, ἀλλ' ἀπὸ κρηπῖδος ὅ φασι τοῦ νεὼ τῆς ἐκείνου ψυχῆς τὸ εἰς αὐτὸν φίλτρον ἐνδείκνυσθαι, καὶ τὴν τρόπιν πρῶτον ὑποτιθέναι, εἶτα τὰς ἑκατέρωθεν συμπηγνῦναι πλευράς. Ὁ δέ, οὐκ οἶδ' ὅν τινα τρόπον ἀπὸ τοῦ σώματος εἰς ψυχὴν ἤρξατο, τὰ πρῶτα ποιούμενος δεύτερα· ἀλλ' ὅ γε Ἐλπίδιος τὴν ἔξωθεν τεθαυμακὼς ἀστραπὴν καὶ τὸ τῆς φαινομένης δόξης κάλλος ἠγαπηκώς, πρὸς τὸ τῶν λόγων ἀπέ-

μυσε φῶς· καὶ ὁ μὲν βεστάρχης ἐπόνει ἀροτριῶν τὴν ἐκείνου ψυχήν, ὁ δὲ ἀντεπόνει μὴ δεχόμενος τὰ βαλλόμενα· καὶ ὁ μὲν ἐδίδου βιβλία κρατεῖν καὶ πρὸς λόγοις εἶναι, ὁ δὲ ἵππον ἀντήτει εὐήνιον καὶ μίμοις καὶ ἡνιόχοις συζῆν· καὶ ἀντεφιλοτιμοῦντο ἑκάτερος, ὁ μὲν ὅπως ἂν ἀγαθὸς γένοιτο, ὁ δὲ ὅπως ἂν πονηρὸς ἀποβαίη· καὶ ἤστην ἄμφω διαμαχομένω ἀλλήλοιν περὶ
φ. 42ᵛ. | διαφόρων διαθέσεών τε καὶ ἕξεων· καὶ λαμπρὰ μὲν ἡ ἅμιλλα, λαμπροτέρα δὲ ἡ τοῦ Ἐλπιδίου νίκη, καὶ ἀπῆλθεν ὅλαις ψήφοις τοῦ βεστάρχου κεκρατηκὼς καὶ τὴν ἐσχάτην ἀμαθίαν ἀναδησάμενος.

Ταῦτα ἠνία μὲν τὸν βεστάρχην, καὶ πῶς γὰρ οὔ; καὶ τὰς παλαμναιοτάτας ἀρὰς κατηράσατο πολλάκις τῷ μνήστορι· οὐ κατηνάγκασε δὲ εὐθὺς διάλυσιν τῆς μνηστείας ποιήσασθαι, διδόντα τι καὶ τῷ μέλλοντι χρόνῳ καὶ τὴν παρ' ἐκείνου ῥοπὴν ἀναμένοντα. Ἐπεὶ δὲ καὶ οὗτος ἧκεν οὐ μεταβάλλων τὴν τοῦ Ἐλπιδίου ψυχήν, ἀλλ' ἐπαυξάνων τὸ πρὸς μὲν τὴν παίδευσιν ἐθελόκωφον, πρὸς δὲ τὸν ἐκ διαμέτρου ταύτῃ βίον ἐπιτατικόν τε καὶ σύντονον, ἀπογνωστέα μὲν τὰ πρὸς τοῦτο φέροντα τῷ βεστάρχῃ ἐδόκει, ἐφ' ἑτέραν δὲ αὐτὸν ἡνίαν ἐρρύθμιζε, γελοιαστῶν μὲν καὶ μίμων ἀπέχεσθαι, σωφρονεστάτοις δὲ ἀνδράσι προσομιλεῖν καὶ παρ' ὧν ἄν τις πρὸς σεμνότητα ὄναιτο· τῷ δὲ καὶ πρὸς ταῦτα ἐξεκώφει τὰ ὦτα, καὶ οὐδὲν ὅτι μὴ τὰ τῆς ψυχῆς ἐπλήρου βουλεύματα· ὁ δὲ βεστάρχης οὐδὲ πάλιν ἐμνησικάκει, οὐδὲ ἠμύνετο, ἀλλ' ἀξιώμασι προεβίβαζε καὶ λαμπρότερον ἀπεδείκνυεν, ἵν' εἴ πως ἐντεῦθεν τὸν κρείττονα βίον ἀσπάσοιτο· καὶ πρῶτον μὲν αἰτήσας τὸν αὐτοκράτορα κριτὴν τοῦ βήλου ποιεῖ, ἔπειτα θεσμογράφον τιμᾷ, καὶ μετὰ ταῦτα μυστογράφον, καὶ οὕτως ἀνάγει εἰς τοὺς ἐξάκτωρας. Καὶ τὰ μὲν ἀξιώματα τούτῳ διηλλαγμένα τε καὶ ἀνόμοια, ἡ γνώμη δὲ ἴση καὶ πρὸς ἑαυτὴν οὐκ ἀπᾴδουσα.

Χρόνος οὔ τι βραχὺς μετὰ ταῦτα παρεληλύθει, καὶ νόσος αἱρεῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸν βεστάρχην, ἥτις αὐτὸν ἐπὶ τὸν θάνατον ἤπειγεν· ὁ δέ, εὐθὺς μεταβολῆς γε ἐμέμνητο καὶ πρὸς ὃν ᾑρεῖτο πάλαι βίον ηὐτομολήκει· καὶ πάντων καταφρονήσας ὧν τε ἠπείλει βασιλεὺς αὐτῷ καὶ αὖθις ἐξευμενίζετο, συγγενικῶν τε ἀναγκαιοτήτων καὶ τῆς συνήθους ζωῆς, συναποδύεται τῷ χιτῶνι καὶ τὴν ἐν κόσμῳ διαγωγὴν καὶ τρίβωνα μεταμπίσχεται καὶ πρὸς τὴν μοναδικὴν διατριβὴν μετατίθεται. Ἐπεὶ δέ τι βραχὺ τῆς νόσου ἐράϊσε καὶ ὁπόσα βούλοιτο τοῦ βασιλέως δόντος αἰτήσασθαι, ἓν τοῦτο μόνον ᾐτήσατο τὸν Ἐλπίδιον εἰς τὴν τοῦ πατρικίου ἀναχθῆναι περιωπήν· καὶ ὁ βασιλεὺς δυσχερῶς μέν, ἐδίδου δὲ ὅμως, προσλιπαρούσης αὐτὸν τότε καὶ τῆς βασιλίδος ἡμῶν καὶ δεσπότιδος. Γέγονε ταῦτα, καὶ ὁ βεστάρχης εὐθὺς δρομαῖος εἰς τὸ θεῖον ὄρος τὸν Ὄλυμπον ᾤχετο, τοῖς ἐκεῖσε ἀσκηταῖς ἐντευξόμενος, καί τινας ὑποθέσεις πρὸς τὸν ἀσκητικὸν βίον ληψόμενος· καὶ τῆς πηγῆς ὅσον ἐξῆν ἀρυσάμενος, αὖθις ἐπανελήλυθεν ἐπισκεψόμενός τε τὰ ἑαυτοῦ καὶ μικρὰ φροντίσων ὥστε τὸν λοιπὸν βίον ἔχειν ἀφρόντιδα. Ἐντεῦθεν ἡ τῶν κακῶν αὐτῷ προσγίνεται Ἰλιάς· ὁ γάρ τοι Ἐλπίδιος ἐξουσίας ἐπειλημμένος καὶ τοῦ δρᾶν ὅσα καὶ βούλοιτο, οὐ πλαγίῳ ποδί, ἀλλὰ κατ' εὐθὺ φέροντι πρὸς τὴν ἀντικειμένην τῇ ἀρετῇ ἕξιν ἐξέδραμε· τῇ δὲ μνηστῇ τοσαῦτα ὡμίλει ὁπόσα καὶ φιλοσοφίᾳ καὶ λόγοις. Ἀπορούμενος οὖν ὁ βεστάρχης ὅ, τι καὶ δράσειε, τὰ προσεχῆ καὶ ἐγγὺς ἀφεὶς πρὸς τὴν ἐσχάτην καὶ πρώτην κατέφυγεν ἄγκυραν, τὴν τοῦ Ρωμαϊκοῦ γένους βασιλίδα φαμὲν καὶ πάσης σχεδὸν οἰκουμένης ἐπάρχουσαν, καὶ ἱκετηρίαν πρὸς αὐτὴν ἔθετο, διδάσκουσαν μᾶλλον ἢ ἀναμιμνήσκουσαν ὁπόσα πρῶτα μὲν τῷ Ἐλπιδίῳ δωρήσαιτο, ὅπως τε ὕστερον τὴν αὐτοκράτορα ταύτης διεπούσης ἀρχήν, δευτέραν τε παρ' αὐτῆς ταῦτα εἰλήφει δωρεάν, καὶ αὖθις τῷ Ἐλπιδίῳ τὰ προδεδωρημένα παράσχοιτο, καὶ ὡς ὁ μὲν ταῦτα αὐτῷ πεποιήκει, ὁ δὲ ἀντιδίδωσι τὰ ἐναντία, ἀπέχθειαν μὲν πρὸς αὐτὸν καὶ ἀνηκοΐαν, μῖσος δὲ πρὸς τὴν

μνηστήν, καὶ τὸ μὴ ἐθέλειν κατὰ τὰ ἐκείνου θελήματα πολιτεύεσθαι, ἀλλ' ἐκ χειρῶν μὲν ἀπορριπτεῖν τὰ βιβλία, ἀνθαιρεῖσθαι δὲ τούτων τὴν μετὰ τῶν αἰσχίστων διαγωγήν, καὶ ὡς ἐντεῦθεν αὐτὸν ἀρνοῖτο, καὶ τὴν μνηστείαν διαλύοιτο· περὶ δὲ τῶν ἀξιωμάτων τοῦτο τὸ ἱκέσιον διειλήφει γράμμα, ὡς οὐ βούλοιτο ταῦτα, διαλυομένου τοῦ συναλλάγματος, ἐφ' ᾧ καὶ δεδώρητο δίς, ὡς ὁ λόγος ἀπέδειξεν, ἀλλ' εἰ μὲν πρὸς ἕτερον συναλλάττει τὸ κῆδος, ἀποδέχεσθαι εἰ τῶν πολλῶν αὐτῷ ἓν δοθείη τὸ κάλλιστον, εἰ δ' οὖν, ἀσμενίζειν καὶ μὴ δεχόμενος. Ταύτης τῆς ἱκετηρίας ὡς ἤκουσεν ἡ συμπαθεστάτη ψυχή, ἅτε καὶ τὰ κατὰ τὸν βεστάρχην ἐπειδυῖα, καὶ ὡς πολλῶν αἰτήσεων ταῦτα τούτῳ δεδώρητο καὶ αὖθις ἐπικεκύρωτο, εἰς οἶκτον εὐθὺς κατενεχθεῖσα αὐτοτελῆ τὴν κρίσιν ἠνέγκατο, καὶ ζώνης ἀφαίρεσιν τοῦ Ἐλπιδίου κατεψηφίσατο, καὶ ἡ ψῆφος αὐτοτελής τε καὶ ἔγγραφος καὶ αὐτόθεν τὸ δίκαιον ἔχουσα, ὡς ἀναψηλαφήσει τινὶ ἢ ἐπικρίσει μὴ ὑποπίπτουσα. Ἡμῖν δὲ ἐπετέτραπτο περὶ μὲν ὧν ἡ βασιλὶς ἔκρινέ τε καὶ ἀπεφήνατο, μὴ δευτέραις διαλαβεῖν διαφ. 43. γνώσεσι, ταῖς δὲ | περὶ τῆς διαλύσεως τῆς μνηστείας διαιτῆσαι προτάσεσί τε καὶ ἀντιθέσεσιν.

Οὕτως ἡμεῖς ἐκκέλευστοι πρὸς τὴν τοιαύτην γεγονότες δίκην καὶ εἰς ταὐτὸν συνελθόντες, εἴσοδον τοῖς μέρεσι πρὸς τὴν κρίσιν δεδώκαμεν. Εἰσήχθησαν οὖν, ἔνθεν μὲν ὁ μοναχὸς Μιχαὴλ καὶ γεγονὼς βεστάρχης, ἐκεῖθεν δὲ ὁ ἀπὸ πατρικίων Ἐλπίδιος συνηγορούμενος τῷ σπαθαρίῳ κῦρ Ἰωάννῃ τῷ Κορδακᾷ· λόγου δὲ δοθέντος εἰπεῖν τὸν βεστάρχην ἐφότῳ διαλύοιτο τὴν μνηστείαν, ἐῴκει μὲν δυσπαθοῦντι ὅτι περ ἐν δικαστηρίῳ τὴν τῆς γλώττης περιβολὴν δημοσιεύειν ἠνάγκαστο· ἀπ' ἀρχῆς δὲ λέγειν ἀρξάμενος ὧν εἰς τὸν Ἐλπίδιον καθ' οὓς ἠδύνατο καιροὺς ἐνεδείξατο, περὶ ὧν δὴ καὶ φθάσας ὁ λόγος ἄνωθεν διηγήσατο, ἃ παρ' αὐτοῦ εὐθὺς ἀντελάμβανεν, ἐπισυνεῖρε τῷ διηγήματι, τὸ κακόηθες τῆς ψυχῆς, τὸ πρὸς μάθησιν ἀπεχθές τε καὶ

ἀνεπίστροφον, τὸ τῆς διαγωγῆς ἀπρεπές, τὸ μὴ ἐθέλειν ὑπείκειν αὐτῷ, τὸ μὴ κατὰ συγκλητικοὺς ζῆν, ἀλλ' ἀσπάζεσθαι μίμοις, καὶ φλυάροις ἀνδράσι συναναστρέφεσθαι, τὸ μήτε παρακλήσεσι, μήτ' ἐπιτιμήσεσι πρὸς τὸ δέον μεταρρυθμίζεσθαι, τὸ ἔντονον τῆς γνώμης καὶ ἄτεγκτον καὶ ἐφ' οἷς ἂν λέγοι καὶ πράττοι ἀμεταμέλητον, τὸ ἀπεχθάνεσθαι τῇ μνηστῇ ὅσα καὶ τῷ ἀνθρώπῳ ὁ ἀντικείμενος, δι' ἣν καὶ πλούτου βαθέος καὶ τῶν τηλικούτων ἀξιωμάτων ἠξίωται. Ταῦτ' οὐκ ἔλεγε μόνον, ἀλλὰ καὶ μάρτυσιν ἀπεδείκνυε, καὶ οἱ μάρτυρες ἀπαραλόγιστοι· ἦσαν γὰρ ὅ τε ὕπατος Θεόδωρος καὶ ἐπὶ τῆς καταστάσεως ὁ Μυραλίδης, ὅ τε μυστογράφος Εὐφρόσυνος καὶ ὁ θεσμογράφος Γαβριὴλ οἱ Ξηρῖται, ὅ τε θεσμογράφος Μιχαὴλ καὶ τῶν βεστιοπρατῶν ὁ ἔξαρχος· ὁ μὲν γὰρ ὕπατος Θεόδωρος ὁ Μυραλίδης, τὸ σκληρὸν τῆς γνώμης αὐτοῦ, καὶ πρὸς μὲν τὸν βεστάρχην ἀπεχθές, πρὸς δὲ τὴν μνηστὴν ἀπόστροφον ἐμαρτύρει· οἱ δέ γε Ξηρῖται αὐτά τε καὶ τὸ μὴ ἐθέλειν κατὰ τὰ τοῦ βεστάρχου ἐντάλματα ζῆν, ἀλλ' οἰκείαν αἱρεῖσθαι ζωὴν καὶ ἕτερον τρόπον ἀσπάζεσθαι ἢ ὃν ὁ βεστάρχης αἱροῖτο· ὁ δὲ θεσμογράφος Μιχαὴλ τὰς τῶν ἄλλων μαρτύρων φωνὰς συνειλοχώς, προσέτι καὶ ἀχαριστίαν αὐτῷ προσεμαρτύρησεν, ἀναισχυντίαν τε καὶ αὐθάδειαν, καὶ τὸ μὴ ἐθέλειν ποτὲ τῷ εὐεργετήσαντι ὑποτάσσεσθαι.

Ἀλλὰ ταῦτα μὲν σύμφωνα οἷς ὁ βεστάρχης ἐν τῷ ἱκεσίῳ γράμματι πρὸς τὴν μεγάλην ἡμῶν βασιλίδα ἀπωλοφύρατο, τὸ ἀψευδὲς τῆς πρὸς αὐτὴν ἀποδεικνύοντα διηγήσεως, ἐφ' οἷς ἡ θαυμασία ἐκείνη ψυχὴ ἐκ βασιλικοῦ ὁρμηθεῖσα φρονήματος τὴν θαυμασίαν ἐκείνην ἀπόφασιν ἐποιήσατο, καὶ στήλην ἔμψυχον κακοήθους ψυχῆς τὸν Ἐλπίδιον ἀπειργάσατο· ἐλείποντο δέ τι πρὸς μνηστείας διάλυσιν, εἴ γέ τις βούλοιτο τῇ ἀκριβείᾳ τῶν νόμων παρίστασθαι. Ὅθεν δυοῖν θάτερον πρὸς τὸν βεστάρχην οἱ δικάζοντες ἔφασαν, ἢ καὶ τἆλλα προσθεῖναι εἴπερ ἔχοι δι' ὧν ἂν αὐτῷ ἀζήμιος ἡ διάλυσις γένοιτο, ἤ, εἰ μὴ ἐμμένειν ἐθέλοι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῇ μνηστείᾳ, τὸ πρόστιμον δοῦναι καὶ πραγμάτων ἀπαλλαγῆναι. Ἐνταῦθα ὁ βεστάρχης, βραχύ τι σιωπήσας καὶ ὥς περ παλαίοντι τῷ λογισμῷ ἐοικὼς — ἀλλ' ἔγωγε, ἔφησεν, ὦ νόμοι καὶ δικασταὶ καὶ πάντες οἱ περιεστηκότες, οὐκ ἄν ποτε ταύτας δὴ τὰς πολιὰς καταισχύναιμι (τὰς ἑαυτοῦ δείξας), οὐδὲ ἀλλοῖον ἐπεμβαλῶ χαρακτῆρα τῷ προηγησαμένῳ τῆς ζωῆς μου μορφώματι, οὐδὲ χρυσίου λιτρῶν εἵνεκα πεντεκαίδεκα ἐπὶ πράξεις ἀπηγορευμένας τὴν γλῶτταν ἀφήσω· καὶ πρῶτον μὲν ἑαυτὸν αἰσχυνῶ ἐπίρρητα καὶ ἄτοπα διηγούμενος πράγματα, ἐπεὶ καὶ πολλοῖς ἄλλοις γενήσομαι πρόσκομμα καὶ συγκεκαλυμμένας πράξεις ἀνακαλύψω, ὃ μηδέ ποτε φανοῦμαι πεποιηκώς, καὶ ὑμεῖς μάρτυρες· ἀσμένως τοίνυν τὸ πρόστιμον ἀποδίδωμι· ἀνταλλάττομαι τῆς ἐμῆς ζημίας τὸ τῶν πολλῶν ἀνύβριστον καὶ ἀζήμιον.

Ἐπὶ τούτοις τὸ δικαστήριον ἅπαν ἡσύχασε, καὶ οἱ συνηγοροῦντες ἐπαύσαντο· τί γὰρ ἔδει γλώσσης προτεινούσης, ἢ ἀντιτιθεμένης, τοῦ προστίμου καταβαλλομένου; οὗ δὴ καὶ μόνου τὰ τῆς μνηστείας γραμματεῖα ἠώρηνται, καὶ ὁ νόμος τῷ πραττομένῳ συνεπιτίθεται, καὶ τὸ πραττόμενον τῷ νόμῳ συνηγορεῖ; Ἐνταῦθα δὲ καὶ πλέον τι γέγονεν· ἐκ περιουσίας γὰρ ἄμφω· ἡ μαρτυρία διὰ τὴν τοῦ προστίμου δόσιν, καὶ τὸ πρόστιμον διὰ τὰς τῶν μαρτύρων φωνάς. Ἐπὶ τούτοις ὁ τῆς μνηστείας λέλυται σύνδεσμος, καὶ ὄναιτο τῆς οἰκείας ὁ βεστάρχης αἰδοῦς,
φ. 43ʳ. ὅτι παρὰ ταύτην αὐτὸς μὲν ἐζημίωται, ἀμφοτέρων δὲ | τὴν περὶ τὴν ὑπόληψιν ζημίαν ἀπήγαγεν. Ἀλλὰ ταῦτα μὲν τοῦτον τὸν τρόπον ἐγίνετο, διδοὺς δὲ πρόστιμον ὁ βεστάρχης, λόγον τινὰ περὶ τῆς προικὸς τῆς εἰσποιήτου αὐτῷ ἐγύμναζε θυγατρός· ἔφασκε γὰρ ὡς εἴκοσι λίτρας παρὰ τοῦ Ἐλπιδίου πρὸς τὴν ποσότητα τῶν πεντήκοντα λιτρῶν τῆς προικὸς κεχρεώστηται· τὸ γάρ τοι πρωτοσπαθαράτον ὅπερ αὐτῷ ἀντὶ λιτρῶν εἴκοσι δέδωκε, καθὰ δὴ καὶ τὰ γραμματεῖα τῆς μνηστείας διασαφοῦσιν, οὐκ ἀφῄρηται τούτῳ· ἀλλ' ὅτε καὶ τὴν περὶ τούτου

ἱκετηρίαν πρὸς τὴν βασιλίδα ἔθετο, τἆλλα μὲν ἠξίου ἀφελεῖν, τὸ δὲ τοῦ πρωτοσπαθαράτου μὴ συναφελέσθαι ἀξίωμα, ὅτι φησίν, ἀντὶ μέρους προικὸς αὐτῷ δέδοται· τεθέαται δὲ καὶ τὸ τῆς δεήσεως ἡμῖν γραμματεῖον, καὶ τὴν γνώμην οὕτως ἡρμήνευεν· ἀλλὰ καὶ τὸ περὶ τῆς ἀτιμίας τούτου προσκυρωτικὸν πιττάκιον, ὃ δὴ πρὸς τὸ τοῦ ἰδικοῦ κατεπέμφθη σέκρετον, κατεστρῶσθαι μετὰ τῶν πρωτοσπαθαρίων τὸν Ἐλπίδιον διετάττετο, ὅτι περ τοῦτο καὶ ὁ βεστάρχης φησὶν ἠτήσατο· καὶ ἡ τῆς δεήσεως δὲ λύσις οὕτως ἔχει τὸν πρόλογον « κατὰ τὴν αἴτησίν σου γενήσεται »· καὶ συνάγεται τὴν ὅλην προῖκα ἐπὶ τῆς ποσότητος τῶν πεντήκοντα λιτρῶν σώζεσθαι, μὴ ἀφαιρεθέντος τοῦ πρωτοσπαθαράτου, ἀλλ' ἀπολελειμμένου τῷ Ἐλπιδίῳ, οὐχ ὥς τε δι' οἶκτον, ἀλλ' ἵνα μὴ ἡ προὶξ τῆς παιδὸς ἐλαττοῖτο· ἢ γὰρ .... ἂν ἀπονείμῃ τῷ Ἐλπιδίῳ τὰς χάριτας, ἀφῃρημένη μὲν ἅπερ ὁ βεστάρχης δι' αὐτὴν τῷ Ἐλπιδίῳ πε[φι]λοτίμηται, ἐκείνου δόντος τὰς ἀφορμὰς τῆς ἀφαιρέσεως, πρὸς δὲ καὶ τῆς προικὸς στερουμένη, καὶ ἀδοξίαν ὁμοῦ καὶ πενίαν κατακρινομένη.

Ἐπεὶ δὲ καὶ ἀντιλέγειν ἐπικεχείρηκεν ὁ Ἐλπίδιος, καὶ ἀπεδοκίμαζε τὴν τοῦ πρωτοσπαθαράτου τιμήν, ἐῴκει ταῦτα αἰσχυνόμενος λέγειν, ὡς εἰδὼς ὅθεν οἷ καταπέπτωκεν, οὐ παρὰ τοῦτο δὲ ὁ βεστάρχης ζημιωθήσεται· εἰ γὰρ μὴ καταδέχοιτο τὸ ἀξίωμα ὁ Ἐλπίδιος, ἐναλλαξάτω πρὸς ἕτερον εἴ γε δύναιτο, εἰ δὲ μὴ δύναιτο, τί παρὰ τοῦτο τῷ βεστάρχῃ χρεωστουμένῳ τὴν τούτου τιμὴν τὰς εἴκοσι λίτρας καθὰ δὴ ἐξ ἀρχῆς συμπεφώνηται; Καὶ τί δὴ ἐπὶ πλέον τῷ λόγῳ ἀγωνιζοίμεθα; κέκριται γὰρ καὶ τοῦτο τρόπον τινὰ παρὰ τῆς μεγάλης βασιλίδος, ὥσπερ δὴ καὶ τἆλλα, καὶ οὐ δεῖ πολλῶν ἡμῖν περὶ τούτου τῶν λόγων· ὁ μὲν γὰρ βεστάρχης, ὥσπερ ἐν δικαστηρίῳ τῷ ἱκεσίῳ γράμματι ἡρμήνευσεν, ὅπως δὴ αἱροῖτο ἀπολελεῖφθαι τὸ πρωτοσπαθαράτον τῷ Ἐλπιδίῳ, ὅτι προικὸς μέρος ἐστὶ καὶ χρεωστεῖται ἡ τούτου τιμή· ἡ δὲ βασιλὶς προσηκαμένη τὸν λόγον

ἔν τε τῇ λύσει τὴν κρίσιν ἡρμήνευσε καὶ τῷ πρὸς τὸν ἰδικὸν πιττακίῳ τὴν αἰτίαν τοῦ καταλελεῖφθαι τῷ Ἐλπιδίῳ τὸ πρωτοσπαθαράτον ἐπέγραψεν. Ἐπεὶ τοίνυν κρίσις καὶ περὶ τούτου προείληφε, καὶ τὴν κρίσιν τό τε τοῦ κρίναντος ἀξίωμα καὶ νόμοι ἐπισφραγίζουσιν, ὁ δὲ βεστάρχης δεκαπέντε τῷ Ἐλπιδίῳ κεχρεώστηκε λίτρας τὸ πρόστιμον, ὁ δέ γε Ἐλπίδιος εἴκοσιν ἀντὶ τῆς τοῦ πρωτοσπαθαράτου τιμῆς, ἀντιλογισθήσονται ἑκατέροις τὰ κεχρεωστημένα, καὶ τὸ μὲν πρόστιμον ἀντὶ τῆς τιμῆς τοῦ πρωτοσπαθαράτου τῷ Ἐλπιδίῳ, ἡ δέ γε τιμὴ τοῦ πρωτοσπαθαράτου ἀντὶ τοῦ προστίμου τῷ βεστάρχῃ λογισθήσεται, καὶ ὁ καλούμενος ἀντέλλογος ἐπ' ἀμφοῖν προβήσεται τοῖν μεροῖν. Ἐπεὶ δὲ μὴ ἴση ἡ τοῦ προστίμου πρὸς τὴν τιμὴν τοῦ πρωτοσπαθαράτου ἀντίδοσις, τὸ μὲν γὰρ δεκαπέντε λιτρῶν τυγχάνει, ἡ δὲ τοῦ πρωτοσπαθαράτου τιμὴ ἀντὶ λιτρῶν εἴκοσι συμπεφώνηται τὸ κατ' ἀρχάς, πέντε λίτρας ἔδει προσεπιδοθῆναι τῷ βεστάρχῃ ἀπὸ τοῦ Ἐλπιδίου, ὅπως ἂν ἴση ἡ ἀντιμέτρησις γένηται· ἀλλὰ τό γε δικαστήριον φιλοίκτῳ γνώμῃ τῷ Ἐλπιδίῳ προσέθετο, καὶ τὰς πέντε λίτρας ἀφῆκεν αὐτῷ, ἐφ' ᾧ μηδὲ τοῦτον διπλοῦς ἐπιζητεῖν τοὺς ἀρραβῶνας ἀναλαβέσθαι οὓς τῇ μνηστῇ δεδωκέναι φησὶ γινομένου τοῦ συναλλάγματος, εἰς ὅσην δ' ἂν περισταῖεν ποσότητα.

Καὶ ἵνα δῆλα εἴη τὰ παρὰ τῆς ἁγίας ἡμῶν δεσποίνης καὶ βασιλίδος διορισθέντα καὶ παρ' ἡμῶν δοκιμασθέντα καὶ ἀποφανθέντα, τὸ παρὸν ὑπόμνημα ἀπελύθη, μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος θ', ἔτους ,ςφξδ' (1056).

# Ε΄.

Χρυσόβουλλος λόγος ὑπὲρ τοῦ πρωτοασηκρῆτις Ἐπιφανίου, συνταχθεὶς ὑπὸ Ψελλοῦ.

| Οὐ θαυμαστὸν εἴ τις τὸν μέγαν θεώμενος ἥλιον ἀπείρῳ φωτὶ φ. 152ᵛ. καταλάμποντα καὶ ἐφ' ὑψηλοῦ διϊππεύοντα, καὶ ἀπὸ τῆς οὐρανίας ἄντυγος πᾶσαν καταπυρσεύοντα γῆν, τῷ τε ἐναντίῳ καὶ διπλῷ, τῆς ἀνατολῆς μέρος ἅπαν καὶ τῆς δύσεως, βοράν τε καὶ νότον καταφαιδρύνοντα, τῆς κινήσεως ἄγαταί τε καὶ τέθηπε, καὶ ὅλαις αἰσθήσεσι τοῦ φωτὸς ἀπηώρηται, καὶ τιμᾷ ταῖς τῶν λόγων ὑπεροχαῖς· ὃ γὰρ ὁρᾷ, τοῦτο ἐκπλήττεται, καὶ ὃ πέπονθε, τῇ γλώττῃ κοσμεῖ, καὶ μαρτυροῦσαν ἔχων τῷ μεγαλείῳ τὴν αἴσθησιν, ὅλῳ τῷ ψυχικῷ πνεύματι ἐπὶ τὸ θαῦμα καὶ τὸ ἐγκώμιον διεγείρεται.

Οὐδ' εἴ τις τοίνυν βασιλέα ὁρῶν πορφυρίδι καὶ μαργαρίταις συναποστίλβοντα, καὶ ἀπὸ σκήπτρου ὅ φασι θεμιστεύοντα, καὶ τῇ χρυσῇ τῶν λόγων σειρᾷ ὥς περ ἐξ οὐρανίας ἀκρότητος πᾶσαν ἀπαιωροῦντα φύσιν καὶ δύναμιν, εἶτα ὑποπτήσσει καὶ σέβεται, καινόν τι ποιεῖ καὶ ἀσύνηθες ταῖς τῶν πολλῶν διαθέσεσι· τοὐναντίον μὲν οὖν ἐκεῖνο θαύματος ἄξιον, εἴ τις τὸν ἐπ' ἐλάττονος σχήματος τοῦ μείζονος καὶ βασιλικοῦ ἀξιῶν, ὡς αὐτὸ τοῦτο ὁρῶν ὃ βούλεται καὶ τὸ μέλλον ὡς ἐνεστῶς, ἶσα τοῖς βασιλεῦσιν ἄγει τὸν τέως μετὰ τῶν ἄλλων ταττόμενον, καὶ διευλαβεῖται καὶ ὑποστέλλεται καὶ τἄλλα ποιεῖ οἷς ὑπηκόου σχῆμα χαρακτηρίζεται.

Τοιοῦτος περὶ τὸ κράτος ἡμῶν ὁ μάγιστρος Ἐπιφάνιος καὶ πρωτοασηκρῆτις ὦπται καὶ δεδοκίμασται, καὶ λυχναῖόν τι φῶς ἴσως ἐν ἡμῖν ἰδών, ἡλιακὴν τοῦτο φρυκτωρίαν ἐτόπασε, καὶ τὴν

ὑπόγειον ἡμῶν αἴγλην ὥσπερ ὑπέργειον δᾳδουχίαν ἐτίμησε, καὶ τὴν ἑσπέριον ἡμῶν δύσιν, ὡς ἀνατολὴν ἑῴαν ἐθαύμασε, καὶ τὸ ἀπόρρητον περὶ ἡμᾶς βούλημα τοῦ θεοῦ, ὠδῖσιν ἀρρήτοις τῆς ψυχῆς ἐγνωμάτευσε.

Διὰ ταῦτα προσπέφυκε τούτῳ τὸ κράτος ἡμῶν, καὶ τοῦ κύκλου τῶν περὶ τὸ βῆμα ἠξίωσε, καὶ εἰς ὕψος ἦρε τιμῆς, καὶ τὴν μυστικὴν τοῦ κράτους ὑπηρεσίαν ἐπίστευσε· νῦν δὲ καὶ εὐπορώτερον ἀπεργάσασθαι βούλεται, ἵν' ἔχῃ κατάλληλον τῷ ὑπερέχοντι τῆς λαμπρότητος τὴν ἐκ τοῦ βίου δαψίλειαν· ποιεῖται τοίνυν τοῦτον ἡ βασιλεία μου δεσπότην δύο προαστείων ὡς ἀληθῶς· ἐτυμολογικώτερον γὰρ τὴν κλῆσιν εἰλήφασιν, αὐτοῦ πρὸ τοῦ ἄστεος κείμενα· τὸ μὲν γὰρ πρὸς τῷ χωρίῳ ὃ Φλώριον ὀνομάζεται, ἵδρυται, τῷ δὲ τὸ χωρίον τὰ Γαλατάρια ἐγγειτονοῦν ἐστί· ὧν τὴν κυριότητα προσεχῶς ὁ ἐπὶ τῶν δεήσεων εἶχε Νικόλαος, οὐκ ἐξ ὁμοίας τῆς ἀφορμῆς τὴν κτῆσιν ἀμφοῖν εἰληφώς· τὸ μὲν γὰρ ὠνησάμενος ἔσχηκε, τὸ δὲ κατὰ τὸ Φλώριον παρὰ τῆς αὐτοῦ γαμετῆς προσεκτήσατο, οὐκ εἰς προῖκα προσαγαγούσης, οὐ δωρησαμένης, ἀλλὰ γέγονεν αὐτῷ ἴδιον τὸ ἀλλότριον ἐκ τῆς τῶν πραγμάτων περιστάσεως, οἷα πολλὰ εἴωθε γίνεσθαι· ἡ γάρ τοι τῷ Νικολάῳ συμβιώσασα γαμετὴ ἑτέρου ἀνδρὸς πρότερον χρηματίσασα κατὰ νόμους συνῳκηκότος αὐτῇ, καὶ δυσὶ θυγατράσι τὴν πρὸς ἐκεῖνον περιορισαμένη συνάφειαν, ἐπεὶ ἐκεῖνος μετήλλαξε τὴν ζωήν, πρὸς δευτέρους ἐννόμως γάμους ἀπέκλινε, καὶ τῷ Νικολάῳ μέχρι τινὸς συμβεβίωκεν· εἶτα κατὰ τὸ βουλητὸν αὐτῇ χρησαμένη τοῖς συμβολαίοις, ἐν γράμμασι μὲν τεσσαράκοντα λιτρῶν προῖκα τούτῳ ἀπηριθμίσατο, οἷα δέ τινα ἐφόλκια τοῦ σώματος τῆς προικὸς τοῦτο δὴ τὸ κτῆμα τῷ γαμέτῃ προσήνεγκε, καὶ οἶκον οὐ πάνυ λαμπρὸν κατὰ τὸ Βύκινον ἱδρυμένον, (τόπος δὲ οὗτος ἀγχοῦ που τοῦ μεγάλου θεάτρου τοῖς πᾶσι κατάδηλος)· ταῦτά τε οὖν τῷ ἀνδρὶ προσενήνοχε, καὶ τὰ φίλτατα ἄχθος ἐκείνῳ μολίβδου

περιβριθέστερον. Ἦν μὲν οὖν τηνικαῦτα τοῖς ἀδοξοτέροις συναριθμούμενος ὁ Νικόλαος, ὑπογραμματεύων ἔτι καὶ τῆς βελτίονος ὡς ἄν τις εἴπῃ τύχης πόῤῥω κείμενος· τῶν δὲ πραγμάτων ἀθρόον μεταβαλόντων, ὥςπερ ἐκ μηχανῆς ἀνεδόθη τοῖς βασιλείοις καὶ ἐντὸς τῶν ἀδύτων ἐγένετο. Εὐθὺς οὖν αὐτῷ τὰ πάντα μετεσχημάτιστο· ὅ τε γὰρ οἶκος αὐτῷ λαμπρότερος γέγονε, καὶ ὁ πλοῦτος βαθύτερος, καὶ ὅλως αὐτῷ τὸ σχῆμα τοῦ βίου μετήλλακτο· τὰ μὲν οὖν ἐξωνεῖτο κτήματα, τὰ δέ, κατηλλάττετο· ταῖς γὰρ δυσὶν αὐτοῦ προγοναῖς οἰκειοτέρῳ ἤθει χρησάμενος, καὶ τὸν πατρωὸν εἰς πατέρα μετενεγκών, καὶ διὰ μέσης τῆς γαμετῆς πρὸς ἐκείνας τὴν σχέσιν μετοχετεύσας, τὰ πατρῷα ταύταις, τόν τε ἐν τῷ Βυκίνῳ οἶκον καὶ τὸ κατὰ τὸ Φλώριον προάστειον, ὡς εὐτελῆ τε καὶ εὔωνα κατασχών, ἀντιδίδωσιν αὐταῖς εἰς προῖκας τούτων πολλαπλασίονα· καὶ τὸ ὅλον ὡς θυγατράσιν ἑαυτοῦ ταῖς ἀλλοτρίαις | ἐχρήσατο, καὶ ἔννομον φ. 153.
ἑαυτῷ τὴν δεσποτείαν τοῦ οἴκου καὶ τοῦ προαστείου πεποίηκε, καταλλαξάμενος πλείονος τὰ ἐλάττονα· γέγονεν οὖν ἐκεῖθεν δεσπότης τοῦ κτήματος ὁ Νικόλαος, ἐμφράξας τὸ στόμα ταῖς προγοναῖς ἁδροτέρῳ δεσμῷ χρυσίου, ἤτοι ἀποδέσμῳ. Πάντα δὲ ἀθρόον ἀφήρηται, παραπλὴξ ὕστερον καὶ ἐμβροντησίας ἀπελεγχθείς, καὶ κατὰ τοῦ ἡμετέρου κράτους μεμελετηκώς, καὶ σαφῶς ἐπὶ τυραννικαῖς αἰτίαις ἑαλωκώς· διὰ ταῦτα δεδήμευται αὐτῷ ἡ σύμπασα τοῦ βίου ὕπαρξις καὶ ὑπὸ τὴν βασιλικὴν πέπτωκεν ἐξουσίαν, καὶ ὡς ἀφωσιωμένα τῷ κράτει, δωρεῖται ταῦτα οἷς ἂν ἡ βασιλεία μου βούληται· ὥςπερ καὶ τῷ μαγίστρῳ Ἐπιφανίῳ καὶ πρωτασηκρῆτις τὸ κατὰ τὸ Φλώριον ἐκείνου κτῆμα δωρησαμένη, τῷ παρόντι χρυσοβούλλῳ ὡς ἀδαμαντίνῳ δεσμῷ τὴν δωρεὰν ἐμπεδοῖ.

Εἰ γὰρ τῷ μεγαλείῳ τοῦ κράτους τὰ ὑποκείμενα κατησφάλισται, καὶ οἷς ἂν ἐκεῖθεν μερὶς τούτων κατενεχθῇ μετὰ τῆς ὁμοίας ἀσφαλείας περίεισιν· εἰ δὲ καὶ βασιλεὺς δημεύων καὶ

ἀφαιρούμενος μετὰ τῆς τῶν λογισμῶν ἐπισκέψεως ποιεῖται καὶ τὴν ἀφαίρεσιν καὶ τὴν δήμευσιν, ἀμφοτέρωθεν ἰσχύει τοῖς ἐκεῖθεν λαβοῦσιν ἡ δωρεά· ἣν μὲν γὰρ τῶν τῆς γαμετῆς τοῦ Νικολάου θυγατέρων κατὰ πατρῴαν ἢ μητρῴαν κληροδοσίαν τὸ κτῆμα ἀλλ' ἀντιδόσεως αὐταῖς παρὰ τοῦ πατρωοῦ γενομένης λαμπροτέρας καὶ μείζονος, μέρος τῆς τοῦ ἀνταλλάξαντος ὑπάρξεως γέγονε· παντὸς δὲ αὐτῷ τοῦ βίου ἀφαιρεθέντος εἰς τὸν δημόσιον, καὶ τὸ μέρος προσαφῃρέθη καὶ τοῖς βασιλικοῖς δικαίοις τὰ εἰρημένα δύο ταῦτα ὑποπέπτωκε κτήματα. Ἀλλὰ τί τῷ πρωτοασηκρῆτι ταῦτα; οὐ γὰρ ἐρευνᾶν δεῖ τινα ὁπόθεν ὁ βασιλεὺς ἔσχηκεν, ἀλλὰ λαμβάνοντα, προσκυνεῖν· πλὴν εἰ καὶ γέρας ὥσπερ τοῖς βασιλεῦσιν ἐξαίρετον, τὸ παρὰ πάντων ἐστὶ συγκεχωρηκὸς ἐν ἅπασιν, ἀλλ' οὐδὲν ἔλαττον ἡμεῖς τούτοις ἀντιδιδόαμεν τὴν ἐν νόμῳ ταύτην διοίκησιν, καὶ ὃ δέον πραχθῆναι τῶν πράξεων προεισφέρομεν. Οὐδένα τοίνυν ὁ πρωτοασηκρῆτις τῶν περιέργων φοβήσεται τοῦ κτήματος εἵνεκα τοῦ κατὰ τὸ Φλώριον, οὐ τῶν ἀπὸ τοῦ μέρους τοῦ Νικολάου, οὐ τῶν ἀπὸ τῆς γυναικὸς αὐτοῦ θυγατέρων· τῷ μὲν γὰρ ἡ δήμευσις ἀντικείτεται, ταῖς δέ, ἡ μείζων ἀντίδοσις, ἀμφοῖν δ' ἐπίσης ὁ ἡμέτερος ὅρος· κέκλειστα γὰρ ἑκατέροις οὐ θύρα μόνον δικαστηρίου, ἀλλὰ καὶ πρωτολογίας εἰσαγωγή· καὶ τὸ τῆς γνώμης περίεργον ἐν ἄλλοις ἴσως τὰς πράξεις καινοτομοῦν, τά γέ τοι παρὰ βασιλέως ταττόμενα καὶ τυπούμενα, οὐδαμῶς μωμῆσαι δυνήσεται· ἀλλ' οὐδὲ ῥητορεύουσα γλῶττα καὶ πάντα ἰσχύουσα τῇ πειθοῖ, καὶ τῶν νόμων τοὺς μέν, συγχέουσα, τοὺς δέ, παρατρέπουσα, βασιλικῆς ἄν ποτε κρατήσῃ δυνάμεως, οὐδὲν ἔλαττον, ἢ ῥεύματος παρασύροντος καὶ πυρὸς παφλάζοντος καὶ ποταμοῦ κατακλύζοντος· ἐνταῦθα γέ τοι καὶ δάκρυον πάθος κινοῦν, ὀλολυγή τε καὶ οἰμωγή, καὶ ὅσα χαυνοῦν δικαστὴν δύναται, καὶ μὴν καὶ θέλγητρον γλώττης, καὶ φωνὴ γοητεύουσα, καὶ τἆλλα ἐλήλεγκταί τε καὶ ἀπελήλαται. Ἕξει τοίνυν οὗτος

τῶν δωρηθέντων αὐτῷ κτημάτων τὴν κυριότητα, ὥςπερ ἐν μυστηρίῳ τῷ βίῳ σιγώντων ἁπάντων· ὁ γὰρ χρυσόβουλλος λόγος ἡμῶν ὥςπερ ᾠδή τις ἢ ὕμνος τοῖς μύσταις ὑπαναγινωσκόμενος, σιγᾷν αὐτοῖς ἐγκελεύεται. Αὐτὸ γέ τοι καὶ προλαβόντες παρεγγυώμεθα τοῦ μηδένα τῶν ἁπάντων, μὴ δικῶν νομοθέτην, μὴ δικαστήν, μὴ τὸ δημευθὲν μέρος, μὴ τὸ πρὸ τῆς δημεύσεως ἀντιλαβὸν τοῦ κτήματος ἕτερα, μὴ δ' ἄλλον τινά, ὄχλον τῷ πρωτοασηκρῆτις καὶ πράγματα παρασχεῖν ἐφ' οἷς παρὰ τῆς βασιλείας μου δωρεὰν εἴληφεν· ἐξέσται δὲ αὐτῷ ὡς ἂν βούλοιτο τὰ περὶ τῶν κτημάτων οἰκονομεῖν, ἐκποιεῖν, κατὰ πάντα τρόπον δωρεῖσθαι, κληροδοτεῖν, ἀνταλλάττειν, πιπράσκειν, τἄλλα ποιεῖν ὁπόσα καὶ νόμος καὶ ἔθος τοῖς ἀπεριγράφοις τῷ χρόνῳ δεσπόταις διδόασιν· ὥςπερ δὲ λαβὼν οὗτος παρὰ τοῦ κράτους ἡμῶν τῶν κτημάτων τὴν δωρεάν, καὶ τὸ ἡμέτερον προσείληφε δίκαιον, οὕτω δὴ καὶ ὁ πρὸς αὐτοῦ ταῦτα λαμβάνων τὴν αὐτὴν ἐπισπάσεται δύναμιν, καὶ ῥυήσεται, ὥςπερ ἀπὸ πηγῆς τῆς ἡμετέρας καὶ πρώτης χάριτος ἐπὶ πάσας διαδοχὰς ὁ αὐτὸς τῆς ἰσχύος λόγος ἀντιπλεκόμενός τε καὶ συμπλεκόμενος ὥςπερ εὐπλόκῳ καὶ ἀδαμαντίνῳ σειρᾷ.

## ΣΤʹ·

# ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

## ΕΠΙΣΤΟΛΑΙ.

1. Τοῦ Ψελλοῦ, ἐπιστολὴ πρώτη πρὸς τὸν πρωτοπρόεδρον χῦρ Κωνσταντῖνον τὸν Δρουγκάριον. φ. 189.

Αὐθέντα μου καὶ ἀνεψιέ, ἐπίφθονόν τι χρῆμα, ὡς καὶ αὐτὸς οἶσθα, φιλοσοφία τε καὶ φιλόσοφος, λέγω δὲ τοῦτο τρόπον ἕτερον, οὐχ ὡς ζηλούμενα, ἀλλ' ὡς βασκαινόμενα, καὶ τοξεύουσιν ἐπ' αὐτὰ οὐχ αἱ βάσκανοι μόνον γλῶτται, ἀλλ' ἔστιν οὗ καὶ αἱ σεμναὶ καὶ ἐπιεικεῖς, αἱ μὲν ὡς βασκαίνουσαι τῷ καλῷ, αἱ δέ, ὡς τὸ δοκεῖν ἀντέχεσθαι τοῦ καλλίονος. Ἐγὼ δὲ φιλόσοφος μὲν ἴσως οὐκ εἰμί, οὐδέ μοι τῆς ἱερᾶς ἐπιστήμης μέτεστιν οὐδ' ὁ,τιοῦν, φιλοσόφου δὲ δόξαν παρὰ τοῖς πολλοῖς ἔσχηκα· καί με ἀξιοῦσιν οἱ πλείους, μὴ δὲ τῆς γῆς ἅπτεσθαι τοῖν ποδοῖν, περιεργάζονται δέ μοι καὶ προόδους καὶ λογικὰς συνουσίας, καὶ εἰ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ μετήνεγκα, καὶ εἰ τὰς ἀρχὰς τῶν ὑποκειμένων ζητῶ· βούλονται γάρ με ἀπρὶξ ἔχεσθαι τῶν ὑποθέσεων καὶ σπαράττειν αὐτάς, ἀλλὰ μὴ κατ' ἄρθρα διαιρεῖν, καὶ νομοθετοῦσιν οἷ βαδιστέον ἐμοί, καὶ ὅθεν καὶ πηνίκα καὶ ὅσον, Σαββάτου μοι ὥς περ παραμετροῦντες ὁδόν· καὶ οὐκ ἴσασιν ὅτι τοῦ φιλοσόφου, τὰ μέν, ἀπεῖναι δέον ὁπόσα λυμαίνεται τῷ σκοπῷ, τὰ δ' ἐξ ἀνάγκης τούτῳ συμπέφυκε, τὰ δ' αἱ φιλίαι καὶ αἱ διαθέσεις αὐτῷ προστιθέασι, καὶ ὡς χρὴ τοῦτον καὶ τὰ ἐκ τῶν χαρίτων μυεῖσθαι, καὶ τὰ μέν, ὑπόσεμνον εἶναι, τὰ δέ, ἀνεῖσθαι ταῖς χάρισιν.

Ἐχρῆν μὲν οὖν μὴ πρὸς τὰς ἑτέρων ζῆν ὑπολήψεις, μὴ δὲ ζυγοστατεῖσθαί με ἀλλοτρίαις χερσίν, ἀλλ' αὐτὸν ἑαυτῷ κανόνα καὶ στάθμην καθίστασθαι· ἀλλ' ἵνα μὴ κἂν τούτῳ βασκανίας ᾖ τούτοις ὑπόθεσις, ὡς παντάπασι τῶν παρ' ἐκείνοις δοξῶν ὑπερκείμενος, οὔτε δημοσίου τὰ πολλὰ μετέχω κρατῆρος, οὐ νὴ τὴν ἱεράν σου ψυχήν, οὔτε ἀπὸ τῆς αὐτῆς σιτοῦμαι τοῖς πλείοσι, πανηγύρεσί τε οὐ παραβάλλω, οὔτε ἰδίαις, οὔτε κοιναῖς, εἰ μή που ταῖς σαῖς· γάμος δὲ ἱερὸς καὶ τὰ τούτου προοίμια καὶ προαύλια, καὶ τὰ πρὸ τῆς παστάδος οὕτως εἰπεῖν προθαλάμια, ἀδύτων ἔμοιγε τυγχάνει προτεμενίσματα, καὶ ἀναβολαὶ μελῶν μουσικῶν, καὶ ἥδιστον θυραυλεῖν ἐπὶ τούτοις καὶ ἀπαντᾷν αὐτίκα, καὶ συσπουδάζειν τοῖς τελουμένοις, καὶ μετέχειν τῶν τελῶν· ἀλλὰ παντὶ μὲν ἄλλῳ ἐξὸν ἐντὸς τῶν θυρῶν εἶναι, ἐμὲ δὲ δεῖν φασι πόρρω τούτων καθίστασθαι, ὅτι πειρῶμαι φιλοσοφεῖν καὶ τὴν ψυχὴν ἐκλύειν τοῦ σώματος· καίτοι γε καὶ τὸ ὁρώμενον κάλλος εἰς τὸ νοητὸν τὸν φιλόσοφον ἀντιπεριάγειν κάλλος δεδύνηται, καὶ ἡ ἐμφανὴς ἁρμονία τοῦ ἀφανοῦς ἀνάμνησις γίνεται, καὶ οὐ τὰ μαθήματα μόνον συνεθίζει τὸν ὁμιλοῦντα τούτοις εἰς κατανόησιν τῆς ἀσωμάτου φύσεως· ἀλλὰ τί ταῦτα τοῖς λεπτολόγοις μέν, ὀλιγογνώμοσι δὲ καὶ μηδὲν ἕτερον εἰδόσιν, ἢ οὗ ἂν ταῖν χεροῖν ἅψαιντο;

Ἐγὼ δὲ ὥσπερ καὶ πολλῶν ἑτέρων ἀπέχεσθαι ὑποσχόμενος τῷ θεῷ, ἑτέρους τούτων ὁρᾷν μετέχοντας οὐ κεκώλυμαι· οὕτω δὴ καὶ γάμον ἀπειρηκώς, οὐκ ἀπεῖργμαι παρ' ἄλλοις τοῦτον ὁρᾷν σπουδαζόμενον· ἢ γὰρ ἂν ὑπεύθυνος εἴην ξύμπασιν ὅτι μετὸν τοῖς πολλοῖς τῶν ἀπειρημένων ἐμοί· ἀλλ' οἵ γε βασκαίνοντες νομοθετοῦντος ταῦτά φασιν εἶναι, ἀλλ' οὐχ ἑπομένου τοῖς νομισθεῖσιν. Ἐπὶ γοῦν τῶν ἀμφιλόγων ἐγὼ καὶ περὶ ὧν ἐστιν ἀμφισβήτησις, τὰ μέν, ἐμαυτοῦ, τὰ δέ, τῶν λεγόντων γίνομαι, καὶ οὐ τὴν ἑτέραν αὐτῶν, ἀλλὰ τὴν μέσην ἀμφοῖν τρέπομαι.

Οὔτε γοῦν σοι τῆς πανηγύρεως ἀποστήσομαι, οὔτε τῆς ἑορ-

τῆς ὅλος γενήσομαι, ἀλλ' ἀπαντήσω μὲν λαμπρὸς κατὰ τὰ ξυγκείμενα, καὶ τὰ μέν, ἀκροάσομαι περὶ τῶν γινομένων, τὰ δέ, διαλέξομαι· καὶ συνησθήσομαί σοι τοῖς γαμικοῖς προοιμίοις καὶ ἐμφύτοις σκιρτήμασι συναγαλλιάσομαι, καὶ εἰ βούλει, κάλλιστόν σοι ᾄσομαι τοῦ προοιμίου προοίμιον· μελῶν δὲ ἢ ῥυθμῶν οὐκ ἀκούσομαι, ἵνα μὴ τοῖς λογολέσχαις διατριβὴ γένωμαι, καίτοι πῶς οἴει με τῶν σεμνῶν χαρίτων ἐρᾶν, καὶ μάλιστα τῶν ἐν ῥυθμοῖς τε καὶ μέλεσι; εἰμὶ γὰρ οὐκ ἀπεσκληκότως ἔχων τῆς φύσεως, οὔτε πάλιν ἐν ταῖς ᾠδαῖς ὑποχαλῶ τοῦ βλοσσυροῦ (sic), ἀλλὰ βραχύ τι τὴν πρώτην τοῖς τῶν ὀργάνων κρούμασι συνησθείς, ἔπειτα ἐμαυτὸν εἰς τοὺς ἁρμονικοὺς ἀναφέρω λόγους, καὶ τάς τε συμφώνους ἀναθεωρῶ τῶν χορδῶν, καὶ εἴ τι παράφωνόν ἐστιν ἐν αὐταῖς ἢ διάφωνον, καὶ ἀπὸ τῶν καθαπτῶν ὀργάνων πορίζομαί τι ἐς τὰ μέσα τῆς μουσικῆς, τοὺς τόνους φημὶ καὶ τὰ διαστήματα καὶ συστήματα.

Ἀλλ' οὐ ἐπιλέλησμαι· ἆρ' οὐκ ἔστιν φίλτατε ἀνεψιέ, τὸ νέον τοῦτο νυμφίδιον, ἐκεῖνο δὴ ὃ ἐν τοῖς ἀνακτόροις τεθέαμαι, τὸ λαμπρὸν καὶ εὐτράπελον, ὃ δή με καὶ ᾠκειοῦτο αὐτίκα, εἶτα δὴ ἑτέρων καλλιόνων ἀντῆρα; κάλλιστον, νὴ τὴν ἱεράν σου ψυχήν, καὶ τὴν ὄψιν καὶ τὴν ψυχήν, ἄμφω μὲν τῆς μητρὸς ἧττον, τί γὰρ αὐτῇ ἴσον γένοιτ' ἄν; τῶν δὲ ἄλλων ὧν ἐγὼ τεθέαμαι παρὰ πολὺ κάλλιον. Γένοιτο αὐτῇ καὶ ὁ ἀρραβὼν καὶ ὁ γάμος αἴσια πάντα καὶ προσφιλῆ, καὶ μηδὲν αὐτῇ τῶν πάντων ἀνάρμοστον, μήθ' ἡ παστάς, μήθ' ὁ θάλαμος], μήθ' ὁ ἐπινύμφιος φ. 189'.
κόσμος· ἀλλ' ἁρμόσοι τἀνδρί, κἀκεῖνος αὖθις αὐτῇ, καὶ γένοιτ' ἀμφοῖν ἡ συμβίωσις οὐ συνοικείωσις σωμάτων μόνον, ἀλλὰ καὶ ψυχῶν· κάλλιστος γάρ μοι καὶ ὁ νυμφίος δοκεῖ, καὶ αὐτὸ δὴ τοῦτο νυμφίος ὡς ἀληθῶς καὶ τῇ νύμφῃ προσόμοιος· ἐκείνῃ δὲ τοσοῦτον εἰπέ, ὅτι οὐ ζηλότυπος ἐγὼ ἐραστής, οὐδέ σου μέμφομαι τὴν μετάθεσιν, μόνον ἐρῴης αὐτοῦ, καὶ τέκοις παιδία καλά τε καὶ πολλὰ ὁπόσα ἡ μήτηρ καὶ οἷα, ἄρρενά τε καὶ θήλεα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καὶ ταῦτα μὲν δή σοι παρ' ἐμοῦ τοῦ γάμου προοίμια· εἰ δὲ βιώσιμος εἴην καὶ πρὸς τῇ τελείᾳ σου τελετῇ, καὶ δᾷδας γαμηλίους ἀνάψω, καὶ ὑποθήσομαι ὅπως σοι τῷ νυμφίῳ προσενεκτέον· οὐ γὰρ δὴ καὶ τῶν ὑποθηκῶν κεκώλυται ὁ φιλόσοφος· μόνον οὐδὲ τότε τῶν γαμηλίων σοι πιοῦμαι κρατήρων, ἵνα μὴ σβέσας τὰς ἐπὶ σοὶ δᾷδας μετὰ τὴν τελετήν, τὰς τῶν βαναύσων γλώσσας ἀνάψω.

φ. 191. 2. Τοῦ αὐτοῦ εἰς τὸν βασιλέα τὸν Διογένην ὅτε ἐβασίλευσεν.

Νῦν ἡμέρα σωτήριος, νῦν ἐλευθερία κακώσεων, νῦν τῆς νέας Ῥώμης ἰσχὺς καὶ κραταίωσις, νῦν βασιλείας πῦργος ἀκλόνητος, τεῖχος ἀκράδαντον, στῦλος ἄσειστος, θεμέλιος ἐπὶ τῶν τοῦ Κυρίου ἐστηριγμένος χειρῶν· νῦν ἐπεσκέψατο Κύριος τὴν κληρονομίαν αὐτοῦ καὶ ἔκυψεν ἐξ οὐρανοῦ καὶ εἶδε, καὶ ἀπέστειλεν ἐξ ὕψους τὸν ἄγγελον αὐτοῦ καὶ ἐρρύσατο ἡμᾶς καὶ παρόντων κακῶν καὶ μελλόντων δεινῶν, καὶ συστροφῆς νεφῶν καὶ ἐμβολῆς βελῶν. Ποῦ τὰ Περσῶν αὐχήματα νῦν; ποῦ τὰ Μήδων φρυάγματα; ποῦ ἡ τῶν Σκυθῶν ἐποπτευομένη ἐπιδρομή; ποῦ ἡ ἀλαζὼν τῶν Τούρκων ὀφρὺς καὶ ἡ ἀνυπόστατος τοῦ βαρβάρου ὁρμή; Νῦν ὥςπερ ἐπὶ ζυγοῦ ἀντίρροπα πάντα καὶ ἀντίσταθμα γέγονε, καὶ αἱ πλάστιγγες μετετέθησαν, νῦν πάντα καινά· καὶ μετήλλακται μὲν τὰ ἐχθρῶν, μετεσχημάτισται δὲ τὰ ἡμέτερα. Νῦν τεθεάμεθα βασιλέα, οὔτε τὴν κλῆσιν, οὔτε τὸ σχῆμα ψευδόμενον, μέγαν ὡς γίγαντα, ὑψηλὸν τῷ βραχίονι, κραταιὸν τῇ δυνάμει, καὶ ἄοπλον φοβερὸν καὶ ὡπλισμένον ἰσχυρόν τε καὶ ἀνυπόστατον, τὸ μὲν εἶδος τῷ ὄντι τυραννίδος ἄξιον, τὴν δὲ καρδίαν ἁνθάμιλλον τῷ προφήτῃ Δαυΐδ. Ἐν σοὶ γὰρ θειότατε βασιλεῦ, ἀθρόα πάντα συνέδραμεν, ὅσα φοβερά, ὅσα ἥμερα, ὅσα λαμπρά, ὅσα θαυμάσια· γένος ἀσύγκριτον τὴν εὐγένειαν, πατρὶς

ἡ καλλίστη τῶν πόλεων, ἐξ ἧς φύσεις γενναῖαι (*) καὶ ἰσχὺς ἀήττητος καὶ κράτος κατὰ βαρβάρων ἀφόρητον· φύσις σώματος οἵαν οὐκ ἂν ἐπενέγκοι βάρβαρος θεασάμενος, φύσις ψυχῆς οἵαν ἡμεῖς ὁρῶντες γαννύμεθα· ὁρμὴ κατὰ μὲν ἐχθρῶν ἀνυπόστατος, πρὸς ἡμᾶς δὲ | γαλήνιος καὶ ἥμερον ἐπιλάμπουσα. Διογενὴς τὸ φ. 191ᵛ. φαινόμενον, θεοειδὴς τὸ κρυπτόμενον· σεμνὸς τὰ πρὸς αἴσθησιν, λαμπρὸς τὰ πρὸς νόησιν, εὐσταθὴς τὸ φρόνημα, εὐφυὴς τὸ ἐνθύμημα, τὸν νοῦν ὀξύς, τὴν γλῶτταν ταχύς, ῥήτωρ καὶ στρατιώτης ὁμοῦ· ὢ τοῦ θαύματος, τὰ διῃρημένα, λόγους καὶ ὅπλα, τόξα καὶ μέτρα, ῥήματα καὶ ὁρμήματα, σοφίαν καὶ πανοπλίαν, εἰς μίαν τὴν σεαυτοῦ παραδόξως ψυχὴν συνήγαγες· καὶ πολεμεῖς μὲν ὑψηλῷ τῷ βραχίονι, ὁμιλεῖς δὲ ἐλευθέρως καὶ στρογγύλως τῇ γλώττῃ, καὶ ἔοικας ποταμῷ ἅμα καὶ ὀχετῷ· ὁ μὲν γὰρ νοῦς ποταμηδὸν ἐπιχεῖ τὰ νοήματα, ἡ δὲ γλῶττα ἠρέμα ἐπικλύζει τὴν ὀχετηγίαν τῶν λέξεων· σὺ δὲ βασιλεῦ, καὶ δημηγορήσεις ἐν στρατεύμασι, καὶ ὁρμὴν ἐπενέγκῃς τῷ λόγῳ καὶ συνεξορμήσεις τῷ πράγματι· καὶ οὗ μὲν καιρὸς ἀφέσεως βελῶν, αὐτίκα τὸ τόξον ἐντενεῖς, οὗ δὲ ἀκοντίου, ἀκοντιεῖς, οὗ δὲ δόρατος, ἀγκαλισάμενος ἐρρωμενέστατα ἐμβαλεῖς τοῖς τῶν ἀντιτεταγμένων σώμασι· καὶ οὗ μὲν χρεία λόγου, ῥητορεύσεις λαμπρῶς, οὐ τὰς Δημοσθένους δεινότητας ἁρμοσάμενος, ἀλλὰ τὰς τοῦ Πυλίου Νέστορος χάριτας ἀναψάμενος· οὗ δὲ ἀνάγκη συνασπισμοῦ καὶ συντάξεως, καὶ κατὰ μέτωπον στήσῃ καὶ ἑκατέρω τὼ κέρα, καὶ ὑπερφαλαγγίσεις, καὶ περιελίξεις τὴν φάλαγγα, καὶ ἐξαλλάξεις τοὺς λόχους, καὶ μετασχηματίσεις τὴν τάξιν, καὶ στρατηγικῷ ἐμβομβήματι καταπλήξεις τὸ βάρβαρον.

Ἀλλ' ἐξάγει με καὶ πρὸς τὴν βασιλίδα ὁ λόγος, ἣν οὐ μόνον ἐγκωμιάσαι, ἀλλ' οὐδὲ θαυμάσαι δεδύνημαι· ὢ τοσοῦτον ἐνθυ-

(*) χειρ. γενναῖε.

μηθεῖσα καλόν, ὢ τοσοῦτον ἀγαθὸν ἐννοήσασα· ὠχύρωσας τὰς πόλεις ἡμῶν, τὰ τῶν βαρβάρων τείχη διέρρηξας, ἐκόσμησας τὴν τῆς Ῥώμης ἀρχήν, αὐτὴν ὕψωσας, τοῖς παισὶ τὴν βασιλείαν ἐφύλαξας, δι' ἑνὸς ἐνθυμήματος καὶ μιᾶς πράξεως εἰς ταὐτὸ τὰ χρηστὰ πάντα συνήνεγκας· ἀλλ' ὑπὸ προθυμίας τε καὶ χαρᾶς, μικροῦ καὶ συνορχήσασθαι βούλομαι.

Νῦν τῷ ὄντι φωστήρων σύνοδος, νῦν οὐρανὸς καὶ γῆ συνευφραίνεται, καὶ πάντα σκιρτᾷ καὶ ἀγάλλεται, καὶ ὁ καιρὸς ὡς ἀληθῶς πανηγύρεως. Ἐπεὶ δὲ καὶ συγκρίσεως δεῖ τῷ λόγῳ, παράδοξον μὲν ἐρῶ λόγον, ἀληθέστατον δέ· σὺ μὲν ὦ βασιλεῦ, κατὰ πάντων ἔχων τὰ νικητήρια, μόνης τῆς βασιλίδος, εἴπω δὲ καὶ δεσπότιδος, ἥττησαι· σὺ δὲ ὦ βασιλίς, πάσαις ὀφθεῖσα ἀσύγκριτος ἵνα μὴ λέγω καὶ πᾶσι, τὰ δευτερεῖα φέρεις, καὶ τοῦτο ἑκοῦσα, τοῦ βασιλεύοντος· ὢ καὶ πάντας νικήσας καὶ πάσας νικήσασα, καὶ ἀλλήλους νικῶντες καὶ ὑπ' ἀλλήλων τὴν ἧτταν λαμβάνοντες, ὢ σὺ μὲν ἀρρένων ἄγαλμα, σὺ δὲ θηλειῶν σεμνολόγημα!

## 3. Πρὸς τὸν αὐτὸν βασιλέα ἐν ἐκστρατείᾳ διάγοντα.

Εἰ καὶ μὴ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, ἀλλά γε τοῖς νοητοῖς εἶδόν σε τῆς Ῥωμαϊκῆς ἐξηγούμενον φάλαγγος καὶ πρὸς τοὺς ἐναντίους μαχόμενον, καὶ σὲ μὲν θαρραλέως ἐπ' αὐτοὺς χωροῦντα καὶ τῷ στρατηγικῷ καταπλήττοντα ἐμβοιμβήματι, τοὺς δέ, αὐτίκα πίπτοντας καὶ ἀντιστῆναι πρὸς τὴν σὴν μὴ δυναμένους ὁρμήν· καὶ θαυμαστὸν οὐδέν· ἐγὼ γάρ σε ἐν πολλαῖς ἡμέραις σημειωσάμενος, καὶ ἀκριβῶς διαγνοὺς ὅσον τέ σοι τὸ σθένος τῶν βραχιόνων ἐστίν, ὁποῖόν τέ σοι τὸ τῆς ψυχῆς θάρρος καὶ τὸ πρὸς τὰ δεινὰ γενναῖόν τε καὶ ἀήττητον, οὐ Τούρκοις καὶ Ἄραψιν ἀξιόμαχόν σε τίθεμαί τε καὶ ἀποφαίνομαι, ἀλλὰ καὶ τοῖς πρὸς Ἀχιλλέα τε τὸν πάνυ καὶ τὸν Μακεδόνα

Ἀλέξανδρον· πλὴν τοσοῦτον ἐκεῖνοι ηὐτύχησαν, ὅσον ὁ μέν, Ὅμηρον, ὁ δέ, τὸν Ἀριστοτέλην ἐπαινέτας ἐσχήκασιν, ἄνδρας δεινοὺς τὴν γλῶτταν καὶ μεγάλα τὰ μικρὰ δυναμένους ποιεῖν· σοὶ δὲ τῷ μεγάλῳ καὶ βασιλεῖ καὶ στρατιώτῃ καὶ στρατηγῷ, ἡ ἐμὴ ψελλίζουσα ἀντ' ἐκείνων ἐξαρκέσει φωνή.

Ἴσθι μέντοιγε δέσποτά μου καὶ βασιλεῦ, ὡς ἐσείσθη πᾶσα ἡ πόλις τῷ μεγάλῳ σου κατορθώματι, ἐθαύμασαν δὲ σύμπαντες ὅτι μὴ τὴν νίκην ἐκόμπασας, μὴ δὲ ἦρας τῷ λόγῳ τὸ τρόπαιον, εἰ καὶ μόνος ἐγὼ σάλπιγγος μεγαλοφωνότερον πάσαις ἀκοαῖς τοῦτο διήχησα. Ἡ μέν τοι δέσποινά μου καὶ βασιλίς, τὸ μέγα Ῥωμαίων ὄφελος, τὸ τῆς σῆς ψυχῆς ἄγαλμα καὶ καλλώπισμα, ἐπειδὴ τοῦ μεγάλου σου κατορθώματος ἤκουσεν, ἔνθους ὑφ' ἡδονῆς γενομένη καὶ τὰ τῆς χαρᾶς εὐθὺς ἀποστάξασα δάκρυα, χεῖρας ἱκέτιδας πρὸς θεὸν ἦρατο καὶ τὰς εἰωθυίας ὑπὲρ σοῦ φωνὰς ἀνεφθέγξατο· αὖ . . . . . . . . . τροπαίου εἰσεληλυθότα . . . . . . . . . . πάντα τὰ σὰ ἐφεξῆς ἀνερωτήσασά τε καὶ διδαχθεῖσα, καὶ ἐθαύμασε καὶ ἐδάκρυσεν· ἐθαύμασε μὲν γὰρ τὴν περὶ πάντα σου σταθηρότητά τε καὶ δεξιότητα, καὶ τὸ πρὸς αὐτὴν ἄρρητον φίλτρον, ἐδάκρυσε δὲ ὅτι τοιαύτης στερεῖται ψυχῆς οἵας δὴ τυχεῖν παρὰ θεοῦ καὶ ηὔξατο καὶ ἐπέτυχε. Διηγησάμην γὰρ αὐτῇ πρῶτα μὲν ὃν ἔχεις ὑπὲρ τῆς Ῥωμανίας ζῆλον, καὶ ὡς ἀνταλλάττῃ μυρίων θανάτων τὴν τῶν Ῥωμαϊκῶν πραγμάτων διόρθωσιν· ἐπὶ τούτοις διηριθμησάμην καὶ τὰ λοιπὰ τοῦ σοῦ κράτους πλεονεκτήματα, τὸ στεῤῥὸν τοῦ φρονήματος, τὸ γενναῖον τῆς γνώμης, τὸ πρὸς τοὺς πόνους ἐνδελεχὲς καὶ ἀήττητον, τὴν σύνεσιν, τὴν ὀξύτητα, τὴν εὐγλωττίαν, τὸ εὔχαρι· προσέθηκα καὶ ἣν ὀφθαλμοῖς αὐτοῖς ἔγνωκα σωφροσύνην, τὸ τῆς ζωῆς διηκριβωμένον καὶ ἐγκρατές, οὐ κοσμῶν λόγοις τὰ σά, ἀλλ' ὑπὸ τούτων τοὺς ἐμοὺς λόγους κοσμῶν.

Ἐγὼ γὰρ εἴτε τοῦ ἀληθοῦς εἰκαστὴς ἢ θεατὴς ἐγενόμην, εἴτε καὶ πέπονθά τι πρὸς τὰ τῆς σῆς ψυχῆς ἰδιώματα, πάντων



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῶν ἐπαινουμένων ἀφέμενος ἀσυγκρίτως σε ὧν ὀφθαλμοῖς αὐτοῖς εἶδον, ὧν ἐξ ἀκοῆς οἶδα προτίθημι· ἡ δέ γε δέσποινά μου καὶ βασιλὶς ὅτι μὲν πᾶν μέτρον ἀγάπης πεπλήρωκεν ἐπὶ σοὶ ἐπίσταμαι ἀκριβῶς, τοσοῦτον δὲ αὐτῇ κἀγὼ συνετέλεσα, ὅτι ῥητορικώτερον καὶ λαμπρότερον τὰ σὰ διηγησάμην αὐτῇ προτερήματα.

Ταῦτα καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ ἠχούσῃ τῇ γλώττῃ καὶ οὐρανίῳ διήγγειλα, καὶ τῇ συνόδῳ πάσῃ καὶ τῇ συγκλήτῳ καὶ κοινῇ καὶ καθένα διηκρίβωκά τε καὶ διετράνωσα, μὴ δὲ
φ. 192. τὴν κοινὴν καὶ δημωδεστέραν ἀκοὴν ἀμέτοχον τούτων | καταλιπὼν καὶ ἀνήκοον.

Ὑπεψιθύρισα ταῦτα τῷ νέῳ βασιλεῖ καὶ δεσπότῃ μου τῷ καλῷ Διογένει παραψελλίζων αὐτῷ πρὸς τὸ οὖς τὰ τοῦ πατρὸς ἀγαθά· ἐφ' οἷς καὶ ἀνεπαισθήτως φυσικῷ τινι καὶ ἀρρήτῳ λόγῳ, ἀνεσκίρτησέ τε καὶ προσεγέλασεν.

Ἐγὼ γὰρ θεόστεπτε δέσποτά μου καὶ βασιλεῦ, δύο ταῦτα ἐν τῇ ἐμῇ ψυχῇ τοῦ σοῦ κράτους δεξάμενος, ἀλήθειάν τε τῶν σῶν προπορευομένην χειλέων, καὶ προσπάθειαν ἄρρητον ἐπ' ἐμὲ χεομένην παρὰ τῆς σῆς ἁγίας ψυχῆς, οὐ παύσομαι μέχρι παντὸς πρὸς ταῦτα διαμαχόμενος· καὶ τῶν μὲν ἔργων τοῦ ἐνθέου κράτους σου ἡττηθήσομαι, νικήσω δέ σε τοῖς ῥήμασι καὶ τοῖς ἀπὸ γλώττης καὶ τῆς (*) ἀπὸ τῆς χειρός· ὥσπερ γὰρ σύ μ' ἐποίησας ζηλωτὴν διὰ πάσης ἡμέρας ἐγκωμιάζων καὶ τῶν ἄλλων ἀσυγκρίτως προκρίνων, οὕτω δή σε κἀγὼ τῶν ἄλλων βασιλέων ὑψηλότερον θήσω, βιβλίον ἐξενεγκὼν ἐπὶ σοί, οἷόν τινα λειμῶνα γέμον ἀνθέων καὶ χάριτος· προσεκύνησα δὲ πολλάκις ἐφ' οἷς οὐκ αὐτὸς μόνος ἀγαπᾷς τε καὶ ἐλεεῖς, ἀλλὰ καὶ τὴν δέσποιναν ὑπὲρ ἐμοῦ ἀξιοῖς, ὢ τῆς ὑπερβαλλούσης σου ἀγαθότητος, ὁ φωστήρ, ὁ ἄδυτος ἥλιος πρὸς τὴν ὑπερφαῆ σελήνην, ὑπὲρ τίνος; ὑπὲρ ἐμοῦ τοῦ τεθνηκότος κυνός! Ἐπὶ πᾶσιν ἐπάνελθέ μοι τα-

(*) Γραπτέον, τοῖς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

χέως, τὸ τῶν τροπαίων συμπέρασμα τῷ ἐπιόντι ταμιεύσας καιρῷ.

## 4. [Προσφώνησις Βυζαντίων πρὸς τὸν βασιλέα Ρωμανὸν τὸν Διογένην].

Ποῦ ποτε ἀπαίρεις ὁ λαμπρότατος ἥλιος, ὁ μέγας τῆς ἀληθείας φωστήρ; πῶς δὲ καὶ καρτερεῖς τὴν τοῦ κόσμου σελήνην ἀπολιπών, ὑφ' ἧς ἐφωτίσθης καὶ ἣν φωτίζεις λαμπρότερον; ἢ πάντως ὁ ὑπὲρ ἡμῶν ἔρως καὶ τὸ βούλεσθαί σε ἐλευθέραν εἶναι τὴν βασιλίδα τῶν πόλεων, μᾶλλον δὲ σύμπασαν τὴν ὑπήκοον τῆς τῶν βαρβάρων ἐπιδρομῆς, πείθει σε καὶ σώματος καὶ ψυχῆς καὶ τῶν φιλτάτων καταφρονεῖν; Ὦ ζεούσης ψυχῆς, ὢ καρδίας ἐμπύρου, ὢ γενναίου φρονήματος, οὐκ ἔθελξέ σου τὴν γνώμην ἡ τῆς βασιλείας τρυφὴ καὶ ἀπόλαυσις, οὐ κατέσχε σου τὴν ψυχὴν ὁ τῆς ἀρχῆς κόσμος καὶ τὰ λοιπὰ περιβλήματα, καὶ τὸ κάλλος τοῦ διαδήματος! ἀλλ' ὥσπερ ἐπὶ τούτῳ τὴν βασιλείαν παρὰ θεοῦ εἰληφώς, ἵνα ἡμεῖς μὲν τρυφῶμεν καὶ ἀγαλλώμεθα, σὺ δὲ φροντίζῃς περὶ ἡμῶν πᾶσι πόνοις καὶ πάσαις μερίμναις ταλαιπωρούμενος, ὁμοῦ τε τῷ διαδήματι κατεκοσμήθης τὴν κεφαλήν, καὶ τὴν αἰχμὴν ἠκόνησας κατ' ἐχθρῶν· ὢ τολμήματος, ὢ φρονήματος· οὐκ ἔμεινας τοῦ καιροῦ τὴν μεταβολήν, ἀλλὰ μέσου χειμῶνος, τοῦ ἡλίου καλυπτομένου τοῖς νέφεσι, κατηφεστάτου τοῦ ἀέρος τυγχάνοντος, ὥσπέρ τις ἀδάμας πᾶσαν πληγὴν φέρειν δυνάμενος καὶ μηδεμιᾷ διαιρούμενος, ὑπὸ χειμῶνι σφοδρῷ (*) καὶ ὄμβρῳ πολλῷ καὶ κρύει δεινῷ, τῆς βασιλίδος ἀπαίρεις τῶν πόλεων, καὶ κατὰ τῆς τῶν ἐχθρῶν τυραννίδος χωρεῖς. Τοιοῦτον ἡμῖν ἔπρεπεν ἐξ ἀρχῆς βασιλέα λα-

(*) Ἐν τῷ χειρογράφῳ, πολλῷ σφοδρῷ· ἐξ ὧν ἡ πρώτη λέξις σημειοῦται ὡς περιττεύουσα.

βεῖν, οὕτω μὲν καλόν, οὕτω δὲ γενναῖον, οὕτω πρᾶον, οὕτω τόλμης μεστόν· ὡς ὑπερφυῆ πάντα τὰ σά· τὸ γένος, ὁ τρόπος, ὁ βίος, ὁ κόσμος τοῦ σώματος, τὸ μέγεθος τῆς ψυχῆς, ὁ πρὸς θεὸν πόθος, ὁ σφοδρὸς ὑπὲρ ἡμῶν ἔρως, ἡ εὐγενὴς γνώμη, ἡ φιλότιμος χείρ, ἡ ἄφθονος δεξιά, ἡ τῶν χαρίτων πηγή. Ἀλλ' ὢ τῆς ἡμετέρας ἡδονῆς, ὅτι τοιοῦτον εὐτυχήσαμεν αὐτοκράτορα· ὢ τῆς ἀντιθέτου ὀδύνης, ὅτι σε τὸν ἡμέτερον ἥλιον ὥσπερ εἰς ἑτέραν οἰκουμένην ὁρῶμεν μεταχωροῦντα· καὶ ἐπεί σε κατασχεῖν οὐ δυνάμεθα, εὐχαῖς σε καὶ δάκρυσι παραπέμπομεν· δυναμωθείης ἐπὶ πάντα ἐχθρὸν καὶ πολέμιον, καὶ στεφανωθείης τὴν κεφαλὴν ἐπὶ τροπαίοις πολλοῖς· κοσμηθείης τοῖς κατὰ τῶν βαρβάρων ἀριστεύμασι, καὶ νίκαις δορυφορηθείης πολλαῖς· μὴ συγκαύσαι σε ἡμέρας ὁ ἥλιος, μὴ δὲ ἡ σελήνη τὴν νύκτα, ἀλλά σε στῦλος ὁδηγήσοι φωτός, καί σοι διαιρεθείη μὲν θάλασσα, ὑπαναχωρήσαιαν δὲ ποταμοί, καὶ ἄγγελοί σε φωτὸς ἐπὶ πᾶσαν γῆν παραπέμψαιεν· ἴδοιμέν σε τροπαιοφόρον ἐπαναστρέφοντα πρὸς ἡμᾶς, στεφάνοις ἀριστείοις κατακεκοσμημένον τὴν κεφαλήν, ὢ βασίλειον ἄγαλμα, πολιτείας ἀξιοπρεπέστατον θέαμα, τῆς ἡμετέρας σελήνης φωστὴρ ἀξιώτατε.

## 5. Προσφώνησις πρὸς τὸν βασιλέα κῦρ Ἀλέξιον τὸν Κομνηνὸν [γραπτέον Ῥωμανὸν τὸν Διογένην] παρὰ τῶν πολιτῶν ἐν κλητορίῳ.

Νῦν πρῶτον ὁπλίτην βασιλέα τεθέαμαι, νῦν πρῶτον ὁρῶ στρατηγὸν ἅμα καὶ αὐτοκράτορα· ἀστράπτει μέν σου ἡ κεφαλὴ τῷ χρυσῷ στέμματι, οὐδὲν δὲ ἧττον καὶ ἡ δεξιὰ φοβερῷ δόρατι, καὶ προσηνεῖ μὲν ἡμᾶς τοὺς πολίτας ὁρᾷς ὄμματι, καταπληκτικῷ δὲ τοὺς βαρβάρους καταδειμαίνεις βλέμματι· γλυκεῖα μὲν ἡ πρὸς ἡμᾶς σου φωνή, δριμεῖα δὲ ἡ πρὸς τοὺς ἀντικειμένους βοή· ἱλαρὸν μὲν ἡμῖν σου τὸ πρόσωπον, φοβερὸν δὲ τοῖς

ἀντιμαχομένοις στρατηγικόν σου ἐμβρίμημα. Ὦ βασιλεῦ, καὶ στρατιῶτα καὶ στρατηγέ, καὶ πᾶν εἴ τι ἄλλο ὑπέρλαμπρον ὄνομα, ὦ κρατὴρ πάσης ἀρετῆς, ὅση πολιτικὴ καὶ ὅση στρατηγική, ὦ κοινὸν ἀγαθὸν καὶ πολίταις καὶ στρατιώταις, καὶ μέγα ὄφελος τῇ βασιλίδι τῶν πόλεων, ἥτις εἰς γόνυ κλιθεῖσα, νῦν παρ' ἐλπίδα ἀνώρθωται καὶ μέγα φρονεῖ ἐπὶ σοὶ τῷ δεσπότῃ καὶ αὐτοκράτορι, καὶ στεφανηφορεῖ σου ταῖς νίκαις, καὶ τοῖς κατορθώμασιν ἐπαγάλλεται καὶ τοιαῦτα πρὸς σὲ μονονουχὶ φθέγγεται· ὦ δᾳδοῦχε φωστήρ, ἀπείρῳ με καταυγάσας φωτί· ὦ φαεινότατε ἥλιε, ἐξ ἑῴας μὲν τὴν κίνησιν ποιησάμενος, πρὸς δὲ τὸ μεσημβρινὸν φθάσας κέντρον καὶ πᾶσαν τὴν γῆν ταῖς ὑπερλάμπροις καταστράψας μαρμαρυγαῖς! ποῦ ποτε πάλιν ἦσθα ὁ τῆς βασιλείας πυρσὸς ὃς διὰ χρόνων μοι προςπεφοίτηκας; ἀλλ' ὁρᾷς ὡς γηράσασαν ἀναθηλῆσαι αὖθις πεποίηκας, καὶ πρὸς τὸ ἀρχαῖον ἐπανελθεῖν τῆς νεότητος κάλλος καὶ μέγεθος! Ἐπὶ τούτοις κατασπάζεταί σου τὰ ὄμματα τὰ πολλάκις ὑπὲρ αὐτῆς ἀγρυπνήσαντα, καταφιλεῖ σου τὰς χεῖρας ἃς πολλάκις τῷ φόνῳ τῶν βαρβάρων ἐξῄμαξας, προσφύεταί σου τῷ στήθει ἔτι τὰς ὠτειλὰς τῶν πληγῶν ἔχοντι ἃς ὑπὲρ αὐτῆς ἐδέξω βαλλόμενος, καί σοι τοὺς ἐπωνύμους αὐτῇ καὶ τροφίμους εἰσάγουσα, φημὶ δὴ τοὺς πολίτας, τοιαῦτα φωνεῖ· τούτους σοι παρακαταθήκην βασιλεῦ, ἐγὼ παρατίθημι, τούτους σοι προσάγω ἱκέτας ὁμοῦ καὶ φιλτάτους· ἀγκάλισαί μοι αὐτοὺς εὐμενῶς, ἴδε προσηνῶς, φ. 192ʳ.
φιλοτίμησαι δεξιῶς· οὗτοι μὲν ἀγαπήσουσί σε καὶ ἐπαινέσουσι, σὺ δὲ πολυπλασίονα τούτοις ἀντίδος τὴν μέτρησιν.

Τοιαῦτα μὲν θειότατε βασιλεῦ, ἡ πόλις σοι προσφωνεῖ, σὺ δὲ κειμένην ἀνάστησον, ἀλλοιωθεῖσαν ἐπὶ τὸ χεῖρον, ἐπὶ τὸ κρεῖττον μετάβαλε, ἀφαιρεθεῖσαν τὸ κάλλος, τοῖς σοῖς ἀγωνίσμασι καταμόρφωσον, ἀπανθήσασαν φαίδρυνον ὁ θειότατος αὐτῆς ἐραστὴς καὶ ἐρώμενος, ὁ τὸ κράτος Ῥωμαίων τῷ τῶν βαρβάρων δείξας κράτει λαμπρότερον, ὁ τὸ πρᾶγμα πάλαι τῆς βασιλείας

ἀναδησάμενος, νῦν δὲ εὐμοιρήσας καὶ τοῦ ὀνόματος, βασιλεῦ βασιλέων καὶ στρατηγὲ στρατηγῶν, καὶ τῆς μεγάλης ταύτης καὶ θαυμασιωτάτης τῶν πόλεων θαυμασιώτατον ὄντως καὶ πρᾶγμα καὶ ὄνομα.

## 6. Τῷ αὐτῷ ἐν ταξειδίῳ ὄντι.

Τί τοσοῦτον ἠδικήσαμεν ἡμεῖς οἱ Βυζάντιοι, ἢ τί σοι τῷ μεγάλῳ καὶ θείῳ προσεκρούσαμεν βασιλεῖ καὶ ἡλίῳ, ὅτι τηλικαύτην κατεκρίθημεν νύκτα πολυήμερον καὶ πάντῃ ἀλαμπῆ καὶ ἀφώτιστον, ἐστερημένοι καὶ τῶν ἀπὸ τῆς σελήνης αὐγῶν; Ἀλλ' εἰ μὲν ἕτερός τις οὕτως οἴεται, αὐτόθεν ἔχει τὸν ἔπαινον· ἐγὼ δὲ τί ἂν γενοίμην, ἢ ποίαν παραμυθίαν εὑρήσω τῆς σῆς πόρρω καθεστώς μαρμαρυγῆς καὶ λαμπρότητος, καὶ οὔτε σοῦ τὸ τηλαυγὲς ὁρῶν πρόσωπον, οὔτε τῆς γλώττης ἀκούων, οὔτε τοῖς λόγοις θελγόμενος, ἀλλ' οὐδὲ ἄλλό τι τῶν σῶν θαυμασίων ὁρῶν, τὴν τάξιν, τὰς εὑρέσεις τῶν νοημάτων, τῶν ἐνθυμημάτων τὸ κάλλος, τὴν μεγαλόνοιαν, τὴν ἄφατον ἐπιείκειαν, τὸ ἀπρόσιτον ὁμοῦ καὶ εὐπρόσιτον; Ὦ, πόσων ἀπελήλαμαι ἀγαθῶν, ποίας τρυφῆς ἀπεστέρημαι, καὶ ταῦτα ἀδικήσας οὐδέν, ἀλλὰ τὴν ἐμήν σοι ψυχὴν προσενεγκὼν καὶ ἐξαρτήσας αὐτὴν τῆς σῆς πνοῆς καὶ ζωῆς;

Οὐκ ἔχω πῶς ἐνέγκω τὴν ἀθυμίαν, ἐπιλείπει μοι πρὸς τὴν συμφορὰν καὶ τὰ δάκρυα· οὔπω μοι τὸ πρῴην πέπαυται πάθος ἐπὶ τῇ ἀφ' ἡμῶν διαστάσει τοῦ πάθους σου, καὶ νῦν ἕτερον ἐπεγήγερται πολὺ τοῦ προτέρου βαρύτερον, ὅτι ἔχων οὐκ ἔχω σε, καὶ ζητῶν οὐχ εὑρίσκω σε, καὶ ἐν χερσὶ περιφέρων σε ὁρᾷν οὐ δεδύνημαι· ὢ τῆς ἐμῆς τῶν ὀμμάτων ἀχλύος, εἰς ἀνατολὰς ὁ φωστήρ, κἀγὼ γνόφου καὶ θυέλλης μεστός, καὶ ἡ τῶν ἀκτίνων σου λάμψις ἁπανταχοῦ, κἀμὲ σκότος κατέχει διηνεκὲς καὶ τῆς σῆς καθέστηκα αἴγλης ἀθέατος. Εἰ μὲν οὖν κολάζεις ἡμαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τηκότα, ἑτέραν πληγὴν ἐπινόησον· οὐ παραιτοῦμαι ξίφους ἀκμήν, κἂν εἰς θάλασσαν ῥίψαι θελήσῃς, οὐκ ἀποφεύξομαι, κἂν εἰς πῦρ ἐμβάλῃς, καὶ τοῦτο ἡδέως δέξομαι· ἔσομαι γάρ τι τῶν σῶν μηδὲν εἰδώς, μὴ δὲ αἰσθανόμενος, καὶ οἴσω μετρίως τὴν συμφοράν. Εἰ δ' εὐμενῶς ἔχεις, καὶ τοῦτο τεθαρρηκότως πεπίστευκα, τίς ἡ ὀλιγωρία, τίς ἡ παρόρασις;

Καὶ μή με οἴου θειότατε βασιλεῦ, ὅτι δόξης ἐλάττων εἰμὶ καὶ τῆς παρὰ βασιλεῖ συνουσίας, καὶ δέομαι λαμπροτάτης δορυφορίας· μὴ τοσοῦτον ἀπολαύσαιμι τοῦ θεοῦ, μὴ δὲ τοῦ τρυχίνου ἐνδύματος ὃ δι' ἐκεῖνον περίκειμαι καὶ δι' ὃν πᾶσαν τὴν λεγομένην εὐδαιμονίαν ἐβδελλυξάμην τε καὶ ἀπέπτυσα. Τί οὖν ἐστὶν ὃ ζητῶ, καὶ πλέον τῶν ἄλλων ἐρῶ; ἡ σὴ ψυχὴ βασιλεῦ, τὸ σὸν ἀπόθετον καὶ ἀπόρρητον κάλλος, ὁ σὸς ἀειφανὴς νοῦς, ἡ τῶν ἠθῶν σου χάρις, ἡ ἔμφυτος ἡδονή, ἡ γαληνότης, ἡ ἐν τῷ μετρίῳ ὕψωσις, ἡ ἐν τῷ μετεώρῳ ταπείνωσις, ἡ εὐθύτης, ἡ σταθηρότης, ἡ πρὸς πάντα κατάλληλος ἁρμονία, τὸ γλυκύ σου μειδίαμα, ἡ ἐπιτερπής σου προσλαλιά, τὸ ἱλαρὸν τῶν ὀμμάτων, ἡ τῶν ὀφρύων διάχυσις· ταῦτά με ἕλκει, ταῦτα ὥς περ ἰχθὺν ἀπὸ τοῦ τῆς φιλοσοφίας βυθοῦ τεθήρακε· διὰ ταῦτά σοι πρόσειμι βασιλεῦ, καὶ οὐκ αἰσχύνομαι φιλόσοφος ὤν, ἐν τοῖς πολλοῖς μέσος ὁρώμενος· ὁρῶ γὰρ καὶ τὴν σὴν βασιλείαν καὶ λόγου καὶ κάλλους ἐρῶσαν, καὶ τέχνης καὶ ἐπιστήμης, καὶ γνώμης μεστῆς οὔσης συνέσεως· διὰ ταῦτα τὴν συνουσίαν θαρρῶ, καὶ οὐ φεύγω τὴν ὁμιλίαν. Κἀγὼ μέν σε πάντοτε θηρῶν, οὔπω τεθήρακα, οὐ γὰρ κορέννυμαι τοῦ θηράματος, ἀλλ' ὅσον ἄν σε θηράσω, τοσοῦτον μᾶλλον ἐπιθυμῶ· οὐ γὰρ ὅλον ζωγρεῖν δεδύνημαι· ἄπλετος εἶ τὸ μέγεθος καὶ ψυχῆς καὶ τοῦ σώματος, καὶ οὔτε σε τοῖς ὄμμασι καταλαβεῖν δύναμαι, οὔτε τῇ τύχῃ συμπεριείληφα· οἰόμενος δὲ ὥς περ εὐθήρατον εἶναι ζωγρῆσαι φιλόσοφον, ἐφ' ἑτέραν θήραν ἐτράπης, καὶ γένοιτό σοι καὶ ταύτης τυχεῖν, καὶ μήτε σῦς ἄγριος ὑπὸ λόχμην κρυ-

βεὶς λάθοι σε, μήτ' ἔλαφος καταλαβὼν τὰ μετέωρα· ἰχνηλατοίη δέ σοι καλῶς καὶ ἡ Λάκαινα κύων, καταλαμβάνοιεν δὲ θᾶττον καὶ οἱ θηρευταί, καὶ μηδέν σοι σκῦλον εἴη θηρολετοῦντι, ἀλλὰ τέρποιο καὶ ἀγάλλοιο, καὶ τῆς θηροφονείας καταπαύοις εὔστοχα βάλλων, ἀκοντίζων, ἱππαζόμενος. Τεθαύμακα δέ σε κράτιστε βασιλεῦ, ὅπως καὶ τῇ παιδιᾷ παραμιγνύεις σπουδήν, καὶ συνάπτεις τὰ διεστῶτα, θηρατικὴν σύνοδον καὶ σεκρετικὴν συλλογήν, θηράματα ὄρεια καὶ σεκρετικὰ ζητήματα, δικῶν ῥοπὰς καὶ ἀκοντίων περιβολάς. Ταῦτα μὲν οὖν πλείονος λόγου καὶ μακροτέρων ἐγκωμίων, ἐγὼ δὲ μὴ φέρων σου τὴν διάστασιν, ἀνακαλοῦμαι τῷ γράμματι· ἔλθοις ἐφ' ἡμᾶς θειότατε βασιλεῦ, θᾶττον ὡς νοῦ τάχος, ὡς ἡλίου δρόμος, ἔλθοις μετὰ γαλήνης ὁ ἥλιος τῆς παμφαοῦς Βυζαντίδος μετὰ τοῦ εὐγενοῦς ἄστρου, ὥσπερ ἀνδροκτασίας ἀπὸ τῆς ἑσπέρας, οὕτω δὴ καὶ θηροφονείας ἀπὸ τῆς ἀνατολῆς κομίζων ἡμῖν.

## 7. Τῷ πρωτοσυγκέλλῳ.

[Ὁ]πότε σὺ σαυτὸν ἑρμηνεύεις καὶ τὴν σὴν ἐξηγῇ φύσιν, ἡγιασμένη ψυχή, ληροῦμεν πάντως ἡμεῖς ἐξ ἑτέρων σε χρωμάτων χαρακτηρίζοντες· διττοῦ γὰρ ὄντος τοῦ χαρακτῆρος ἑκάστῳ ἡμῶν, μᾶλλον δὲ τριττοῦ, ἵνα τι πλέον περὶ τούτου φιλοσοφήσω, ἔκ τε τῶν δύο ἐναντίων ἕξεων καὶ τῆς ἐξ ἀμφοῖν, ἐγὼ μὲν ἀπὸ ταύτης τῆς μέσης σε εἴκαζον, ὡς οἷα ψυχὴν χρωμένην σώματι,
φ. 193. διὰ ταῦτα ἑκάστῳ σοι τῶν μερῶν, ᾤμην δεῖν | προσεῖναί τι ἴδιον· σὺ δὲ ἀληθέστερον σεαυτὸν ἐπιστάμενος τὴν σὴν ψυχὴν ὅπως ἔχοι φύσεως ἀπεικόνισας· ἐγὼ δὲ ἄρα τοσοῦτον εἰμὶ γεώδης τε καὶ παχύς, ὅσον τὴν ἐμὴν νόσον, νόσον οἴεσθαι, καὶ πληγὰς μὲν τὰς πληγάς, τραύματα δὲ τὰ τραύματα, καὶ τἄλλα οὕτως ἐπὶ τῶν αὐτῶν ὀνομάτων καὶ δυνάμεων, ἐπειδὴ νενίκηκεν ἐκεῖνο τὸ Πυρρώνειον ἔπος, ὅτι πάντων μέτρον ἄνθρωπος, τῶν μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὄντων ὡς ἐστί, τῶν δὲ μὴ ὄντων ὡς οὐκ ἐστί· καὶ εἰ πνέοντος ἀνέμου τοῦ αὐτοῦ, ὁ μὲν ἡμῶν ῥιγοῖ, ὁ δ' οὔ, τῷ μὲν ῥιγοῦντι ψυχρὸν τὸ πνεῦμα φατέον, τῷ δὲ μὴ ῥιγοῦντι θερμόν. Ἐγὼ μὲν οἰήσομαι πληττόμενος πλήττεσθαι, καὶ δάκνεσθαι ἀνιώμενος, σοὶ δὲ οὐχ οὕτως ἔχει ἢ ἕξει τὰ πράγματα, ἀλλ' ὅπως ἂν πείσῃ καὶ δοξάσῃς αὐτός.

Ὅτι μὲν γὰρ τοῖς παρὰ σοῦ γεγραμμένοις ἀλήθεια ἕπεται, συνομολογήτω σοι καὶ αὐτός· δεινὸν δέ μοι ἄλλως ἐδόκει ὑψηλολογεῖν ἅμα καὶ ὑψηλοφρονεῖν· ἐπεὶ δέ σοι μετὰ τῆς δόξης καὶ τὸ ἐπὶ τῇ δόξῃ κράτος ἀπό . . . . . με, καὶ βάλλεις μὲν τὸν ἐνταῦθα βίον οὐ τοῖς ἀπὸ γλώττης μόνον σκώμμασιν, ἀλλὰ καὶ ταῖς πρὸς τοῦτον ἀποστροφαῖς τῆς ψυχῆς, ἐπαινεῖς δὲ καὶ τέθηπας τὴν ἐν περιστάσει ζωὴν ὡς μακαρίαν τε καὶ ἀκύμαντον, οὐ λέγων μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς πέτρας ἀναπαυόμενος ὥσπερ ἐπὶ στρωμνῆς μαλακῆς, καὶ τὸ μέν ποτε δόξαν πότιμον, ἄλμην θαλαττίαν ἡγῇ, τὸ δ' ἐν τοῖς πράγμασι πικρόν, ἡδύ τε καὶ νεκταρῶδες, ἔχου τοῦ σκοποῦ καὶ τοῦ δόγματος, καὶ κουφιζέτω σε τὸ πτερὸν ἐπὶ πλέον, καὶ μετεωριζέτω τὸ πνεῦμα, καὶ ἀναγαγέτω σοι τὸν νοῦν ὁ νοῦς, τὸν τῆς ψυχῆς ὁ θύραθεν, εἴτ' ἄγγελος οὗτος εἴη, εἴτε τὸ θεῖον πνεῦμα πρὸς ἑαυτὸ μεθελκόμενον.

Ἴσθι μέντοιγε, φίλτατε ἀδελφέ, ὅτι ἐπιλέλοιπεν ἡμῖν ἐκ χρόνου πολλοῦ τὸ τοιοῦτον τῆς φιλοσοφίας γένος, καὶ οὐδενὶ τῶν ἐπὶ τῆς ἐμῆς ἡλικίας ἀνδρὶ τοιούτῳ συγγέγονα, ἢ ἐντετύχηκα κατὰ τὴν ἀμείλικτον πρὸς τὰ τῇδε τοῦ νοῦ φύσιν βιοῦντι, ὥς τε μὴ δὲ σεσωματῶσθαι δοκεῖν· σοὶ δὲ νῦν ἐντυχὼν πρῶτον, ἄγαμαί σε τῆς φύσεως, ὅτι οὐχ, ὥς τις ἔφη, ἐν ἡμιόνοις μέσοις ἡμίθεος πέφυκας, ἀλλ' ἐν ἡμιθέοις ὀλίγοις θεός· εἴτε οὖν παρὰ φιλοσοφίας τοῦτό σοι ἐπορίσθη τὸ χρῆμα, εἴτε παρὰ θεοῦ φιλοσοφίας ὡς εἰπεῖν, τοσοῦτόν γέ μοι ἴσθι ὅτι σεραφικοῦ ἠξιώθης χαρίσματος. Ἔγωγ' οὖν φιλοσόφοις ἐντυγχάνων δόγμασι, παρ' οἷς

ἡ ψυχὴ τοῖς κρείττοσι παρέπεται γένεσιν, ἐθαύμαζον μέν, οὐ πάνυ δὲ ῥᾳδίως ἐπίστευον· νῦν δὲ πρώτως γνοὺς συνωμολόγησα, καὶ γέγονέ μοι πρᾶγμα τὸ δόγμα· δραξάμενος οὖν τῆς χρυσῆς ταύτης σειρᾶς, ἀπρὶξ ἔχου τῆς ἀκαθέκτου ταύτης γραμμῆς, κἂν ἕλκῃ τις ἄνωθεν φύσις ἀνιῶν μὴ στένῃς, μέχρις ἂν εἰς αὐτὴν τὴν ἐξωτάτην φθάσῃς περιωπήν.

## 8. Τῷ αὐτῷ.

Ἀπαιτεῖ μὲν ἡμᾶς ὁ ἀληθὴς τῆς φιλίας ὅρος, ἄνθρωπε τοῦ θεοῦ, αὐτῶν σοι τῶν συμφορῶν κοινωνεῖν, καὶ τῶν ἴσων σοι βαρῶν ἀνέχεσθαι· ἀλλ' ἐπειδὴ τῆς πρώτης φιλοσοφίας ὅρος τοῦτό ἐστιν, ἡμεῖς δὲ κάτω που ἔτι καὶ τὴν ὑπώρειαν τῆς κρείττονος βαδίζομεν, τὴν διὰ τῶν πραγμάτων σοι κοινωνίαν ἐκκλίνοντες, πρὸς τὴν διὰ τῶν λόγων παραμυθίαν τρεπόμεθα· οἶμαι δὲ καὶ τὴν σὴν ψυχὴν κρείττονα τὴν λογικὴν ἡγεῖσθαι παράκλησιν, ἢ τὴν διὰ τῶν πράξεων μετουσίαν· ἀλλὰ πρότερόν γε τοῦτο ἀλλήλοις συνομολογήσωμεν, ὅτι οὐ ταὐτόν ἐστι φιλόσοφος καὶ ἰδιώτης ἀνήρ, οὐδὲ λόγοις ἐντεθραμμένος καὶ τὴν ἄλογον τύχην ἠγαπηκώς· ὁ μὲν γὰρ αἰσθήσεσι καὶ ἐπιθυμίαις συζῇ, ὁ δὲ λόγῳ κρείττονι σύνεστι, καὶ μετὰ τῆς ἀσφαλοῦς ἐπιστήμης, τὰ μέν, ἐκκλίνει, τὰ δέ, αἱρεῖται· διὰ ταῦτα, τῷ μὲν ἀπαιδεύτῳ καὶ μηδενὶ ἑτέρῳ ἢ αἰσθήσεσι τὰ πράγματα κρίνοντι, βαρύ πως δοκεῖ ἡ ὧν ἐπιθυμεῖ ἀναίρεσις, καὶ ἀντέχεται, ταῦτα γὰρ μόνα οἶδε, καὶ μέχρι τῆς φαντασίας τούτῳ ἡ ἄνοδος· ὅθεν ἀλγεῖ, τὰ δοκοῦντα αὐτῷ ἡδέα σεσυλημένος· ἀνὴρ δὲ φιλόσοφος, ὁποῖος εἶ σύ, καὶ ἄνω βλέπειν δεδυνημένος, καὶ τὸν μετὰ σώματος βίον αἱρούμενος ὅσον ἀποζῆν, ἧττον ἀλγήσει, ἀντιπεριστάντων αὐτῷ τῶν πραγμάτων· οὐ γὰρ αὐτός τι πέπονθεν, ἀλλὰ τὸ προσηρτημένον αὐτῷ σῶμα καὶ ἡ κάτω ζωή, καὶ ὁ ἐν φαντασίᾳ βίος· ὁ γὰρ λόγος ᾧ συζῆν εἵλετο, ἀνάλωται ταῖς μετα-

βολαῖς, καὶ οὔτε φυγὴ τοῦτον αἱρήσει ποτέ, οὔτε πατρίδος στέρησις, οὐ χρημάτων ἀφαίρεσις, οὐκ ἄλλο τι τῶν ὅσα λυπεῖν οἶδε τὴν ἄλογον ζωὴν καὶ ἐν πάθεσι.

Διὰ ταῦτα, φιλοσοφωτάτη μοι τῷ ὄντι ψυχή, νῦν μᾶλλον εἴ πέρ ποτε τὸ φιλόσοφον ἐν οἷς πέπονθας ἐπιδείκνυσο, καὶ καθαιρεθείσης σοι τῆς ἐν δόξαις ζωῆς, ἀνίστασο πλέον ἐπὶ τὴν ἀληθεστέραν καὶ κρείττονα· ἐκ ψυχῆς γὰρ καὶ σώματος τὸ ἡμέτερον κρᾶμα, ἀλλ' οὐ τὸ συναμφότερον ἡμεῖς· ἀλλὰ ψυχὴ μὲν ἐσμέν, σῶμα δὲ προσηρτήμεθα, τουτὶ δὲ τὸ ἐφόλκιον βαρὺ μὲν ἄλλως καὶ γεῶδες, ποικίλον δὲ καὶ πρὸς πᾶσαν ἰδέαν μεταμορφούμενον ἄλογον|, συμμεταβάλλον δὲ ἔστιν ὅτε καὶ τὴν θείαν ψυχὴν φ. 193ᵛ. καὶ πρὸς τὸ ἀλογώτερον εἶδος μεταποικίλλον, ὕλῃ πρὸς ταῦτα χρώμενον τῇ ὑπερηφάνῳ τοῦ βίου παρασκευῇ· διὰ ταῦτα ὁ οἰκονομῶν τὰ ἡμέτερα λόγος ὑφαιρεῖ τι τῆς ὕλης, ἢ παντάπασιν ἀφαιρεῖ, ἵνα δώσει πτερὰ τῇ ψυχῇ καὶ κουφίσῃ πρὸς οὐρανόν.

Τοιοῦτόν τι καὶ αὐτὸς πέπονθας, μᾶλλον δὲ τοιαύτης προνοίας ἠξίωσαι· καὶ νῦν ἔστι σοι μετὰ θεοῦ ἡ ψυχή· ἀρκετὸν μὲν γὰρ αὐτῇ καὶ τὸ σῶμα πρὸς μετουσίαν τοῦ χείρονος, ἡμεῖς δὲ διπλασιάζομεν αὐτῇ τὴν κακίαν, καὶ μετὰ τοῦ σώματος καὶ τὰς ἔξωθεν κακίας ἐπιτιθέαμεν, φαντασιοσκοποῦντες αὐτῇ τὸ τῆς ἀληθοῦς ζωῆς εἴδωλον, καὶ μορφοῦντες τὴν ὕλην καὶ οἱονεὶ δελεάζοντες, καὶ διὰ τῆς ἐπικειμένης μορφῆς πρὸς τὸ ἀδιατύπωτον καταχέοντες αἶσχος. Ὅθεν ὁ προμηθούμενος ἡμῖν τὴν σωτηρίαν θεὸς τὰς ἀφορμὰς ἀφαιρεῖ τῆς ἐπὶ τὰ χείρω φορᾶς τῆς ψυχῆς, καὶ ἐλευθερίαν ταύτῃ μνηστεύεται διὰ τῆς τῶν κατεχόντων ἀπαλλαγῆς· λέλυται γοῦν σοι ὁ τῆς ἀπάτης δεσμός, καὶ ἐλευθερωθεὶς καθαρῶς ἀπέπτης πρὸς τὸν θεόν.

Οὐ πᾶσιν ὁμοία ἡ μετὰ τοῦ σώματος ζωὴ πέφυκεν, ἀλλὰ τοῖς μέν, πάντῃ τὸ τῆς ψυχῆς ὄμμα ἀπετυφλώθη, τῇ ὕλῃ καταχωσθέν, ὧν οὔτε θεὸς ἐπιστρέφεται, οὔτε λόγος ἐγείρειν δεδύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

νηται· οἱ δέ, ἐξ ἡμισείας κεκράτηνται, μᾶλλον δὲ τῷ πλείονι μέρει ἀνεῖνται καὶ πλείων αὐτοῖς πρὸς θεὸν ἡ ῥοπή· εἰς ὃ δὴ μέτρον καὶ τὴν σὴν ἐγὼ ζωὴν τίθεμαι· τούτων καὶ θεὸς κήδεται, καὶ ὁ λόγος δύναμιν ἔχει πρυτοῖς? πρὸς τὴν μετάθεσιν. Ὅλον οὖν σε ὁ λόγος προσείληφε τὸν πρὸς τὰ τῇδε δεσμὸν λελυκώς· μὴ τοίνυν ἄριστε φιλοσόφων, πρὸς τὴν λύσιν δυσχανασχέτει, μὴ δὲ οἴου τὴν προμήθειαν, ἐγκατάλειψιν, ἀλλὰ τὴν πρὸς τὰ δοκοῦντα χείρω μεταβολήν, τροπὴν οἴου πρὸς τὰ ὡς ἀληθῶς κρείττονα.

Οὐ διφυής ἐστιν ἡμῶν ἡ ψυχή, ὥς τε τὸ μὲν ταῖς κάτω ὑπηρεσίαις δουλεύειν δύνασθαι, τὸ δὲ πρὸς τὴν θείαν ζωὴν μετατίθεσθαι, ἀλλὰ μονοειδῶς ἔχει τῆς φύσεως, καὶ εἰσὶν αὐτῇ ἐφ᾽ ἑκάτερα τροπαί, ὥς περ πλαστίγγων ῥοπαί· διὰ ταῦτα, νῦν μὲν μετέωρος ἵσταται, νῦν δὲ δῦσα κατὰ τοῦ σώματος, ὅλῳ βάρει πρὸς τὸν τοῦ βίου τούτου κατώλισθε βόθυνον. Σὺ δὲ βιάζου μερίζειν αὐτήν, καὶ τῷ μὲν πλείονι μέρει ἐπόθεις θεὸν καὶ ἡρπάζου πρὸς αὐτὸν δι᾽ εὐχῆς, τῷ δ᾽ ἐλαχίστῳ ἐδίδως τι καὶ τῷ σώματι· ἀλλ᾽ ὁ τῆς σῆς ψυχῆς ἐραστὴς ἐζηλοτύπησε καὶ πρὸς ἕτερον μεταφερόμενον ἐραστήν· διὰ ταῦτα τὴν σωματικήν σοι ἀποσκευάσας ζωήν, ὅλον πρὸς ἑαυτὸν ἐφειλκύσατο. Μάγος ἐστίν, εἴ με οὕτω δεῖ λέγειν, ἡ τοῦ πολυμόχθου τούτου βίου ζωή· ἐπεὶ γὰρ οἰκείου ἀπορεῖ κάλλους δι᾽ οὗ θέλγειν ἡμᾶς δυνήσεται, ἴυγξί τισι καὶ θελγήτροις καὶ κομμωτικοῖς μορφώμασι καὶ κάλλεσιν ἐπιθέτοις, καὶ κατατέχνοις ἰδέαις πρὸς ἑαυτὴν ῥέπειν ποιεῖ· ἀλλ᾽ ὅγε θεὸς ἀνακαλύπτει τὸ αἶσχος αὐτῆς, τὴν ἐπίπλαστον ἀφαιρούμενος καλλονήν, καὶ ἀπελέγχων αὐτῆς τὸ δρᾶμα καὶ ὑποδεικνὺς τὴν ὑπόκρισιν. Ὅρα γοῦν ὅπως σοι νῦν ὁ πρῴην βίος μεμίσηται· ἀφῄρηται γὰρ αὐτοῦ τὸ κάλλος, καὶ τὸ χρῶμα ἠχρείωται· ὅθεν τὸ αἶσχος μόνον ὁρῶντί σοι, ἐκ τοῦ εἰκότος ἕπεται μισεῖν σε τοῦτον καὶ ἀποστρέφεσθαι.

Πότερον οὖν βούλει, λογιώτατε ἀδελφέ, φιλόθεον, ἢ φιλό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

κοσμον ὀνομάζεσθαι, φιλόσοφον, ἢ φιλόϋλον; πάντως ἂν εἴπης τὰ πρῶτα· ταῦτα δὲ νῦν σοι καθαρῶς πάρεστιν. Ὅρα γοῦν οἷα ἀνθ' οἵων ἠλλάξω· φιλοσοφίαν, ἀντὶ χρημάτων περιουσίας καὶ κτημάτων περιβολῆς, φιλοθεΐαν, ἀντὶ τοῦ πρὸς τὰ χείρονα ἔρωτος, τὴν μετὰ τῶν ἀγγέλων ζωήν, ἀντὶ τῶν πολλῶν δορυφόρων, τὸ ἀγχοῦ ἑστᾶναι θεοῦ, ἀντὶ τῆς πρὸς τὸν κάτω βασιλέα οἰκειώσεως καὶ φιλίας. Οὐκ ἀγνοεῖς μὲν γὰρ ὅσοι ἐρεῖν βούλομαι, ἐρῶ δὲ ὅμως. Μέχρις ἂν μετὰ τοῦ σώματος ἡμῶν ἡ ψυχὴ ζῇ, ἴση πως τοῖς πᾶσι δοκεῖ, ἀπαλλαγείσῃ δὲ ἡ ῥοπὴ τοῖς μὲν φιλοσοφήσασιν, ἄνω, τοῖς δὲ ἀφιλοσόφως ζήσασι, κάτω· μὴ οὖν ὅτι καὶ αὖθις κατέχῃ τῷ σώματι καὶ οὐδέν σοι μέγα μετὰ τὰς ἀβουλήτους περιστάσεις συμβέβηκε, σκόπει, ἀλλ' ὅτι συμβήσεται καθαρῶς, ἔλπιζε, εἴγε κατὰ τὰς θείας ἐλπίδας πεπολιτεύμεθα.

Ἔγωγ' οὖν μαργαρίτῃ σοι πάλαι ἀπείκαζον τὴν ψυχήν, λευκὸν μὲν καὶ τότε, ἀλλ' ἐκ μέρους καὶ κηλίσι κατεστιγμένον τισί, νῦν δὲ ὅλην ὁρῶ, οὐ τῶν στιγμάτων μόνον ἀπηλλαγμένην, ἀλλὰ καὶ ἀκριβῶς ἐσφαιρωμένην καὶ πρὸς θεὸν ἄνω πεμπομένην· μᾶλλον δὲ ἵνα τί σοι καὶ τῶν ἀπορρητοτέρων εἴπω, οἱ ἐκ τῆς ἀσκήσεως ἧλοι, ὀδυνηροὶ μέν, ἀλλὰ καὶ γλυκεῖς, ἡ δὲ τοῦ μαρτυρίου μάστιγξ ὅλη δριμεῖα καθέστηκεν· ὅθεν γυμνάσας σε τῷ προτέρῳ βίῳ ὁ θεός, πρὸς τὸν κρείττονα νῦν μετήγαγεν, ἵνα καὶ τοῖς κατὰ γνώμην καὶ τοῖς παρὰ γνώμην βασανίσας ἀθλήμασι, διττῆς ἀξιώσειεν ἀναρρήσεως. Οὐ τοίνυν κατεβίβασε τῶν ὑψηλῶν θρόνων, ἀλλὰ πρὸς τοὺς ὑψηλοτέρους ἀνήγαγε, καὶ γέγονέ σοι ἀνάβασις ἡ κατάβασις, καὶ συνέσφιγξε δή σε | καὶ οἷά φ. 194.
τισι πιέσμασι ταῖς τῶν ὀδυνώντων περιπλοκαῖς, ἵν' ὥσπερ οἱ πυρρῆνες διὰ τοῦ τῶν δακτύλων πιέσματος πρὸς οὐρανὸν ἀφεθῇς, οἷα δὴ βέλος ἐντέχνου τοξότου χειρὶ πρὸς τὸν ἄνω σκοπὸν ἀποτοξευθῇς.

Ἐγὼ δέ τινι βραχεῖ ζήλῳ τῷ πρώην σου βίῳ ἑπόμενος, νῦν τοῦ ἐφεστηκότος ἐπιθυμῶ, καὶ λίαν σε τῆς μακαρίας ταύτης

ἐκθειάζω μεταβολῆς, οἷα δὲ ἴσως μικρόψυχος τὴν ἴσην ἀποφεύγω σοι ἀγωνίαν· ἀλλ' οὐ διὰ ταῦτα ἐν τοῖς ἀζήλοις αὐτὸς καθέστηκας, ἐπεὶ καὶ τοῖς μάρτυσιν ἀθλοῦσι μὲν συνηδόμεθα, κοινωνεῖν δὲ τῶν βασάνων οὐ πάνυ δυνάμεθα.

Ἴσθι δὲ φιλτάτη ψυχή, ὅτι τοὺς παρόντας λόγους οὐ πλάττομεν νῦν, οὐδ' ἐξ ἑτέρας μεταβεβλήμεθα ἕξεως· ἀνακαλύπτειν δέ σοι τὰ τῆς ψυχῆς περιττὸν ἴσως τηνικαῦτα ἐδόκει· νῦν οὖν ὅτε καιρός, καὶ τὸν φίλον ἀποδεικνύομεν, καὶ ἀπομνημονεύομέν σου οὐκ ὀλίγων τῶν πρὸς ἡμᾶς χαρίτων· καὶ νῦν μέν σοι τὴν διὰ λόγων παραμυθίαν διδόαμεν, ταμιευσόμεθα δέ σοι καὶ καιρὸν εὔθετον πρὸς τὸν μέγιστον ἡμῶν αὐτοκράτορα, ἐν ᾧ τοὺς ὑπὲρ σοῦ λόγους τεχνικώτερον πρὸς αὐτὸν ἀποσχεδιάσομεν, ἵνα σὺ μὲν τὸ κατάλληλον ἔχῃς ἐγκώμιον, ἐκεῖνος δὲ τὴν ἀνάλογον τῇ εὐφημίᾳ ἀποδῷ εὐθυμίαν.

## 9. Τῷ αὐτῷ.

**Μήποτε** ἄρα, θεία ψυχή, σὺ μὲν τὴν ἀσώματον οἶδας διάλεκτον καὶ διὰ τῶν νοημάτων συγγίνῃ τοῖς νοητοῖς, ἡμεῖς δὲ μάτην γλώσσῃ καὶ πνεύματι χρώμεθα καὶ γράμμασι τὰς τῆς ψυχῆς σοι γνώμας ἐνσημαινόμεθα; ἰδοὺ γάρ σοι τὰς πάσας μετηλλαξάμην φωνάς, βαρβαρίσας, ἑλληνίσας, ἀττικίσας, ἵν' εἰ μὴ ταύτῃ, ἀλλ' ἐκείνῃ ἢ τῇ ἑτέρᾳ ἀνθομιλήσεις καὶ ἀντιφθέγξαιο, σὺ δ' ἄρα ἐλελήθεις ἑτέρους λόγους εἰδὼς ἁπλοῦς τε καὶ ἀσυνθέτους καὶ μὴ οὓς αὐτοὶ ἴσμεν, τοὺς ἐξ ὀνομάτων καὶ ῥημάτων φημί· ὁπότε δὲ καὶ οὕτως ἔλαχες φύσεως ἢ προαιρέσεως, ἐχρῆν τοὺς ἰσοπολίτας σοι ἀγγέλους μιμήσασθαι καὶ ἀνθρωπικῶς ποτε φθέγγεσθαι· οὐχ ὁρᾷς δὲ ὅτι καὶ τὸ θεῖον τῇ καθ' ἡμᾶς ἡμῖν διαλέκτῳ συγγίνεται, καὶ ἐρωτώμενον πρὸς ἔπος δίδωσι τὴν ἀπόκρισιν; εἰ μὴ ἄρα τὰς τῶν μάγων φήσεις ἴυγγας· ἐκεῖνοι γὰρ μόνοι πλαταγίζουσί τε καὶ καναχίζουσι τὰς γένυς συγ-

κλείοντες, σὺ δ' οὐδὲ τοσοῦτον δίδως. Καὶ ὁ μὲν Ἀπόλλων ὅτι μὴ χρᾷ τοῖς πολλοῖς ἐγκαλούμενος τὴν τῆς οττείας ᾐτιᾶτο παρασκευήν, σὺ δὲ τίνος ἂν τῶν ἡμετέρων καθάψαιο; οὐχὶ γὰρ κατὰ καιρὸν τοὺς λόγους σοι προσηνέγκαμεν; οὐ φιλοσόφως σὲ ἠρωτήκαμεν, οὐ περὶ φιλοσόφου πράγματος; αἱ δὲ συνθῆκαι τῶν ἐρωτήσεων; τὸ δὲ σχῆμα τῆς λέξεως; αἱ δὲ τῶν ἐννοιῶν ἐπιβολαί; τὸ δὲ τῆς αἰδοῦς; σὲ δὲ ποῦ τεθείκαμεν; οὐκ ἔξω τῆς πρώτης περιφορᾶς; οὐ μετὰ τῶν πηγαίων θεῶν; οὐ μετὰ τῶν ἀζωναίων, ἢ τῶν ἐν ζώναις, ἵνα τι καὶ βραχὺ χαλδαΐσωμεν; Εἰ δὲ τῷ πατρικῷ κατεπόθης βυθῷ, ἐμμενῶ γὰρ ἔτι τοῖς τοῦ ἔθνους διδάγμασιν, ἀλλ' ἐγώ σε καὶ τὴν ἐσχάτην ζώνην ἐθεώμην περιπολοῦντα, εἰ μὴ ἄρα τὸ μέν, δίδως θεῷ τοῦ κράματος, τοῦ δὲ κοινωνεῖς τοῖς κάτω ἡμῖν, ὥςπερ τὸν Ἡρακλέα ὁ λόγος, καὶ ὁ ποιητὴς τῷ λόγῳ συντίθεται.

Εἰ δὲ βάρβαρος ἦν, εἶτα βαρβάροις ὡμίλουν, οὐκ ἂν οἴῃ τούτους βαρβαριστί με προσφθέγξασθαι; εἰ δὲ πίτυς, εἰ δὲ κυπάριττος, ἀντήχησαν ἄν μοι ἠχοῦντι αἱ ἐκ γειτόνων πίτυς καὶ κυπάρισσοι. Ὁπότε δὲ Ἀττικὸς ἀνὴρ ἐμμελεῖς ἀποτίκτων λόγους, Ἀττικῷ, εἰ βούλει, διαλεγόμενος, ἐξ ἡμισείας ποιοῦμαι τοὺς διαλόγους, μᾶλλον δὲ ληροῦντι ἔοικα πρὸς οὐδένα τὴν συνουσίαν ποιούμενος, τί ἂν οἴῃ με πάσχειν; οὕτω σοι ἐν καρὸς μοίρᾳ κείμενος· καὶ καπνὸς μὲν πῦρ ἐκκαλεῖται, κἀντεῦθεν ἡ σβεσθεῖσα θρυαλλὶς ζωπυρεῖται, ἐγὼ δὲ πῦρ ὢν οὐδ' ὅσον καπνοῦ σοι μετείληφα· ὁποῖον δέ σοι καὶ τὸ ἰσοτίμως πάντας ὁρᾶν; Θαυμάζω δὲ ὅπως θεῖος ἀνὴρ ὢν τὰ θεῖα ἠγνόησας· ἐν ἐκείνοις γὰρ τὸ μέν, τι πρῶτόν ἐστι, τὸ δὲ μετ' ἐκεῖνο, καὶ αἱ σειραὶ οὕτως ἐρρύησαν καὶ μέχρι τῶν ἐσχάτων οἱ λόγοι καταβαίνοντές τε καὶ ἐλαττούμενοι, τὸ δὲ τὰ πρῶτα τοῖς ἐσχάτοις ἴσα ποιεῖν, ἀκοσμία καὶ ἀταξία. Ἢ διατί σὺ πρὸ ἡμῶν ἀξιοῖς ἐγγὺς ἑστάναι τοῦ θείου, καὶ τῶν πολλῶν συγκεκυφότων τοῖς πράγμασιν, αὐτὸς ἀθρόον μετεωρίζῃ καὶ τοῖς κρείττοσιν ὁμιλεῖς γένεσιν; Ἀλλὰ

καὶ ὁ ἀὴρ πλέον ἡμῶν πεφώτισται ὅτι μᾶλλον ἐγγίζει τῷ θείῳ φωτί, σὺ δ᾽ ἄρα ἡμᾶς ἐν ἴσῳ ταῖς ἐλπίσι καταπυρσεύεις, εἶτα δοκεῖς προὔργου τι πρὸς ἀρετὴν ποιεῖν; τὰ δὲ τῆς ἀναλογίας ποῦ; ἀνῄρηται δέ σοι καὶ τὰ μέτρα τῶν διατάξεων, καὶ οὐδαμοῦ τάξις, ἀλλ᾽ ἀλογίας πάντα μεστὰ καὶ συγκέχυται;

Ὡς θαυμάσομαί σου τὸ πρός με κοινωνικόν, εἰ παμπληθῆ μοι τὴν ἑστίαν ποιήσειας καὶ κατ᾽ ἶσόν με τῷ Σκύθῃ τιμήσειας· ἡ δέ μοι πολλὴ περὶ τοὺς λόγους διατριβή, μάτην ἄρα ἐσπούδασται, εἰ ἔξεστί μοι ἐν ἴσῳ τοῖς ἡμιόνοις συγκοινωνεῖν σοῦ τοῦ πρώτου λογίου καὶ διὰ λόγου τῷ λόγῳ προσομιλοῦντος;

Ἦσάν ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι, ἡνίκα τοῖς ἐμοῖς λόγοις ὡς θείοις ὡμίλεις χρησμοῖς, καὶ τὴν γλῶτταν ἐθαύμαζες σχεδιάζουσάν τε καὶ ὑψηλολογοῦσαν ὁμοῦ, νῦν δέ σοι καὶ ἀγνοούμεθα τὰ πολλά, καὶ περὶ ἡμῶν ἑτέρων πυνθάνῃ, καὶ τοῖς ἐγκωμιάζουσιν ἀπιστεῖς· καὶ πάλαι μὲν ὥςπερ δὴ λόγιον τὴν ἐμὴν ἀπεγράφου φωνήν, νῦν δὲ ἐμφράττεις τὴν ἀκοὴν εἴ τί που φθέγξομαι, δεδοικὼς ἄρα τῶν ἐμῶν λόγων τὸ θέλγητρον μήπως
φ. 194ᵛ. δή σε καταμαγεύ|σας ἀπέλθω. Ἀλλὰ θάρρει, κρείττων εἶ τῶν ἐμῶν ἐπῳδῶν· θυραυλοῦσι γάρ σοι οἱ ἐμοὶ λόγοι, ἀλλ᾽ οὐκ εἰσρέουσι τῇ ψυχῇ· ἐγὼ δέ σε καὶ τῆς θυραυλίας ἀφίημι, καὶ στραφεὶς ὁμίλει θεῷ· ἡ γὰρ κλίμαξ σοι πρόχειρος, καὶ οὐδέν σοι τὸ κατιέναι, ἀναβαίνεις γὰρ αὖθις ὁπότε καὶ βούλοιο.

## 10. [Ἀνεπίγραφος].

Ἐκίνησά τινα χορδὴν ὡς συνεβούλευσάς μοι διὰ τοῦ Λίζικος, λογιωτάτη φύσις, πρὸς τὴν τοῦ πρωτοσυγκέλλου ψυχήν, ἡ δὲ χορδὴ τῶν μέσων· ἔστι γάρ τι διάστημα μουσικὸν μέσον ὀνομαζόμενον μετὰ τὸ ὑπατοειδὲς εὐθὺς κείμενον, λέγω δὲ οὐκ ἀκαίρως φιλοτιμούμενος οὐδὲ θηρώμενος ὀνομάτων καινότητας, ἀλλ᾽ ὅτι ὁ ἀνὴρ τὰς ἀκρότητας φεύγων ἐξ ἀμφοτέρων

συγκέκραται· καὶ τὸ μέν, σεμνός, τὸ δέ, χαρίεις ἐστί· μεμίμηται οὖν αὐτῷ τὸ ἦθος ὁ λόγος φιλόσοφον μὲν ὑποβεβλημένος ὑπόθεσιν, ἀπαγγέλλων δὲ τεχνικῶς. Οὐκ ἄκαιρον δὲ καὶ τὸ ἐρώτημα ὥς γέ μοι φαίνεται· τὸ γὰρ περὶ τοῖν δυοῖν ἀμφιβάλλειν με βίοιν, δίδωσιν ἐννοεῖν ὡς οὐδὲ τὸ ἕτερον μέρος, ὃ αὐτὸς διέξεισι τῷ λόγῳ ἀπόστροφον. Οἶδα μὲν οὖν ὅτι εὐθὺς ἀκούσας ἀποστραφήσεται· τοῦτο γὰρ αὐτῷ σύνηθες ἐπὶ παντὸς λόγου καὶ πράξεως τὸ προοίμιον· ἀλλ' αὐτὸς μάγον τινά μοι τέχνην μεταχειρισάμενος κατάγαγε τὴν σελήνην, ἢ συνάγαγέ μοι τὸν κύκλον ἐκείνης πρὸς τὸ τοῦ γράμματος ἄγγος. Εἰ δὲ μὴ ὁ καιρὸς ἐπεῖχε, καὶ ἐπῳδὴν ἄν σοι ἀπεστομάτισα βαρβάροις ἐκτεθειμένην φωναῖς· ἀλλὰ ταῦτα μὲν ὕστερόν ποτε μαθήσῃ, νῦν δέ μοι ἡ τοῦ σελεμνίου γενέσθω μετάθεσις· τὸ δὲ πιττάκιον ὅμοιον ἔστω ᾧ τῷ πατρικίῳ τῷ Λίζικι αὐτὸς ὑπηγόρευσα.

## 11. [Ἀνεπίγραφος].

Καὶ σιγᾶν καὶ γράφειν ἄμφω με ποιεῖν ἠνάγκασεν ὁ καιρός· ἐσίγησα μὲν γὰρ πρότερον, ἵνα παρὰ σοῦ λάβω τοῦ λόγου τὸ σύνθημα, γράφω δὲ νῦν ἵνα σε πρὸς τὸ λέγειν αὐτὸς ἐκκαλέσωμαι· ἐν αἰτίᾳ μὲν γὰρ ταῦτα, ἀλλὰ παρὰ τὰς ἐνηλλαγμένας αἰτίας καὶ τοῦ καιροῦ τὸ διάφορον, φεύγει τὴν ἐναντίωσιν. Ἐρωτῶ οὖν σε πρότερον αὐτὸς τῆς σιωπῆς τὴν αἰτίαν, ἵνα τὴν τοῦ γράφειν ὕστερον ἀποδώσω σοι· εἰ μὲν γὰρ ἐπ' ἄλλῳ τινὶ μᾶλλον, ἀλλὰ μὴ τῇ τῶν λόγων ζῶν τυγχάνεις φορᾷ, τάχα ἂν σέ τις ἀφῆκε μέμψεως, ὅτι τοῦ τοιούτου σπουδάσματος ἀμελεῖς πρὸς ἑτέροις ἔχων τὸν νοῦν· ἐπεὶ δ' ἔλαττον τὸν ἀέρα, ἢ τοὺς λόγους ἀναπνεῖν ἔοικας, μετεσχημάτισται δέ σοι καὶ ἡ γλῶττα, ὥσπερ τοῖς ἄλλοις πρὸς τὸ ἁπλῶς λέγειν, οὕτω δή σοι πρὸς τὸ ἀττικίζειν, τί ποτε ἄρα τὸ αἴτιον τῆς πρὸς ἡμᾶς ἀφωνίας; Εἰ μὲν γὰρ ἀρχὴν νῦν φιλίας τιθέμενος τὸν τῆς ὁμιλίας καιρόν,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὅπως δὴ κατὰ λόγον γένοιτο ἐδοκίμαζες, εἶχεν ἂν λόγον ἡ σιωπή· ἐπεὶ δὲ ταῖς ἀντιδιαθέσεσι καταγεγηράκαμεν, διατί ὡς νῦν πρῶτα τὴν τῆς φιλίας βάσιν πηγνύμενος περὶ ἡμῶν διανοῇ, καὶ τὸν καιρὸν ἐξετάζεις τοῦ λέγειν, ὃς δὴ πάλαι ἐξήτασται καὶ πρὸς τὴν ὁμιλίαν ἠκρίβωται; μαντεύσομαι οὖν ὅπερ ἐρεῖς ἀπολογούμενος πρὸς ἡμᾶς· φιλόσοφος γὰρ ὢν ἀνὴρ καὶ ψυχῇ τὰ πλείω διδούς, ἀλλὰ μὴ γλώσσῃ, ὡς καὶ ὁρᾷς καὶ ὁμιλεῖς, μήτε σώματι ἡμῶν διατειχιζόμενος, μήτε τόπῳ περιγραφόμενος· τί δὲ μόνοις ἄρα τοῖς φιλοσόφοις ὑμῖν ἡ γλῶσσα ἐγκαταλέλειπται; ἐχρῆν δὲ οὐκ ἀφώνους μόνον, ἀλλὰ καὶ ἀχείρους ὑμᾶς γεγονέναι, ἵνα μήτε λέγειν δύνησθε, μήτε γράφειν.

Ἀληθὴς μὲν γὰρ ὁ λόγος, ὅτι σοφίζεταί τις τὴν τοῦ ἀπόντος ὄψιν, φαντασιούμενος αὐτὴν καὶ τυπούμενος· οὐ μὴν ἀρκεῖ πρὸς εὐφροσύνης λόγον ἡ φαντασία, ἀλλὰ τοῦ ἐμψύχου προσώπου εἴδωλόν ἐστι τὸ εἰκονιζόμενον· κἂν φωνὰς ἀναπλάσῃς, κἂν ἄλλό τι τοῦ ἀφεστηκότος, ἐλάττονα πάντα τῆς ἀληθείας καὶ βραχεῖα παραμυθία ψυχῆς· οἷς μὲν γὰρ οὐκ ἔξεστι λέγειν, οὐδ' ἐπιστέλλειν, αὐτάρκης ἴσως ἡ τοῦ λέγειν ἀνάπλασις, οἱ δ' ἀμφοῖν ἐν ἐξουσίᾳ ὄντες, διατί ἐξὸν ἀληθίζεσθαι, εἵλοντο ψεύδεσθαι. Εἰ μὲν γὰρ ἄνευ τῶν σωμάτων ἐζῶμεν, περιττὸν ἂν τὸ λέγειν ἐτύγχανεν ὄν· ἐπεὶ δὲ δέδεται ἡμῖν ἐν τούτοις τὰ νοήματα τῶν ψυχῶν, καὶ οὐ χωρεῖ ἐπ' ἐξουσίας πρὸς ἄλληλα, ἑπόμεθα τῷ νόμῳ τῆς φύσεως, καὶ παρόντες μὲν διὰ τῆς κατὰ πρόσωπον ὁμιλίας, ἀπόντες δὲ δι' ἐπιστολῶν ὁμιλήσομεν· δύο γὰρ δυσὶν ἀποδέδοται, λόγος καὶ γράμμα, ἑνώσει καὶ διαστάσει· τὸ μὲν πρῶτον τῷ πρώτῳ, τὸ δὲ λοιπὸν τῷ δευτέρῳ· καλλίονα δὲ τῶν δευτέρων τὰ πρῶτα· πλὴν ἀλλ' ἐγώ τι τῷ γράμματι πλέον χαρίζομαι· μάλιστα γὰρ τὸν φίλον ἀπεικονίζεται καὶ τὸν χαρακτῆρα δείκνυσι τῆς ἐκείνου ψυχῆς. Ὁ μὲν γὰρ ἁπλοῦς λόγος κατὰ τὸ ἐπιτυχὸν ἀπαγγέλλεται καὶ οὐ μάλα σαφηνίζει τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λέγοντα· ὁ δ' ἐπιστολιμαῖος τὴν ἐνδιάθετον μορφὴν ἀποτυποῦται τοῦ γράφοντος· ποῦ δὲ ἐν ταῖς ἁπλαῖς ὁμιλίαις κάλλος, ἢ συνθήκη φράσεως, ἢ ἁρμονίας ἐμμελοῦς ἔμφασις; οἱ δὲ τῆς ἐπιστολῆς τύποι τὰς τοιαύτας ἀναμάσσονται χάριτας, καὶ μᾶλλον εἰσδύνουσι τὰ γράμματα ταῖς ψυχαῖς, ἢ εἴ τις αὐτὰ τὰ πράγματα φέρων ἐνήρμοζεν.

Ὁρᾷς ὅπως ὁ λόγος τὴν τῆς ἐπιστολῆς ἐπῆρε μορφήν, κατόπιν ταύτης τὴν ὁμιλίαν ἀφείς; Σὺ δὲ ἀξιοῖς εἰ μὴ ὁμιλεῖν, ἔξεστιν ἄλλως μὴ φθέγγεσθαι· ἀλλ' εἰ μὲν τοῦτο μόνον ἡδύνω ὥς περ οἱ τοὺς λόγους στωμύλλοντες, τοῦ δὲ γράφειν ἐλάττων καθέστηκας, οὐκ ἄν σου τὴν σιωπὴν ἐμεμψάμην· ἐπεὶ δὲ ὥς περ ἐν ἴσῳ ζυγῷ καὶ σταθμῷ, πρὸς μὲν τὴν ὁμιλίαν ὁ ἁπλοῦς σοι λόγος ἠκρίβωται, πρὸς δὲ τὸ γράφειν ὁ ἐπιστολιμαῖος ἐξίσταται χαρακτήρ, ἐχρῆν ὥςπερ ἐχαρίζου προσομιλῶν, οὕτω δὴ εὐφραίνειν καὶ ἐπιστέλλων.

Τοιοῦτον ἡμῖν τὸ τοῦ λόγου γέγονε δικαστήριον· κατηγόρηκα μὲν γάρ, πρὶν δέ σε ἀπολο|γήσασθαι, τήν τε ἀπολογίαν φ. 194.*
ἀνεπλασάμην σοι καὶ τὰς αὐτῆς διελυσάμην ἀνάγκας, σὺ δ' ἴσως πρὸς ἑτέρας ἀντιλογίας χωρήσεις, ὅτι τῶν πραγμάτων ὅλος γενόμενος, ἐκείνοις τὴν πᾶσαν καταναλίσκεις φροντίδα, ἐν δευτέρῳ τοὺς φίλους ποιούμενος.

Εἰ μὲν οὖν ἄλλό τι φιλίας σοι κρεῖττον ἔδοξε, τοῦτο δίδασκε καὶ σιγήσομαι, εἰ δ' οὐκ ἀφῆκας τὰς τῶν κρειττόνων δόξας, ἀλλ' ἔτι μεμένηκας ἡμῖν ὑγιῶς ἔχων περὶ τὰ δόγματα, οὐκ ἔστιν ὅ, τι ἄν τις μεῖζον κατηγορήσῃ σου. Ἀλλ' οἶμαι σόφισμά σοι τοῦτο προβεβλῆσθαι πρὸς τὰς μέμψεις εὐφυέστατόν τε καὶ γενναιότατον· δεικνύεις γὰρ τὸν λόγον ὥςπερ τῆς πηγῆς τὸ μετοχετευόμενον, μηκέτι ἐπ' ἄλλο μέρος ἐπιρρεῖν δύνασθαι· ἀλλὰ κἂν τοῦτο δοίημεν, ὁ λόγος διάφορος· τὸ μὲν γὰρ ὕδωρ σῶμα τυγχάνον, ἢ μεθίσταται, ἢ λεπτύνεται μεριζόμενον, ὁ δέ γε λόγος πανταχόσε μετακλινόμενος, ἐν ᾧ μερίζεται μᾶλλον

παχύνεται· δυναμοῦται γὰρ ἐν τοῖς μερισμοῖς· ἡ γὰρ πηγὴ τῆς ψυχῆς, ἀφ᾽ οὗ καταρρεῖ τοῖς ὀχετοῖς, ὥς περ ὀφθαλμὸν ὑπανοίγεται.

Ἄλλοις μὲν οὖν ἴσως οὐκ αὐτάρκης ὁ λόγος ἐπ᾽ ἀμφότερα διαιρούμενος, σὺ δὲ ὁ δώδεκα ὅλοις κρουνοῖς τὸ στόμα ἐμπλατυνόμενος, πῶς ἔλαττον ἕξεις ἐφ᾽ ἑκάτερα τὰ μέρη τὸ ῥεῦμα τοῦ λόγου ἀφεῖναι ἀναγκαζόμενος; εἴπω οὖν αὐτὸς τὴν αἰτίαν, ὅτι σιωπᾶν εἵλου νῦν τοῦτο δοξάσας πρὸς ἡμᾶς· αἱ τύχαι σου τὰς γνώμας μετήλλαξαν, καὶ ἡ τοῦ βίου ἐπὶ τὸ κρεῖττον μεταβολή, τὸν λόγον ἐπὶ τὸ χεῖρον μετέθηκε· καὶ ὥς περ πάλαι εἰς Ἑρμοῦ λογίου τύπον εἰκονισθείς, τὰς ἰδιώτιδας ἠθέτεις τῶν ἀκοῶν, οὕτω νῦν μετεωρότερος τῶν πολλῶν γεγονώς, τῶν περιγείων ἡμῶν ἀνθρώπων καταπεφρόνηκας, καὶ οὔτε σοι λόγος διὰ τιμῆς, οὔτ᾽ ἐπιστήμη καὶ τέχνη διὰ σεβάσματος, ἀλλὰ δορυφορίαι καὶ θρόνοι καὶ τύχης ὄγκοι τὸ σπουδαζόμενον, καὶ μεταβέβλησαι πρὸς τὰς ἐν τούτοις φωνάς· πάλαι μὲν γὰρ τοὺς τῶν λόγων χαρακτῆρας ἐξήταζες, νῦν δὲ τὰς τῶν λίθων δοκιμάζεις μορφάς· καὶ πρῴην μὲν ὅπως ἂν τὴν τοῦ λόγου βάσιν ῥυθμίσῃς ἐσπούδαζες, νῦν δέ σοι ἡ ἀκριβὴς τοῦ οἴκου κρηπίς, τὸ μελέτημα, καὶ τὴν βάναυσον τέχνην προείλου τῆς ἀποδείξεως, καὶ πάντα σοι μᾶλλον ἢ ὁ λόγος τετίμηται. Σὺ μὲν οὖν δοκεῖς ἀναβεβηκέναι καὶ μετεωρίζῃ τῷ πράγματι, ἔστι δὲ τὸ πρᾶγμα ἐσχάτη κάθοδος, ἵνα μὴ πτῶσις λέγω, ἢ τοῦ ὄντος παντελὴς στέρησις. Ἀλλ᾽ εἰ μὲν ἄμφω τιμᾷς, καὶ τὸν παλαιὸν πλοῦτον, τοὺς λόγους, καὶ τὸν νεωστὶ προσερρυηκότα σοι, τὸν χρυσὸν καὶ τὴν ἄλλην λαμπρότητα, οὐ φθονήσομέν σοι τοῦ χρήματος, ἀλλὰ μέρος σοι καὶ αὐτοὶ τῶν ἐπαινούντων γενώμεθα, οὐχ ὥς τε κολακεύειν ἐθέλειν, ἀλλ᾽ ἵνα ἔχῃς ὑποθήκας πρὸς τὴν τῆς τύχης οἰκονομίαν· εἰ δ᾽ ὥς περ εἰ τοὺς ἀέρας ἀμείβοντες, τὴν ἕξιν μετήμειψας, ἡμεῖς μὲν οὐδ᾽ οὕτως σοί τινα μέμψιν ἐπάξομεν, μὴ οὕτω μανείημεν ὥς τε τῆς παλαιᾶς ἐπιλελῆσθαι φιλίας· σὺ δ᾽ ὅρα ὅ, τι

ἀπολογήσῃ εἴ τινές εἰσιν ἕτεροι ἔλαττον τῆς σῆς φροντίζοντες ὑπολήψεως.

## 12. Τῷ ἐπὶ τῶν δεήσεων.

Ὡς ὡραῖος ἐν κάλλει, ἣν δὲ βούλῃ καὶ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· εἶτα πῶς ἐσκίρτησας, οὐδὲ τὸν εἰρηκότα ἐπήνεσας; ἀλλὰ σκωφθεὶς μὲν κατὰ τὸ πάρεργον, ἐσκυθρώπασας, ἐπαινεθεὶς δὲ οὕτως λαμπρῶς, ὥςπερ ἀνδριὰς ἀκίνητος ἔμεινας· τῶν γάρ τοι ἐναντίων, ἐναντία καὶ τὰ ἑπόμενα, καὶ κυροῖ τὸν λόγον Ἀριστοτέλης. Ἀλλὰ μὴν τὸ μὲν πρῶτον χαριεντισαμένῳ σοι, ὥςπερ τὰ ἔσχατα πεπονθώς, σεμνώσας τὸ πρόσωπον προσωνείδισας· εὐφημίας δὲ τηλικαύτης ἀξιωθείς, πῶς οὐ προσφυῶς κατεφίλησας;

Οἶδα ὅτι δεινὸς ἀνὴρ εἶ, καὶ τοὺς λόγους ἀπὸ γλώσσης ποιούμενος, ἀλλ' ὁρᾷς ὅπως τῷ κανόνι διήλεγξαι καὶ τῷ φιλοσόφῳ πεφώρασαι οὐκ ἐκ καρδίας, ἀλλ' οἷον ἐπιφαινομένην ἐξ ὀφρύος τὴν μέμψιν πεποιημένος; Ἔοικας οὖν μοι οὐ τῷ δόρατι μόνον ὡς οἱ Σπαρτιᾶται, ἀλλὰ καὶ τῷ περιβόλῳ ὡς οἱ Λακεδαιμόνιοι τὴν πόλιν φρουρεῖν, ἵνα πάντοθεν ἀνάλωτος καὶ ἀπολιόρκητος εἶ. Ἀλλ' ὦ φίλτατε, οὐ πάνυ πεφιλοσόφηκας· ἢ γὰρ ἂν τὴν πόλιν ἀφείς, ἐφύλαττες τὴν ἀκρόπολιν· ἀλλὰ τοῦ πολιτικοῦ φρονήματος γεγονὼς τὴν Περικλέους σύννοιαν καὶ τὴν Ἀλκιβιάδου ζηλοῖς εὐπρέπειαν, καὶ ἵνα σεμνὸς φαίνῃ καὶ περιττός, ἀναιρεῖς μὲν λόγου χάριτας, ἀναιρεῖς δὲ φιλίας θάρσος, μισεῖς δὲ γλώττης χαριεντισμούς, καὶ ἀθετεῖς παιδιάν, ἣ μόνη τῷ βίῳ καταμεμιγμένη ἱλαρὰν ἡμῶν ποιεῖ τὴν ζωήν· καὶ σοὶ μὲν εὐφυῶς ἔχει τὸ σῶμα, ἡμεῖς δὲ παίζοντες ἴσως τὴν μορφὴν ἐπισκώπτομεν· τὸν δέ γε Πλάτωνα φασὶ ἐξεπίτηδες ἐπικεκυφέναι, καὶ σκωπτόμενον τὸ ἐπίκυρτον, ἥδεσθαι. Ἀριστοτέλην δὲ καὶ ἡ γλῶττα ἐτρύφα τραυλίζουσα, ὥς περ δὴ καὶ τὸ λοιπὸν

σῶμα στολῇ χρώμενον περιττῇ καὶ ταῖς τῶν ἐφεστρίδων βαφαῖς πορφυρούμενον, καὶ δακτυλίοις ἡ χεὶρ ἀπαστράπτουσα· ὁ δὲ Μακεδὼν ἐκεῖνος ἀνήρ, ᾧ τοὺς γρύπας ὑποζευγνύουσιν οἱ γραφεῖς καὶ γῆθεν μετεωρίζουσι, τὰ πολλὰ ἐγκλίνων τὸν τράχηλον, τῆς τῶν πραγμάτων ὀρθότητος ἥπτετο· καὶ τούτων μᾶλλον οἱ κατ' ἐκείνους ἐμιμοῦντο τὰς προσποιήσεις, ἢ τῶν ἄλλων τὰς φυσικὰς ὡραιότητας. Ἐγὼ δὲ ἠξίουν ἄνω σε βλέπειν, εἰ καὶ μὴ φιλόσοφον ὄντα, ἀλλὰ φιλοσόφου ὁμιλητήν, καὶ ἐντὸς ἐστρᾶφθαι καὶ τοῦ τῆς ψυχῆς κάλλους φροντίζειν, τὸν δὲ Ἀναξάρχειον θύλακον καὶ μαστίζειν ἐᾷν τοὺς πολλούς· σὺ δέ μοι ἐλάνθανες λαμπρότερον μᾶλλον ἢ φιλοσοφώτερον διακείμενος, καὶ φροντίζων κάλλους, καὶ τῶν ἔξωθεν χαρίτων ἐπιμελούμενος. Καὶ Ἀριστοτέλης μὲν εἰς πωλικὸν φρύαγμα τοῦ Πλάτωνος αὐτὸν ἐπισκώπτοντος, τὸ τοῦ διδασκάλου σκῶμμα τῶν παρ' ἄλλοις εὐφημιῶν ἀντηλλάττετο· σὺ δέ μοι ὁ γενναιότατος καὶ ἀντονειδίσας τὸν χαριεντισμὸν καὶ εὐθὺς ἀντισκώψας, καὶ τὸν δηγμὸν τῆς ψυχῆς ἰασάμενος, καὶ μείζονι λίθῳ βαλών, ἢ μᾶλλον εἰς ἦθος ἀποτοξεύσας τὸ βέλος.

Καγὼ μὲν ὁμαλῶς ἐδεξάμην τὴν παιδιάν, καὶ ταῦτα πάσης
φ.194. *ἀφειμένος εὐτραπελείας|, καὶ τὸ γράμμα λαβὼν τῆς ἀφέσεως· σὺ δὲ ὡς Ἕλλην ἐκεῖνος παραξεσθεὶς τὸν ταρσόν, εἰς τὴν καρδίαν τὸ τραῦμα ἀνήνεγκας καὶ βαθεῖαν πεποίηκας τὴν οὐλήν. Ἀλλ' ὦ τᾶν, οὐκ ἐκ τοῦ σώματος ὁ σπουδαῖος ἀνήρ, ὥσπερ οὐδ' ἐκ τοῦ στάχυος ὁ πυρός, ἀλλ' ἐκ τῆς ψυχῆς χαρακτηρίζεσθαι εἴωθε· τὸ γάρ τοι σῶμα τοῦτο, ὁ μὲν πολιτικὸς βίος, ἵνα μὴ τὸν ἀπολαυστικὸν λέγω, ὥσπερ ὄστρεον προσπλάττει τῇ ψυχῇ καὶ συμφύει, ὁ δέ γε φιλόσοφος, προσαρτᾷ μόνον ἔξωθεν, διαιρῶν ἐκεῖθεν ὁπότε βούλοιτο, ὥσπερ οἱ περὶ τὸν σῖτον τοὺς λεγομένους ἀνθέρικας· ὅθεν οὐδὲν αὐτῷ μέλει τῆς ἔξωθεν εὐπρεπείας, οὐδὲ σκωφθεὶς περὶ τὴν πλάσιν ἀλγεῖ. Ἀλλὰ σὺ περιττὸς εἶ, ὥς γέ μοι ἔδοξας, ὥσπερ οἱ χαρίεντες τῶν κιθα-

ρῳδῶν οὐ τὰς χορδὰς μόνον ἐντείνοντες μουσικῶς, ἀλλὰ καὶ τὴν κιθάραν κατακοσμοῦντες· τῷ δέ γε Ἀπόλλωνι ἣν ὁ μῦθος προσπλάττει χέλυν ἀπὸ τοῦ τῆς χελώνης ὀστράκου διωργανώθη, καὶ οὐδὲν διέφερε τῷ μουσηγέτῃ εἰ τὸ ὄργανον αὐτῷ ἀφελὲς ἦν· τά γέ τοι χρηστήρια, ἀφ' ὧν οἱ τῆς ἀληθείας σπινθῆρες καὶ ἡ τοῦ μέλλοντος πρόγνωσις, ἐν κιττοῖς καὶ δάφναις καὶ τριποδικοῖς λέβησι τὴν τέχνην ἐδείκνυσαν, καὶ οὐδὲν παρὰ ταῦτα τὸ ἐνθεάζειν ἠλάττωτο· τὸ δὲ τὰς οὐρανίας ἡμῖν περιφορὰς δεικνῦον μίμημα τοῦ παντός, ἐκ ξύλου κατασκευάζεται τοῖς πολλοῖς, καὶ οὐ τὴν ὕλην κακίζομεν, ἀλλὰ τὴν τέχνην θαυμάζομεν. Ἀλλὰ τὸ φίλαυτον, ἀλλὰ τὸ πάντα οἴεσθαι, ἀλλὰ τὸ καὶ τοῖς σκύτεσι τῶν ὑποδημάτων τρυφᾶν, ἐς τοσαύτην σε περιωπήν, ἵνα καταλλήλως τὸ προσφυὲς εἴποιμι, κατεκρήμνισεν. Εἰ δέ τίς σοι ἀληθῶς τὴν ὕβριν προσήνεγκε, τί ἂν ἐποίησας, ὁπότε οὕτως σκωφθεὶς μετὰ παιδιᾶς οὐκ εὐμενῶς τὴν χάριν ἐδέξω; ἀλλ' ὥσπερ οἱ ἀθρόως πληγέντες τὰς μήνιγγας, ἄφωνος εὐθὺς γέγονας, καὶ τὸ χρῶμα ἠλλοίωσας· φιλοσόφων δὲ παιδιαῖς οὐδαμοῦ ἐντετύχηκας, οὐδὲ ταῖς Ἀγησιλάου χάρισιν; ἀλλ' οἵ γε τῶν συγγραφέων ἀστειότατοι, καὶ βιβλία τοὺς ἐκείνου λόγους πεποίηνται, καὶ φέρεται τοῖς πολλοῖς πυκτίον παιδιᾶς οὐδὲν ἔλαττον εἰς ψυχῆς ὄνησιν, τῶν Χρυσίππου συλλογισμῶν. Τὸ δὲ ἐμὸν ποῦ τίθης πρὸς τὸ σὸν παραβάλλων; ἀλλ' ὁρᾷς ὅπως πράως ἔχω περὶ τὸ σκῶμμα, καὶ τότε διεχύθην εὐθὺς αὐτοῦ ἀκούσας ἢ ἐσκυθρώπασα;

Εἰ μὲν οὖν ἐντεῦθεν τεθεράπευταί σοι τὸ τραῦμα, ἔχεις τὴν ἐπιστολὴν ἀκεσώδυνον φάρμακον, εἰ δὲ μή, ὡς ἡ μαντικὴ ἐκείνη πηγή, ὥσπερ σκωφθεὶς τὰς ὀφρῦς συνῆξας, οὕτως ἐπαινεθεὶς διαχύθητι· ἐγὼ δέ σοι τοῦτο προσθήσω, ὃ πολλάκις ποιοῦμαι περὶ τὰς ἴβιδας· ἐκεῖναι γὰρ δῦσαι κατὰ τοῦ βυθοῦ, οὐκ εὐθὺς ἀνανήχονται, ἐγὼ δὲ προσπαίζων τῷ ὄρνιθι, τὴν τῆς μορφῆς αὐτῇ ἀποθαυμάζω ὡραιότητα, καὶ εὐθὺς ἄνεισι τοῦ

βυθοῦ· πῶς οὖν λέγω τὴν ἐπῳδήν; ὡς καλή μοι, ὡς ὡραία ἡ ἴδις. Τὸ γένος οὖν ἀναστρέψας ἐρῶ, ὡς θαυμάσιός μοι τὴν μορφὴν ὁ ἐπὶ τῶν δεήσεων!

## 13. [Ἀνεπίγραφος, περὶ ἀσηκρητῶν.]

Α΄. Ἐγὼ πολλάκις τῶν θείων ἀκούων χρησμῶν, τῶν ἐνταῦθα πράξεων, χρηστῶν, ἢ φαύλων ἐς τὸ μέλλον ταμιευομένων τὰς ἀντιδόσεις, ἐκπλήττομαι μὴ ἐνορῶν ἐν τοῖς λόγοις τὸ ἀληθές· ἔδει γάρ, ἐπεί περ ἡ τῶν ἀντιδόσεων διαφορὰ τῷ μέλλοντι βίῳ πεφύλακται, μὴ κἀνταῦθα ἢ τοὺς πονηροὺς κολάζεσθαι, ἢ τιμᾶσθαι τοὺς ἀγαθούς· νῦν δὲ τῶν ἐκεῖθεν Ἠλυσίων πεδίων, ἵνα μὴ λέγω τῆς ἀμβροσίας τε καὶ τοῦ νέκταρος, πολὺ τὰ ἐνταῦθα τίμια, ἐκείνων ὑψηλότερά τε καὶ τιμιώτερα, αὖθις δὲ τοῦ Πυριφλεγέθοντος, καὶ τοῦ Κωκυτοῦ, καὶ εἴ τίς ἐστιν ἕτερος ποταμὸς βορβόρου ἀνάπλεως, καὶ τοῦ ἐν τῷ στομίῳ χάσματος, τὰ ἐνταῦθα δεινὰ βαρύτερά τε καὶ χαλεπώτερα. Καὶ οὐ τοῖς ἑτέρων λόγοις ὑπαχθεὶς πρὸς ταύτην γε ἤλυθα τὴν διάνοιαν, οὐδέ τινων τραγῳδίας ἀποδυρομένων μοι ἢ θρήνους, ὧν ὁ παρὼν βίος γεννήτωρ καὶ παροχεύς, ἐς τὸν παρόντα λόγον ἀπηυτομόληκα, ἀλλ' αὐτὸς πειραθεὶς τῶν δεινῶν καὶ οἴκοθεν ἔχων τὰ παραδείγματα.

Ἐπεὶ γὰρ πονηρᾷ τινι μοίρᾳ καὶ κακοδαίμονι, τῇ καὶ γεννησάσῃ καὶ θρεψαμένῃ με, τῷ τῶν ἀσηκρῆτις ἐνηριθμήθην χορῷ καὶ τῆς ἐκ τοῦ δουλεύειν ἀνεπλήσθην κακώσεως, ἔγνων ὅσῳ τὰ θρυλλούμενα κολαστήρια τῶν ἐνταῦθα ἐπιπόνων καταδεέστερα· καὶ μή μέ τις οἰηθείη πᾶσαν τὴν ἐνταῦθα κάκωσιν τῶν ἐκεῖθεν ὑπεραίρειν δεινῶν· σφαγαὶ γὰρ ἴσως καὶ ἀνασκολοπισμοί, καὶ ἀποτυμπανίσεις, πρὸς τὰ ἐν ᾅδου συγκρινόμενα δείματα, ἀσυγκρίτως ἐκείνων ἔλθοιεν δεύτερα· τῆς δὲ τῶν ἀσηκρῆτις δουλείας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οὐκ ἔστιν ὅς τις εἰπεῖν ἔχοι τὸν τῆς γεέννης ὑπερκεῖσθαι φλογμόν· τί γὰρ τῆς ἐνταῦθα φλογὸς ἀνιαρότερον, ἢ βαρύτερον;

Πρῶτον μὲν γὰρ ὑπερπληθὴς ἡ ταλαιπωρία καὶ ἡ πρὸς τὸ γράφειν σύνεσις, ὡς μήτε τὸ οὖς κνᾶσθαι δύνασθαι, τοῦτο δὴ τὸ λεγόμενον, μήτε τὴν κεφαλὴν ὑπερᾶραι, μὴ ποτοῦ κατὰ καιρόν, μὴ βρώσεως γεύσασθαι, μὴ τὸ σῶμα καθᾶραι λουτροῖς, εἰ μή τις τοῖς ἐκ φύσεως φήσειεν, ἱδρῶσι φημὶ βίᾳ τοῦ μετώπου καὶ τῆς κεφαλῆς καταρρέουσιν· ἔπειτα ὡς μεγάλη ἡ τούτων ἀντίδοσις· ὕβρεις, ἀπειλαί, παροράσεις, καὶ τἄλλα ὧν οἱ τραγικοὶ δαίμονες χορηγοί· ἄφθονα γὰρ πάντα ὥςπερ ἀπό τινος πηγῆς τῶν κακῶν ἀποστάζοντα· οὐκ ἔστιν ἀνάνευσις ἐν ἡμῖν, οὐκ ἀπαλλαγὴ τῶν κακῶν, ἀλλ' ὁσημέραι προστίθεται ταῦτα, καὶ ἐπαυξάνει, καὶ πληθύνει τῆς ἀθυμίας ἡ θάλασσα, ὥςπερ ποταμῶν εἰσβαλλόντων καὶ πλημμυρούντων αὐτῇ. Καὶ μέχρι μέν τινος φορητὸν ἡμῖν ἐδόκει τὸ πρᾶγμα τῇ τῶν προεστώτων κακίᾳ λογιζομένοις τὸ πᾶν, ὡς μὴ δὲ τῶν ἄλλων ἀπηλλαγμένοις πάν|τη τῶν συμφορῶν· καί τις ἐλπὶς ὑπέθαλπέ πως ἡμᾶς φ. 195.
καὶ ἀνεζωπύρει, καὶ τὸ πολὺ τῆς ἀθυμίας βάρος ὑπεκούφιζέ τε καὶ ἀπεκρούετο, νῦν δὲ καὶ τὸ τῆς ἐλπίδος ἀπῆλθε φάρμακον, καὶ ἐς τὸ ἄπορον τὰ τῆς συμφορᾶς περιγέγονε, τοῦ κρατοῦντος ἄνακτος, ποταμοῦ δίκην πλημμυροῦντος τὰς χάριτας καὶ πᾶσιν ἐπιρρέοντος ἀφθονώτατα, ἡμῖν δὲ οὐδὲ κατὰ στράγγα ψεκάζοντος.

Τί μοι Προμηθεὺς κολαζόμενος, ἢ Τάνταλος τὸν ὑπὲρ κεφαλῆς λίθον φοβούμενος ἢ ἐν μέσῃ πηγῇ στερούμενος τοῦ ποτοῦ, τὸ γὰρ ληρῶδες ἐῶ τοῦ Ἰξίονος· ὁ μὲν γάρ, εἰ καὶ τὸ ἧπαρ περιεκείρετο, ἀλλὰ μεταβολὴν ἐλπίζων τοῦ πράγματος ὑπεκουφίζετό πως τῆς συμφορᾶς, καὶ μέντοι καὶ ὧν ἤλπιζεν, οὐ διήμαρτε, τῷ Διὶ τὴν πρὸς τὴν Θέτιν ὁρμὴν μαντευσάμενος, κἀντεῦθεν τῆς τιμωρίας ἀπολυθείς· ὁ δέ, εἰ καὶ μήτε τοῦ ὕδατος, μήτε τῶν ὑπὲρ κεφαλῆς μετεῖχε καρπῶν, ἀλλ' οὖν ταῖς ὀσφρήσεσι τῆς τούτων εὐωδίας ἀπέλαυε, καὶ τὸν ὀφθαλμὸν ἑστιώ-

μενον εἶχεν ἀντὶ τοῦ φάρυγγος· εἰ δὲ καὶ τὸν ὑπὲρ κεφαλῆς φήσειας λίθον, ἀλλὰ μέχρι δέους κἀνταῦθα τούτῳ ἡ συμφορά· ἔστι γάρ, εἴπερ καὶ ἀληθὲς δοίημεν, οὐ πείρᾳ, ἀλλ' ὑπολήψεσι κολαζόμενος.

Ἡμεῖς δὲ ὅλῳ τραχεῖ λίθῳ καὶ πάντοθεν ἀκίδας ἔχοντι, δεινῶς τιμωρούμεθα, καὶ οὐ καταφερόμενον ἀποφεύγομεν, ἀλλ' ἐπικείμενον ἀποβαλεῖν οὐ δυνάμεθα· ἐσταυρώμεθα δὲ οὐκ ἐν Καυκάσῳ, ἧττον γὰρ ἂν ἦν τὸ δεινὸν μὴ ἔχοντες θεατήν, ἀλλ' ἐν πόλει μέσῃ, ἵνα καὶ παρὰ πάντων γελώμεθά τε καὶ ὀνειδιζώμεθα. Καὶ ταῦτα, οὐδὲν τοιοῦτον δεδρακότες δεινόν, οὐ τὰ τῶν κρειττόνων τοῖς μέροψιν ἐξαγγείλαντες, οὐ τὸ πῦρ ἐν νάρθηκι κλέψαντες ἵν' ἐξαπατήσωμεν βελτίονα φύσιν ἡμῶν, ἀλλὰ καὶ μούσαις ἐντραφέντες καὶ τῷ λογίῳ Ἑρμῇ καθομιλησάμενοι, καὶ πολλάκις ἐν τῷ Ἑλικῶνι χορεύσαντες, καὶ οὐδὲ τοῦτο εἰπεῖν ἀποκνήσαιμι, ὡς καὶ Καλλιόπη τὸν ἑαυτῆς μαζὸν ὑποθεμένη ἡμῖν, τὸ καθαρὸν τῆς γνώσεως ἐχορήγησεν. Ἀλλ' ὥσπερ κακιῶν τινων κολάσεις ἀποτιννῦντες βαλλόμεθα πάντοθεν καὶ τιτρωσκόμεθα καὶ ἐν κόποις ἐσμὲν ἀνθρώπων· καὶ ἵνα μικρὸν τὸ τοῦ Δαυῒδ μεταλλάξαιμι, καὶ μόνοι τῶν ἄλλων μεμαστιγώμεθα· ὡς γὰρ ἐν εἱρκτῇ (*) συγκλειόμεθα καὶ φύλαξί τισι πάντοθεν φυλαττόμεθα, καὶ πολλαῖς κολάσεσι καὶ τιμωρίαις ταλαιπωρούμεθα· αἱ δὲ βασιλικαὶ χάριτες μέχρις ἀκοῆς ἡμᾶς θέλγουσιν, ἢ μᾶλλον ἀνιῶσι βαρύτερον.

Εἰ μὲν γὰρ ἰσοτίμως ἅπαντες σὺν ἡμῖν τῶν καλῶν ἀπεστέρηντο, οὐκ ἂν οὕτω κατοδυνώμεθα, τὸ δ' ἐκείνους μὲν καὶ ὑπὲρ κόρον πλουτεῖν, ἡμᾶς δὲ τῇ καμίνῳ τῶν συμφορῶν καταφλέγεσθαι, τοῦτο πάντων δεινότερόν τε καὶ ἀνιαρότερον· οὐδὲ γὰρ ἔχει παραμυθίας τοῦτ' ἀφορμήν, ὅτι τοῦ ποταμοῦ πλημμυροῦντος καὶ τῆς πηγῆς πηγαζούσης, καὶ τῆς θαλάσσης περικλυζούσης

(*) χειρόγρ. εἱρκτῇ.

τοῖς κύμασιν, ἡμεῖς μόνοι τῶν ἐν αὐτοῖς ῥευμάτων ἀμέθεκτοι. Αἰθίοψ ἀρρύεται πόρρωθεν, ἄλλος ἐξ Ἰνδίας ἀπολαύει τῆς χάριτος, τῷ Σκύθῃ καὶ μέχρις αὐτοῦ τοῦ φάρυγγος ὁ τῆς πηγῆς πλοῦτος ἀνήνεκται, ἡμῖν δὲ πρὸς τοῖς χείλεσιν αὐτῶν καθημένοις ἐσπάνισται πάντα, καὶ οὐδ' ὡς αἱ Δαναΐδες ἐς τετρημένον κἂν ἀντλῆσαι πῖθον κατηξιώθημεν, ἵν' εἴπως τῆς ἀντλίας κατετρυφήσαμεν.

Ἐντεῦθεν ὁρμώμενος δευτέρας κολάσεις οὐ δέχομαι, κἂν ὁ μέν, βασανιστὴν ὑπόδοιτο σκώληκα, ὁ δέ, πυρὸς ῥύακας, ἐκ βασιλικοῦ βήματος τὰς ἀρχὰς ἐχούσας τῆς ῥύσεως· ὁ δὲ σκότος βαθύτερον, ἢ τί ἄλλο φοβερώτερον καὶ δειματωδέστερον· καὶ φλογὸς γάρ, καὶ σκότους, καὶ σκώληκος ἡ τῶν ἀσηκρῆτις ὑπηρεσία βαρύτερόν τι κακὸν καὶ ἀνιαρότερον· ὡς λίαν δὲ θυμῆρες τούτοις καὶ τὸ κλητώριον! ὥσπερ γὰρ ἐν στενῷ τινι χωρίῳ καὶ μή τινα διέξοδον ἔχοντι συγκλειόμενοί πως καὶ συσφιγγόμενοι, πιέζουσί πως ἀλλήλους καὶ καταθλίβουσιν ἐπὶ πλευραῖς κείμενοι, ὥς τε καὶ τὰ δάκρυα ἀκουσίως τῶν ὀφθαλμῶν ἀκοντίζεσθαι, καὶ τὸν σίελον ἐκπίπτειν τοῦ στόματος, καὶ ἵνα τὸ δυσφημότερον εἴπω, καὶ τῆς πυγῆς τὸ ἀφόδευμα· ἐντεῦθεν ἧπαρ τούτοις συνθλίβεται, καὶ σπλὴν συγκεκόλασται, καὶ ἡ καρδία συμπέπνικται, καὶ ἡ κεφαλὴ ἰλίγγου καὶ δίνης πληροῦται, καὶ τὸ ἆσθμα ἐπιλεῖπον πνιγηρὰν αὐτοῖς ποιεῖ τὴν ἀναφοράν. Ἀλλ' εὐφραίνουσι τὰ παρατιθέμενα, εἴποι τις ἂν ἴσως· ἀλλὰ βαβαί, μὴ εἴπῃς, μὴ γρύξῃς, μήτε τῶν ἰχώρων τοῦ Ἰὼβ ἀναμνήσῃς, μὴ δὲ τῶν ἐν ᾅδου νεκρῶν! ἀποπνιγήσομαι γὰρ καὶ μόναις ταῖς ἀναμνήσεσιν. Εἰ οὖν οὕτω τὰ πρὸς τέρψιν ἡμῖν μεμηχανημένα βαρύτερα πάσης κολάσεως, τὰ λυπηρά, ἐντεῦθεν εἰκάσειας ὁ βουλόμενος.

Β'. Ἔοικεν ἡ περὶ ἑαυτὸν ἑκάστου φιλοτιμία καὶ τὸ φίλαυτον, μεγάλων ἀρχὴ κακῶν γίνεσθαι· τοῦτο δὲ πολλοῖς μὲν καὶ ἄλλοις παράδειγμα ἱκανῶς ἀποδέδεικται, οὐχ ἥκιστα δὲ ταῖς

τῶν ἀσηκρῆτις περὶ ἑαυτοὺς οἰήσεσι καὶ φαντασίαις ἀλόγοις· οὐ γὰρ ὡς πρός τινα κανόνα, τὸ δίκαιον ἀποβλέποντες, ἐντεῦθεν τὸ διανεμητικὸν ὡρίσαντό τε καὶ ἐτυπώσαντο· ἀλλὰ μέγα τι περὶ ἑαυτοὺς φαντασθέντες, οὐκ ἴσῃ φαντασίᾳ, ἀλλ' ἕκαστος τὸν πλησίον ὑπερβεβηκέναι φιλονεικῶν, τῆς πλείονος διανεμήσεως ὡς αὐτῷ ἁρμοζούσης ἀντείχετο· καὶ ὁ μέν, τὴν περὶ τὸ
φ. 195ʳ. γράφειν ὀξύτητα προβαλ|λόμενος, ἐντεῦθεν τὸ ἰσχυρὸν ἔχειν ᾤετο· ὁ δέ, τὸ περὶ τὴν γνῶσιν ὑπερέχον προτεινόμενος, τῷ κατ' ἄλλό τι κρείττονι τῶν πρωτείων ἀμφισβητεῖν ἔσπευδε· καὶ ὁ μέν, ῥώμην σώματος καὶ τὸ περὶ πάλην προΐσχετο ἐπιδέξιον, ὁ δέ, τὴν εὐστροφίαν τῆς γλώττης, ὁ δέ, τὸ βωμολοχικόν τε καὶ ἀγοραῖον, οἷος ὁ Σαμοσατεὺς Παῦλος, ὁ δέ, τὸ κατὰ χρόνον πρεσβύτερον, οὐκ εἰδὼς ὁ τάλας ὡς τὰ ἐν ὕλῃ θηρία πολὺ τῶν ἐκεῖσε μοναζόντων πρεσβύτερα, καὶ οὐ διὰ ταῦτα καὶ τιμιώτερα· καὶ ἄλλος, ἄλλο ψυχῆς, ἢ σώματος προβαλλόμενος πλεονέκτημα, ἐντεῦθεν τὸν κατὰ πάντων ἀναδήσασθαι ἐβούλετο στέφανον. Πολλοὶ δὲ καὶ προτερημάτων ἀποροῦντες ἀπὸ τῆς ἐναντίας ἕξεως τὸ νίκος ὑπενοσφίζοντο οἷον πολυπραγμοσύνης πραγμάτων καὶ τῆς περὶ τὴν γλῶτταν λέσχης.

Κἀντεῦθεν πῦρ ἔριδος ἀνήφθη πολὺ καὶ μάχη τις ἀδιάκριτος, καὶ ὁ καταλλάττων οὐκ ἦν· οὐχ ὁ Φασουλᾶς γέρων, οὐχ ὁ παλαιότερος Ἀχυρᾶς, οἷς ἐκ χρόνου διαλλάκταις καὶ μεσίταις εἶναι ἀποκεκλήρωται· ἀλλὰ τὸ τῶν φρενῶν ἐλλεῖπον τὰ ἐκ τοῦ χρόνου πρεσβεῖα ἀνέκοπτε καὶ τοῖς λοιποῖς, καὶ οὗτοι παραπλησίως ἀντήριζον· τί οὖν τὰ ἐντεῦθεν; Ὕβρις κατ' ἀλλήλων, κρυπτῶν πραγμάτων δημοσίευσις καὶ φανέρωσις· οὐ νεότης, οὐ πολιά, οὐχ ὁ κατὰ σύνεσιν ὑπερέχων, οὐχ ὁ κατὰ γνῶσιν ὑπερβαλλόμενος, τῶν ὕβρεων ἀπηλλάττοντο· ἀλλὰ πάντες ἐπίσης ὀνειδισμοῖς καὶ λοιδορίαις ἐπλύνοντο. Ὁ μέν τις εἶπε τὸν σύντροφον, ἀνόητον γέροντα· λαβὼν ἐκεῖνος τὴν ὕβριν ἐδιπλασίασε, καὶ τὸ κακόηθες καὶ πολύπραγμον προσεπηύξησε, κακοηθέστα-

τον καὶ πολυπραγμονέστατον τὸν ὑβρικότα καλέσας. Οὗτος τὸν λόγον αἰσχίστοις ἐδεξιώσατο πράγμασι, χεῖρα σιδηροφόρον κατὰ τοῦ φίλου ἀνατείνας ὁ ἄθλιος, καὶ πυγμῇ παίσας, καὶ λὰξ κατὰ τοῦ κενεῶνος λίαν αὐθαδῶς ἐναλλόμενος.

Πάντων γὰρ ἐπίσης μανέντων, καὶ μηδενὸς φρενήρους εὑρισκομένου, πάντα φύρδην συνεχεῖτο καὶ διεφθείρετο· τούτων οὕτω γινομένων, ὁ χρηστὸς οὐκ ἦν, ἀλλὰ μάτην ἕκαστος φίλερις καὶ φιλόνεικος ἦν· οὐ γὰρ ἐπ᾽ ἄθλῳ προκειμένῳ, τὴν ἰσχὺν τῶν λόγων ἐδείκνυεν, ἀλλ᾽ ἐπὶ πράγματι ᾧ ἀπὸ βωμολοχίας καὶ ὕβρεως καρπώσασθαι οὐκ ἦν. Οὐκ ᾐσθάνοντο δὲ οἱ ταλαίπωροι ὡς οἱ πλείους αὐτῶν μετὰ τοῦ χρυσίου καὶ τῆς δουλείας στερηθήσεσθαι ἔμελλον, κἂν ὁ Παῦλος οὐ καταδέχεται· ἅπαξ γὰρ τῶν ὤτων τοῦ πρωτοασηκρῆτις καθυλακτήσας, ἔδοξεν ἐντεῦθεν μηχανὴν εὑρέσθαι, τὸ μὴ πόρρω ἀπελαθῆναι τῆς τάξεως· ἀλλ᾽ ἄνθρακας ἀνῆψε καθ᾽ ἑαυτοῦ. Ὀψὲ γὰρ τῆς ὥρας λογικῶς τῷ πρωτοασηκρῆτι ἐγὼ συγγενόμενος, καὶ τὴν τούτου διάνοιαν ὅπως ἔχοι περὶ τοὺς ἀσηκρίτας θηρώμενος, ἔγνων λῦκον εἶναι κατὰ ἀρνῶν, ὡς εὐθέως αὐτοὺς θοινησόμενον· περὶ δὲ τοῦ Παύλου ἐρόμενος εἴ τι οὗτος ἀπὸ τῆς γλωσσαλγίας ἀπώνατο, πῦρ εἶδον ἀπὸ τῆς γλώττης αὐτοῦ κατ᾽ ἐκείνου πεμπόμενον· ἔφησε γάρ, ὡς ὁ καταρατότατος οὗτος ἄνθρωπος καὶ τὴν γλῶτταν ἀπαίδευτος, καὶ τὸν νοῦν ἀσύνετος, καὶ τοῦ συλλόγου ταράκτης, καὶ τὴν ψυχὴν διεφθαρμένος, καὶ οἷον κυκεὼν τῆς τῶν συντρόφων ψυχῆς, ἢ ἄνεμος ἀπαρκτίας καταρράκτοις ἐμπίπτων κύμασι, καὶ τοῦ χρυσίου στερηθήσεται, καὶ δημευθεὶς ἀτιμίαν μεγίστην ἀτιμωθήσεται.

## 14. Ἀνεπίγραφος.

Καὶ ὁ λύχνος, εἰ μή τις αὐτὸν τῷ ἐλαίῳ ἐπάρδοι, τάχιστ᾽ ἂν πάντως ἀποσβεσθείη, καὶ τὸ τῆς ἀγάπης φῶς, εἰ μὴ συνεχῶς

οἱ κεκτημένοι ἀλλήλοις ὁμιλοῖεν ἢ παρόντες, ἢ ἀπόντες τοῖς γράμμασι, κινδυνεύσῃ ἂν ἀπομαρανθῆναι. Ἔνθεν τοι καὶ ἡμεῖς δεδιότες, μή ποτε ἡ μακρὰ ἀπουσία καὶ διάστασις, καὶ τὸ ἐπὶ τοσοῦτον ἀνομίλητον τὸν τῆς διαθέσεως ἀποσβέσῃ πυρσόν, πρὸς τὴν παροῦσαν γραφὴν ὡρμήθημεν τοὺς τῆς ἀνασκαλεύοντες ἄνθρακας, καὶ τὸ ἐν αὐτοῖς φῶς ἀπομαρανθὲν ἀναζωπυροῦντες καὶ οἱονεὶ πρὸς μετέωρον φλόγα ἀνάπτοντες. Ἴδε γὰρ ὅσος διερρύη χρόνος καὶ οὐ παρ' ἀλλήλων ἐφοίτησαν γράμματα, οὐ προσρήσεις δεξιαί, οὐ σύμβολα χρηστά· μέμφομαι μὲν ἐμαυτῷ τῆς ἐπὶ τοσοῦτον σιγῆς, αἰτιῶμαι δὲ καὶ σὲ ὡς ἐπίσης σιγήσαντα, καὶ ἀξιῶ γράμμασι δηλῶσαι ὡς ἔχει τὰ σά· ἔχοι δὲ πάντως καλῶς καὶ ὡς εὐκταῖον ἡμῖν· εἰ γὰρ καὶ τὸ τῆς ἀγάπης χρῆμα οὐδέποτε ἐκπίπτει, κατὰ τὸν θεῖον Ἀπόστολον, οὐδὲ τόπου διάστασις λυμαίνεται τοῦτο, ἀλλ' ἐν οἷς ἐρρίζωται θάλλει ἀεὶ καὶ αὔξεται, καὶ ἀείζωόν ἐστι τὸ τοιοῦτον φυτόν, ἀλλὰ δεῖται πάντως καὶ τῆς διὰ τῶν γραμμάτων ἀρδείας τε καὶ πιάνσεως, καὶ τῆς γλυκείας ἐπιρροῆς τῶν ναμάτων· ὃ δὴ ποιεῖν καὶ αὐτὸς μὴ ἐλλίποις ὁ θαυμάσιος δεσπότης μου.

## 15. Ἀνεπίγραφος.

Καὶ ἔθει ἑπόμενος παλαιῷ ἐκ μακρᾶς τῆς ἀκολουθίας κεκρατηκότι, καὶ τὸν καρπὸν τοῦ πνεύματος τὴν κατὰ θεὸν ἀγάπην ὑμῖν ἐπιδεικνύμενοι διὰ τοῦ γράμματος τὴν εὐλάβειαν ὑμῶν ἐπισκεπτόμεθα, κοινωνοῦντες ὑμῖν τῆς τε ἐπὶ τῷ συμβάντι λύπης, καὶ τῆς φροντίδος τῶν ἐν χερσίν. Ὑπὲρ μὲν οὖν τῶν λυπηρῶν, τοσοῦτον λέγομεν, ὅτι καιρὸς ὑμῖν ἀποβλέψαι πρὸς τὰ τοῦ Ἀποστόλου παραγγέλματα, καὶ μὴ λυπεῖσθαι ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα· οὐ μὴν οὐδὲ ἀπαθῶς ἔχειν πρὸς τὸ συμβάν, ἀλλὰ τῆς μὲν ζημίας αἰσθάνεσθαι, ὑπὸ δὲ τῆς λύπης μὴ καταπίπτειν· τὸν μὲν ποιμένα τοῦ τέλους μακαρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ζοντες, ὡς ἐν γήρει πίονι τὴν ζωὴν καταλύσαντα καὶ ταῖς μεγίσταις παρὰ τοῦ Κυρίου τιμαῖς ἐναναπαυσάμενον. Περὶ δὲ τῶν λοιπῶν ἐκεῖνα παραινεῖν ἔχομεν· ὅτι προσήκει πᾶσαν | απο- φ. 196.
θεμένους κατήφειαν, ἑαυτῶν γενέσθαι καὶ πρὸς τὴν ἀναγκαίαν πρόνοιαν τῆς ἐκκλησίας διαναστῆναι, ὅπως ἂν ὁ ἅγιος Θεὸς ἐπιμεληθείη τοῦ ἰδίου ποιμνίου καὶ παράσχοιτο ὑμῖν κατὰ τὸ αὐτοῦ θέλημα ποιμαίνοντας ὑμᾶς μετ' ἐπιστήμης.

## 16. Ἀνεπίγραφος.

Ἀπείληφα παρὰ σοῦ περίβλεπτε καὶ φιλοσοφώτατε ἄνθρωπε, ὅπερ ἐβουλόμην λαβεῖν· ἐβουλόμην δὲ οὐ τὴν ἀποδεικτικήν, αὐτὸ δὴ τὸ τῆς ἐπιστήμης ὄργανον, ἀλλὰ τὴν σὴν ἐν ἤθει καὶ λόγῳ φιλοσοφίαν· ἄμφω τοίνυν ἀπολαβών, τὸ μέν, ἐν λόγῳ, διὰ τὴν εὐρυθμίαν, τὸ δέ, ἐν νῷ, διὰ τῆς πρὸς τὴν ἀπολογίαν φιλοτιμίας, ἥσθην, πῶς ἂν εἴποις;

Ἔγωγ' οὖν, ἵνα σοι τὸ ἀπόρρητον τῆς ἐμῆς ἐξαγορεύσω ψυχῆς, οὐ τοῦ βιβλίου χάριν, ἢ τῆς σῆς μᾶλλον ψυχῆς, τὴν προτέραν ἐποιησάμην ἐπιστολήν, ἵν' εἰ μὲν ἡδέως δέξῃ τὸ γράμμα, καὶ μὴ χαλεπήνῃς τὴν ἐπιτίμησιν, τοῖς γνησιωτάτοις ἐγκατακρίναιμί σε, καὶ μετὰ τῶν ἄγαν φιλοσοφησάντων καταριθμήσαιμι· εἰ δ' ἄλλως ποιήσοις, ὡς φιλοσοφίας ἐφόλκιον ἀποθώμεθα. Ἐπεὶ τοιγαροῦν καὶ ταῖς κρείττοσιν ἡμῶν ἐλπίσι προστέθεικας, καὶ φιλόσοφον τὴν ἀπόκρισιν δέδωκας, οὐ τοῖς ἐμοῖς θιασώταις μόνον συναριθμῶ, ἀλλὰ καὶ προαριθμῶ καὶ προτίθημι, καὶ τοῦ χοροῦ κορυφαῖόν σε τίθημι, ἵν' αὐτὸς ἐξ ἐμοῦ πρῶτος μυῇ, οἱ δ' ἄλλοι τελῶνται παρὰ σοῦ, καὶ διὰ σοῦ μέσου οὐ τὰ τῶν Ἐλευσίνων μοι ἀπόρρητα δέχωνται, ἀλλὰ τὰ ἡμέτερα θεοφάνια. Εἰ γὰρ καὶ Σωκρατικόν σοι τὸ ἦθος, ἀλλ' ἐγὼ μετὰ τῶν ἡμετέρων τάττω, οἷς δὴ καὶ τὸ κυρίως φιλοσοφῆσαι καὶ τοῦ ἐπαγγέλματος ἀξίως προσγέγονεν. Ἕλλησι δὲ ἀσύμβατα τὰ ἤθη πέφυκε πρὸς τὰ δόγματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Δεῦρο γοῦν στῆθι πλησίον ἐμοῦ, μυήσομαι γάρ σοι ἴσως τὰ τελεώτερα, καὶ εἰς τὰ κεκρυμμένα τῆς ἐπιστήμης εἰσάξω, ἵνα μετὰ τῆς τοῦ ἤθους κοσμιότητος, μᾶλλον δὲ μετὰ τοῦτο καὶ ἡ ἀπόλυτός σοι τῆς ψυχῆς πολιτεία ἐγγένηται· ἔπειτα καὶ ἡ πρὸς τὸ παράδειγμα ἀτενεστάτη ἐπιστροφή, καὶ ἡ τῶν ἐν ἐκείνῳ θεωρουμένων ἀμετάπτωτος μετοχή. Καὶ οἶδα μὲν ὡς ἀποφήσειας, τίποτε ταῦτά εἰσιν· ἐγὼ δέ σοι οὐκ ἀνακαλύψω νῦν τὰ μυστήρια, ἀλλ' ὅταν ἐντὸς τῶν ἀδύτων γενώμεθα, ἔνθα δή σοι οὐ τὸν νοῦν μόνον τῆς ὕλης ἀποκαθάρω, ἀλλὰ δὴ καὶ τὴν γλῶτταν ὅπως δεῖ τοὺς λόγους ῥυθμίζειν διδάξω. Ἀλλ' ὅρα ὅπως πάλιν φιλοσόφως τὸν λόγον εἰσδέξῃ, καὶ μή μοι δυσχεράνῃς τὸν ἔλεγχον· οὐ γὰρ φιλοσόφων, ὦ 'γαθέ, ἀλλὰ καὶ ῥητόρων, ὡς οἶσθα, προκάθημαι· δεῖ οὖν, ἐκείνως μέν σε τὸν νοῦν, οὕτως δὲ τὴν γλῶτταν κοσμῆσαι.

## 17. Τῷ . . . . .

Ἐμοὶ μέν, περίβλεπτε κύριέ μου καὶ ἀδελφέ, εἰς δύο ἡ φιλοσοφία διέσχισται· καὶ τὸ μὲν αὐτῆς, ἀπαθὲς δοκεῖ καὶ ἀμείλικτον, ὃ δὴ νοῦς μόνος φαντάζεται, τὸ δέ, κοινοπαθὲς καὶ φιλάνθρωπον· τούτων τὸ μὲν πρότερον, ἐπῄνεσα μέν, οὐκ ἠγάπησα δέ, τὸ δὲ δεύτερον, ἔλαττον μὲν ἄγαμαι, ζηλῶ δὲ μᾶλλον· διὰ ταῦτα γοῦν καὶ γονέας ἐγηρωκόμησα, καὶ ἀδελφοὺς ἔστερξα, καὶ φίλοις τὸ εἰκὸς ἀποδίδωμι.

Ἐπεὶ οὖν ἐν τοῖς μάλιστα παρ' ἡμῶν φιλουμένοις καὶ ὁ δεῖνά ἐστιν, ἀξιοῦντι πολλάκις συγκατανεύω, καὶ ἄγοντι ὅποι ἂν ἐθέλῃ συμπεριάγομαι, καὶ ἐξὸν ἀντιτείνειν καὶ ἀποβιάζεσθαι, τἀναντία διὰ τὴν σχέσιν ποιῶ· ὥς τε μὴ θαυμάσῃς ὅτι φίλος ὤν, πολλάκις σε κόπτω ταῖς περὶ αὐτοῦ ἀξιώσεσιν· ἀλλ' ἴσθι, ὡς οὐδὲ τοῦτο τὸ μέρος ἀπαναίνεται φιλοσοφία. Εἰ μὲν οὖν τὸ κορυφαιότατον παρ' ἡμῶν ἀπαιτῇς, ~~οὐχ~~ ἕξεις, ἐπεὶ μὴ

δὲ τὴν ἄσχετον ζωὴν κατωρθώσαμεν· εἰ δὲ τὸ συμπαθέστερον καὶ οἷον δυσωπητικώτερον, δαψιλέστατον ἐν ἡμῖν εὑρήσεις, ὑφ' οὗ δὴ καὶ αὐτὸς κεκίνημαι, καὶ τοὺς φίλους ἐπὶ τοῦτο κινῶ· φίλος δέ μοι τίς ἄλλος τοιοῦτος, οἷος σύ; ἀνὴρ οἷον πολλάκις αὐτὸς ἐς τὸ ἀκριβὲς καθεώρακα, ἵν' ἐν βραχεῖ δηλώσω τὸ πᾶν. Ἡ μὲν οὖν ἀξίωσις, αὕτη, τὸ δὲ περὶ οὗ πέφυκεν, ἐφ' ᾧ οἱ περὶ τοῦ πρώτως ἀξιώσαντος αὐτόθι ἀπεσταλμένοι τυγχάνουσι· τὸ δὲ τέλος τῶν παρ' ἀμφοῖν ἀξιώσεων καὶ τῆς ἀποστολῆς, αὐτὸς οἶμαι ἐπιθήσεις ἁρμοδιώτατον.

## 18. Τῷ . . . . .

Ὁ τιμιώτατος ἐπίσκοπος τῶν Νουμερικῶν γράμμα ἐμὸν ἐπιφέρεται, ἐν ᾧ δὴ ἐμφέρεται ἀδικία προελευσιμαίων τινῶν, ἣν καὶ αὐτὸς ἐπεβοᾶτο, κἀγὼ προσεμαρτύρησα· βουλόμενον οὖν με εἰς ἐκδίκησιν διαναστῆναι τοῦ πράγματος, ὁ βασιλεὺς διεδέξατο· ὃ γοῦν ἐγὼ ὑστέρησα, ἀναπληρῶσαι τὴν σὴν ἀξιῶ ἐνδοξότητα.

## 19. Ἀνεπίγραφος.

| Ἐνδοξότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε, πολλοὺς μὲν φ. 196ʳ. αὐτόθι πατρῴους φίλους κέκτημαι, μάλιστα δὲ τοὺς παρόντας εἰς γνησιωτάτην κληρονομίαν ᾠκειωσάμην, διὰ πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ ὅτι χρηστοί τέ εἰσι τοὺς τρόπους, καὶ καθαρωτάτην πρός με διάθεσιν διασώζουσιν· ἔχουσι δέ τι καὶ συγγενὲς πρὸς ἡμᾶς, ὥς φασιν, ἀλλ' ἐμοὶ οὐ διὰ τοῦτο μᾶλλον, ἢ δι' ἐκεῖνα ἠγάπηνται.

Δεομένους οὖν τῆς σῆς ἀντιλήψεως, συνίστημί σοι τοὺς ἄνδρας, καὶ ἀντ' ἄλλης τινὸς ἀξιώσεως, τὸ ὅτι φιλῶ τούτους προστίθημι. Εἰ μὲν οὖν μέγα τι περὶ ἡμῶν οἴει, αὐτὸ δὴ τοῦτο

τὸ διατίθεσθαί μοι πρὸς αὐτούς, εἰς ἐγκωμίων ἀφορμὴν λήψῃ, εἰ δ' οὔ, αὐτὸς τοὺς ἄνδρας δοκίμασον, ἵνα μετὰ πεῖραν ἐπαινέσῃς ἡμᾶς, ὡς οὐ φαύλως τοὺς προσερχομένους ἡμῖν δοκιμάζοντας καὶ τοὺς καλλίστους εἰς φιλίαν ἐκλεγομένους.

## 20. Τῷ . . . . .

Μὴ θαυμάσῃς, εἰ φίλος Ἀθηναίων καὶ Πελοποννησίων καθέστηκα· τοὺς μὲν γὰρ καθ' ἕνα, δι' ἄλλο τι καὶ ἄλλο ἀγαπῶ αἴτιον, κοινῇ δὲ πάντας, διὰ Περικλέα, καὶ Κίμωνα, καὶ τοὺς ἀνέκαθεν φιλοσόφους καὶ ῥήτορας· δεῖ γὰρ τοὺς παῖδας ἀγαπᾶσθαι διὰ τοὺς πατέρας, κἂν μὴ τοὺς χαρακτῆρας αὐτῶν διασώζωσι· διὰ ταῦτα γοῦν καὶ περὶ ἑτέρων Ἀθηναίων ἠξίωσα, καὶ περὶ τοῦ παρόντος νῦν ἀξιῶ, ὃς δὴ μετὰ τῆς κοινῆς τοῦ φιλεῖν αἰτίας, καὶ πατρῷός μοι φίλος ἐστί. Τὸ μὲν οὖν μετὰ δικαιοσύνης τοῖς αὐτοῦ προσιέναι πράγμασιν οὐκ αἰτῶ, ποιήσεις γὰρ κἂν μή τις παρακινῇ, τὸ δὲ ἐλεεῖν καὶ προσηνῶς ὁρᾶν, καὶ τοῦτο μετὰ τοῦ δικαστικοῦ ἀξιώματος.

## 21. Τῷ . . . . .

Τοιοῦτός ἐστιν ὁ ἀληθὴς φίλος, ἐνδοξότατε καὶ περίβλεπτε ἀδελφέ, οἷος μὴ ὑπερτιθέμενος τὰς τῶν φίλων ἀξιώσεις, μὴ δὲ βραδύνων περὶ τὴν τούτων ἐκπλήρωσιν· μαρτυρεῖ γάρ σε τοῦτο ὁ τοῦ θέματος χρυσοτελής, ὑπὲρ οὗ ἐγώ σε φθάσας ἱκέτευσα· ἐχρῆν γάρ σε, καλλίστη ψυχή, μετὰ τῶν λοιπῶν ἀρετῶν καὶ τῇ τῆς φιλίας κατακεκοσμῆσθαι ἀκρότητι, καὶ μὴ ἐν ταῖς τῶν φιλούντων παρουσίαις, πολὺ δὲ μᾶλλον ἐν ταῖς ἀπουσίαις τὸ καθαρὸν τῆς ἀγάπης δεικνύειν. Ἡ δὲ παροῦσα γραφὴ ἔστω σοι καὶ τῶν προγεγενημένων ἀνθομολόγησις, καὶ τῶν ἐσομένων διέγερσις· ὀφείλεις γὰρ τὰς τῶν φίλων εὐχαριστίας πέρας ὁμοῦ

καὶ ἀρχὴν τῶν σῶν τίθεσθαι πράξεων, καὶ φθάνειν μὲν τὰς ἀνθομολογήσεις ταῖς χάρισιν, ἀμείβεσθαι δὲ ταύτας εὐποιΐαις δευτέραις. Ἔστω οὖν σοι καὶ αὖθις διὰ φροντίδος ὁ χρυσοτελής, καὶ ᾗ κατεβάλου δι' ἡμᾶς εἰς αὐτὸν ἀρχῇ, ἀνάλογον ἐπίθες τέλος.

## 22. Ἀνεπίγραφος.

Σὺ μὲν ἔδοξας, περιπόθητε ἀδελφέ, φιλικὴν μόνον ἐν τοῖς γράμμασι ποιήσασθαι προσαγόρευσιν, καὶ ψιλὰς ἐπιστεῖλαι συλλαβάς, ἡμεῖς δὲ αὐτόν σε ἐδόξαμεν τὴν φιλτάτην κεφαλὴν ἀπειληφέναι διὰ τῆς ἐν τοῖς λόγοις εἰκόνος, τὸ πρωτότυπόν σε ἀναθεωροῦντες ἄγαλμα· οὐκ οἶσθα γὰρ ὅτι φιλοσοφεῖν πειρῶμαι, καὶ πάντα μοι ἀναγωγικώτερον ἐξετάζεται; Σὺ μὲν οὖν πολλάκις γράφε, μὴ πολυπραγμονῶν, ἡμεῖς δέ, ὡς ἂν βουλώμεθα περὶ τῶν γραφομένων διανοησόμεθα· ὑπὲρ δὲ περδικείων ὠῶν μὴ γένοιτο ἡμᾶς πρὸς βασιλέα παρρησιάσασθαι ὑπὲρ σοῦ, ἀλλ' ὑπὲρ τῆς ἀνέκαθεν πρὸς ἡμᾶς σου γνώμης καὶ διαθέσεως, ὑπὲρ ταύτης καὶ παρρησιασόμεθα καὶ παρακινδυνεύσομεν· χρὴ γὰρ σὲ μὲν τὴν ἁπλῆν φιλίαν διδόναι, ἡμᾶς δὲ διπλῆν ταύτην ἀντιπαρέχειν, ἵνα μὴ δὲ ἐν τοῖς φιλικοῖς καθήκουσιν ἔλαττόν τι ἰσχύωμεν.

## 23. Τῷ ἐπὶ τῶν οἰκειακῶν.

Πάλιν ὄχλησις, πάλιν ἀξίωσις, καὶ πάλιν ἐγώ σοι φορτικός τις καὶ πλημμελής· ἀλλ' οἶδα τίνι ἐπιφορτίζομαι, τίνι ἐπαχθὴς γίνομαι, ᾧ μηδέν ἐστι βάρος παρὰ χειρῶν ἐπιτιθέμενον φιλικῶν, ᾧ μηδὲν ἄχθος παρὰ γλώττης ἐπιστοιβαζόμενον εὐνοούσης, οἷα δὴ τὰ ἐμὰ πρὸς τὴν σὴν Ἀτλαντικὴν καὶ γιγαντιαίαν ψυχήν, καὶ ῥᾷστα τὰ βάρη τῶν φίλων ἀχθοφοροῦσαν. Γύμνασον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οὖν μοι τὴν σὴν δεξιὰν πρὸς ὑπογραφὴν καὶ γύμνωσον, καί μοι τοὺς οἰκείους μαργαρίτας, τὰ σὰ φημὶ γράμματα, αὐτὸς καὶ πλάσον καὶ σφαίρωσον, ἵνα ἡμῖν ὁρμαθὸς ᾖ ταῦτα καὶ περίαμμα κάλλιστον· τὸ δ' αὐτὸ καὶ τοῖς ὑπὸ σὲ ἐγκελεύου ποιεῖν, ἵν' ἐπειδὴ σφαιρικῆς προσηγορίας ἐμνήσθημεν, σὺ μὲν οὐρανὸς εἶ, ἀκριβὴς σφαῖρα καὶ ἴση, ἐκεῖνοι δὲ ἀστερίσκοι τῷ σῷ περιαγόμενοι νεύματι καὶ κινήματι.

## 24. Ἀνεπίγραφος.

φ. 197. | Εἰ μὲν τὴν κέδρον κατατινάσσῃς ἵν' ὀλολύζωσιν αἱ πίτυες, καὶ τύπτῃς τὸν λέοντα ἵνα φοβηθῶσιν αἱ κύνες, ἐπαινῶ μὲν τὴν οἰκονομίαν, ζητῶ δὲ τὸ μέτρον τῆς ὑποκρίσεως· εἰ δ' οὐδὲν ἠδικηκότα λυπεῖς, ἀδικεῖς μὲν νόμους παρ' ὧν τὸ δικάζειν δικαίως πεπίστευσαι, ἀδικεῖς δὲ φιλίαν, ἣν καὶ νόμων ὑπερτέραν ἀντιθῇς· ἀλλ' ἡμεῖς, ἢν ἀφήσεις τὴν ὀργὴν τῷ νοταρίῳ, οὐδὲν ἠδικῆσθαι οἰησόμεθα, ἀλλὰ τὸ μὲν γενόμενον, ὁποῖον ἂν ᾖ, δικαίας κολάσεως θήσομεν, τὸ δὲ γενησόμενον δι' ἡμετέραν ἀξίωσιν, ἐπιεικοῦς προαιρέσεως. Καὶ εἰ μὲν βούλει, χρῶ πάλιν μετὰ τὴν ἐλευθερίαν τῷ νοταρίῳ, εἰ δ' οὐ βούλει, μὴ δὲ παραχρῶ, ἀλλ' ἔντειλαι βαδίσαι τὴν ἐπὶ τῇ Πόλει· οὐ γὰρ ἄχθος σοι ἐπεφορτίσαμεν, ἀλλ' αὐτὸ δὴ μᾶλλον ἐπηλαφρίσαμεν.

## 25. Ἀνεπίγραφος.

Ἀλλ' οὔτε μοι ὁ νοῦς ἐκεῖνος ὁ γεννῶν τὰς γενναίας ἐπιστολάς, ἀπέσβη δέ μοι καὶ τὸ πῦρ τῆς γλώττης, καὶ εἴ τι δὲ ἔτυχον ἐξ Ἀττικῶν λειμώνων δρεψάμενος, τῇ τοῦ βεστάρχου ὥρᾳ διαρρυείσῃ συναπελήλυθε· μετὰ γὰρ τῶν χαρίτων ἐκεῖνός μοι τέτακται καὶ ζῶν τε καὶ τεθνηκώς· ἀλλ' ἐκεῖνος μὲν ἀπολωλὼς ἔτι ταῖς ὥραις συνηρίθμηται, καὶ τὸ διαρρυὲν αὐτοῦ

μεστὸν τῆς ἄνθης ἐστίν· ἐμοὶ δὲ καὶ ζῶντι ὀλίγη μὲν ἡ πνοή, ὁ δὲ πυρσὸς τῶν λόγων διέσβεσται, κἄν τι λέγειν τῶν συνήθων ἐπιχειρήσω, εὐθὺς ἐπικλύζεταί μοι τοῖς δάκρυσιν ἡ ψυχή, καὶ δεινῶς ταραττόμενος οὐδέν τι σοφώτερον γράφειν δεδύνημαι. Περὶ δὲ ὧν ἐπέσταλκας, ἐβουλόμην μὲν ὑπηρετῆσαί σου τοῖς ἐπιτάγμασι· διὰ ῥᾳδίας μοι ἡ ἐπὶ τὰ τοιαῦτα τῶν ὀργάνων ὁδός, ἀπὸ τῶν γεωμετρικῶν ὑποθέσεων τὰς ἀρχὰς τῶν σχημάτων ἠκριβωκότι· ἀλλ' ὅ μοι τὸ ἐπιστόλιον δούς, ὥς περ ἐνέχυρον ἀναδούς, αὐτίκα τὸ χρέος ἐπράξατο, μὴ δ' ἀναγνῶναι τὸ πᾶν τοῦ γράμματος ἐνδιδούς· οὐ γὰρ ἥκων ἐνεχείρισε τὴν ἐπιστολήν, ἀλλ' ἤδη ἀποδημῶν.

Σὺ δ' ἀλλὰ νῦν ὑγίαινέ μοι μᾶλλον καὶ τὸ πρότερον, καὶ ἀναπλήρου μοι τὸν ἀπολωλότα ὀφθαλμόν, γιγνόμενος, εἴ γε δύναιο, τοῦ δεξιοῦ δεξιώτερος.

## 26. Ἀνεπίγραφος.

Ἄνθρακες ὁ θησαυρός, ἀδελφὲ φίλτατε· καὶ εἰ τὰ τῆς κλεινῆς Ἑλλάδος χωρία τὰ πολυάρατα ἢ πολυύμνητα, ἀφ' ὧν οἱ Μαραθωνομάχοι, καὶ ἀφ' ὧν οἱ Φίλιπποι ἐκεῖνοι καὶ οἱ Ἀλέξανδροι, οὐκ ἀποχρῶντά σοι εἰς διατριβὴν καὶ διατροφήν, τί ποτ' ἂν ἄλλο μέρος τῆς οἰκουμένης εἰς ὑποδοχὴν ἐξαρκέσῃ σοι; Ἆρ' οὖν οἱ πολλοὶ τῆς Ἀττικῆς λόγοι, καὶ ὅσα περὶ τοῦ Πειραιέως οἱ πάλαι σοφοὶ συνεγράψαντο, πάντα ψευδῆ τε καὶ μάταια, καὶ τηνάλως ἐψοφημένα;

Ὅρα οὖν ὅπου μετασταίης, εἰ μή που λέγεις τὴν εὐτυχῆ Ἀντιόχειαν καὶ τὴν χρυσῆν Ἀλεξάνδρειαν, καὶ τὴν εὐδαίμονα Ἀραβίαν· ἀλλὰ δέδοικα μή πως καὶ ταῦτα, ὥς περ αἱ βρονταὶ ἀθρόον ἀποκτυπήσαντα, εἶτα δὴ ἄναυδα (*) καὶ οὐδαμοῦ τῆς

(*) χειρόγρ. ἄνχβδα.

γῆς ἀκουόμενα. Εἰ δέ μοι συμβούλῳ χρᾷ, τῆς παλαιᾶς ἀναμνήσθητι παροιμίας, καί, Σπάρταν λαχὼν ταύτην κόσμει· νῦν γὰρ πάντα συγκέχυται, καὶ τὸ ἐξαίρετον, οὐδαμοῦ, ἀλλ' ὅ, τε ἄκατος, ὅ, τε γαυλός, ἥ τε τριήρης, ὅ, τε μυοπάρων, πάντα βυθίζονται, καὶ οὐδὲν ἐπ' ἰσχυρᾶς τρόπιδος ἕστηκε· κρεῖττον δὲ βραχέα σιτεῖσθαι, ἢ παντάπασι τῶν ἀλφίτων ἐστερῆσθαι· οὐ γὰρ ἂν ἐμβαίης εἰς καλλίονα ναῦν· εἰ δ' αὐτὸς ἄλλό τι μαντεύοιο, ἔχου τοῦ σαυτοῦ τρίποδος, ἐγὼ γάρ σοι τὸ συμφέρον ἀπεφηνάμην.

## 27. Μοναχῷ Ὀλυμπίτῃ.

Ἡδέως σου τὰς ὀπώρας καὶ τὸν ἀπεσταλμένον ἐδεξάμην καλόγηρων, τιμιώτατε πάτερ· ἡδέως, ὅτι σε ἀγαπῶ, ἡδέως, ὅτι τῆς ἐμῆς ὑπερεύχῃ ζωῆς· οὐ γὰρ μᾶλλον τοὺς δεινοὺς καὶ περινενοημένους ἄνδρας ποθῶ, ἀλλὰ τοὺς ἀπλοϊκοὺς γέροντας, ὁποῖος εἶ σύ, οἳ συνᾴδουσαν ἔχουσι τῇ καρδίᾳ τὴν γλῶτταν, οἷς ὁ λόγος ἅλατι ἠρτημένος, καὶ ἡ γραφή, ἰδιωτικὴ μέν, ἀλλὰ πνευματική. Πίστευσον γάρ μοι τιμιώτατε πάτερ, ὅτι πολλοῖς μὲν λόγοις σοφοῖς ὡμίλησα, καὶ πολλὰ βιβλία ἀνελεξάμην, οὐκ ἐτέρφθην δὲ τοσοῦτον ἐπ' οὐδενὶ τούτων, ὅσον ἐπὶ λόγῳ, ἰδιωτικῷ μὲν καὶ ἀφελεῖ, πνευματικῷ δὲ καὶ καθαρῷ· τέρπει δέ με καὶ ἦθος ἄπλαστον, καὶ μοναδικόν, καὶ ὀναίμην ὑμῶν τῶν ἁγίων ἀνδρῶν, καὶ μὴ ἀποβιῴην πρότερον πρινὴ βιώσαιμι μεθ' ὑμῶν.

φ. 197ʳ.

## 28. Τῷ πρωτοβεστιαρίῳ τῷ Λειχούδῃ.

Ἅγιέ μου αὐθέντα, καὶ ὁ πτωχὸς οὗτος τολμηρόν τι πρᾶγμα ἐποίησεν, αὐτὴν τὴν πρώτην ἡμέραν τῆς τεσσαρακοστῆς ἐλθὼν πρὸς ἐμέ, κἀγὼ ἴσως παράνομον, ἐκκόψας τὸ συνεχὲς τῆς πρὸς

θεὸν σχολῆς· ἀλλ' οὐκ ἦν τοῦτον ἀπώσασθαι πρὸς τῷ πυλῶνί μου κείμενον, καὶ μέγα στενάζοντα καὶ ἀπολοφυρόμενον· ὡς δ' οὖν εἶδον ποτὲ καταβιβασθείς, τοῦτό με καὶ μόνον ἠτήσατο, συλλαβὰς ὀλίγας χαράξαι πρὸς τὸν αὐθέντην μου, περὶ αὐτοῦ· τίνα μὲν ἑαυτῷ τύχην ἐντεῦθεν μαντευόμενος, οὐκ οἶδα, πλὴν ἀντ' ἄλλης τινὸς θειοτέρας μεσιτείας, τὴν ἐμὴν πρὸς σὲ τὸν αὐθέντην μου παράκλησιν ἥγηται· ἐγὼ δὲ οὐκ ἂν τοῦτο ἐτόλμησα· μαινοίμην γὰρ ἄν, εἰ πρὸς ἄνδρα τοιοῦτον, οὗ πᾶσα γλῶσσα καὶ φρόνησις ἥττηται, ἑτοίμως οὕτω διελέχθην ἐν γράμμασιν· ἀλλὰ τοσούτοις με ὅρκοις εἰς τοῦτο κατεβιάσατο, ὅσους οὐκ ἦν οὐδὲ λίθινον φύσιν ὑπενεγκεῖν.

Πρῶτα μὲν οὖν τοῦτο αἰτοῦμαι, συγχωρῆσαί μοι τὸ τόλμημα, δεύτερον δὲ μὴ ἀτυχῆσαι τῆς παρακλήσεως· τοῦτο δὲ βούλομαι, οὐ τοσοῦτον ἕνεκεν τούτου, ἀλλ' ἐμοῦ τὸ πλέον· ἐγὼ γὰρ βούλομαι τὴν σὴν ἔχειν εὐμένειαν, ἢ πᾶσαν τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν, καὶ κατάδηλος εἶναι πᾶσιν, ὅτι με φιλανθρωπίας ἀξιοῖς· οὗτος δὲ δημόσιος ὢν ἄνθρωπος, δυοῖν θάτερον δράσει, ἢ γὰρ τυχών, διὰ πάσης τῆς πόλεως τοῦτο βοήσεται, ἢ μὴ τυχών, αὐτὸ τοῦτο ἀποκλαύσεται καὶ μονῳδήσει, θρηνῶν ἴσως καὶ τὴν ἐμὴν ἀτυχίαν.

## 29. Τῷ κριτῇ τοῦ Ὀψικίου τῷ Ζωμᾷ.

Οὐ τοσοῦτον αὐτὸς δυσχεραίνεις τὰς πολλὰς ἴσως τῶν ἀξιώσεων, ὅσον ἐγὼ τὸ δεῖσθαι περὶ πολλῶν, τῶν αὐτῶν, καὶ μάλιστα τῶν, ὁποῖος σύ, τὸ δικαστικὸν σώζων ἀξίωμα καὶ τῆς ἰσότητος ἐν πᾶσιν ἐχόμενος· ἀλλ' ἐπεὶ πρὸς τὰς τύχας τὰς φρένας, κατὰ τὸν εἰπόντα, κεκτήμεθα, ἐγώ τε αὖθις ἀδολεσχήσω ταῖς πρὸς σὲ ἀξιώσεσι, σύ τε καρτέρησον καὶ φιλοσόφησον τὴν ὑπομονήν.

Προσέδει μοναστηρίου ἡμῖν, καὶ δόξαν οὕτω θεῷ, τὸ ἐνδέον

προσγέγονε, καὶ τοῦ Μηδικίου ἤδη δεσπόζομεν· τὸ δὲ Μηδίκιον, μοναστήριον μέν, ἀφανὲς δέ, ὥςπερ τοὔνομα, οὕτω καὶ τὸ πρᾶγμα. Εἰ μὲν γὰρ πολλῆς εὐπορεῖ γῆς, οὐκ οἶδα, ὅτι δὲ κατάχρεών ἐστιν, ἐπίσταμαι ἀκριβῶς· πείθουσι δέ με πολλοί, ὡς ἣν ἀποδῶ τὰ χρέα, καὶ ἐξωνήσωμαι βόας, καὶ προσκτήσωμαι θρέμματα, καὶ ἀμπελῶνας ποιήσωμαι, καὶ ποταμοὺς ἐπιστρέψω, καὶ μετοχετεύσω ὕδατα, καὶ πᾶσαν ἐπ' αὐτῷ κινήσω γῆν τε καὶ θάλασσαν, ἑκατὸν μὲν μεδίμνους πυροῦ, πλείους δὲ ἢ καὶ διπλασίους κομιοῦμαι κριθῆς, ἐλαίου δὲ ὅσας ἄν τις εἴπῃ χοάς.

Ἔγωγ' οὖν, πρίν τι λαβεῖν, οὐκ ὀλίγον, νὴ τὴν τιμίαν σου ψυχήν, χρυσίον ἀνάλωσα· ἀλλ' ἐπειδὴ ἐκεῖνοι τὸ τῆς εὐπορίας κεφάλαιον ἠγνοήκασιν, αὐτὸς ἐγνωκὼς μόνος, ἰδοὺ δὴ πρὸς σὲ καὶ τὴν ἔμψυχον γλῶτταν, τὸν μοναχὸν ἐξαπέστειλα, καὶ τὴν ἄψυχον ταύτην ἀπέσταλκά σοι ἐπιστολήν, εἰ δὲ βούλει καὶ ταύτην ἔμπνουν· καὶ δέομαι δή σου εἴ πέρ ποτε ἀποδοῦναι ἡμῖν σαυτόν, καὶ γνωρίσαι ἐπὶ καιροῦ τὴν σὴν πρὸς ἡμᾶς γνώμην τε καὶ ψυχήν. Κατακέκριμαι γὰρ ὥς φασιν, ἅπαξ ἑστιᾷν σε τοῦ ἔτους, καὶ δέον ἀγάλλεσθαι, ἀπολοφύρομαι ἄντικρυς. Εἰ γὰρ αὐτὸς ὁ φίλτατος ἅμα καὶ εὐγενέστατος, τῆς πτωχῆς ταύτης κατατρυφήσεις μονῆς, σχολῇ γ' ἂν τὸν μετὰ σὲ πείσαιμεν τῆς ἐτησίου ταύτης ἀποσχέσθαι διαίτης· ἐμοὶ δὲ οὐ ταῦτα μέλει περὶ τῆς σῆς ἑστιάσεως· οἶδα γὰρ ὅτι φιλόσοφον παρατίθῃς τράπεζαν· ἀλλ' ὅτι μοι τὸ ὄνομα σμικρυνθήσεται ἐπὶ σοί, καὶ ταῦτα φίλῳ καὶ δικαστῇ. Καὶ ἵνα μὴ σμικρολογίαν τὴν ἐμὴν ἀξίωσιν οἰηθῇς, ὁπόσον βούλει χρέος ὁμολογήσω σοι· φεῖσαί μοι μόνον τῶν ἀποκειμένων ἐν τῇ μονῇ, καὶ μή τις ἐκεῖσε παραγένηται ταξεώτης, ἀρκέσουσι γὰρ ἡμῖν οἱ μετὰ σὲ τοῦτο ποιήσοντες, ὁπότε ἴσως οὐδ' ἐν τοῖς βασιλείοις, ἀλλ' ἐν τοῖς Ὀλύμπου ἐσόμεθα μέρεσιν.

Ἀλλ' ἆρα ἡ πραγματεία τῆς ἀποστολῆς καὶ τῆς ἐπιστολῆς, τοῦ μή σέ τι παρὰ τῆς μονῆς λαβεῖν ἕνεκα, γέγονε; πολλοῦ γε

καὶ δεῖ· ὃν γὰρ ἂν ἡδέως ὑποδέξωμαι ἐν μέσῃ καρδίᾳ, πῶς ἀγρῶν, ἢ χωρίων ἀπώσομαι; ἀλλὰ πεποίημαι ἄμφω, ἵνα σὺ γνῷς, ὅτι δεσπόται γεγόναμεν τῆς μονῆς, καὶ τὰ ἐπὶ τούτοις προσθήσεις, τὸ ἀντιποιεῖσθαι ταύτης, τὸ προσίεσθαι εὐμενῶς τοὺς ἐν αὐτῇ μοναχούς· καὶ τἆλλα ὅσα φιλίας ἀληθοῦς σύμβολα. Μὴ δυσχέραινε οὖν τὴν ἀξίωσιν, ἀλλ' ἀγαλλιῶ, ὅτι με ποιεῖν εὖ ὁ καιρὸς δίδωσί σοι· οὐ γὰρ εἰς ἀγνώμονα καταθήσεις ψυχήν, ἀλλ' εἰς ψυχὴν καὶ γλῶτταν, τὴν μὲν εὐχαριστεῖν, τὴν δὲ εὐφημεῖν δυναμένην.

## 30. Τῷ Κυζίκου.

Ὁ θαυμασιώτατός μοι δεσπότης ὁ Κυζίκου καὶ πάλιν αὖθις,
νῦν μὲν σῖτον, νῦν δὲ κριθήν, νῦν δὲ ἄλλό | τι, καὶ μέχρι τίνος; φ. 198.
μὴ γὰρ θάλασσα εἶ, καὶ εἰσβάλλουσιν εἰς σὲ οἱ ἀένναοι ποταμοί, ἵνα πάντοτε μένῃς καὶ κενούμενος καὶ πληρούμενος; Εἰ γὰρ καὶ πυροφόρος ἡ Κύζικος καὶ ἀμύθητος αὐτῇ τοῦ γενήματος (sic) ἡ πηγή, ἀλλὰ τὸ ἀπορρέον πολύ· εἰ δὲ τοσοῦτον, ὁπόσον τοῖς ἐξοχετεύουσι ταύτην ἐξαρκεῖν ποταμοῖς, οὐ κωλύω τὴν ἀπορροήν· βάλλ' οὕτως, καὶ εὐστοχώτατα πρὸς ἡμᾶς ἀποτόξευε.

Πότε δέ μοι καὶ κομίσεις τὰ περὶ τοῦ Εὐρίπου ποθεινὰ εὐαγγέλια; πότε μοι ταῦτα κἂν τῷ λόγῳ ἀποκτενεῖς; μέχρι δὲ τίνος ἐκεῖνος βιώσεται, καὶ προσθήσει τοῖς ἔτεσιν; Ἔγωγ' οὖν αὐτὸν πρὸ ἐνίων ὀλυμπιάδων ἰδών, ὥς περ οἰωνισάμην, τοσοῦτον αὐτὸν διέφθειρεν ἡ ῥυτίς, καὶ ἐμαντευσάμην ὡς αὐτίκα τεθνήξεται· τί οὖν ἔτι βιοῖ; βαβαί, τοῦ ῥαθύμου καὶ ἐκλελησμένου Χάρωνος! Γέγονε δὴ αὐτῷ ὥς περ σύμβολον παλιγγενεσίας καὶ τὸ τῆς μονῆς ὄνομα, καὶ ὁ Ἀρτιγένης ἐκεῖνος, ἀφ' οὗ τὸ φροντιστήριον ἐπικέκληται, ὥς περ ἄρτι γεννώμενον τὸν γέροντα δείκνυσιν. Ἡ δέ γε φήμη μάτην θεὸς παρὰ τῶν ποιητῶν ἤκουε, ψεύδεται γὰρ ὁπόσα καὶ τὸ πρὶν ὁ Ἀπόλλων· πολλοὶ μὲν γὰρ

ἐκεῖνον, κατὰ τὸν Ἀσκραῖον τεθνηκέναι ἐφήμιξαν καὶ ἔτι φημίξουσιν· ὁ δέ, ζῇ μὲν ὡς ὁ Τιθωνός, ἰσχύει δὲ ὡς οἱ Γίγαντες, ἐσθίει δὲ ὡς ὁ Ἡρακλῆς, δέδοικα γοῦν μὴ καὶ ἀθάνατος κατὰ τοὺς Διοσκούρους γενήσεται, ἢ καὶ τεθνηκὼς αὖθις ἀναβιώσεται ὡς ἡ Ἄλκηστις. Ἀλλὰ ζήτω μὲν ὁ καλὸς γέρων ἐκεῖνος, καὶ ἐμοῦ γε ἕνεκα μὴ ἀποθάνοι ποτέ· εὐρώστει δὲ καὶ αὐτὸς δεξιῶς πρὸς τούτῳ νοσοκομούμενος.

## 31. Τῷ μεγάλῳ οἰκονόμῳ.

Δεῖ καὶ τὸ τῆς οἰκονομίας ὄνομα, δέσποτά μου τιμιώτατε καὶ σοφώτατε, καλῶς ἐπιτεθὲν καὶ πρεπόντως σοι, τὴν ἐμὴν δεόντως οἰκονομησάμενος δέησιν· οἶδας γὰρ πάντως λόγοις παιδευθεὶς καὶ αὐτός, ὡς εἰ μή τις εὐκαίρως τοῖς πράγμασι χρήσαιτο, καὶ κατὰ καιροὺς τοὺς προσήκοντας προσαρμόσειεν, ἄχρηστα ταῦτα ταχέως ἐναπεργάζεται· ἐγὼ δὲ οὐδὲ τοσοῦτον τὴν ἀξίωσιν ἐπαισχύνομαι, εἰ τοιοῦτος ὢν καὶ παρὰ τοιούτῳ σοφῷ, βραχεῖς τινας ἐξ ὑμῶν μεδίμνους ἐπιζητῶ, καὶ περὶ πολλοῦ ποιοῦμαι τὴν ζήτησιν· πρῶτον μὲν ὅτι καὶ Ἠλίαν οἶδα παρὰ τῆς Σιδωνίας ἄρτον αἰτήσαντα, καὶ τὸ τοῦ δικαίου Ἰακὼβ σπέρμα ἐν Αἰγύπτῳ τοῦτο ποιήσαντα· ἔπειτα καὶ βαρύ μοι τοῦτο λελόγισται, τοῖς αἰγιαλοῖς καθημέραν προσπαραγίνεσθαι καὶ τὰς σιτηγοὺς τῶν ὁλκάδων ἀναζητεῖν, καὶ τὰς ἰδέας ἐρευνᾷν τῶν πυρῶν, καὶ τίς μὲν ὁ μακροκεντίτης λεγόμενος, τίς δὲ ὁ διμηνίτης καλούμενος, τίς ὁ μέλας, τίς ὁ τὴν ἀρίστην σεμίδαλιν ἐργαζόμενος, καὶ ποῖος ὁ καθαρώτατος παρὰ τούτοις ὠνόμασται, τίς δὲ ὁ κοῦφός τε καὶ διάκενος, καὶ πόσου διαπωλεῖται τιμήματος, καὶ ἄνδρας ἐπὶ τούτου μισθοῦσθαι καὶ φύλακας τῶν τοιούτων ἱστᾷν, καὶ τὰ τοιαῦτα ποικίλως περιεργάζεσθαι.

Διὰ ταῦτα τὰς πολυπλόκους πραγματείας ἀφείς, εὐώνως ἐξ ὑμῶν ὠνοῦμαι τὰ ἐπιτήδεια, μικρᾶς φιλίας εὐαρίθμους μεδίμνους

ἀνταλλαττόμενος· τοιοῦτον γὰρ τοῦτο τὸ χρῆμα, φημὶ δὴ τὴν ἀγάπην τὴν ἀνυπόκριτον, τὰ μεγάλου τιμώμενα, χωρὶς ἀργυρίων εἰσπράττεται· καὶ ὅ φασι περὶ τῶν γυπῶν οἱ τούτοις τοῖς λόγοις ἐνασχολούμενοι, ὅτι χωρὶς τίκτουσι τῆς τῶν ἀρρένων ἐπιπλοκῆς, τοῦτο περὶ τῆς φιλίας αὐτὸς ἀποφαίνομαι· εἰ μὲν οὖν διὰ σοῦ κατὰ σκοπὸν προέλθῃ μοι τὸ αἰτούμενον, ἐπὶ σὲ τὴν χάριν ἀναρτῶ τοῦ πράγματος ἅπασαν· εἰ δ' οὖν, τὸ τοῦ Ἄχαζ καὶ αὐτὸς ἀποφθέγγομαι, ὡς οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ ἐκπειράσω ἔτι περί τινος, δέσποτά μου· ἡ γὰρ μικρὰ προσβολή, καὶ τῶν ἄλλων πάντων προοίμιον, καὶ ὁ τῆς οἰκίας καπνὸς τὴν ἔνδον φλόγα αἰνίττεται.

Ἔδει μὲν οὖν με μὴ δὲ νῦν αἰτεῖσθαι περὶ τούτων ὑμᾶς, μεγάλας ἔχοντα τὰς ἐπαγγελίας καὶ ἄλλων ἐν προσδοκίαις ὑπάρχοντα, ἀλλὰ τί πάθω; κρατήρων μὲν καὶ ψυκτήρων καταφρονεῖν εἰώθαμεν ἄνθρωποι, σίτου δὲ οὐδεὶς τῶν ἁπάντων καταπεφρόνηκε· καὶ ἵνα σοι τἀληθὲς ἐρῶ, ἐμοὶ μὲν ἀρκούντως ἐπιχορηγοῦνται τὰ ἄλφιτα, ἀλλά μοί τις αὐτόθι ἐστὶν ἀδελφή, πτωχὴ μέν, μονάζουσα δέ, καὶ διὰ ταύτην καὶ ταύτην πρὸς ὑμᾶς ποιοῦμαι τὴν ζήτησιν.

## 32. Τῷ κριτῇ Πελοποννήσου καὶ Ἑλλάδος.

Περίβλεπτε κύριέ μου καὶ ἠγαπημένε ἀδελφέ, εἰ καλλονὴν ἤθους, εἰ χρηστότητα τρόπων, εἰ ἀδολωτάτην διάθεσιν ἐπιποθεῖς διὰ χρόνου θεάσασθαι, εἰ φίλον ἐμὸν ἐν καρδίᾳ μέσῃ κατασκηνώσαντα, ἰδού σοι οὗτος παρίσταται ὁ κάλλιστος πάντων ἀνθρώπων, καὶ τὴν ἀρετὴν καὶ τὸ γένος ἐπίσημος, κατακριθεὶς μέν, δεῖ γὰρ οὕτως εἰπεῖν, ὑπερόριον ἀποδημίαν, καὶ πρᾶξιν φορολογίας, τιμήσων δὲ σύμπαντας πράκτορας, τῇ τε τρόπου αἰδεσιμότητι, καὶ τῇ δικαιοσύνῃ τῶν ἀπαιτήσεων. Τοῦτον εἰ ἴδοις | εὐμενῶς καὶ γνησίως, εἰ φιλικῶς περιπτύξῃ, εἰ φίλτατον ἡγήσῃ φ. 198ʳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ οἰκειότατον, κατάλληλόν τι καὶ πρέπον ποιήσεις τῇ βελτίστῃ σου διαθέσει· ψυχαγωγηθήσῃ δὲ καὶ αὐτός, πῶς ἂν εἴπῃς, μεταστήσας τὴν σεαυτοῦ ψυχὴν ἀπὸ περιέργων ἀνθρώπων εἰς καθαρώτατον καὶ ἀπράγμονα, ὥς περ οἱ τὸν ἥλιον, ἀχλύος οὔσης καὶ χειμῶνος ἐπικειμένου, ἀνατέλλοντα θεασάμενοι· καὶ εἴης μοι τοῦτον καὶ ὁρῶν καὶ συνομιλῶν καὶ τῆς ἐντεῦθεν εὐθυμίας πληρούμενος.

## 33. [Τῷ αὐτῷ].

Ὁ τῶν Ἀθηνῶν διοικητής, ἐνδοξότατε κύριέ μου, μόλις ποτὲ τὴν θρυλλουμένην Ἑλλάδα ἰδών, ὡς τὴν Σκυθῶν θεασάμενος, τὴν ἑαυτοῦ τύχην ἀπολοφύρεται· καὶ οὔτε ἡ ποικίλη τοῦτον εὐφραίνει στοά, οὐχ ἡ νέα ἀκαδημία, οὐχ ὁ Πειραιεύς, ἀλλ' ἡ ποικίλη τῶν Ἀθηναίων γνώμη ποικίλας αὐτῷ τὰς συμφορὰς δίδωσιν.

Ἀλλ' οὗτος μέν, βελτίστη ψυχή, ἅτε τῆς ἡμετέρας μουσικῆς ἄμοιρος, πείθειν οὐκ οἶδε τὴν Ἑλλάδα τὰ δημόσια τούτῳ καταβάλλειν χρέα· πεῖσον γοῦν αὐτός, εἰ μὲν βούλει λόγοις, εἰ δ' οὖν ἔργοις καὶ ἀπειλαῖς, καὶ ἀπόδος ἡμῖν τὸν ἄνθρωπον, μὴ πάνυ τὴν Ἑλλάδα μισήσαντα, ἀλλ' ἔχοντά τι καὶ ὑπὲρ ταύτης εἰπεῖν.

## 34. [Τῷ αὐτῷ].

Καὶ οὗτος ἐμός, τιμιωτάτη καὶ ἁγία ψυχή, καὶ διὰ τοῦτο σός· ἀντιποιητέον οὖν σοι τῶν σῶν ἢ καὶ ἐμῶν, εἰς ταὐτὸ γὰρ ὁ λόγος ἥκει φέρων ἄμφω· αἱρέσεως γὰρ αὐτῷ δοθείσης ἑλέσθαι ὃ βούλεται τῶν θεματικῶν πρωτονωταράτων, κατὰ γνώμην ἐμὴν τὸ τῆς σῆς ἐπαρχίας προείλετο, καὶ τοῦτο κατὰ λόγον·

ἐκείνην γὰρ ὑπέδυ τὴν σκηνήν, ἣν στερρότερος ὑπερείδει κίων· ἐπειδὴ γὰρ ἠκηκόει ὅτι μοι ὁ φίλτατος πάντων ἀνδρῶν τῆς Ἑλλάδος προΐσταται, τὴν τῆς Ἑλλάδος εἴσπραξιν τῶν ἄλλων προκέκρικε.

Πρόστηθι οὖν τοῦ ἀνδρός, μᾶλλων δὲ γενοῦ χειμαζομένῳ λιμὴν εὔδιος· ἐγὼ γὰρ χειμῶνι προσεικάζω τὴν Ἀττικήν, ἢ καὶ χειμῶνος χείρονι. Αὐτοὶ γὰρ οἱ ἔμποροι τῆς νεὼς τὰ κύματα ἐπαγείρουσι καὶ ἀναζέουσι τὸ κλυδώνιον· ἀλλὰ σὺ τοὺς μέν, ἡσυχάζειν πεῖσον, τοῦτον δὲ ἀκταῖς ἀκλύστοις προσόρμισον, διὰ τὴν φυσικὴν καλοήθειαν, διὰ τὴν πρὸς ἡμᾶς σου φιλίαν, διὰ τὴν πρὸς τοὺς δεομένους φιλανθρωπίαν.

## 35. [Τῷ Ἀμασείας].

Ὁ μέγας Ἀμασείας καὶ σύγκελλος, ὁ τὰ πρῶτα τῆς εὐγενείας, ὁ τὰ πρῶτα τῆς λογιότητος, εἴποιμι δὲ καὶ τῆς ὁσιότητος καὶ σεμνότητος, ἀλλ' οὗτος ὁ τηλικοῦτος, οὔτε ἐπιστέλλει πρὸς ἡμᾶς, οὔτε προσφωνεῖ ὀλιγοσύλλαβόν τινα προσφώνησιν τό, ὑγίαινε, οὔτε διδάσκει ὅπως αὐτῷ ὁ τοῦ Ἀρμενιακοῦ διετέθη κριτής, ὁ ἐμὸς μὲν υἱός, σὸς δὲ γνησιώτατος ἀνεψιός. Εἰ μὲν οὖν, ὥς περ δὴ παρ' ἡμῶν παρήγγελται, οὕτω δὴ καὶ γνώμης ἔχει πρὸς σέ, πέφευγε τὴν ἐμὴν τιμωρὸν χεῖρα, εἰ δὲ μικρόν τι παραβέβηκε τῶν ἐμῶν ἐντολῶν, δαρήσεται πολλάς· ἀλλ' οἶμαι μὴ δαρήσεσθαι, οὕτω γὰρ αὐτὸν ἐξεπαίδευσα, ὡς μὴ δεῖσθαι πληγῶν, ἀλλ' ἀξιοῦσθαι τιμῶν· εἰ δὲ καὶ τῶν παρὰ σοῦ ἐπαίνων τύχῃ, καὶ ἐν καιρῷ, καὶ πρὸς ὃν δεῖ, τοῦτο τὸ εὐκταιότατον· ὁ γὰρ Σαββαΐτης πολλαῖς αὐτὸν ταῖς ὕβρεσι καταπλύνει συμπεριλαμβάνων καὶ σέ, οὐδὲν δὲ ἧττον κἀμέ, πόρρω καθήμενον, καὶ τὸν βασιλέα, καὶ τὸν θεόν· διακυρίττεται γὰρ καὶ πρὸς αὐτὸν οὐρανόν, καὶ προσουδίζει μὲν τὴν

κεφαλὴν τῇ γῇ, προσαράττει (*) δὲ καὶ σκοπέλοις καὶ πέτραις. Τῶν μὲν οὖν ἄλλων μὴ ἔχοι φειδώ, ἐγὼ γὰρ πρῶτος αὐτῷ πρὸς τὰς φλυαρίας ἐπιδύω τὴν ἀκοήν, ἢ μᾶλλον δεχόμενος ἐπιμειδιῶ, φειδέσθω δὲ τοῦ πρὸς κέντρα λακτίζειν, ἵνα μὴ διαιμαχθείη τὰ σκέλη.

## 36. [Ἰωάννῃ τῷ Ξιφιλίνῳ].

Μακρόθεν ἐγγύς, πρὸς τὸν ἐγγύθεν μακράν, ἢ μᾶλλον πόρρωθέν σοι τῷ πλησίον ᾠκείωμαι, βελτίστη καὶ ἁγία ψυχή· ἐγὼ γὰρ τὴν πρὸς σὲ ἐγγύτητα καὶ ἀπόστασιν οὐ τοπικοῖς χαρακτηρίζω τοῖς διαστήμασιν, ἀλλὰ σχέσεως μέτροις καὶ διαθέσεως· σύνειμι γοῦν ἀκριβῶς σοι καὶ συμπέφυκα τῇ ψυχῇ, ναὶ νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν· εἰ δέ σε πρότερον θεὸς ᾠκειώσατο, ἀλλ' οὐ διὰ ταῦτα ἡμᾶς ἀπώσατο· οὐ γὰρ ἐπὶ τοῦ αὐτοῦ καιροῦ εἰς τὴν ἀμπελουργίαν πάντας ἐκάλεσεν ἀλλ' ἐκλήθησάν τινες καὶ ἐνδεκαταῖοι· ἐγὼ δὲ τριταῖος μὲν ἴσως, εἰ δὲ μὴ εὐθὺς ἀπήντηκα, ἀλλ' οὐκ ἀνεβαλόμην τὴν πρόσκλησιν, οὔτε τὴν γυναῖκα προθέμενος, οὔτε τὸν ἀγρὸν τὸν νεώνητον, ἀλλὰ μονονοὺ τὰς βλαύτας ὑποθησάμενος, ἀφώρμησα τῆς ἀφετηρίας. Εἰ μὲν οὖν κατὰ τὸν σὸν δρόμον καὶ αὐτὸς δραμοῦμαι, ἔχω τὸν ἴσον μισθόν, ἢ καὶ τὸν ἐλάττονα, τὸ γὰρ πλέον προέλαβον· εἰ δ' οὖν, ἀλλὰ μηδὲν εἴποιμι δυσχερές. Τῆς δὲ λαύρας τῶν Κελλίων δοθείσης μοι, ὁ παρὼν ἔσταλται μοναχὸς ταύτην παραληψόμενος.

## 37. [Τῷ αὐτῷ].

φ. 199. | Εἴ σοι καὶ πάλιν μὴ πολλὴ προσεδρεία τοῦ ἐντυγχάνειν θεῷ, καὶ πρὸς ταύτην κατάβηθι τὴν ἐπιστολὴν ἢ ἐπιστράφηθι· καὶ

(*) χειρόγρ. προσαρράττει.

ταύτην μὲν ἀνάγνωθι, τὸν δὲ φίλον γνῶθι ἀτυχοῦντα λίαν ἐν οἷς εὐτυχεῖ· τὸ γάρ τοι βασίλειον καὶ ἡ τῶν ἀνακτόρων λαμπρότης καὶ ταῦτα, οὐ πάνυ μου τὴν ψυχὴν καταθέλγει· εἰμὶ γὰρ ἐν τούτοις ὥς πέρ τις λίθος τῶν φαύλων τε καὶ εὐώνων τοῖς τιμιωτέροις συνηρμοσμένος, οὐ μᾶλλον ἐκεῖθεν κοσμούμενος ἢ ὑβριζόμενος· ἡ γὰρ παράλληλος κρίσις τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ἐκεῖνο μὲν λευκότερον, θάτερον δὲ τῶν χρωμάτων μελάντερον ἢ ἐστί, δείκνυσιν.

Ὁ μὲν γὰρ αὐτοκράτωρ καὶ ἀγχοῦ τοῦ ἑαυτοῦ βήματος ἵστησι, καὶ τὰ πρῶτα χαρίζεται τῆς τιμῆς· ἀλλ' ἐμοὶ τὸ προσιέναι τῷ κοσμοκράτορι, ἀπιέναι τοῦ πρώτου βασιλέως ἐστί, καὶ τὸ μᾶλλον προσχωρεῖν, ἀπόστασιν ἐκείνου οἴομαι πλείονα· καὶ εἰ μή με τὸ φιλοσοφεῖν ἐν ταῖς βίβλοις παρεμυθεῖτο καὶ τὸ τοῖς τῶν λόγων προσομιλεῖν ἐρασταῖς, ἀναχώρησιν ἂν τοῦ καλοῦ παντελῆ τὸ κατ' ἐμὲ πρᾶγμα ᾠήθην. Τί ποτ' οὖν; οὕτω κρίνων τὰ πράγματα, καὶ ὃ μὲν ἔχω δουλείαν οἰόμενος, ἐλευθερίαν δὲ οὗπερ ἐρῶ, ἑκουσίως θητεύω τῷ βίῳ· καὶ ἀτεχνῶς ἐμαυτὸν τοῖς ἐνταῦθα καταδεσμῶν πράγμασι, δέδοικα ἐμαυτὸν καὶ οὐ πάνυ τὴν καθαρὰν θαρρῶ ὑπεξαγωγήν. Οὐ γὰρ πάντας τοὺς κατέχοντάς με μίτους διέρρηξα, ἀλλὰ τοὺς μέν, ἴσως, οἱ δὲ μείζους κλωστῆρες οὐ καταλύονται· καὶ φεύγοντι μὲν δοκοῦσι πρὸς μικρὸν ὑπεκλύεσθαι, τῇ δὲ φυγῇ ἐμμένοντα ἀντιδράττονται.

Διὰ ταῦτα τὴν ἐνταῦθα προσεδρείαν οὐκ οἶδα εἴτε φιλοσοφῶ, εἴτε ἀνέχομαι· δοκῶ μὲν γὰρ φιλοσοφεῖν, κατὰ βραχὺ τὴν πέδην λεπτύνων καὶ ἠρέμα αὐτὸν ὑπεκλύων, τὸ δ' ἀληθές, οὐ φιλοσοφία τὸ πρᾶγμα, ἀλλὰ ψυχῆς ἐστιν ἔκλυσις. Εἰ μὲν οὖν ἐκφύγοιμι τὰς σειρῆνας, πόρρωθεν ἀποπλεύσας καὶ διελάσας, πέρας τοῦτο εὐδαιμονίας οἰήσομαι, εἰ δὲ μή, μέχρι τινὸς καθεδοῦμαι παραβύσας τὰ ὦτα κηρῷ, ἵνα μὴ τοῦ μέλους ἀκούω· οὐ γὰρ ψεύδεται Ὅμηρος αἰνιττόμενος, ἀλλ' ὡς ἀληθῶς τοῖς μουσικοῖς θελγήτροις κατέχουσιν ἡμᾶς καὶ προσαπολλύουσιν.

## 38. Τῷ βεστάρχῃ καὶ κριτῇ Μακεδονίας τῷ Χασάνῃ.

Ἀλλ' ἐμεμψάμην ὡς τὰ πολλὰ ἀπεσταλκότα καὶ τὸν φιλόσοφον ἀγνοήσαντα; ἀλλ' ἐμεμψάμην; Μὴ οὕτω μανείην· ἐπήνεσα μὲν οὖν ὡς καὶ τὸν φίλτατον τοσούτοις δεξιωσάμενον καὶ ὡς πρὸς ἄμφω κατὰ λόγον ἀπηντηκότα, πρὸς μὲν τὸν φιλόσοφον τῇ ποιότητι, πρὸς δὲ τὸν πρόεδρον τῇ ποσότητι, ἀμφοῖν δὲ πρὸς τὸν ποθούμενον. Ἀξιῶ οὖν αὐτὸς μὴ μεμφθῆναι, εἰ μή τι ἀξίως τῶν ἀπεσταλμένων τὴν γώμην εἰρήκαμεν.

## 39. Τῷ αὐτῷ.

Δικαίαν σοι ὡς οἶμαι ἀξίωσιν ταύτην προτείνομαι περὶ τοῦ νοταρίου Μιχαήλ· ἀξιῶ γὰρ ἀποσταλῆναι αὐτὸν πρὸς τὴν οἰκίαν αὐτοῦ, τῆς γυναικὸς αὐτοῦ νοσήματι ἁλούσης δεινῷ, ἧς οὐδὲν προτιμητέον αὐτῷ ἐστιν, οὔτε κέρδος, οὔτ' ἄλλό τι. Καὶ ἔσται μὲν οὐδεμία τῷ ἀνθρώπῳ ὄνησις ἐκδήμιον ἴσως ἰδόντι τὸν βίον· ἀλλ' ἡ σχέσις οὐ λογίζεται τοῦτο, ἀλλὰ καὶ τὸ ἅπαξ ἰδεῖν τὸ ποθούμενον, ἐν εὐεργετήματι τίθεται. Αὐτός τε οὖν ἀσχάλλει αὐτόθι ἐπὶ τῷ ἤδη θανάτῳ τῆς γυναικός, κἀκείνη οὐ φέρει ἀποδημοῦσα τὴν τοῦ ἀνδρὸς διάστασιν· ἴσως οὖν τεθνήξεται, ἴσως δὲ ζήσεται. Μέτρησον οὖν αὐτῷ εἰς ἡμέραν τῆς ὁδοῦ τὸ διάστημα, καὶ μετὰ τὸ γενέσθαι ἐπὶ τῆς οἰκίας, τρεῖς καὶ τέσσαρας ἡμέρας αὐτῷ χάρισαι, ὡς ἂν ἢ θρηνήσῃ τὴν γυναῖκα, ἢ εὐθυμήσῃ ἰδών, καὶ ταχὺ πάλιν ἐλεύσεται πρὸς σέ. Καὶ οἶδα μὲν ὅτι παρὰ καιρὸν βούλεται εἰσελθεῖν, ἀλλ' ὅμως συγγνώμην αὐτῷ πᾶς τις ἀπονείμῃ τῆς αὐτῆς ἐπιθυμίας καὶ προθυμίας, καὶ πρόϊδε πάντων σὺ ὁ διακριτικώτατος καὶ εὐσυνείδητος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 40. Τῷ Εὐχαΐτων.

Τῷ πάντων ἐμοὶ σοφῶν λογιωτάτῳ καὶ ἀρχιερέων ἁγιωτάτῳ· εἶτα τί μετὰ τοσοῦτον ὄγκον τῆς ἀληθοῦς εὐφημίας, ἀξίωσις περὶ πτωχοῦ καὶ γέροντος; καὶ ταῦτα οὐχ ἵνα τῆς χαλαρᾶς ἀπαλλάξῃς ῥυτίδος, οὐχ ἵνα πλούσιον ποιήσῃς ἐκ πένητος, ἀλλὰ τί; ἵνα ἐλεῇς· εἰ δὲ μὴ τοῦτο ἠξίωσα, οὐ σὺ ἂν ἐμίσησας; πολλοῦ γε καὶ δεῖ· ἀλλ' οὗτος οἶμαι παραπαίει. Ὡς γοῦν ἐνέκειτο πολλάκις με περὶ τούτου παρακαλῶν, ἐγὼ μὲν ἐγέλων, ὁ δὲ ἠρώτα τὴν αἰτίαν τοῦ γέλωτος· ἐπεὶ δὲ ἀπεκάλυψα τὸ μέτρον εἰπὼν τῆς αἰτήσεως μέτριον, ἔφησε σεμνώσας τὸ πρόσωπον, ἡμέρου βλέμματος, τοῦ σοῦ δὴ λέγω, τυχεῖν καὶ ὁμιλίας, καὶ χειρὸς ἐπαφῆς, ὃ δὴ ἄντικρυς θεία τις ἐστὶν ἐπισκίασις.

Ἠγάμην οὖν εἰπόντα τὸν ἄνθρωπον, καὶ τὸ σὸν ἐμακάρισα, πῶς ἂν εἴποιμι, εὐτυχές. Ἔγωγ' οὖν πολλὰ μὲν|, ὡς ἦσθα φι- φ. 199ᵛ.
λοσοφήσας, πλεῖστα δὲ ὠφελήσας πολλούς, οὐδέ πω τοιούτων ἠξιώθην φωνῶν.

Τί οὖν ἐπὶ τούτοις ποιήσεις τῷ γέροντι; οἶδ' ὅτι χρηστὰ πολλά, ἀλλὰ δὴ θᾶττον· ἐπ' ὀλίγαις γὰρ οἶμαι τοῦτον ζῆν ἀναπνοαῖς. Ἐνθυμοῦμαι δὲ τί ἐρεῖ τυχών, ὁπότε μὴ τυχὼν πᾶσαν ὑπερῆρεν ὑπερβολήν, ἀλλὰ φοβοῦμαι μή ποτε τὸ κύκνειον ᾄσας διαφωνήσῃ εὐθύς, ὅλον δὴ τὸ πνεῦμα ἀποφυσήσας τοῦ πνεύμονος.

## 41. Τῷ κριτῇ τῶν Ἀνατολικῶν.

Τί ἐμοὶ καὶ σοί, περίβλεπτε κύριέ μου καὶ λογιώτατε πάντων ἀνδρῶν, μέχρι τούτου μοι τῷ ἔπει χρηστέον, τὰ δ' ἄλλα καὶ μάλα μεταβλητέον; Ἦλθες γὰρ ἐν καιρῷ μεγαλῦναι ἡμᾶς·



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τί τοῦτο, ὅτι λογιότητι πάντας ὑπερβαλών, ἔτι καὶ τοῖς φιλικοῖς καθήκουσιν ὑπερέβαλες; Ἐγὼ δέ σε οὐ ταύτῃ μόνον θαυμάζω, ἀλλὰ καὶ ὅτι τοῖς περὶ φιλίας λόγοις ὡμιληκὼς καὶ τὰ ἐκεῖθεν περὶ ταύτης μεμαθηκὼς δόγματα, οὐκ εἰς πολλοὺς διαιρεῖς τὴν διάθεσιν τῆς ψυχῆς, ἵνα μὴ κατὰ τοὺς διαιρουμένους τῶν ποταμῶν λεπτοί σοι οἱ τῆς ἀγάπης χείμαρροι εἶεν· ἀλλὰ πρὸς μὲν τοὺς ἄλλους ἀφοσιοῖς τοὺς τῆς φιλίας θεσμούς, ἐμοὶ δὲ μόνῳ ὅλῳ ἐπικλύζεις τῷ πελάγει τῆς ἀρετῆς, οὕτω μετ' ἤχου, ὡς ἐπὶ πάντα τὰ πέρατα τῆς γῆς τὸν φθόγγον ἀκουσθῆναι τῆς περὶ ἡμᾶς σοῦ καθαρᾶς διαθέσεως· ὅθεν καὶ πλατεῖαν ἐφ' ἡμᾶς τοῖς καταπονουμένοις ἀνέῳξας τὴν ὁδόν.

Ἄλλοι γοῦν ἐπ' ἄλλοις συρρέουσιν, ὁμοῦ τε κηρύττοντες ὅπως ἀλλήλους ἀντηγαπήκαμεν, ἅμα δέ με καὶ πρὸς τὴν σὴν εὐμένειαν ὑπὲρ ἑαυτῶν προβαλλόμενοι· οἱ μὲν οὖν ἄλλοι μετρίως πως τὴν πρὸς ἀλλήλους διάθεσιν ἀνεκήρυττον, ὁ δὲ Σωζοπόλεως, ἀλλὰ πῶς ἂν εἴποιμι; Οὗτος γὰρ τἆλλα ἰσχνὸς ὢν τὴν φωνὴν καὶ λεπτὸς τὸ φθέγγεσθαι, ἐπειδὴ τοῦ περὶ ἡμῶν λόγου κατήρξατο, τὰς Τυρρηνικὰς ὑπερῆρε σάλπιγγας, Στέντορος ἤχησε μεγαλοφωνότερον, τοῦτο φιλία βοῶν, τοῦτο ἀγάπης ὅρος ἀκρότατος, τοιαύτη τῶν ἐλλογίμων ἀνδρῶν ἡ διάθεσις· ὡς δὲ κατέτεινε λέγων, εἶτα πυκνότερον ἤσθμαινεν ὑπὸ τῆς ἄγαν προθυμίας, ἐπέσχον ἐγώ, ὥστε καὶ αὖθις πνεῦμα συλλέξαι καὶ οὕτως βοᾶν, καὶ κατὰ τοὺς ἐπεχομένους τῶν ἀγωγῶν, ἀπείρῳ αὖθις ἐπέρρευσε τῷ κρουνῷ.

Ὑπὲρ οὗ αἰσχυνθεὶς ἐγώ, εἰ τοιοῦτος τυγχάνων περὶ ἡμᾶς, μὴ ἀναλόγου τῆς ἀντιδόσεως τεύξεται, ἐπὶ τὴν περὶ αὐτοῦ ἦλθον ἀξίωσιν. Ἀξιῶ οὖν ὡς φιλόσοφος πρὸς φιλόσοφον· σὺ δὲ οὐκ ἀγνοεῖς ὡς φιλῶ καθόλου τὸ γένος καὶ τῶν μερικῶν ἀπεχόμενον· τί οὖν ὅ φημι; πᾶν εἴ τί σοι πρὸς ἡμᾶς φιλίας ἐμπύρευμα, ἐπὶ τοῦτον τὸν ἄνδρα ἀναλόγως τῆς πρὸς ἡμᾶς διαθέσεως ἀναμέτρησον· τίμησον ὡς ἀρχιερέα, αἰδέσθητι ὡς χρηστὸν τὸ

ἦθος καὶ τὸν τρόπον ὑπέρσεμνον, φίλησον ὡς φιλίαν εἰδότα τιμᾶν· τὸν τῆς δικαιοσύνης ὅρον ἐπὶ τοῖς τῆς αὐτοῦ ἐπισκοπῆς δεῖξον πράγμασι· στίλβωσον τὴν ῥομφαίαν ἐπὶ τοὺς αὐτὸν ὥς φησιν ἀδικήσαντας· ῥομφαία δὲ τοῦ δικαίου ἡ διὰ γλώττης τομή, ὅταν καὶ μάλιστα νόμοις στοιχῇ· ἀνθύβρισον τοὺς ὑβρίσαντας, πράγμασιν ἀτιμάζων τοὺς ὑβρικότας ἐν ῥήμασι· καὶ ἵνα τὸ πᾶν συλλεξάμενος εἴπω, τοιοῦτος πρὸς αὐτὸν φάνηθι δικαστής, οἷος οὗτος περὶ τὴν ἡμετέραν φιλίαν διαιτητής.

Ἂν οὕτω ποιήσης, καὶ ἐπισταλάξῃς αὐτῷ τὸν τῆς δικαιοσύνης ὑετὸν πρώϊμόν τε καὶ ὄψιμον, ἔτι μάλιστα τὴν αὔλακα τῆς τούτου ψυχῆς πρὸς εὐκαρπίαν εὐφημίας πολυγονωτέραν δείξεις, καὶ ἐπανατελεῖ πλουσιώτατον τὸν τῆς εὐχαριστίας στάχυν ἡμῖν, καὶ πλείονα ἢ πρότερον τὸν τῆς δικαιοσύνης ἀμφοῖν ἐπιδείξει καρπόν.

## 42. Τῷ πατριάρχῃ Ἀντιοχείας.

Μὴ θαυμάσῃς θεοτίμητε δέσποτά μου, εἰ μὴ συνεχῶς γράφομεν, ἀλλ' εἰ μὴ διηνεκῶς μνημονεύωμεν. Ἔχων δὲ τὸ πλέον, μὴ ἀπαίτει τὸ ἔλαττον· ἵνα μὴ δὲ ἐν τούτοις τὸ ἔλαττον ἔχοντες, ὁσάκις ἂν ἐγχωρῇ, καὶ διὰ γραμμάτων τῇ θεοτιμήτῳ σου ψυχῇ ἐντυγχάνωμεν.

Ἴσθι οὖν ἡ ἁγιωτάτη καὶ μακαρία ψυχή, ὡς πᾶν ἡμῖν ἀγαθὸν ἐπιχορηγεῖται παρὰ τοῦ φιλτάτου καὶ καλλίστου βασιλέως ἡμῶν· εὐτυχοῦμεν δὲ οὐκ ἐν τούτοις μόνον, ἀλλ' ὅτι καὶ τὴν σοφιστικὴν ἐν τῇ φιλοσοφίᾳ συμμίξαντες, ἡγεμόνες καὶ τῆς ἐπιστήμης καὶ τῆς τέχνης πᾶσιν οἰόμεθα. Ἡ μὲν οὖν ὑπόληψις οὕτω λαμπρά, ἡ δὲ ἀλήθεια, ἐλάττων πολὺ τοῦ ὑποληφθῆναι· εἰ δ' ἀντανισάσομεν τῷ χρόνῳ τὸ πρᾶγμα ταῖς ὑπολήψεσι, τότε καὶ τὸ τῆς φιλοσοφίας ἑαυτοῖς καθαρῶς ἐπιγράψομεν ὄνομα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 43. Τῷ κριτῇ Ὀψικίου.

Ἔδει μὲν διὰ τὴν συγγένειαν πεπαρρησιασμένως ἐπιστέλλειν πρὸς τὴν σὴν ἐνδοξότητα περὶ ὧν βούλομαι· ἀλλ' ἐγὼ δι' αὐτὸ τοῦτο μᾶλλον αἰδοῦς ἐμπίπλαμαι, καὶ πρὸς τὰς ἀξιώσεις ὑπεσταλμένος εἰμί, ἵνα μὴ καταχρᾶσθαι δόξω τῷ γένει. Τί οὖν χρὴ διὰ ταῦτα καὶ τὴν σὴν μεγαλόνοιαν ἐντροπικῶς ἔχειν ἐμοῦ, καὶ καταφρονεῖν ἀξιοῦν; καὶ δι' ὃ μᾶλλον ἔδει πάντα πληροῦν, διὰ τοῦτο ἀθετεῖν ταῦτα; πολλοῦ γε καὶ δεῖ. Τῇ μὲν παρρησίᾳ τὸ ἐπαχθὲς ἀκολουθεῖ καὶ τὸ αὔθαδες, τῇ δὲ
φ. 200. ὑποχωρήσει καὶ | ὑποστολῇ, τὸ μηδὲν ἡγεῖσθαι φορτικὸν τὴν πρὸς σὲ ἀξίωσιν· μακρηγορῶ δὲ ταῦτα βουλόμενός σε ἐνάγειν εἰς τὸ μὴ δ' ὁ,τιοῦν τῶν ἐμῶν ἐν παρέργου σοι μοίρᾳ λελογίσθαι.
Ὁ γοῦν χρυσοτελὴς τοῦ σοῦ θέματος τῆς πρός με οἰκειώσεως καὶ φιλίας τετυχηκώς, αἰτεῖται καὶ τὴν σὴν εὐτυχῆσαι δι' ἐμὲ ἡμερότητα καὶ εὐμένειαν. Οἶδα μὲν οὖν ὡς ἀρκέσεις τούτῳ φυσικῶς ταῦτα ἐπιδιδούς· εἰ δὲ παρὰ τοὺς ἄλλους φανείης αὐτῷ ἡμερώτερος καὶ χρηστότερος, τὴν τῆς ἐμῆς ἀξιώσεως ἐνταῦθα οὗτος προσθήκην γνώσεται.

## 44. Τῷ μαΐστορι τῷ Ξιφιλίνῳ.

Ἐπαινῶ μέν σου τὴν σιωπὴν περιπόθητε ἀδελφέ, οἶδα γὰρ ποίας ἀρετῆς τυγχάνει οὖσα καρπός, λέγω δὴ τῆς ἀπραγμοσύνης· μέμφομαι δέ σου, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ μετὰ τῶν ἀκαίρων σπουδῶν, καὶ τὴν πρός με ὁμιλίαν λογίζεσθαι· ἦ γὰρ οὐχὶ τοιαύτης σοι καθεστήκαμεν προαιρέσεως; οὐκ ἀπὸ τῶν αὐτῶν ἀρχῶν ἐπὶ τὰ αὐτὰ τέλη κοινῇ προήχθημεν; Τί οὖν, ἐπεὶ σιωπᾷς, ἀδολεσχήσω ἐγώ; οὔ, νὴ τὴν ἱεράν σου ψυχήν· ἀλλὰ κἀγὼ φείδομαι μὲν τὰ πολλὰ τῆς γλώττης, ἔστι δ' οὗ δια-

στέλλω τὰ χείλη, καὶ οὐ πάνυ τὴν λογικὴν ἕξιν ἠθέτηκα· νοῦς μὲν γὰρ ἴσως, ὡς αὐτὸς ὤν, τὰ πάντα σιγᾷ, τίνι γὰρ μεταδώσει φωνῆς ἢ παρὰ τίνος λήψεται; ψυχὴ δὲ συνδεθεῖσα σώματι, τὰ μέν, ἀρρήτως ἕξει, τὰ δέ, δι' ὁμιλιῶν τε καὶ προσφωνήσεων.

Μὴ προστάττῃς οὖν τῷ οἰκέτῃ σου, μὴ δὲ τὸν θεράποντά σου καλέσῃς· κἂν ἐρωτήσῃ σέ τις, ὡς δρῦς ἄφωνος φάνηθι· εἰ δὲ περιττότερον τοῦτο σοφίας καὶ ἀρετῆς, τὴν μέσην βαδιστέον, καὶ μὴ φθονήσῃς ἡμῖν διστίχου ἐπιστολίου, ἁπλοῦ τε καὶ ἀφελοῦς, καὶ ὡς γράφειν ἐξεμελέτησας ὕστερον· πειθέτωσάν σε τοῦτο Γρηγόριοι καὶ Βασίλειοι, οὕτω ταῖς ἐπιστολαῖς ἀνακεραννύμενοι, ὡς μηδὲν πρὸς αὐτοὺς εἶναι τὰ διαστήματα.

## 45. Τῷ μαγίστρῳ Κωνσταντίνῳ καὶ σακελλαρίῳ.

Καὶ τοῦτο μετὰ τῶν ἄλλων σοι ἐστὶ πλεονεκτημάτων, τὸ μὴ δυσωπεῖσθαι χάρισι φίλων, ἢ συγγενῶν, ἢ τῶν ἄλλως οἰκείων, ἀλλ' ὀρθὴν καὶ ἀπότομον ἔχειν ἐπ' ἀμφοτέροις τοῖς μέρεσι τὴν τοῦ δικαίου ἰσχύν· καὶ ταύτης ἐγώ σοι μάρτυς τῆς προαιρέσεως, ἀρκῶν ἀντὶ πολλῶν, ὡς ἂν αὐτὸς φαίης. Θαυμάζω οὖν ὅπως ποτὲ τὴν τοιαύτην διάθεσιν μεταβέβληκας, καὶ περιορᾷς σὺ ὁ τηλικοῦτος τὴν ἀρετήν, ὁ τοῦ μεγάλου ἀρχιερέως ἀδελφιδοῦς, ἵνα μηδὲν ἄλλο εἴπω, ἀδελφὸν ὑπ' ἀδελφοῦ καταδυναστευόμενον, ὅτι ὁ μέν, πλείω κέκτηται καὶ ἀρκεῖ πρὸς τὴν ἐξώνησιν τοῦ ἀποκεκληρωμένου τῷ ἀδελφῷ, ὁ δέ, ἀποχρῶν ἡγεῖται τὸ μέρος, καὶ τοῦ πλείονος οὐκ ἐρᾷ.

Τί οὖν, ὁ μὲν ἀποίσεται τὴν νικῶσαν, ὅτι Συμεών τε ἐστίν, ἵνα μικρόν τι χαριεντίσωμαι, καὶ τοῦ ἰδικοῦ νοτάριος, ὁ δέ, μετὰ τῆς μελαίνης ἐξωσθήσεται, ὅτι τε ἑτέρως κατονομάζεται καὶ τὸ τοῦ ἰδικοῦ οὐκ ἴσησι σέκρετον; Ἀλλὰ μή σύ γε οὕτω ψηφίσαιο· καὶ τοῦτο μὲν ἔλαττον κακόν, οὗτος δὲ τί, τὸ βραχὺ τοῦτο καὶ μέγα τοῦ Πέτρου ἐρώτημα, ὥσπερ μέλος ὑγιὲς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

συναπολαύσει τῷ νενοσηκότι τῆς τομῆς καὶ τῆς καύσεως, καὶ συναδικηθήσεται τῷ ἀδικουμένῳ, καὶ τῆς κοινῆς ἀποπέσῃ χάριτος, ὅς γε πολίτης τέ ἐστιν εἰς ἀρχαιολογίαν γένους ἀναγόμενος, καὶ τοῦ μείζονος μέρος συστήματος, εἴπω σοι τἀληθές, καὶ συγγενὴς ἐμός; φιλοσοφία γὰρ οὐ διενεχθήσεται περὶ τῆς διαφορότητος τῶν ἔξωθεν.

Τί οὖν, ἐπὶ τούτοις ἐλέγξαι σε προεθυμήθημεν τὸν ἀνέγκλητον καὶ πάσαις βρύοντα καλλοναῖς τε καὶ ἀρεταῖς; πολλοῦ γε καὶ δεῖ. Ἀξιῶ οὖν καὶ τὸν Συμεὼν παυθῆναι τοῦ ἀδικεῖν, καὶ τοῦτον τυχεῖν οὗ τυχεῖν ἐστι δίκαιον.

## 46. Τῷ αὐτῷ.

Ἐρῶ σοι, πανάριστε ἀδελφέ, ὅ τι σοι κατενόησα· ἐρᾷς τῶν ἐμῶν λόγων οὕτω δεινῶς, ὡς πρὸς σύμπαντας τοὺς ἄλλους ἀτεχνῶς ἐμφράττειν τὸ οὖς, εἶτα βουλόμενος ὡς ἐκ πηγῆς σοι τούτους ἐπιρρεῖν, τεχνικῶς οὐκ εὐθὺς ἐπινεύεις ταῖς πρώταις τῶν ἀξιώσεων, ἵνα ἡμεῖς μὲν παλιλλογῶμεν περὶ τῶν αὐτῶν, σὺ δὲ τρυφᾷς καὶ γελᾷς τὰς ἐμὰς πολλάκις ἀνελίττων ἐπιστολάς.

Ἐπαινῶ τὴν ἐπιβουλὴν ταύτην, καὶ ἄγαμαί σου τοῦ μηχανήματος, δι' οὗ ἡμᾶς ἑλὼν ἔχεις, καὶ τὴν ἀκρόπολιν εἴληφας· πάλιν οὖν σοι μεταμείψαντες τῶν αἰτήσεων τὰ ὀνόματα, τὰς ἐννοίας φυλάττομεν, ἀλλὰ τοσοῦτον προλαβεῖν δεῖ· οἱ Τελχῖνες οὗτοι πλέον ἢ ἡμεῖς ἀγαπῶμεν ἀλλήλους τὸ πρᾶγμα ἐγνώκασι, καί μοι συρρεῖ πρὸς ταῖς θύραις ὄχλος ἀμύθητος, θυροκοποῦντες καὶ τὴν ψυχὴν καὶ τὰ ὦτα ἡμῶν· τῶν μὲν οὖν ἄλλων περίειμι, πείσας ἀφίστασθαι, πρὸς δὲ τοῦτον εἰς οὐδέν μοι τὰ θέλγητρα· ἔχει γὰρ πᾶσιν ἀντίρροπον τὴν συγγένειαν· μέσος οὖν ἑστηκὼς συγγενικῆς τε ἀναγκαιότητος καὶ φιλίας ὑπερφυοῦς, πῶς ἂν δύο τυραννίδων ἀπαλλαγήσωμαι; Μόνος οὖν αὐτὸς ἔχεις τὸ φάρμακον τῆς ἀπαλλαγῆς, νηπενθές, ἄχολόν τε κακῶν ἐπί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ληθες ἁπάντων· ἀλλὰ μὴ ἐμοὶ κεράσῃς τὸ πόμα, ἀλλὰ τῶν σῶν χαρίτων τὸν ἐμὸν συγγενῆ | μέθυσον, ὅπως ἂν ἐγχωρῇ καὶ φ. 200ᵛ. αὐτὸς δύνῃ τὸ μέθυ ἐγκερασάμενος. Ἐπιστολῶν δὲ ἀφορμὴν ἑτέραν μοι ἐπινόησον· ἐρῶ τίνα καὶ ποίαν, τὸν ποτάμιον ὗν μετὰ τῶν ἄλλων καὶ τοῦτον θειάσας.

## 47. Τῷ κριτῇ τῶν Θρᾳκησίων τῷ Ξηρῷ.

Σὺ μὲν δικαστοῦ δικαίου ἔργον πληρῶν, τὸν παρόντα νοτάριον ἀγώγιμον ἐκ τῆς πόλεως εἰς τὸ θέμα πεποίηκας, ἀποδώσοντα ἃ μὴ δέον λαβεῖν, εἰσεπράξατο· ἡμῖν δὲ πάνυ ἐφάνη τὸ πρᾶγμα σκληρὸν καὶ ἀπότομον· οὐ γὰρ πάντες ἀπόστολοι, οὐδὲ πάντες προφῆται, ἢ ἵνα τὰ σὰ λέγω, οὐ πάντες Μίνωες ἢ Ῥαδαμάνθυες, οὐδὲ τὴν τοῦ δικαίου στάθμην φυλάττοντες ἀρρεπῆ. Καὶ οἶδα μὲν ὅπερ εὐθὺς τῇ καρδίᾳ ἐνενόησας· ἆρ᾽ οὖν, οὐ πολλάκις ἐπὶ τούτοις ἐβόησας; πῶς οὖν ἅπερ ἄλλου ποιοῦντος κατηγόρεις σύ, ταῦτα ποιῶν πεφώρασαι; κακεῖνος γὰρ τοῦτον τὸν τρόπον εὐθύνεται. Ἀλλὰ νῦν μὲν τοῦτο μόνον ὁρᾷς, ἐξεληλυθότα αὐτόθι τὸν ἄνθρωπον, τὸν δ᾽ ἐπὶ τῆς οἰκίας θρῆνον, τὴν δὲ γυναῖκα στερνοκτυποῦσαν, τῶν δὲ παίδων τοὺς ὀδυρμούς, ταῦτα οὔπω λογίζῃ;

Ἀλλ᾽ εὖ ἴσθι ὅτι, νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν, σχῆμα πόλεως ἑαλωκυίας τῷ τοῦ ἀνθρώπου οἰκήματι περιτέθεικας. Εἴ τις οὖν σοι φροντὶς κατηφείας ἀπαλλάξαι ψυχὰς οὐκ ὀλίγας, ἀπειρηκυίας τῷ πάθει, καὶ κλαυθμὸν σβέσαι βρεφῶν φαρμάκῳ σοφῷ, καὶ γυναικῶν στῆσαι θρῆνον, καὶ τοῦτον αὐτὸν ἀπολωλότα ἀνασώσασθαι, καὶ τὸν θεὸν ἀγαθῦναι, καὶ ἡμᾶς θεραπεῦσαι, οὕτω γενοῦ τῷ ἀνθρώπῳ, καθάπερ πολλάκις τὸν θεὸν ηὔξω γενέσθαι σοι ἐπὶ τῆς κρίσεως. Διδάχθητι δὲ παρ᾽ ἡμῶν τἀληθές, ὡς τὰ πλείω ὧν ἔχων ἐξῆλθεν, ἀφ᾽ ἡμῶν εἴληφεν·

οὕτως οὖν ἡμῖν αὐτὸν ἀποκατάστησον, ὡς αὐτίκα δώσοντά μοι τὸ δάνειον.

## 48. [Τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Δούκᾳ].

[Π]άλιν δεξιοῦμαί σε τὸν δεσπότην μου καὶ βασιλέα τρισὶ λευκοσκάροις· ὁ δὲ ἀριθμὸς μυστικός, καὶ θεῖον τὸ ὄνομα· τό τε λευκὸν τοῦ ἰχθύος, ἐκφαντικὸν τῆς σῆς καθαρότητος, ἀλλὰ καὶ ὁ σκάρος μόνος τῶν ἰχθύων λαλίστατος, καὶ ἔστιν ὡσανεὶ ἰχθὺς μουσικός, σύμβολον καὶ οὗτος τῆς σῆς εὐστρόφου γλώττης καὶ μουσικῆς. Σώζοι μὲν οὖν σε ἡ τριάς, καταυγάζοι δέ σε ἡ λευκότης τῶν ἀρετῶν, εἴης δὲ καὶ τῇ γλώττῃ τὰ θεῖα φθεγγόμενος, χρηστότατε καὶ ἐπιεικέστατε, βασιλεῦ.

## 49. Τῷ κριτῇ Παφλαγονίας.

Ὅτε σου τὴν γραφὴν ἐδεξάμην, περίβλεπτε κύριέ μου, τηνικαῦτα τῆς συνήθους ἀλγηδόνος ἐλεύθερος γεγονώς, ἑτέροις ἐξηταζόμην νοσήμασι· πολλῶν γάρ μοι νοσημάτων καὶ συμπτωμάτων συμπεπτωκότων ἐν διαφόροις καιροῖς, οὔποτε τοιαύτης ᾐσθάνθην δυσφορίας τε καὶ κακοπαθείας· οἱ γὰρ πρὸ μικροῦ ἐπισυμβεβηκότες μοι πόνοι οὓς καὶ αὐτὸς ἐπίστασαι, ἀρχαί μοι γεγόνασι τῶν συμβεβηκότων ἀρρωστημάτων, καὶ ὅσον τὸ μέτρον τοῦ μεγέθους ἦν τῶν προηγησαμένων, τοσοῦτον ἦν τὸ μέτρον τοῦ μήκους τῶν ἐπισυμβεβηκότων.

Νῦν οὖν βραχύ τι τῶν δυσχερῶν ῥαΐσας, καὶ πρὸς τὸν μέγιστον ἡμῶν αὐτοκράτορα ἀφικνοῦμαι, καὶ περὶ ὧν ἐμοὶ μέλει τὰς ἐντυχίας πρὸς αὐτὸν ποιοῦμαι· τίνος δέ μοι μέλει τοσοῦτον, ὁπόσον σοῦ τῆς φιλτάτης καὶ ἱερᾶς κεφαλῆς; ἀλλ' ἐρῶ σοι τἀληθές· οὔπω ἀκριβῶς περὶ τῶν σῶν ἀρετῶν διείλεγμαι πρὸς

τὸν αὐτοκράτορα, ἀκροβολίζομαι δὲ πόρρωθεν, ἵνα κατὰ βραχὺ τὸν ὑπὲρ σοῦ ἀγῶνα ποιήσωμαι· καὶ θάρρει τό γε τῆς ἀληθείας μέρος ἐπὶ τῷ σῷ ἀληθῶς φίλῳ Μιχαήλ· θεμέλιον γάρ σοι φιλίας ἀληθοῦς ἀρχῆθεν καταβαλόμενος, οὐκ ἐκστήσομαι τῆς οἰκοδομῆς, ἀλλ' ἀρρενωπὸν τὴν πρὸς σέ μου ἀγάπην θέμενος, μαλακῶν καὶ θηλυτέρων οὐ φροντίσω φρονημάτων· οὐ γὰρ δι' ἑτέρους ἠγάπησα σέ, ἀλλὰ διὰ σὲ ἄλλους· ἐλπίδας οὖν ἐπ' ἐμοὶ ἔχε ἀγαθάς, κἂν δύνωμαί τι τῷ βίῳ, σὺ πρῶτα αἰσθήσῃ τῆς ἐμῆς ἰσχύος τε καὶ δυνάμεως, ὁ κάλλιστος πάντων ἀνδρῶν καὶ φίλος ἀληθής τε καὶ ἀκριβής.

## 50. Τῷ κριτῇ Μακεδόνων.

Ἡ φιλόκαλός σου ψυχὴ οἴκοθεν τὴν πρὸς τὸ καλὸν σύνεσιν ἔχουσα, οὔτε φωνῶν δεῖται τῶν ἔξωθεν, οὔτε γραμμάτων, οὔτε ἄλλων τῶν πρὸς ταῦτα παρορμώντων, καὶ τὴν τούτων ὑποτιθεμένων φιλίαν καὶ δίωξιν. Διὰ ταῦτα οὐ πάλαι σε περὶ τοῦ ἐπισκόπου Πανίου προεθυμήθημεν ἀξιοῦν, εἰδότες ὡς αὐτὸς οἴκοθεν οἰκειώσῃ τὸν ἄνδρα σαυτῷ, καὶ τῆς σῆς ἐν μετοχῇ ποιήσεις μεγαλοφροσύνης καὶ συνέσεως· ἔστι μὲν γὰρ καὶ ἄλλως καλός, ἀρχικαῖς δὲ φιλίαις καὶ μάλιστα προσφυέστατος, τῷ τε γλυκεῖ τοῦ ἤθους καὶ τῷ πολιτικῷ τοῦ φρονήματος. Οὐ γὰρ ἱερᾶσθαι θεῷ μόνον δεδύνηται, ἀλλὰ καὶ ἀνθρώποις προσομιλεῖν δεξιῶς, καὶ πρὸς ἄμφω κατὰ τὸ ἴσον μέτρον μερίζεσθαι εὐφυῶς.

Μὴ θαυμάσῃς δέ, εἰ μὴ ἀξιώσας πρότερον περὶ τοῦ ἀνδρὸς τῶν αἰτιῶν ἕνεκα ὧν εἴρηκα, ἀθρόον νῦν μεταβέβλημαι· μὴ γὰρ βουλόμενος ἀσυντελὴς αὐτῷ φανῆναι καὶ φίλος μέχρις ὀνόματος, ὃ δὴ προείληφε, διὰ τοῦ παρόντος τοῦτο αὐτῷ μνηστεύομαι γράμματος, τὴν σὴν φημὶ καλοκἀγαθίαν, καὶ τὸ οἰκείως πρὸς τὸν ἄνθρωπον ἔχειν, καὶ τὸ μὴ ἐν ἴσῳ τῶν ἄλλων

λογίζεσθαι, ἀλλὰ νέμειν τι πλέον αὐτῷ τῆς σῆς δικαστικῆς
φ. 201· ἰσχύος | καὶ τοῦ ἀκριβοῦς σου φρονήματος, διά τε τἆλλα καὶ τὸ παρ' ἡμῶν ἀξιοῦσθαί σε. Ἀλλὰ δέδωκας περὶ οὗ ἀντιβολοῦμεν; χάρισαι οὖν μοι βραχὺ τὴν σὴν γλῶτταν, καὶ πρὸς τὸν ἐπίσκοπον τοῦτο εἰπέ, ὅτι διὰ τὸν ἀξιώσαντα, τὸ πλέον νέμω σοι τῆς αἰδοῦς.

## 51. Τῷ πραίτορι Θρακησίων τῷ Ξηρῷ.

Βούλομαι μέν, μεγαλοπρεπέστατε πρόεδρε καὶ ἀδελφὲ περιπόθητε, πολλάκις σοι πέμπειν ἐπιστολάς, ἀλλ' ἐπειδὴ μὴ αὔταρκες ἔχω τὸ ἐν τῇ ψυχῇ τεχνικὸν κάλλος, ὥςτε πάσαις αὐτὸ ἐπικεραννύειν, ἐπέχω τὴν ὁρμήν, αἰσχυνόμενος, ὥςτε τὰς μέν, ἡδίους φανῆναί σοι, τὰς δέ, ἀκαλλεῖς τε καὶ ἀτερπεῖς. Ἔστι δὲ τοῦτο πάθημα παρὰ ταῖς γενιώσαις φύσεσιν ἀντιθέτως ἀποτίκτειν τὰ ἔκγονα· οὐ γὰρ ἐν τῷ τοῦ Διὸς ἐδάφει μόνον δοιοὶ κατακείαται πίθοι, καὶ τοῦ μέν, προχεῖται τὰ κρείττω, τοῦ δέ, ἀπορρεῖ τὰ χείρω· ἀλλὰ καὶ ἐν φύσει καὶ ἐν ψυχῇ, ὀκνῶ γὰρ εἰπεῖν ἐν τῷ νῷ, ἡ διττὴ αὕτη μερὶς ἐγκαταμέμικται καὶ διῄρηται· καὶ ἀπὸ τῆς αὐτῆς νηδύος τὸ μέν τι τῶν βρεφῶν μετὰ τοῦ φυσικοῦ κάλλους ἐξέθορε, τὸ δέ, ἐξεκυλίσθη αἴσχους ἀνάμεστον· καὶ τὸ μὲν αὐτοῖν, εὐφυές τε καὶ γόνιμον γέγονε, τὸ δέ, λήθης γέμον εὐθὺς καὶ ἀμβλότητος· καὶ γραφικὴ δὲ χεὶρ δύο πρὸς ἀρχετυπίαν εἰκόνας διαμορφοῦσα, τὴν μέν, πρὸς τὸ παράδειγμα ἀπεικόνισε, τῇ δέ, ἀνόμοιον μετέβαλε τὴν μορφήν· οὕτω καὶ ψυχή, καὶ φύσις, καὶ σῶμα, οὐ πρὸς πᾶσαν ἐπίσης ἰδέαν ἀρκοῦσιν.

Ἀλλὰ σὺ φορολογεῖς ἀτεχνῶς τὰ ἡμέτερα, τὴν αὐτὴν ἐφ' ἑκάστῳ διερευνώμενος ποιότητα καὶ ποσότητα· κἂν κίβδηλόν τι δόξῃ, εὐθὺς ἀντικαταλλάττῃ, κἂν ἐλάττονος ῥοπῆς, οὐ προσδέχῃ, ἀλλὰ ζητεῖς τὸ τοῖς προτέροις ἰσοβαρές. Καὶ ὁ μὲν τοῦ

μύθου Ζεὺς δύο που θυγατέρας μόγις ὡραίας ἀπέτεκε, τὴν Ἀθηνᾶν καὶ τὴν Ἀφροδίτην· κινηθεὶς δὲ καὶ πρὸς γονὴν ἄρρενος, ὥςπερ ἐξήμβλωσε· τὸν Ἥφαιστον ἐνθυμήθητι καὶ τὸν Ἄρεα. Ἐγὼ δὲ πῶς ἄν σοι καὶ πολλὰς καὶ καλὰς ἐπιστολὰς ἀποτέκοιμι;

Καὶ τό γε θαυμασιώτερον, τοῖς μὲν κάλλεσιν ἐνεδρεύει πως ἡ ἀνομοιότης, τοῖς δὲ αἴσχεσιν ἐπιτέταται ἡ ταὐτότης· οὕτω γοῦν αἱ παῖδες οὐ πᾶσαι καλαί, τὰ δὲ τῶν πιθήκων ἔκγονα ὁμοίως ξύμπαντα ἄμορφα. Μὴ οὖν οὕτως ἐχούσης τῆς φύσεως σύ με ἐκ παντὸς τρόπου εἰσπράττου τὸ κάλλιστον· οὐδὲ γὰρ οὐδ' ἅπαντα τὰ γινόμενα πρὸς τὴν τοῦ γράφοντος παραμετρεῖται προαίρεσιν, ἀλλ' οἶδέ τινας ἡ φύσις καιροὺς παρ' οὓς ἢ εὐκαίρως ὠδίνει, ἢ ἀκαίρως ἀμβλώσκει.

Ἀλλ' ὅ με μικροῦ διέλαθε, πότερον, ἐγὼ μὲν ἐργάτης εἰμί, αὐτὸς δὲ μισθοδότης, ἢ μᾶλλον μισθὸν ἔχεις τῆς σῆς ἐργασίας τὰ ἐμὰ γράμματα; Ἀλλ' ἐπεὶ τὸ ἀληθέστερον ἀμφισβητήσιμον, παραχωρήσωμεν ἀλλήλοις τῶν ὀνομάτων, καὶ ἔστω ἑκάτερος ἡμῶν ἐργάτης καὶ μισθοδότης ὁμοῦ· τί οὖν ἡ παρὰ σοὶ ἐργασία; ἡ τοῦ βρόχθου, εἴ γε μὴ ἐπιλέλησαι, ἐπιμέλεια, κἂν οὕτως τοῦτον ἐργάσῃ, ὥςπερ ἐξιὼν ἐπηγγείλω, νικήσεις ἴσως καὶ φύσεως δύναμιν, καὶ ἐμπλήσεις ἡμᾶς γονίμων δυνάμεων, καὶ πάσας ἐπιστολὰς ἀποτέξομέν σοι μετὰ φυσικῆς ἅμα καὶ τεχνικῆς ὡραιότητος.

## 52. [Πρὸς τὸν βασιλέα Κωνσταντῖνον τὸν Δούκαν?]

Ὡς μὲν ἄρτῳ σοι ζωῆς καὶ θέσει θεῷ, τὸν ἄρτον προσάγω, τὸν δὲ οἶνον ὡς ἀληθῶς βασιλεῖ καὶ καρδίας σκυθρωπαζούσας εὐφραίνοντι· ὡς δὲ θνητῷ τὴν ὀπώραν διὰ τὸ φύσει εὐμάραντον· ἀλλὰ σύ μοι μένοις ἀείζωος, κόσμε κόσμου, καὶ κράτος κράτους, καὶ λαμπρὸν βασιλείας διάδημα.

## 53. [Τῇ βασιλίσσῃ Εὐδοκίᾳ?]

Ὁ Χριστός σοι ταῦτα τῇ βασιλίδι, τὴν μὲν ὀπώραν, ὡς ἄνθους κάλλει καὶ χάριτι, τὸν δὲ οἶνον, ὡς νοητῇ εὐφροσύνῃ, τὸν δὲ ἄρτον, ὡς πολλὰς πενήτων στηριζούσῃ ψυχάς, ὦ πᾶν τὸ θῆλυ γένος νικήσασα, καὶ σωματικοῖς κάλλεσι καὶ ψυχικαῖς χάρισι.

## 54. Τῷ μοναχῷ Συμεὼν τῷ Κεγχρῇ.

Ὅτε σου εἰς χεῖρας τὴν γραφὴν ἐδεξάμην, ἰσόψυχε ἀδελφέ, εὐθύμησα μὲν καὶ μικρὸν ἀνήνεγκα τὴν ψυχήν, ἔτι σε περιόντα τῷ βίῳ μαθών, ἡ γὰρ φήμη νεκρόν σε πάλαι ἡμῖν ἐγκατέστησεν· ἠθύμησα δὲ εὐθὺς ἀπὸ τῆς ἐπιγραφῆς. Εἰ μὲν γὰρ πάλαι παρεσκευασμένος ἐπὶ τὴν μεταβολὴν ταύτην ἐλήλυθας, οὐ μόνον οὐκ ἂν ἐδυσχέρανα, ἀλλὰ καὶ ἡδέως ἐδεξάμην τὸ πρᾶγμα· ἐπεὶ δὲ ἀθρόον ἀφ' ἑτέρου πρὸς ἕτερον βίον μετεσκευάσθης, ὑποπτεύω τὸ ἀπαράσκευον, καὶ δέδοικα μήπως σε ὁ πονηρὸς δαίμων νεοπαγῆ πρὸς τὸν τοιοῦτον βίον εὑρὼν οὐκ ἐάσῃ χωρεῖν ἀκωλύτως, οὐδὲ βαδίζειν ἀμεταμελήτως τὴν κατὰ θεὸν πορείαν.

Καὶ μή με ἡγήσῃ, φίλτατε ἀδελφέ, ὅτι τοσοῦτον εἰμὶ ἀφιλόσοφος ὥςτε δυσκολαίνειν ἐπὶ τῷ φιλοσόφῳ σου καὶ θείῳ βουλεύματι· μὴ οὕτω μανείην· ἀλλὰ φοβοῦμαι μὴ πρὸς τοιαύτην διαγωγὴν ἀγύμναστος ὤν, δυσφορήσῃς εὐθύς, καὶ εἰς ἀνάμνησιν τοῦ προτέρου σου βίου ἐλθών, ἐν τοῖς λιμέσιν ὑποστῇς τὸ ναυάγιον· ἐπεὶ εἰ ἐλλαμφθείη ἐν τῇ ψυχῇ σου τὸ φῶς τοῦ προσώπου Κυρίου, καὶ γεύσῃ τῆς ἀκορέστου γλυκύτητος τοῦ τῶν μοναχῶν βίου, πολλάκις σεαυτῷ καταράσαιο, ὅτι μὴ πάλαι πρὸς τὴν γλυκεῖαν ταύτην μετηνέχθης διαγωγήν· εἰ γὰρ καὶ

τραχεῖά ἐστιν ἡ ὁδὸς ἡ πρὸς τὴν ζωὴν ἡμᾶς ἄγουσα, ἀλλὰ καὶ ῥᾳδία ὁμοῦ καὶ γλυκεῖα, τὸ μέν, διὰ τὰς ἐλπίδας, τὸ δέ, διὰ τὴν ἐν τραχύτητι ἐγγινομένην ἡμῖν λειότητά τε καὶ ἱλαρότητα παρὰ τοῦ θεοῦ. | Ὃν (*) γὰρ ἔχει ἡλίου ἀνατολὴ τρόπον φ. 201ʳ. πρὸς τὴν ἐν νυκτὶ ἐπισκότησιν, τὸν αὐτὸν καὶ ἡ τῶν μοναχῶν διαγωγὴ πρὸς τὴν ἐν τῷ βίῳ ἀναστροφήν· οἱ μὲν γάρ, ἐν σκότῳ κάθηνται καὶ δουλεύουσι τῷ κοσμοκράτορι καίσαρι, οἱ δέ, ἐν φωτὶ σκιρτῶσι καὶ ὑπηρετοῦσι θεῷ· τί δὲ ἥδύτερον τοῦ ἐνώπιον παρίστασθαι τῷ θεῷ καὶ ἀμέσως πρὸς αὐτὸν διαλέγεσθαι καὶ τὸ θεῖον κάλλος αὐτοῦ ἐνοπτρίζεσθαι, καὶ διαυγεῖς ἔχειν ἐπὶ τοῖς μέλλουσι τὰς ἐλπίδας; τὸ δὲ ἕνεκα τοῦ θεοῦ κακουχεῖσθαι, καὶ ῥάκεσι κατατρύχεσθαι, καὶ τῷ μελανείμονι τούτῳ σχήματι καθυβρίζεσθαι, οὐκ ἀντὶ πάσης εὐδοξίας ἀρκεῖ;

Ἆρα γὰρ οὐχὶ πολλάκις τὸν ἐπίγειον βασιλέα θεραπεύειν βουλόμενοι πᾶν ὁ,τιοῦν ὑπομένομεν; καὶ γυναικὸς στέρησιν καὶ πατρίδος ἀναχώρησιν; πολλάκις γὰρ καὶ θαλάττης κατατολμῶμεν βυθῶν, καὶ τῆς οἰκείας ἀμελοῦμεν ζωῆς, ἵν' ἡμῖν ἱλαρὸν ἐκεῖνος προσβλέποι, καὶ ἀντιδοίη τὴν φθονουμένην εὐμένειαν; καὶ πόσῳ μᾶλλον ὀφείλομεν ὑπὲρ θεοῦ τοσαῦτα ὑφίστασθαι, κόλασιν, κάκωσιν, ὃς οὐκ ἴσα ἴσοις ἀντιμετρεῖ, ἀλλ' οὐρανὸν αὐτὸν καὶ βασιλείαν ἀΐδιον θλίψεως μικρᾶς ἀντιδίδωσιν;

Οἶδα δὲ ὅτι δύσκολός σοι φανεῖται ἡ ἀμελέτητος τοῦ βίου μετάθεσις, ἀλλὰ τοσοῦτον ὀφείλεις ἀγαλλιᾷν ὅτι νενίκηκας τοὺς πολλοὺς τῷ βίῳ μεμελετηκότας καὶ τῷ τοιούτῳ βουλήματι συγκαταγηράσαντας, ἀκμάζων καὶ ταῦτα τῷ σώματι, πλούτῳ κομῶν καὶ δόξῃ πολλῇ σεμνυνόμενος, καὶ ὀλίγοις, ἵνα τοῦτο εἴπω, πλημμελήμασιν ἔνοχος ὤν. Εὖ γὰρ ἴσθι, ὡς ἐν ᾧ καιρῷ τὰς τρίχας ἀπέκειρας τῷ θεῷ, καὶ τῷ ὑψίστῳ ἀπεδίδως τὰς

(*) Ἐντεῦθεν κατὰ μῆκος τοῦ περιθωρίου σημειοῖ ὁ ἀντιγραφεὺς « Ὅρα οἷα νουθετεῖ τὸν ἀποταξάμενον ».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εὐχάς σου, χορείαν περὶ τὸ θεῖον αἱ ἀγγελικαὶ τάξεις ἐστήσαντο, καὶ γέγονεν ἐν οὐρανῷ ἀγαλλίασις, αὐτῶν δὴ τῶν πρώτων τάξεων δοξολογίαν ἐπὶ τῷ σῷ πράγματι πεμπουσῶν τῷ θεῷ· ἡ δὲ ἀντίθετος τῶν δαιμόνων μερὶς ὑποβρύχιος διὰ τοῦ ἀέρος τοῖς τοῦ ᾅδου καταπέπτωκε μέρεσιν.

Εἴτε οὖν εὐθυμεῖς τὴν καρδίαν, τοῦ θεοῦ σε φυλάσσοντος, δοξολογίαν ἀνάπεμπε τῷ πρὸς τὸν καλόν σου τοῦτον βίον τὴν προθυμίαν χειραγωγήσαντι· εἴτε διὰ δοκιμασίαν, δυσχερεῖς σε καταλαμβάνουσι λογισμοί, καὶ διακόπτῃ μεριζόμενος ταῖς φροντίσι, καὶ αὖθις ἱλαρῶς ἔχε, καὶ μαρτύριον λογίζου τὴν ἀθυμίαν, ἐπειδὴ καὶ μαρτυρίου σοι πλακήσεται στέφανος. Πλὴν μή σέ τις πανοῦργος ὑποβολὴ δαίμονος ἐπὶ τὴν ὑψηλοτέραν ἀναβιβάζουσα ἄσκησιν καὶ τὰς ἐκεῖ κακώσεις ὑποτιθεῖσα, πείσῃ τὴν σωτηρίαν ἀπαγορεῦσαι· οὐδὲ γὰρ εὐθὺς ὁ κανὼν βούλεταί σε ἀετοῦ πτερὰ περιθέμενον ἀναπτῆναι πρὸς οὐρανόν· ἀλλ᾽ ἀρκετὸν τῷ θεῷ καὶ ἡ ἀθρόα αὕτη μετάθεσις· εἶτα κατὰ βραχὺ βαδίσεις ἐπὶ τὴν θειοτέραν ζωήν.

Μὴ οὖν ὑπόθοιο σαυτῷ τὴν ἀτομωτέραν τρίβον τῆς ἀρετῆς, ἐπεὶ καταπέσῃς εὐθύς· ἀλλ᾽ ὑπομίμνησκε τὴν σεαυτοῦ ψυχήν, ὅτι καὶ φίλοις προσομιλήσεις, καὶ τῆς ἱλαρᾶς καὶ ἀδιαβλήτου μεθέξεις ζωῆς. Ἂν γὰρ οὕτω διαιτᾷς τῇ ψυχῇ, καὶ ὁμαλώτερον μεταβιβάζῃ τὴν ἀρετήν, ἧττον ταῖς ἐκ τῶν λογισμῶν ἐννοίαις γενήσῃ ἁλώσιμος. Πλὴν εἴτε τὴν ὑψηλοτέραν μετελεύσῃ ἄσκησιν, μεθέξεις τῆς ἀκηράτου ἐκείνης καὶ θείας ἡδονῆς, καὶ τρυφήσεις ἐν τῷ θεῷ, καὶ ἀγαλλιάσῃ τὴν πνευματικὴν ἀγαλλίασιν· εἴτε τὴν μέσην βαδίσεις καὶ ὄντως βασιλικήν, ἣν καὶ ἡμεῖς βαδίζειν προειλόμεθα, ἕξεις κἀντεῦθεν πλουσίας τὰς χάριτας.

Καὶ τί τὰ πολλὰ λέγω; τοῦτο αὐτὸ τὸ ἐν τῷ ἄνθει τῆς ἡλικίας θῦσαι αὐτὸν τῷ θεῷ, οἷόν ἐστιν εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν! Ἐγὼ θαυμάζω κατανοῶν, πῶς ὁ κάλλιστός μοι καὶ ἀνθηρότατος, ὁ πᾶσαν κοσμικὴν φιλοκαλίαν ἠγαπηκώς, καὶ

δεικνὺς τὸ φιλότιμον οὐκ ἐν ἐσθήμασι μόνον καὶ ὑποδήμασιν, ἀλλὰ καὶ μέχρι τῶν λεπτοτάτων, ὁ καὶ τὴν μορφὴν ἀστεῖος, καὶ τὴν ψυχὴν ἀπαστράπτων κάλλεσί τε καὶ χάρισι, ῥακοδυτεῖ νυνὶ καὶ τριβωνοφορεῖ, καὶ τριχῶν καὶ ἐσθῆτος καταφρονεῖ, ἐν οἷς τὰ ἐν ἐπαγγελίᾳ σοι ἑτοιμάζεται ἀγαθὰ καὶ ἡ ἀΐδιος τῶν οὐρανῶν βασιλεία.

## 55. Ἀνεπίγραφος.

| Σοφωτάτη καὶ δικαιοτάτη ψυχή, οἵων μὲν ἐπειράθη κακῶν φ. 202.
ὁ ἄνθρωπος οὗτος καὶ οἵαις περιπέπτωκε συμφοραῖς ἀπὸ συκοφαντίας ἀνθρώπων τὸ πλεῖστον, ἴσως οὐδὲ αὐτὸς ἀγνοεῖς. Ἔγωγ᾽ οὖν παρατυχὼν αὐτῷ κρινομένῳ πολλάκις, ἐθαύμασα τὴν τῶν πονηροτάτων ἀνθρώπων ἰσχύν, καὶ νὴ τὴν ἱεράν σου ψυχήν, εἰ μὴ βραχύ τι τούτῳ συνεπικούρησα, διεφθάρη ἂν παντάπασι ταῖς ἐκείνων γλώσσαις παρασυρείς. Μόλις δὲ νῦν τῶν περιεχουσῶν αὐτὸν διωλισθηκὼς περιστάσεων, τὴν πατρίδα κατέλαβε, καὶ πρὸς σὲ τὸν σώζειν δυνάμενον εὐθὺς ἐξέδραμεν· ἴδε οὖν εὐμενῶς καὶ οἰκτείρησον, καὶ τὸν δυνατὸν τρόπον ἐπικούφισον αὐτῷ τὸ βάρος τῶν ἀλγεινῶν, καὶ τῇ συνήθει δικαιοσύνῃ χρησάμενος, δικαίαν αὐτῷ ποίησον περὶ ὧν κατηγορήθη τήν τε διαίρεσιν καὶ ἀπόφασιν. Οὗτος γάρ ὥς γέ μοι κατεπηγγείλατο, βίον τινὰ ἀπραγμονέστερον διαθήσεται, καὶ ἀπερίεργον ζήσει ζωήν, καὶ οὐδεμίαν ἀπό γε τοῦ νῦν παρέξει τοῖς συκοφαντεῖν αὐτὸν βουλομένοις λαβήν.

## 56. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ.

Τὴν κεφαλήν μου, τὴν κεφαλήν μου· οὐ τὴν ἐμὴν δέ, ἀλλὰ τὴν ἀλλοτρίαν, ἢ κἀκείνην ἐμήν, κἂν ἄλλως ᾠκονομήθημεν· ἀλλὰ σὺ ὁ ἐμὸς Ἐλισαῖος, καὶ μέγα καὶ ἄνωθεν τὸ δέρρας δεξάμε-

νος, καὶ τὴν διπλῆν χάριν Ἡλιοῦ τοῦ πάνυ, οὐκ ἀφῆκας θανεῖν ἐπὶ τῷ τῆς κεφαλῆς ἀλγήματι, ἀλλὰ τὸ ἀποτετμημένον ἀποκατέστησας προσθήκῃ τελεωτέρᾳ καὶ μείζονι. Ἄλλοι μὲν οὖν θεάτροις τερπέσθωσαν, καὶ οἷς ἐκεῖνα κεκόσμηνται κοσμείσθωσαν τήμερον, ἐγὼ δέ, ἀλλ' ἄκουσον ὅπως ἀντίρροπον ἐμαυτῷ κατεσκεύασα τὴν ἡδονήν· ἥσθην γάρ, ὑπερφυῶς ἥσθην τὸν φίλτατον ἰχθὺν θεασάμενος· πρῶτα μὲν εἰς βαλανεῖον ἀφίξομαι, καὶ δῆτα περινοῶ τὸ ἐπιτερπές τε καὶ κάλλιστον, καὶ ἐν ᾧ κολυμβῆθραι καὶ νάματα πλούσια· ἔπειτα ὅλην ἀποτίλας ῥοδονιάν (*), καὶ διατεμόμενος τῶν σμίχων τὰ πέταλα, καὶ τὴν ἄνθην τῶν φύλλων ἐπιστρώσω τοῖς ὕδασι, λευκήν, ἢ φοινικὴν ὅτι μάλιστα τῶν ὑδάτων τὴν ἐπιφάνειαν ἐργασάμενος· καὶ τὸ σῶμα ῥύψας ὅσον εἰκός, ἡδέως τῇ κολυμβήθρᾳ ἐπινήξομαι, στρέφων ἐν νῷ ὅτι ὁ ποτάμιος ὗς ὁ κάλλιστος τῶν ἰχθύων ὀψαρτυσίαις ἐπισκευάζεται· εἶτα βραχύ τι τοῖς ἀποψήσασιν ἐπαναπαυσάμενος, ἕλξει γάρ με εὖ οἶδα ἡ βελτίστη πρὸς τὸ βρῶμα γαστήρ, τράπεζάν τε ἐμαυτῷ θήσομαι, ἄσκευον μὲν καὶ λιτήν, ἐμοὶ δὲ
φ. 202ᵛ. λαμπρὰν ἄλλως καὶ περιττήν· τί γάρ μοι | τὰ πολλὰ τῶν ἐδεσμάτων, τευθὶς ἐπὶ σηπίᾳ, καὶ μετὰ ταύτην ἄλλο σελάχιον, καὶ ἐπὶ τούτῳ μαλακόστρακον (**) ἕτερον, καὶ αὖθις ἄλλο ἐπ' ἄλλῳ, πάντα τοῦ πηλοῦ καὶ τοῦ τέλματος; Ἐμοὶ δὲ πρῶτα μὲν ὁ ποτάμιος ὗς, καὶ αὖθις ὁ θαλάττιος ὗς, καὶ πάλιν ὁ ἀμφίβιος ὗς, ὁ αὐτὸς ἀρχή, καὶ μέση, καὶ τελευτή.

Οὕτως δὴ καὶ ἐπὶ τοῦ παντὸς ἐγὼ θεωρῶ· ἥλιος μὲν γὰρ ἐνταῦθα ἀπαστράπτει, καὶ ἡ σελήνη παρὰ μέρος ἐσχημάτισται, καὶ ὁ φωσφόρος ἑτέραν μοῖραν ἐπέχει, καὶ ὁ ἕσπερος αὐτὸ τοῦτο πρὸς ἑσπέραν ἐστίν, ὁ δὲ οὐρανὸς πανταχοῦ, καὶ ἐπὶ τούτοις μᾶλλον τὸ θεῖον ἢ ἐπὶ τοῖς ἑτέροις τεμαχίοις (***) γάννυται·

(*) γραπτέον - ῥοδωνιάν.
(**) χειρόγρ. μαλοχόστρακον.
(***) χειρόγρ. τεμμαχίοις.

οὕτω δὴ κἀγὼ τὸν ἐμὸν μεριῶ οὐρανὸν ἵνα μοι διαλάβοι πᾶσαν τὴν τράπεζαν, καὶ μηδὲν αὐτοῦ τῶν τμημάτων ἀμέτοχον ᾖ. Καὶ μὴ θαυμάσῃς οὐρανὸν ἀκούων ἐμόν· οὐ γάρ εἰμι τοῦ κανθάρου καταδεέστερος· κἀκείνῳ δὲ τὸ περίττωμα πρὸς τὴν σφαῖραν εἰκόνισται· εἰ δὲ καὶ σὺ ὁ θεῖος ἀνὴρ ὁ πεπομφὼς τὸν ἰχθύν, τοῦτο δὲ τοὔνομα ἀπὸ τοῦ θεοῦ παρωνόμασται, τί καινὸν εἰ ἐν συμβόλῳ καὶ σχήματι οὐρανοῦ μοι δέδωκας μέγεθος; Σὺ δέ μοι τοῦ λειτουργήματος ἀπειληφὼς τὴν ἀπόδειξιν, ἐντεῦθεν καὶ τὰ λοιπὰ ὀφλήματα χαρακτήριζε.

## 57. Τῷ αὐτῷ.

Ὡς εὔκυκλος, ὡς πίων, ὡς πιμελής· τὰ δ' ἐμὰ ποῖα; ὡς ἥδομαι καὶ τέρπομαι, καὶ χορεύειν βούλομαι· ἀλλ' ὁρᾷς ὅπου με τὸν ἀσκητὴν κατεβίβασεν ὁ ἰχθύς! μή ποτε γόης ἐστὶ τὴν φύσιν, καὶ θέλγει τὸν νοῦν, καὶ κατάγει τὴν ψυχὴν ὥσπερ τὴν σελήνην αἱ γρᾶες φασίν, ἢ τῶν μάγων αἱ ἴυγγες ὅσον ἐντὸς οὐρανοῦ παθητικόν ἐστι καὶ θελγόμενον; Ἔγωγ' οὖν πάντων ὑπερφυγὼν τὸ ἡδύ, ἀλλὰ μὴ βάλοι με φθόνος νεμέσεως, τούτου μόνον ἥττων εἰμί, οὐκ οἶδ' ὅθεν ἀγκιστρευθείς· καί μοι τῆς ὀρεκτικῆς καταβληθείσης δυνάμεως, ἐπειδὰν ἴδω τὸν ἰχθὺν ἀνεγείρομαι, καὶ τὴν ὀψαρτυσίαν αὐτοῦ καταλέγω, καὶ τῷ μαγείρῳ ἐπιτάττω τὴν τέχνην ἀκριβῶς τῆς ὀπτήσεως· καὶ πανταχῇ μὲν φιλόσοφος ἴσως εἰμί, ἐνταῦθα δὲ μόνον ἐλέγχομαι, ἡ δὲ τοῦ χρόνου φορὰ μᾶλλόν μοι τὸν πόθον ἐπηύξησε. Σὺ δέ μοι τοῖς ἀγρευταῖς ἐγκέλευε καὶ αὖθις τὴν σαγήνην ἐπιβαλεῖν εἰς τὸ βαθύτερον μέρος τοῦ ποταμοῦ, ἵν' εὐμεγεθέστερον ἁλιεύσωσιν, ὅσῳ γὰρ μείζων, τοσούτῳ καλλίων. Ὄναιο τῆς πηγῆς, ὄναιο τοῦ ῥεύματος, ὄναιό μοι καὶ τῆς συνεχοῦς μεταδόσεως· καὶ μήθ' ὁ ποταμὸς ἐπιλίποι τὸ θήραμα, μήτε σὺ τὴν μετάδοσιν· ἀλλὰ σὲ πότε θηράσομαι τὸ ἐμὸν καὶ γλυκὺ δέλεαρ;



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 58. Τῷ αὐτῷ.

Ὡς ἡδέως τὸν ποτάμιον ὗν, ὡς ἂν εἴπῃ τις ἀνὴρ Ἀττικός, ἁγιώτατε πάντων ἐμοὶ καὶ θεοειδέστατε· οἱ γὰρ ἰδιῶται ἡμεῖς ὕσκαν τὸν ἰχθὺν ὀνομάζομεν, ὡς ἡδέως τὸν ἡδυμελῆ καὶ ἡδύκρεων! ἐκ κυμάτων γὰρ γαλήνην ἑώρακα, καίτοι τὸ βρῶμα πελάγιον· ἐσκίρτησε δέ μοι καὶ ἡ φύσις, καὶ τὴν ὄρεξιν ἠρέθισε, καὶ οἷον ἀπονεκρωθεῖσαν τοῖς τῶν βοτανῶν χυμοῖς, ἀνεζώωσεν. Ὁρᾷς οἷον τὸ προειπεῖν καὶ τοῦ μέλλοντος παραστοχάσασθαι, ἢ καταμαντεύσασθαι; Εἰ δέ μοι τοσοῦτον ἡ γλῶττα περὶ τὴν τοῦ ἰχθύος ἄγραν δεδύνηται, πάλιν καὶ πολλάκις τὸν αὐτὸν ἐρῶ λόγον· κἂν μὴ σὺ ἀναδύσῃ τὰ ὡμολογημένα, ἐμπεσεῖται καὶ αὖθις ταῖς σαγήναις τὸ πολυτίμητον. Εἰ δὲ χαλεπὰ τὰ καλά φασιν οἱ παροιμιαζόμενοι, καὶ τὰ ἡδέα δυσπόριστα, οἴσομεν τὴν τῆς τύχης ἀναβολήν. Ἀλλά μοι θάρρησον καὶ αὐτὸς τὸν δεσποτικὸν εἰπεῖν λόγον, πρὸς ὅν, ὡς πρὸς ἀρχέτυπον, τὴν σὴν ἐξεικονίζεις ψυχήν· κἂν ἐπιτάξῃς τοῖς ἀσπαλιευταῖς βαλεῖν ἐπὶ τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, εὑρήσουσι τὸν ἰχθύν· τῆς γὰρ τοῦ πλήθους ὑπερβολῆς παραχωροῦμεν τῷ κρείττονι· σοὶ μὲν οὖν τῷ μεγάλῳ δεσπότῃ ἀντιδεξιώσαιτο τὰ κρείττονα ὁ θεός, ἐγὼ δὲ ὑμῖν, τῇ καλλίστῃ συζυγίᾳ τῆς ἀδελφικῆς συμπνοίας, τὸν τῆς φιλίας κρατῆρα κίρνημι, ἀντιπροπίοιτε δέ μοι καὶ ὑμεῖς τὴν φιλοτήσιον κύλικα.

## 59. Τῷ αὐτῷ.

Καὶ τί, μετὰ κιθάραν αὐλοί, καὶ μετὰ τὴν λύδιον ἁρμονίαν ἡ φρύγιος; οὐδὲ λοπὰς κακόν ἐστι, ἀλλὰ τὸ τάγηνον ἄριστον. Καλὸν μὲν γὰρ καὶ τοῦτο τὸ δῶρον, πῶς γὰρ οὔ; φυσικὸν ὁμοῦ τε καὶ τεχνικόν, ἀλλὰ γενέσεως γνώρισμα· γάλα γὰρ φθα-

ρείσης τῆς φύσεως ἀποτέλεσμα, ὁ δὲ ποτάμιος ὗς ὁ φίλτατος ἐμοὶ καὶ σεβάσμιος, τῆς πρώτης ἔργον δημιουργίας, ὅτε οὔπω φθορά, οὔπω βρῶσις, οὐδὲ κατάκρισις· χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα· ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα· μὴ συγκρίνωμεν τὰ ἀσύγκριτα· τί ποιήσει χύτρα πρὸς λέβητα; αὐτὴ προσκρούσει καὶ αὐτὴ συντριβήσεται. Μιᾶς μὲν οἱ ποταμοὶ ἄμφω πηγῆς, τῆς σῆς φημὶ δεξιᾶς, ἀλλ' ὁ μέν, χρυσοῦς ἡμῖν ἐπιρρέει καὶ τῷ Πακτωλῷ ἀνάλογος πέφυκεν, ὁ δέ, ἀργυροδίνης μέν ἐστί, καὶ Νεῖλος ἀτεχνῶς ἀναβάσεις καθ' ὥραν ποιούμενος, ἀλλ' οὔ τι συμβλητὸς τῷ ἑτέρῳ. Οὐ γὰρ προδώσω σοι τὸν ἰχθύν, οὐχ οὕτω φανοῦμαι περὶ τὸν εὐεργέτην ἀχάριστος· ἀλλὰ τῷ μὲν τυρῷ κατὰ τῶν ἄλλων τὰ πρωτεῖα χαρίσομαι, τῷ ἰχθύϊ δὲ καὶ κατὰ τοῦ τυροῦ· ἔστω γὰρ ὑψηλοῦ ὑψηλότερος, καὶ θαυμασίου θαυμασιώτερος· ἀλλὰ σὺ ἡ ἐμὴ πηγὴ μετὰ τῶν χρυσῶν ψηγμάτων καὶ τὰς ψάμμους ἐπίχεε, ἔστι γάρ τις καὶ τούτων χρυσίζουσα· ὅτε δὲ προσκορὴς τῶν δευτέρων μελῶν ἔσομαι, ἄλλαττε τὴν χορδήν, τὴν σύντονον ἀντιδιδοὺς τῆς ἁρμονικῆς.

## 60. Τῷ κριτῇ τῶν Ὀπτιμάτων.

Βραχεῖα ἡ ἐπιστολή, λογιωτάτη μοι ψυχή, καὶ βαρεῖα, διὰ ταῦτα γοῦν οὐδὲ εἰς μῆκος ἐκτέταται, ἵνα μή σοι φορτικώτατος δόξω ἐπεργαζόμενος τὸ ἀβούλητον· ἀπείργω γάρ σε καθίσματος, βαβαὶ τῆς βαρύτητος, καὶ ταῦτα δικαστὴν τοῦ Ὀπτιμάτων τυγχάνοντα θέματος, μόλις ἀρκοῦντος καὶ ταξεώτῃ ἑνί. Πλὴν οὕτως ἐγὼ τὸν λόγον ποιοῦμαι, ὁ δὲ | με περὶ τῆς τοιαύτης φ. 203.
ἀξιῶν ἀξιώσεως οὐκ ἀφαιρεῖταί σε καθίσματος, ὥς φησιν, ἀλλὰ μὴ καινοτομεῖν παρακαλεῖ. Εἰ μὲν οὖν αὐτὸς ἀληθεύει, εἰς τὸ ἀβαρὲς τὸ βαρὺ περιέστηκεν, εἰ δὲ ἴσως ἐγώ, εἰ μὲν δυνατὸν τὸ πᾶν ἀποτίναξον ἄχθος, εἰ δ' οὖν, ἐπελάφρισον τῷ αἰτοῦντι τὸ

βάρος, εἰ μὲν βούλει κατ' ἰσομοιρίαν, εἰ δ' οὖν, ἀλλ' αὐτὸς μαθηματικῶς τοῦ μερισμοῦ τὸν λόγον ποιήσεις.

## 61. Τῷ πατριάρχῃ Ἀντιοχείας.

Πολλὰς καὶ πολλάκις διακρουσάμενος ἀξιώσεις, θεοειδέστατε δέσποτά μου, ἀνδρῶν ἀγαθῶν καὶ αἰδεσίμων ἐμοί, περὶ οὗ μέλλω νῦν ἀξιοῦν, καὶ ἐνστὰς ὡς οἷόν τε πρὸς πάντας ἀνδρικῶς καὶ γενναίως καὶ ὑπὲρ σοῦ πρὸς τοὺς ἐκείνων λόγους ἀγωνισάμενος, τέλος ἡττήθην, οὐ τῆς ἐκείνων φωνῆς, μὴ γὰρ ἂν οὕτως εἰδείην ῥητορικήν, ἀλλὰ τοῦ κοινοπαθοῦς καὶ τοῦ φιλανθρώπου καὶ τῆς σῆς ἐπιεικοῦς καὶ φιλοκάλου ψυχῆς· εἰ δὲ καὶ αὐτὸς ἡττηθῇς τῶν ἐμῶν λόγων, νενίκηκάς με ὥς περ ἐκείνους ἐγώ. Ὥς περ γὰρ ἐν ταῖς πονηραῖς ἁμίλλαις ἀθλιώτερος ὁ νικήσας, οὕτως ἐν τοῖς ἀγαθοῖς ἀγωνίσμασιν, ὁ ἡττηθεὶς τοῦ καλοῦ καὶ τοῦ πρέποντος, ἐκεῖνος πρωτεῖον τῆς νίκης ἐκτήσατο.

Τί ποτ' οὖν ταῦτα φημί, καὶ τίς ὁ μακρὸς τοῦ προοιμίου λόγος; Ὁ μοναχὸς Νικόλαος, ὁ ποτὲ μὲν σός, νῦν δὲ ἀλλότριος, μᾶλλον δὲ νῦν σός· μὴ γὰρ ἂν ἀλλοτριωθείη τῆς σῆς ποιμαντικῆς ἐπιστήμης ψυχὴ νομὴν ζητοῦσα πνευματικήν· οὗτος γοῦν ὁ Νικόλαος τῇ σῇ βακτηρίᾳ πληγείς, οὐ γὰρ ἀεὶ τῇ σύριγγι, ἀλλ' ἔστιν ὅτε καὶ ταύτῃ χρᾶσθε ὑμεῖς πρὸς τὰ λογικὰ θρέμματα· ταύτῃ γοῦν πληγείς, ἱκέτης ἐμοὶ ἐλεεινὸς γέγονε, μᾶλλον δὲ τί μὴ τὰ πρὸ τούτου διαριθμῶμαι; Ἐπεὶ γάρ σου τοῦ ποιμένος ἐξεπεπτώκει, οὐκ ἐστιν εἰπεῖν ὁπόσην ὑπέστη τὴν πλάνην, ὅσην τὴν διασποράν, οὐκ ἐπ' ἀλλοτρίας νομὰς προϊών, ἀλλὰ τὰς σὰς μὲν ἐπιζητῶν, ἑλεῖν δὲ μὴ ἔχων· καὶ τό γε βαρύτερον οὔθ' ὕδατος αὐτῷ μετεδίδοσαν τινές, οὔτε πυρός· οὗ γὰρ ἂν αὐτὸς καταψηφίσαιο ὁ μέγας τῷ ὄντι ἀρχιερεύς, τοῦτον δεῖ καὶ ταῖς τῶν ἄλλων ἡλωκέναι ψήφοις, καὶ λογίζεσθαι ἀποτρόπαιον.

Πάσας οὖν ἀπογνοὺς ἐλπίδας, ἐπὶ τὴν ἐμήν, ὡς οἴεται ἀπέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

βλεψεν ἄγκυραν, καί με προΐσταται καὶ μεσίτην καὶ διαλλακτήν, καὶ ὅ, τι ἂν αὐτὸς εἴπῃς τοιοῦτον πρὸς τὴν σὴν ἁγίαν ψυχήν. Ἠκηκόει γὰρ παρ' ἐνίων, ὅτι τοῖς ἄλλοις ἀνάλωτος ὤν, τοῖς ἐμοῖς λόγοις τεθήρασαι, καὶ κανὼν ἅπασιν ὢν καὶ ἀκλινὴς στάθμη καὶ ἠθῶν, καὶ λόγων, καὶ πράξεων, οὐκ οἶδ' ὅ, τι παθών, πρὸς τὴν ἐμὴν τῶν λόγων εὐθύτητα τὴν σὴν γνώμην παραμετρεῖς.

Εἰ μὲν οὖν ψευδῶς ἀκήκοεν, αὖραι τὸν λόγον φέροιεν, εἰ δ' ἀληθῶς, ἕπου σαυτῷ, καὶ πείσθητι τοῖς νόμοις οὓς ἐπὶ τῇ σῇ ψυχῇ τέθεικας, καὶ διάλυσον τῷ ἀδελφῷ τὸ σφοδρὸν καὶ μακρὸν ἐπιτίμιον. Λέγω δὲ ταῦτα πρὸς τὴν σὴν διάθεσιν ἀφορῶν, ἣν οὐκ ἐπεῖδεν ὀργιζομένην καταφερόμενος ὁ ἥλιος· καὶ οὐ τῇ δίκῃ μέμψιν ἐπάγω, ἀλλὰ τὸ σὸν τοῦτο ἐκπλήττομαι· εἰ δὲ κατὰ τὸ μέτρον τῶν ἀδικημάτων ἡ τιμωρία, πεπλήρωται τὸ ἐπιβάλλον, καὶ ὁ τῆς ἰατρείας λόγος ἔχει τὸ ἀποχρῶν· ἐπισυνῆπται γὰρ ἡ λύσις τῆς συνεχείας, καὶ τὸ τραῦμα ἀπέξυσται, καὶ ὁ μώλωψ ἀπείληπται. Οὐκέτι οὖν τὸ θρέμμα λυμαντικόν, οὐκέτι μεταδοτικὸν τῆς ἑαυτοῦ νόσου ἣν οὐκ ἔχει ἀποβαλών· καὶ γὰρ ὑγίωται ὅλως, ναὶ νὴ τὴν ἱεράν σου ψυχήν· προῆλθε γὰρ κἀμοί, εἰ καὶ μὴ ὡς ἱερεῖ, ἀλλ' ὡς δοκιμάζειν ταῦτα εἰδότι, καὶ ἀπεγύμνωσέ μοι τὴν ἑαυτοῦ ψυχήν, καὶ τὴν κάθαρσιν ἔδειξε. Δεινὸς δὲ εἰ καί τις ἄλλος, ἐγὼ ψυχὴν κατοπτεῦσαι δι' ἐναργῶν τινων συμβόλων καὶ χαρακτήρων· ἢ γὰρ μάτην ἂν εἴην ἀνεγνωκὼς φυσιογνωμικὴν τέχνην, εἰκῇ δέ μοι καὶ ὁ χρόνος τῆς περὶ ταῦτα πείρας ἀνάλωται· ἀλλ' οὐκ ἔστι ταῦτα· καὶ τεθεώρηταί μοι ὁ ἄνθρωπος οἷός ἐστιν.

Παράδεξαι οὖν τῇ σῇ μάνδρᾳ τὸ θρέμμα, μᾶλλον δὲ καὶ προαπάντησον, καὶ τὰς ἀγκάλας ὑφαπλώσας ὑπόδεξαι· ἐπαναστρέφει γὰρ ἀπὸ τῆς μακρᾶς ἐκείνης ἀποδημίας· ὑπόδησον οὖν αὐτῷ τοὺς πόδας ὥς τε μὴ καὶ αὖθις ἐμπαγῆναι τὴν ἄκανθαν, καὶ δακτυλίῳ τὴν χεῖρα κατάστραψον· μετάδος, εἰ δεῖ καὶ φιλήματος, τῶν σῶν φημι ποτίμων λόγων καὶ τῆς ἐκεῖθεν βλυ-

ζούσης πηγῆς· τί μὴ λέγω τὸ μεῖζον; θῦσον αὐτῷ καὶ τὸν μόσχον τὸν σιτευτόν, ὃν διὰ χειρὸς ἔχεις, καὶ πολλάκις τέμνων, οὔπω διῄρηκας· δὸς συγγνώμην ἡμαρτηκότι, μᾶλλον δὲ ποίησον πανήγυριν τὴν ἐπάνοδον. Κἂν ὁ μείζων ἀδελφὸς ἀκούσῃ τῆς συμφωνίας, καὶ σκυθρωπάσῃ τῇ τελετῇ, ὑπόμνησον αὐτῷ τὴν διηνεκῆ τῶν σῶν ἀγαθῶν μετουσίαν. Ἂν ὁ δεῖνα, ἢ ὁ δεῖνα, ὁ μέν, τοῦτο, ὁ δέ, ἄλλό τι κατηγορήσῃ, καὶ αὖθις ἐκφοβήσῃ περὶ τοῦ μέλλοντος, τῷ τῆς φιλανθρωπίας λόγῳ ἀπάντησον, καὶ γενοῦ πρὸς αὐτοὺς ἀληθέστερος μᾶλλον ἢ πιθανώτερος. Καὶ μή μοι ἀπώσῃ τὸν ἱκέτην, μὴ δὲ καταισχύνῃς ὃν ἐν πολλοῖς χρόνοις καὶ διὰ πολλῶν τετίμηκας ἐπιδείξεων· μή, πρὸς τῶν κοινῶν συνθηκῶν, καὶ πρὸς φιλίου θεοῦ, πρὸς ἱκεσίου, πρὸς τῆς ἱερᾶς τραπέζης αὐτῆς· ἀλλ' ὀναίμην σου εἴπερ ἄλλοτέ ποτε, καὶ νῦν τῶν ἠθῶν ἐκείνων τῶν ἀγαθῶν οἷς ἐξ ἀρχῆς ἐχαρακτηρίσθης, ὥςπερ πόρρω σοι τοῦ θεοῦ τὴν εἰς τοὺς ἁμαρτάνοντας συγγνώμην προκαταβαλλομένου καὶ ἑτοιμάζοντος.

## 62. [Τῷ ἐπισκόπῳ Παρνασοῦ].

φ. 203ᵛ. | Καὶ τίς οὕτω καλῶς, ὡς ὁ τιμιώτατος Παρνασοῦ; τίς οὕτω μεμνημένος φιλίας καὶ ἀποδιδοὺς χάριτας, καὶ φίλους αἰδούμενος καὶ εὐεργέτας σεβόμενος (*), καὶ πάντα τρόπον αὐτοῖς χαριζόμενος; Ἐγὼ μὲν οὖν οὐκ οἶδα εἴ τίς ἐστιν ἕτερος κατὰ τὴν σὴν ἀρετήν, εἰ δ' ἔστιν, ἀγαπῴην ἂν καὶ θαυμάζω τὸν ἄνδρα τοῦτον καὶ τίθεμαι μετὰ τῶν κρειττόνων. Οὐ τοίνυν ἐπαιτιῶμαί σε, εἰ μὴ πολλάκις γράφεις πρὸς ἡμᾶς, ἀλλ' ὥςπερ ἐκ διαστημάτων· οἶδα γὰρ ὅτι μνημονεύεις ἀεί, κρεῖττον δὲ τοῦ γράφειν τὸ μνημονεύειν· εἰ δὲ καὶ προσθήσεις τοῖς γράμμασιν, ἔτι σε μᾶλλον ἀγαπήσομεν καὶ θαυμάσομεν. Τὸν αὐτὸν

(*) χειρόγρ. σευόμενος.

δέ σοι καὶ ἡμεῖς τρόπον καὶ μνημονεύομέν σου τῆς ἀρετῆς, καὶ τοῖς οὐκ εἰδόσιν αὐτὸν ἱστοροῦμεν· ὁπηνίκα δὲ καὶ τοῖς τῆς τιμιότητός σου ἐντύχωμεν γράμμασι, τηνικαῦτά σε καὶ θερμότερον περιπλεκόμεθα καὶ τὴν ἱεράν σου κατασπαζόμεθα κεφαλήν. Ἐπεὶ δὲ καὶ γράμμα ἡμέτερον πρὸς τὸν ὑπέρτιμον ἐζήτησας καίσαρα, γέγραπταί σοι καὶ τοῦτο καὶ τὸ τούτου ἰσότυπον, καὶ ἔσταλται καὶ ἄμφω· καὶ ἀκριβῶς ἴσθι ὅτι συμβαλεῖταί σοι εἰς τὴν πρὸς αὐτὸν παρρησίαν τε καὶ οἰκείωσιν. Τὸν δὲ βούτυρον μετὰ τῶν λοιπῶν δεξάμενοι, πῶς ἂν εἴπῃς ἀπεδεξάμεθα;

## 63. [Πρὸς τὸν καίσαρα τὸν Δούκαν].

Φίλος μοι ἐστὶν ὁ ἐπίσκοπος, καὶ φίλος γνησιώτατος, οὐκ οἶδα δὲ εἰ μὴ καὶ δοῦλος σός, μᾶλλον δὲ οἶδα τοῦτο καὶ πέπεισμαι, ἀφ᾽ οὗ δὲ πολλάκις ὑπὲρ αὐτοῦ πρὸς τὸν κράτιστον ἡμῶν ἐπαρρησιάσω αὐτοκράτορα· εἰ τοίνυν φίλος μὲν ἐμός, δοῦλος δὲ σὸς ὁ ἀνήρ, μήτε εἰς κενὸν τῆς ἐμῆς φιλίας ἀπολαυσάτω, μήτε μάτην δοῦλος κεκλήσθω τῆς σῆς ὑπερφυοῦς δεσποτείας. Τίνος οὖν τυχεῖν δι᾽ ἀμφοτέρων ἄξιος; τῆς πρὸς τὸ κράτος καὶ ὕψος παρρησίας καὶ οἰκειώσεως. Πάντως εἰ μὴ ἔγνωστο τὸ παρὰ τῆς σῆς ὑπερφυοῦς φύσεως, ἤρκει τὸ παρ᾽ ἐμοῦ ἐγνωρίσθαι πρὸς τὸ τυχεῖν ὧν ἐσπούδασε· καὶ αὖθις, εἰ μὴ ἐγὼ φθάσας εἰς φίλον τοῦτον ᾠκειωσάμην, σὺ δὲ μόνος ἅπαξ ὡμίλησας, ἀποχρῶν αὐτῷ καὶ μόνον εἰς ἐπιτυχίαν τοῦ ζητουμένου· εἰ δὲ θάτερον τούτῳ ἀξιόχρεων πρὸς τὸ μὴ διαμαρτεῖν τῆς ἐφέσεως, πῶς οὐκ ἀμφότερα κατὰ ταὐτὸ συνδεδραμηκότα, τοῦ σοῦ θρόνου τοῦτον πλησιαίτατα στήσειαν;

Ἔστι δὲ ὁ ἀνήρ, ὥς γε ὑπείληφα, οὐ τῶν πλεῖστα μὲν λεγόντων, πλεῖστα δὲ ἐνθυμουμένων· ὁμολογεῖ δὲ καὶ δεσπόταις χάριν, καὶ μικρῶν ἀξιούμενος, μεγάλας ἀμοιβὰς ἀποδίδωσιν, οὐ τῇ χειρὶ διδούς, ἀλλὰ τῇ γλώττῃ βοῶν· τί σοι γὰρ καὶ προσάξει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

χεὶρ ἰδιῶτις τῷ πλήρει, καὶ ὑπερπλήρει, οὐ διὰ πλῆθος χρημάτων, ἀλλὰ διὰ τὸ τῆς προαιρέσεως δαψιλές τε καὶ πλούσιον;

## 64. Τῷ Κορίνθου.

Ὁ Κορίνθου, ὁ τὴν γλῶτταν πολύς, ὁ πλείων τὴν ἀρετήν, ὁ φίλτατος ἐμοὶ καὶ σεβάσμιος, οὐδὲ διὰ χρόνου φοιτᾷ πρὸς ἡμᾶς, ἀλλ' οὐδ' ἐπιστέλλει· ἀλλὰ τὰς Ἀθήνας μόνος ἀπολαβὼν καὶ πρὸς τὴν αὐτόθι μοῦσαν τὴν ἀκοὴν ἐκκρεμάσας, τὰς ἐμὰς παραπλέει σειρῆνας, καὶ ταῦτα ἄδεσμος καὶ ἐλεύθερος ὤν· ἐγὼ δὲ οὐ τοῦτο οἴομαι, ἀλλὰ στείλας πρὸς οὐρανόν, καὶ τὴν ὀθόνην ἐκεῖσε πετάσας, ἡμῶν τῶν χθαμαλῶν ἐπιλέλησται· νῦν δὲ καὶ τί σοι ἄλλο συμβέβηκεν, ἵνα πάντη ἀνεπίστροφος εἶ πρὸς ἡμᾶς; ὁ χρυσοῦς τὴν ψυχὴν Χρυσοβαλαντίτης; οὗτος γὰρ οὐ διὰ τῶν λόγων, ἀλλὰ διὰ τῶν τρόπων θέλγειν τὸν ὁμιλοῦντα δυνάμενος, κατέχει καὶ παριέναι οὐ συγχωρεῖ· ἐμὲ γοῦν ἀποδημῶν μικροῦ δεῖν ἐφειλκύσατο τῇ τῆς ἑταιρείας σαγήνῃ ἐπισυρόμενος· καὶ οὐ πλάττων λέγω, οὔ, μὰ τὸν ἐμοὶ φίλτατον ἀδελφόν, ἀλλὰ πειρώμενος τοῦ ἀνδρὸς μαρτυρήσεις μοι τὴν ἀλήθειαν.

Τούτῳ τοίνυν τῷ ἀληθεῖ καὶ καλλίστῳ ἀνδρὶ διὰ τὴν ἐκ τοῦ τρόπου πίστιν συμβέβηκε γενέσθαι καὶ πράκτορι· διὰ ταῦτα γοῦν καὶ τῆς ἐμῆς ἐδεήθη γλώττης, καὶ τῆς σῆς δεῖται χειρός· ἐγὼ μὲν οὖν ὡς ὁρᾷς ἐχαρισάμην αὐτῷ τὴν ἐπιστολήν, σύμπραξον οὖν σοι καὶ διαβίβασον διὰ τῆς θαλάττης ξηρὸν τὸν ἄνδρα καὶ ἄβροχον, τεμὼν τὰ ὕδατα, καὶ τὰ μέν, φωτίζων, τὰ δέ, ἐπισκιάζων· δεῖ γὰρ ὑμῖν μὲν ἀρχιερατικὴν εἶναι τὴν συντέλειαν, ἐμὲ δὲ φιλόσοφον ὄντα, συμβολικῶς τὴν περὶ τούτου ποιεῖσθαι ἀξίωσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 65. Τῷ κριτῇ Αἰγαίου.

Ὅπερ ἐπελαβόμην ἐνταῦθα διὰ γλώσσης εἰπεῖν σοι, τοῦτο διὰ γραφῆς ἀξιῶ. Ὁ εὐλαβέστατος μοναχὸς οὗτος καὶ καθηγούμενος τετίμηταί μοι διὰ τὴν ἐπιλάμπουσαν αὐτῷ ἀρετήν, δι' ἣν καὶ συνήθειαν ἔσχηκα πυκνότερόν τε ἀπιέναι εἰς τὴν μονὴν καὶ τοῖς ἐκεῖσε μοναχοῖς παραβάλλειν· ἐγὼ μὲν οὖν λόγοις πνευματικοῖς παρ' αὐτῶν βελτιοῦμαι τὰ εἰς ψυχήν, τοῖς δέ, τὸ μοναστήριον ταῖς παρ' ἐμοῦ προστασίαις ἐν οἷς ἂν καὶ δύνωμαι εἰς τὸ κρεῖττον καθίσταται. Δύναμαι δὲ τοῖς φίλοις ὑμῖν πράττουσι τὰ πολιτικὰ πράγματα καὶ τὸ ὠφελεῖν ἐντεῦθεν
ἔχουσιν· ὥσπερ δὴ νῦν καί σοι μερὶς παρὰ τοῦ | βασιλέως ἀπο- φ. 204.
δέδοται τοῦ δύνασθαι αὐτοὺς εὖ ποιήσειν.

Ὁ γὰρ Αἰγαῖος ὀλίγα τινὰ τῶν κτημάτων αὐτῶν ἐκληρώσατο, ἃ κινδυνεύει ταῖς πολλαῖς ἐπηρείαις ἀπολωλέναι, εἰ μὴ σὺ τὸν δυνατὸν τρόπον ἀντιποιήσαιο τούτων, καὶ ἐπικουρίαν τὴν ἀποχρῶσαν δούς, τὴν σύστασιν αὐτοῖς περιποιήσαιο. Πρῶτον οὖν τὸν θεμέλιον κατάθου ἡμῖν τῆς πρὸς ἡμᾶς σου χρηστῆς διαθέσεως, καὶ γενοῦ τοῖς μοναχοῖς δι' ἐμοῦ μεσίτης, καὶ σωτὴρ καὶ λιμήν· οἱ μὲν γὰρ πρός με συνδεδραμήκασιν, ἐγὼ δὲ τούτους μεταβιβάζω πρὸς σέ· μὴ οὖν ψευσθείην, μήτε τῆς πρὸς ἐκείνους ὑποσχέσεως, μήτε τῆς πρὸς σὲ φιλίας καὶ πεποιθήσεως.

## 66. Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν.

Μὴ παρ' ἐμοῦ τὰ περὶ σοῦ διδασκέσθω ἡ περίβλεπτος ἐνδοξότης σου, ἀλλὰ παρὰ τῶν ἀκροασαμένων ταῦτα, εἰπεῖν δὲ καὶ αὐτοπτησάντων τὸ ἀκριβὲς αὐτῶν ἀναμάνθανε. Καὶ καινὸν οὐδέν· εἰ φίλον ὁμολογήσας σε καὶ συγγενῆ, τὰ προσήκοντα τοῖς τοιούτοις ὀνόμασι διαπράττομαι· πλὴν ἀλλ' ἐν μέρει καὶ θαύ-

μασον τὴν ἐμὴν γνώμην καὶ διάθεσιν, ὅτι οὐ πρόσκαιρός εἰμι φίλος, οὐδὲ τάχιον μεταβάλλομαι, ὥς πέρ τινες εἰώθασιν, ἀλλὰ τὴν αὐτὴν ἀεὶ στάθμην τῆς ἀγάπης τηρῶ ἀμετάθετόν τε καὶ ἀπαρέγκλιτον, ὡς αὐτὰ δεικνύει τὰ πράγματα.

Σὺ δέ, εἰ μὲν βούλει, ὁμολόγει μοι τὰς χάριτας, εἰ δ' οὖν, εὖ πράττε, καὶ ἔντεινε καὶ κατευοδοῦ· ἐμοὶ δὲ ἀπόχρη εἰς ἀντίδοσιν σπουδῆς, ἡ τοῦ φιλτάτου Μιχαὴλ εὐημερία καὶ εὐδοκίμησις· μετατεθεὶς δὲ μὴ ἀπογνῷς τὴν εἰς τὴν Πόλιν εἰσέλευσιν, ταχὺ γάρ σοι, εὖ ἴσθι, καὶ τοῦτο γενήσεται. Τὸ γοῦν παρὸν καὶ τοῖς Κιβυρραιώταις δεῖξον τὴν σὴν μεγαλοπρέπειαν καὶ τὴν περὶ τὰς δίκας εὐθύτητα.

Ὁ δὲ παρὼν οὗτος νοτάριος εἰσελθὼν ἐν τῇ Πόλει, ἑαυτῷ μὲν ἴσως οὐκ εὖ ἐβουλεύσατο, κῆρυξ δὲ τῶν σῶν ἀρετῶν ἐγένετο, κῆρυξ οὐκ ἐν ταμιείοις φθεγγόμενος, οὐδ' ἐν στενωποῖς, ἀλλὰ πληθούσης ἀγορᾶς καὶ ἐν μέσοις δήμοις καὶ πλήθεσι μεγαλοφώνως τὰς σὰς εὐφημῶν πράξεις. Θαρρούντως οὖν αὖθις ἐξῆλθε πρὸς σέ, ὃν καὶ λιπὼν οὐκ ἀφῆκε· τεθάρρηκε δὲ τοῖς τε ἄλλοις καὶ τῇ ἐμῇ πρὸς σὲ ἰσχύϊ· φίλος μὲν γάρ σου εἰμί, ἀλλ' ἴσως αἰδεσιμώτερος καὶ πολλὰς ἔχων τοῦ κρατεῖν ἀφορμάς, ὅπερ δὴ καὶ αὐτὸς μετὰ πάντων ὁμολογεῖς. Εὐμενέστερον οὖν τὸν ἄνδρα ὑπόδεξαι καὶ οἰκειότερον πρὸς αὐτὸν διατέθειso, καὶ ἀφορμὰς αὐτῷ μετρίων κερδῶν ἐπινόησον, ἅμα τε αὐτῷ ἀποδιδοὺς εὐφημιῶν ὀφλήματα, καὶ ἐμοὶ φιλίας οὕτω πρὸς σὲ πολλῆς καὶ ὁμολογίας καὶ χάριτας.

Τὸ δὲ ἀποσταλὲν βορδώνιον μέχρι χρώματος καὶ ὀνόματος· πρὸς σὲ οὖν ἡ ἀποστροφὴ τούτου, καὶ σὺ αὐτοῦ ἄρξεις, καὶ οὐδέν σοι πλέον προστίθημι.

## 67. Τῷ αὐτῷ.

Ὁ θαυμασιώτατος οὗτος Ἰωάννης κόσμος σοί ἐστι καὶ συνὼν καὶ ἀπών, ναὶ νὴ τὴν τριπόθητόν σου κεφαλήν· λέγω δὲ ταῦτα οὐ συστῆσαι τοῦτον πρὸς σὲ βουλόμενος, ἀλλὰ τὸ ἀληθὲς εἰπεῖν. Ὅτι μὲν γὰρ καὶ αὐτὸς συνετώτατος ἄνθρωπος εἶ, καὶ πρὸς πᾶσαν πρᾶξιν ἐπιτηδειότατός τε καὶ προσφυέστατος, καὶ αὐτὸς οἶδα, καὶ τοὺς ἄλλους διδάσκω ὅσοι τυγχάνουσιν ἀγνοοῦντες· πλὴν οὐ τοσοῦτος καὶ τοιοῦτος εἶ ὁπόσον καὶ οἷον αὐτός σε κηρύττει μετ' εὐφραδοῦς γλώττης καὶ πεπαρρησιασμένης. Ἀλλὰ σὺ μὲν ὄναιο τῆς γλώττης αὐτοῦ, αὐτὸς δὲ τῆς σῆς διαθέσεως ὄναιτο· οὐκ οἶδα δέ, εἰ ὥσπερ τὰ σὰ μεγαλύνειν οἶδεν, οὕτω δὴ καὶ τὰ ἐμὰ ὑψηλολογήσει πρὸς σὲ διηγούμενος, ἵν' εἰ μή τι ἄλλο, τοῦτό με γνώσῃ φίλον ἀληθινόν, οὐ μεταπίπτοντα τοῖς καιροῖς, οὐδὲ πρὸς τὰς φιλίας ὧν ὡμολόγησα φίλων μεταβαλλόμενον. Ἀλλ' ἐγὼ οὐκ ἂν αὐτοῦ δεηθείην ἵνα τι τῶν ἔξω προσθήσει, ἀλλ' ὅπως ἂν τὰ πεφυκότα διακριβώσῃ σοι· καὶ πλέον οὐδὲν ἐρῶ, ἵνα μή σοι ἀλαζὼν καὶ μεγαλήγορος φανείην.

Τὸ δὲ βορδώνιον, εὔχρουν μὲν ἄλλως, εἴποις δ' ἂν αὐτὸς ἴσως καὶ τρυφερόν, τῷ δ' ἐμῷ μεγέθει ἀσύμμετρον· τοῦτο τοίνυν εἰ μὲν βούλει, αὐτὸς ἔχε, εἰ δὲ μή, ἑτέρῳ πάρεχε δῶρον· ἐμοὶ δὲ εἴτε βορδόνα ἀποστεῖλαι θελήσεις, εἴτε μουλάριον, οὐ γὰρ διαφέρομαι, ὅτε τὴν ἐπιλογὴν ποιεῖς καὶ τὴν σύγκρισιν, ἀναλογίζου καὶ τὸ τοῦ ἐμοῦ σώματος μέγεθος· οὕτως γὰρ ἂν καὶ ἡ ἀποστολὴ κατὰ λόγους γενήσεται.

## 68. Τῷ πατριάρχῃ τῷ Λειχούδῃ.

Τῷ ἁγίῳ καὶ σεβασμίῳ δεσπότῃ μου ὁ εὐνοϊκώτατός σου οἰκέτης καὶ δοῦλος οὐκ ἀνάξιος, ἀλλ' ἄξιος τῆς σῆς ἁγιότητος,

πέπομφα ἄρτον μὲν ὡς γονίμῳ καὶ καρποφόρῳ ψυχῇ, οἴνου δὲ μεγαρικὰ τρία, ὡς εὐθαλεῖ ἀμπέλῳ καὶ νοητῷ βότρυϊ, καὶ τῆς Τριάδος θεραπευτῇ, καὶ ὀπώρας ὡς μυστικῷ παραδείσῳ καὶ εὐθαλεῖ, τῷ ἀπείρῳ καὶ ὑπερμεγέθει τὴν ἀρετήν, ἐλάχιστα καὶ βραχύτατα· διατί; οὐχ ὅτι πένης ἐγὼ τὴν χεῖρα, ἀλλ' ὅτι πτωχὸς σὺ τῷ πνεύματι τὸν διὰ σὲ πτωχεύσαντα ζηλῶν καὶ μιμούμενος. Ὁ δὲ οἶνος, εἴη μὲν ἄν σοι ἀπὸ τῆς ζωηρρύτου ἀμπέλου, καὶ γένοιτό σοι τὸ πόμα εἰς ἡδονὴν καρδίας καὶ πνεύματος.

Κἀνταῦθα δέ σοι πατρίδα τὸν Κουζηνᾶν ἐπιγράφεται, αἰδέσιμον δέ μοι τοῦτο τὸ ὄνομα, νὴ τὴν ἱεράν σου καὶ θείαν κεφαλήν, ἢ πάλαι τὸ τῆς Ἐδέμ· εἴτε οὖν ἐκεῖθεν, ὡς ἐκεῖθεν αὐτοῦ ἐμφορήθητι, εἴτε μὴ ἐκεῖθεν, ἀλλ' ὅτι ἔδοξε.

Σὺ δέ μοι τὸ ἐμὸν ἄγαλμα καὶ καλλώπισμα, εἴης κἀνταῦθά
φ. 204ʳ. τε τῶν κρειττόνων μεταδιδούς|, κἀκεῖσε τῶν ὑψηλοτέρων μεταλαμβάνων, καὶ ἡμῶν ἀεὶ διαμνημονεύοις, ἐν δὲ ταῖς εὐχαῖς σου καὶ μάλιστα.

## 69. Τῷ βασιλεῖ [Ἰσαακίῳ] τῷ Κομνηνῷ ἐν ταξειδίῳ ὄντι.

[Σ]ύ με οὐκ ἐᾷς, δέσποτα, εὐθυμεῖν καὶ σκιρτᾶν ἐπὶ τοσούτοις καὶ τοιούτοις στρατηγήμασί τε καὶ κατορθώμασι· σύ μου καὶ τὴν γλῶτταν ἐπέχεις καὶ τὴν φωνὴν οὐ συγχωρεῖς τοσοῦτον ὑπερηχῆσαι ὁπόσον βεβούλημαι. Ὅταν μὲν γὰρ πρὸς τὰς σὰς οἰκονομίας ἀπίδω καὶ στρατηγίας, ὁπόσα τε πρὸ τοῦ πολέμου ἐμηχανήσω καὶ ὅσα ἐν τῷ πολέμῳ πεποίηκας, ὅπως τε τοὺς στρατηγικοὺς νόμους ἐφύλαξας πάντας, καὶ τακτικὰς εὐβουλίας ἐμπράκτους ἀπέδειξας, ἐν τοῖς καταλλήλοις καιροῖς τὰς εἰσβολὰς τῆς μάχης ταμιευόμενος, καὶ μεγαλοψυχῶν ἐν τοῖς φαινομένοις δεινοῖς, καὶ πρὸς τοὺς θερμοτέρους τῶν λόγων μὴ παροξυνό-

μενος, μήτε βραχύ τι παρακινούμενος, ὅπως τε εἰς γῆν κειμένην τὴν τῶν Ρωμαίων βασιλείαν ἀνέστησας, καὶ τὸ ἀρχαῖον αὐτῇ ἐπανέσωσας κάλλος καὶ μέγεθος, καὶ τοῦ τελευταίου ταύτην ὀνείδους ἀπήλλαξας, ὑφ' οὗ μικροῦ δεῖν ᾤχετο ὑποβρύχιος καὶ ἀπώλετο· ὅτε ταῦτα πάντα τῷ λογισμῷ περιλάβω καὶ τὴν ἐσχάτην ταύτην βοήθειαν ἀνελίξω τοῖς ἐνθυμήμασιν, ἔνθους ὑφ' ἡδονῆς γίνομαι, καὶ βούλομαι πολλάκις χορεύειν καὶ τοῖς γινομένοις ἐπισκιρτᾶν, καὶ τἄλλα ποιεῖν ὁπόσα ψυχὴ θυμηδίας ἀθρόον ἐμπλησθεῖσα διαπράττειν εἴωθε, καὶ θυμηδίας, πάσας τὰς ἀπ' αἰῶνος νικώσης ἀρετάς τε καὶ χάριτας.

Ὅταν δὲ ἐπὶ λογισμῶν λάβω τὴν ἡρωϊκήν σου καὶ θείαν ψυχήν, τὴν ὄντως μεγαλεπήβολόν τε καὶ βαθυνομένην, τὴν ἰσχυράν τε καὶ ἀκατάσειστον, ὅπως ἐπὶ τοσούτοις καὶ ἀνυπερβλήτοις καλοῖς ἄτρεπτος καὶ ἀμετακίνητος ἔμεινεν, ὥςπερ μηδενὸς καινοῦ γεγονότος, καὶ οὔτε ἐπήρθη ταῖς νίκαις, οὔτε ἐμεγαληγόρησε τὸ στρατήγημα, οὔτε ἐν ταῖς πρὸς ἡμᾶς ἐπιστολαῖς ἐκόμπασας τήν τε σύνταξιν τοῦ στρατοῦ, καὶ τὴν φυγὴν τοῦ ἐχθροῦ, καὶ τὴν τῶν βαρβάρων ἀναίρεσιν, τηνικαῦτα ἐκπληττόμενός σου τὸ ἑδραῖον τῆς γνώμης καὶ τῆς ψυχῆς τὸ εὐέδραστον, τοῦ σκιρτᾶν καὶ πανηγυρίζειν ἐπιλαθόμενος, ὅλος τοῦ περὶ σὲ θάμβους καὶ τῆς ἐκπλήξεως γίνομαι, καὶ σὲ τὸν πάντων ἀνθρώπων καὶ βασιλικῶν πραγμάτων αὐτοκράτορα, καὶ στρατηγὸν γενναῖον καὶ σύμβουλον οἷος οὐκ ἄλλος, καὶ πύργον ἀρραγῆ, καὶ ὀχύρωμα κραταιόν, καὶ τεῖχος ἄσειστον ἥγημαι.

Καὶ θαυμάζω μέν σε ἐφ' οἷς ἀγωνιζόμενος κατορθοῖς, καὶ ταῖς ἐκ τῶν λόγων εὐφημίαις καταγεραίρω, καὶ ἀκηράτου στέμματος καὶ θείας ἀξιῶ ἀναρρήσεως· Ἐπὶ δὲ τῷ ἀκατασείστῳ τοῦ φρονήματος καὶ τῷ ἀτρέπτῳ τοῦ λογισμοῦ, καὶ τῷ κρείττω φαίνεσθαι καὶ τροπαίου καὶ νίκης καὶ τῆς ἀπὸ τῶν κατορθουμένων εὐκλείας, ὑπερεκπέπληγμαι, καὶ ὑπὲρ ἄνθρωπον εἶναι φιλαλήθως καὶ θαρρούντως σε ἀποφαίνομαι.

Καὶ σὺ μὲν ὦ μέγα Ρωμαίων ὄφελος, νῦν πρώτως οἴει νενικηκέναι, ὅτε προσβαλόντα τὸν βάρβαρον πᾶσι μέρεσι τοῦ στρατεύματος ἀπώσω καὶ ἀπεκρούσω, καὶ φυγάδα εἰργάσω τὸν τέως ἀήττητον δόξαντα, οὐδεμίαν ὑπενεγκόντα σὴν οὔτε στρατηγίαν, οὔτε φωνήν, ἀλλ' ὡςανεὶ λέοντα βρυχησάμενον, ἢ ποδῶν εἶχεν ἀποδράντα καὶ διασπαρέντα ἐν ταῖς λόχμαις ἢ ἐν τοῖς ἕλεσιν· ἐγὼ δέ σοι πολλὰς νίκας ἐπιψηφίζομαι, καὶ ὁπόσας ἀνὴρ ἀγαθὸς καὶ ἀβάσκανον ἔχων ψυχὴν ἀριθμῆσαι δύναται.

Πρώτῃ γὰρ νίκῃ κατεστεφάνωσαι, ὅτε πάντας ἡμᾶς νενίκηκας τοὺς μικροψύχους, ἢ φιλοψύχους, καὶ τὸν ὑπὲρ ἁπάντων ἀράμενος κίνδυνον τῆς Πόλεως ἐξεδήμησας· δευτέραν αὖθις νίκην κατώρθωσας κρείττω τῆς προτέρας παρὰ πολύ, κατὰ τῆς τοῦ στρατοπέδου πλεονεξίας ἄρας τὰ νικητήρια, καὶ πείσας ἅπαντας εὐσεβεῖν, καὶ τοῖς ἰδίοις ὀψωνίοις ἀρκεῖσθαι, ἀλλὰ μὴ τοὺς γεωργοῦντας πένητας ἀδικεῖν· τρίτην ἐπὶ ταύταις νίκην ἤρω, εἰς μίαν γνώμην τὸ στρατόπεδον συναρμόσας, καὶ πᾶσαν ἔριν καὶ μικροψυχίαν ἀπὸ παντὸς ἀφελών, καὶ τῶν λοιδόρων γραμματίων ὑπεριδὼν καὶ τῶν διαβαλλόντων καταφρονήσας, καὶ τῶν καταπτοούντων τὴν σὴν ψυχὴν καταγελάσας, καὶ ταῦτα ἐν μέσοις ξίφεσιν ἑστηκὼς ἐπὶ ταῖς αἰχμαῖς αὐταῖς, ἐπὶ τῶν τοξοτῶν καὶ ὁπλιτῶν· τετάρτην αὖθις ἀρίθμει νίκην, ὅπως πρὸ τοῦ πολέμου κατηγωνίσω τὸ βάρβαρον, ὡς κατεσοφίσω, ὡς κατεστρατήγησας, ὡς διεῖλες τοὺς ἐναντίους, καὶ τοὺς μέν, ᾠκειώσω, τοὺς δέ, ἀπώσω.

Καὶ ἵνα μὴ προσκορὴς γένωμαι, εἴ τις ἐπὶ τούτοις καταστέφειν καὶ εὐφημεῖν βούλοιτο, ποίων οὐκ ἀξιώσει βραβείων, ποίους οὐχ ὑπερβαλεῖται αὐτοκράτορας, ἐν πολέμοις ὀνομαστούς; Ἀλλ' αὐτός, ἡ ἄπληστος τῶν καλῶν ψυχὴ καὶ ἀκόρεστος, ὥςπερ μηδέν τι κατωρθωκώς, ἀλλὰ νῦν πρώτως τῆς στρατηγίας ἀρξάμενος, ἐπὶ μείζω νίκην καὶ τελεώτερα παραγέγονας τρόπαια. Ἀλλὰ τίς οὐ θαυμάσει σου τὴν περίοδον, τῆς ὁδοῦ τὸν κύκλον,

τὸ στρατηγικὸν βλέμμα, τὴν ἐν στενοῖς δίοδον ὡς ἐβάδισας πλατύνων καὶ κρατύνων τὸ στράτευμα, ὡς ἐκαρτέρησας; τίς οὐκ ἐκπλαγεῖ σου τοὺς ἄθλους, τὰς ἀγρυπνίας, τὰς ἐν μέσῳ φροντίδας, τὴν δαπάνην τῆς ψυχῆς, τὸ ἄτρεπτον τοῦ φρονήματος;

Ἀλλ' ἐπειδὴ ἀθρόον ἐφάνησαν οἱ πολέμιοι, καὶ τὴν βαρεῖαν ἐκείνην ἠλάλαξαν ὑλακήν, οὐκ ἐπτοήθης πρὸς τὴν φωνήν, ἀλλ' ἀντεμβαλὼν αὐτοῖς τὴν σιωπὴν καὶ τὴν τοῦ στρατεύματος ἡσυχίαν, κρείττων ἐφάνης σιγῶν, ἢ ὑλακτοῦντες οἱ βάρβαροι· καὶ πυργώσαντές σοι κύκλῳ τὸ στράτευμα προσβαλόντες καὶ ὠθοῦντες, ἀντωθοῦντο μᾶλλον ἢ διερρήγνυον. Τὴν δὲ τῆς νυκτὸς φυγήν, τὴν δὲ τῶν βαρβάρων βοήν, ὡς τοῖς ἐναντίοις διε|κρούσω φ. 205.
τὰ ἐναντία; τὸ δὲ ἀπτόητον τῆς ψυχῆς τίς μὴ θαυμάσειεν;

Ἔγωγ' οὖν, θειότατε βασιλεῦ, στρατηγίας καὶ νίκας τῶν πάλαι βασιλέων ἀναγινώσκων, τὸν μέν, ὅτι συμβουλὴν μόνην ἀρίστην εἰσήνεγκεν ὁρῶ στεφανούμενον, τὸν δέ, ὅτι κινδυνεύειν μόνον προείλετο, καὶ ἄλλον ὅτι τῶν ἐναντίων τὸ πλῆθος κατέτεμε, καὶ αὖθις ἕτερον, ὅτι προσβαλόντων τῶν πολεμίων, ἀκλόνητος ἔμεινε· τὸν δὲ Μακεδόνα μόνον ἐξαίρουσιν, ὅτι τῶν πολεμίων τοὺς μέν, ἀνῄρει, τοὺς δέ, φυγάδας ἐδείκνυ, τῶν δέ, τοῦ χάρακος ἐγίνετο ἐγκρατής· ἅπερ δὴ μόνῳ μετ' ἐκεῖνον τὸν ἄνδρα τῷ σῷ κράτει συνεληλύθασιν.

Ἀλλὰ σὺ ὁ πρὸς πάντα ἄθελκτος καὶ ἀκίνητος, καὶ μόνος τῶν πάντων κρείττων καὶ θυμηδίας καὶ ἡδονῆς, οὐδὲ κατελέπτυνας ἡμῖν τὴν διήγησιν, οὐδὲ ἐφ' οἷς κατώρθωκας ἐσεμνύνω, ὦ πάντων ἐπέκεινα καὶ σωμάτων καὶ ψυχῶν, καὶ ἠθῶν καὶ λογισμῶν, καὶ βασιλέων καὶ στρατηγῶν, καὶ ἵνα τολμήσας εἴπω, καὶ φύσεων ἀσωμάτων! Εἶτα δὴ πυνθάνῃ μου, πῶς τὸ στράτηγημα ἔδοξε; συντόμως ἀποκρινοῦμαί σοι, ὡς τοῦ δευτέρου κόσμου ποίησις, ἢ τοῦ παλαιοῦ πρὸς τὸ καινότερον μεταποίησις· οὕτως γάρ μοι ἔδοξεν, ὡς μὴ δὲ εἰπεῖν δύνασθαι. Εἰ δέ με εἶδες ὅτε μοι πρῶτα ἡ περὶ τὴν νίκην φήμη τὴν ἀκοὴν διεβόμβησε,

τότε ἂν ἔγνως ὅπως τὴν στρατηγίαν ἐλογισάμην· ὑψώσας γὰρ εὐθὺς τὰς χεῖρας, ἡλίκον ἐκρότησα! μικροῦ δεῖν καὶ ἐχόρευσα· εἶτα δὴ ἐμμανῶς ἀναστὰς περιέθεον τὴν οἰκίαν βοῶν μέγα καὶ διαρρηγνύμενος· καὶ ὡς εἶχον ἀπαρασκεύως ἐφιππασάμενος, πρὸς τὴν βασιλίδα τε γίνομαι, καὶ τῆς χαρμονῆς αὐτῇ ἐκοινώνησα· εἶτα δὴ καὶ τοῖς πλήθεσιν ἐπὶ τῆς ἀγορᾶς γεγονώς, τὴν στρατηγίαν ἐξήγγελλον, ἅμα τε καὶ τὴν σὴν γνώμην τούτοις ἐξακριβούμενος, καὶ ἀπολογίαν ταύτην ποιούμενος τοῦ μὴ γεγραφέναι σε πρὸς αὐτούς· οἱ δέ, πρῴην τὰ μὲν ἐσκυθρώπασαν, εἶτα δὴ μαθόντες σου τὸ ἀκόμπαστον, ἀντὶ τοῦ σκυθρωπάζειν ἐξεθαμβήθησαν. Ἔστω γὰρ εἰδυῖα ἡ βασιλεία σου, ὅτι καὶ τὰς ψυχὰς αὐτῶν ἐκχέουσιν ἐπὶ σὲ σύμπαντες, καὶ τῆς σῆς ἐρῶσι ψυχῆς, οὐ λογικὴ φύσις μόνον, ἀλλὰ καὶ λίθειος, καὶ σιδήρειος.

Ἆρ' ἐθέλχθης τοῖς ἐμοῖς λόγοις ὁ μόνος ἐν τοῖς θελγήτροις ἀπτόητος, ἢ καὶ τούτων καταπεφρόνηκας; ἔδει γοῦν σε πρὸς πᾶν αἰσθητικὸν κάλλος ἐνστατικῶς ἔχοντα, πρὸς τὰς ἐμὰς καταθελχθῆναι λειότητάς τε καὶ χάριτας· καὶ τίς ἐμοῦ τοῦ πάντων μακαριστότερος, ὅτι μου τοῖς λόγοις θέλγεται βασιλεὺς ὁ πᾶσαν ἡδονὴν ἀτιμάσας, καὶ πρὸς πᾶν θέλγητρον στερρότατος δόξας καὶ ἀδαμάντινος; Τὸ μὲν οὖν σὸν κράτος εἰ θέλγοιτο τοῖς ἐμοῖς λόγοις, καινὸν ὡς ἀληθῶς καὶ παράδοξον, ἐμοὶ δὲ τὰ σὰ γράμματα οὐκ εἰς ἡδονὴν μόνον καὶ χαρὰν ἀρκεῖ, ἀλλ' εἰς ὑστεροφημίαν καὶ δόξαν καὶ εὔκλειαν, καὶ καλλωπίσεταί μου τὸ γένος ἐπὶ ταῖς τοιαύταις βασιλείοις ἐπιστολαῖς, ἐμοὶ δὲ ἀθάνατος ἡ δόξα γενήσεται· ἀντὶ δὲ τῶν πρὸς ἐμέ σου γραμμάτων γράψαιτο τὸ σὸν ὄνομα θεὸς ἐν ταῖς τῶν ζώντων βίβλοις καὶ τοῖς ἀποστόλοις συναριθμήσειεν.

## 70. Τοῖς ἐν τῷ ταξειδίῳ νοταρίοις τοῦ αὐτοῦ βασιλέως.

Τῷ κορυφαίῳ καὶ τῷ χορῷ, ἢν δὲ βούλησθε τῷ μυσταγωγῷ καὶ τοῖς μύσταις· καὶ ἵνα μηδεὶς βασκήνῃ, ἔστω μοι τέως ἄρρητος ὁ ἱεροφάντης καὶ μόναις ταῖς ὑπονοίαις ἐγκείμενος. Ἀλλὰ τί πρὸς ἀλλήλους ἐβλέψατε; τί δὲ ἕκαστος ὑμῶν τὸν δᾳδοῦχον ἐνεθυμήθη ἢ ὑπενόησεν;

Ἡμῖν γοῦν ἡ ἐπιστολὴ οὐκ ἄνωθεν καταρραγεῖσα, οὐδ' ἀτεχνῶς βροντῶσα ὥς πέρ τις κρείττων φωνή, ἀλλὰ κάτωθεν ἀναδοθεῖσα τοῖς ὑψηλοῖς καὶ μετεώροις ὑμῖν· ὥς περ γὰρ ὁρᾶν δοκῶ, ἢ ὄρος ὑμᾶς ἀναβαίνοντας ἢ λόφον ὑπερπηδῶντας καὶ ὑπερνεφεῖς γινομένους, ἢ εἰς τὸ βάθος τοῦ ἀέρος ἐμπίπτοντας· πόσον γοῦν ἠχήσω, καὶ ταῦτα ἀπὸ τῆς καθ' ἡμᾶς ταύτης κοιλάδος πρὸς τὴν ὑμετέραν ἀκρώρειαν; Ὦ τοίνυν μακάριοι ὑμεῖς, καὶ αὖθις· ἀλλ' ὦ μακάριοι, καὶ τρίτον τοῦτο, πῆ δῆτά μοι μακάριοι, ἀνίετε καὶ μετεωρίζεσθε, πᾶν μὲν ἀναβαίνοντες νέφος, πᾶσαν δὲ ὑπερβαλλόμενοι σκοπιάν; στῆτε μέχρι τινός· τὰ γὰρ ἐπέκεινα τούτων, Σκυθικὸν μὲν οὐκέτι κρύος, ἢ πέλαγος πεπηγός, ἢ πηλὸς ἀϊδνής, ταῦτα δὴ τὰ τῶν καταγεωμετρούντων τὴν ἤπειρον, ἀλλὰ στοιχεῖον ἁπλοῦν, καὶ αἰθήρ, καὶ σῶμα κύκλῳ φερόμενον, καὶ πᾶν εἴ τι ἀπόρρητον καὶ θεσπέσιον.

Ἀλλ' ὢ τῆς ἀθρόας ὑμῶν μεταστάσεως· ὁρῶ γὰρ αὖθις ὑμᾶς καταβαίνοντας, οὐχ ὥς περ ὁ Ἰξίων, ἢ πρὸ ἐκείνου ὁ Τάνταλος, καὶ πρὸ τούτων Ἥφαιστος ῥιπτούμενος ἀπὸ βηλοῦ θεσπεσίοιο, ἀλλ' ἐν τάξει προϊόντας καὶ ἐν μέτροις προόδων· ἀλλὰ πῆ χωρεῖτε; στῆτέ μοι· μέχρι τίνος ἡ κάθοδος; ἐς μυχοὺς γῆς, ἐς δίνας θαλάττης, ἐς ποταμῶν κόλπους οὐκέτι οὐδὲ θεατούς; Ἀλλ' αὖθις ἀθρόον ὡς οἱ Γίγαντες ἀναφύεσθε, καὶ πάλιν ἐφ' ὑψηλοῦ καὶ μετάρσιοι.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀλλὰ τίς ποτε ὁ προπετόμενος ὑμῶν ἀετός, οὗ ἐλαφραὶ μὲν αἱ πτέρυγες, καὶ ταῦτα χρυσόπαστοι, οἱ δὲ πόδες φοινικοβαφεῖς τε καὶ στίλβοντες, καὶ τὸ μὲν στῆθος στρεπτὸς κοσμεῖ λιθοκόλλητος, χρυσῆ δὲ στεφάνη τὴν κεφαλὴν περιθεῖ; ὁ δέ, καὶ ἔστραπται πρὸς ὑμᾶς ξενήεντι τῷ βλέμματι, καί τι καὶ ἦθος ταῖς ὀφρύσιν ἐπιδεικνύει; Ξυνίημι γοῦν αὐτῷ καὶ σιωπώντων ὑμῶν, ὡς ἄρα ὁ μέγας ἐν βασιλεῦσίν ἐστιν, ὃν εἴ τις καὶ μάκαρα, καὶ ἥρωα, καὶ ὄλβιον, καὶ μοιρηγενῆ, καὶ εἴ τι ἄλλο καλέσειε, τῶν ἐνθυμημάτων κατευστοχήσειεν.

Ἐπὶ τούτῳ ὑμεῖς θαρσεῖτε εὐπετῶς καὶ τὴν ἄνοδον, καὶ τὴν
φ. 205ᵛ. κάθοδον|, καὶ μετὰ τούτου συμπροϊοῦσιν οὐδὲν ἀπαντήσει δεινόν, ἀλλὰ θάλασσα μὲν διαιρεθήσεται, ὑποχωρήσει δὲ ποταμός, καὶ ὕδατα, τὰ μέν, πρῶτα βλύσουσι, τὰ δέ, τὴν πικρίαν μεταβαλεῖ· ὑμεῖς δὲ οἱ νέοι Ἰσραηλῖται, ὁ περιούσιος λαός, μηδεὶς μήτε Ἰαννῆς εἴη, μήτε Ἰαμβρῆς, μὴ δὲ Ἄχαρ ὁ τοῦ Χαρβῆ, ἀλλὰ Χάλεφ ὁ τοῦ Ἰεφανῆ· ὡς ἔγωγε δέδοικα τοὺς πλείους ὑμῶν περὶ τὴν χρυσῆν γλῶτταν καὶ τὰ τοῦ κρείττονος ἀναθήματα. Πέσοι δὲ ὑμῶν μηδεὶς ἐν τοῖς ὄρεσιν, ἀλλὰ σὺν τῷ θείῳ στρατηγῷ καὶ βασιλεῖ Ἰησοῦ πρὸς τὴν τῆς ἐπαγγελίας εἰσέλθοιτε γῆν, οἱ μὲν γεγηρακότες, οἱ δ᾽ ἄρτι νεάζοντες.

Εἰ δὲ καὶ τὴν χεῖρα τοῦ γεγραφότος ἐγνώκατε, οὗτος ὑμᾶς προσφωνεῖ τε καὶ κατασπάζεται.

## 71. Τῷ Καίσαρι.

Αἴθε γενοίμην ἔλαφος, Καῖσαρ, ἁλλόμενος ἐν λόχμαις, ἐν ὄρεσιν, αἴθε λέων ἢ πάρδαλις ἐν Χοιροβάκχοις ᾄττων ἢ καὶ βρυχώμενος, ἔνθα αἱ σαὶ θῆραι καὶ ταῦτα δὴ τὰ λαμπρὰ κυνηγέσια· ἡδέως ἂν ἐδεξάμην σου τὴν πληγήν, ἡδέως ὑπέδυν τὸν σίδηρον, ἀλλ᾽ οὐδ᾽ ἂν ἔτρωσας ἴσως. Προσεληλύθειν γὰρ ἂν

σοι καὶ προσυπήντησα, καὶ τὴν δέρην προέτεινα, καὶ ἐθήρασα ἄν, ἢ ἐθηράθην σου.

Ἀλλὰ μὴ πάντα βούλου θηρᾶν, γίνου δὲ καὶ αὐτὸς τοῦ λόγου θήραμα· εἴ τε γὰρ λέων εἶ ἀνυπόστατος τὴν ὁρμήν, χάλασον τῷ λόγῳ τὸ βλοσυρόν τε καὶ ἐπισκύνιον· εἴ τε πάρδαλις ὀξύρροπος τὴν φοράν, στῆθι τοῦ δρόμου καὶ τῷ τοῦ λόγου λειμῶνι προσαναπαύθητι. Βάλλομεν καὶ ἡμεῖς τοὺς θηροφόνους ὑμᾶς, οὐ διὰ τῶν πλευρῶν, ἀλλὰ διὰ τῶν ἀκοῶν, γοητεύοντες ὑμῶν τὰ ὦτα, καὶ οἷον καταφαρμάττοντες ἀρρήτοις ἐπάσμασι· σὺ δὲ καὶ ἤδη τέτρωσαι παρ' ἐμοῦ, καὶ ἀνέῳκται ἡ πληγή, ὥςτε ῥᾷστα δι' αὐτῆς τὸν ἐμὸν λόγον εἰς τὴν σὴν διολισθαίνειν ψυχήν.

## 72. Τῷ αὐτῷ.

Σύγχαιρέ μοι, μέγιστε καῖσαρ, μᾶλλον δὲ χαῖρε προηγουμένως, Ψελλὸς γάρ σοι γεγένηται ἕτερος, ἐμοὶ τῷ πρωτοτύπῳ ἀνθάμιλλος· οὕτω γάρ με πείθουσι λέγειν αἱ περὶ τὴν λεχώ, ψευδόμεναι μὲν ἴσως, ἀλλὰ κατὰ τὸ ἐμὸν φθεγγόμεναι βούλημα. Ἆρ' οὖν ἐκαρτέρησα καὶ αὐτίκα ἰδεῖν τὸ βρεφύλλιον; οὔ, μὰ τὴν ἱεράν σου κεφαλήν· ἀλλὰ καὶ συνηγκαλισάμην καὶ κατεφίλησα, καὶ τὰ χείλη μικροῦ δεῖν καθημάτωσα, ὥςπερ ἐκ (*) πολέμου ἀριστέα περιπτυξάμενος πεφοινιγμένον τῷ αἵματι.

Ἔδει με γὰρ φιλοσοφίαν ἐπαγγελλόμενον μὴ δ' αὐτὸ τοῦτο εἰδέναι, τί νηδύς, τί τόκος, τί παιδίον νεογιλόν, ἀλλὰ μόνης τῆς χρυσῆς σειρᾶς ἐξηρτῆσθαι τοῦ οὐρανοῦ.

Ἀλλ' ἐγὼ πρὸς μὲν τὰς μαθήσεις ἀρρενωπότερον ἴσως διάκειμαι, πρὸς δὲ τὴν φύσιν θῆλύς εἰμι· ὡς γοῦν ἤρξατό μοι ὠδίνειν τὸ θυγατρίδιον, καὶ μέ τις ἐξέπληξεν, εἰπὼν ὡς δρι-

(*) χειρόγρ. ἐκ ἐκ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μεῖαι ὠδῖνες πρὸς τὸν τόκον ἐπείγουσι, μικροῦ δεῖν αὐτίκα ἐξέθανον· περιείλιττον γοῦν τὸν κοιτωνίσκον ἐν ᾧ ὠδίνουσα ἔτυχε, καὶ τῶν ἐκείνης ἐξεκρεμαννύμην φωνῶν· ὁμοῦ δὲ τὸ βρέφος τῆς μητρικῆς νηδύος ἐξέθορε, κἀγὼ ἐπιλελήσμην τῶν ὀδυνῶν· οὐ γὰρ Σκύθης εἰμὶ τὴν ψυχήν, οὐδ᾽ ἀπὸ δρυός, ἢ πέτρας γεγένημαι, ἀλλὰ φύσεώς εἰμι τῆς ἁπαλῆς βλάστημα, καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι.

Σὺ δὲ ὁ τοιοῦτος, ὁ ἐμβριθὴς τὴν ψυχήν, ὁ τὸν νοῦν σταθηρός, ὡς δ᾽ ἐγώ τινος τῶν περὶ σὲ ἤκουσα, ὅτι καὶ εἰς ὀλοφύρσεις ἐκπέπτωκας δυστοκούσης τῆς νύμφης σου. Ἀλλ᾽ ἐγὼ ἤλγησα μὲν περιπαθῶς, οὐκ ἐδάκρυσα δέ· φιλοσοφώτερος οὖν εἰμὶ σοῦ τοσοῦτον ὅσον μὴ ἀποθλίψαι δάκρυον, στενωθείσης μοι τῆς ψυχῆς.

Ἀλλὰ τούτων μὲν ἅλις, σὺ δὲ σκέψαιο πῶς ἂν τὸ ἀποτοῦδε δυσὶν ἀρκέσεις Ψελλοῖς. Γράμμα δὲ περὶ τούτου καὶ πρὸς τὸν αὐτοκράτορα πέπομφα· εἰ μὲν οὖν περισσόν, μὴ δοθείη, εἰ δ᾽ οὖν, γενέσθω κατὰ τὴν σὴν διάταξιν.

## 73. Τῷ κριτῇ Χαρσινοῦ.

Ἔτι ἀρρωστῶν, περίβλεπτε κύριέ μου, τὴν σὴν ἐδεξάμην γραφήν· μετὰ γὰρ τὸ ἀπαλλαγῆναι τῆς συνήθους ἀλγηδόνος, ἑτέροις περιπέπτωκα ἀρρωστήμασιν, ὧν δὴ κατ᾽ ὀλίγον ὑπορρεόντων, τὸ τῆς ἀνορεξίας μοι καὶ ἀπεψίας ἐναπομεμένηκε σύμπτωμα.

Τρὶς γοῦν καὶ μόλις ἀρκῶν ἀφότου σὺ τῶν ὧδε ἀπῆλθες, τῷ βασιλεῖ προσωμίλησα εἰς τὸ παλάτιον ἀπελθών· ἀλλὰ νῦν τοῦ χειμῶνος καταλαβόντος, θερμότερος γέγονα, καὶ πρὸς τὴν πέψιν ἑτοιμότερος, καὶ πυκνότερον βαδίζειν ἐκεῖσε βεβούλευμαι· κἂν τύχω δεξιῶν τῶν πραγμάτων, καὶ εὐμενοῦς τοῖς βασιλικῆς ἀκοῆς τοσαῦτα ἐρῶ περὶ σοῦ, ὅσα οὐδ᾽ ἂν αὐτὸς εἰπεῖν ἐπεχείρεις·

Πλὴν ἴσθι ὡς συνεκεφαλαιώθη τὸ πᾶν τῆς τοῦ βασιλέως δυνάμεως, ὡς αὐτὸς ἔγνωκα, εἰς τὸν πρόεδρον καὶ πρωτοβεστιάριον· αὐτὸς γοῦν ἐστιν ὁ πάντα δυνάμενος καὶ τοὺς ὑπὲρ πάντων λόγους προσφέρων τῷ βασιλεῖ. Κἀγὼ οὖν εἴ τι δυνήσομαι περὶ σοῦ, δι' αὐτοῦ τοῦτο δυνήσομαι. Ὅθεν μηδένα τῶν ἁπάντων ἀξίου, βλαβήσῃ γὰρ ἐντεῦθεν μᾶλλον ἢ ὠφεληθήσῃ· ἀλλὰ πρὸς αὐτὸν σύνθες δουλικωτάτην γραφήν· ἐγὼ δὲ ταύτην ἐπιδούς, καὶ ἀφορμὴν εὑρηκώς, ἐρῶ πρὸς αὐτὸν ὑπὲρ σοῦ ὁπόσα δεδύνημαι· ἐμοὶ γὰρ τοῦτό ἐστι χρέος πρὸς σὲ συγγενικόν, μὴ φείδεσθαι πρὸς τοὺς δυναμένους τῶν ὑπὲρ σοῦ ῥημάτων· τὸ δέ γε τῆς σπουδῆς ἀποτέλεσμα κεῖται ἐπὶ τῷ θεῷ.

Ἴσθι δὲ καὶ τοῦτο ὡς νῦν πρῶτα γράμματα ἐδεξάμην παρὰ σοῦ, ἀξίωσιν δὲ παρὰ τοῦ ὀσπητίου σου ἢ ἀποστολὴν οὐδ' ἡντιναοῦν· ἀλλ' οὐδὲ περὶ ὧν ἔγραψας εἰς βασιλέα οἶδα, οὐδὲ ὁ ἄνθρωπος αὐτὸς ὁ ἀποκομιστὴς τῶν γραμμάτων παρεγένετο, ἢ ἐθεάθη μοι· ἐγὼ μὲν οὖν καὶ χωρὶς τῆς τοιαύτης περιόδου, τὸ ἐμὸν ὑπὲρ σοῦ ποιήσω, πλὴν ἔδει καὶ ταῦτα προσεῖναι.

## 74. [Τῷ βασιλεῖ Κωνσταντίνῳ Δούκᾳ?]

| Τῇ νοητῇ ἀμπέλῳ, τῷ μεγάλῳ δεσπότῃ μου, βότρυας ἀπέ- φ. 206.
στειλα δύο, γλεύκους ἔτι μεστούς· καὶ γένοιό μοι μὴ ἄμπελος μόνον, ἀλλὰ καὶ ἀναδενδρὰς εἰς ὕψος ἠρμένη, καὶ βρύων μὲν ἄνθεσι, βρύων δὲ κάλλεσι, βρύων δὲ χάρισιν.

## 75. Ἀνεπίγραφος.

Πολλὰ δύνασθαι φιλίαν πεπίστευκα, καὶ μάλιστα εἰ τύχοι ἐν φρονίμοις καὶ δραστηρίοις ῥιζωθεῖσα ψυχαῖς, ὁποία δὴ καὶ ἡ σὴ πέφυκε συνετωτάτη καὶ ἐν ἀπόροις εὐπορωτάτη· προοιμιάζομαι δὲ ταῦτα ἀξίωσίν σοι μέλλων προτεῖναι περὶ τοῦ πα-

ρόντος Βασιλείου· ὃς δὴ εὐγενέστατος ὢν ἀνθρώπων καὶ συνετώτατος, προσθήσω δὲ καὶ ἀνδρειότατος, οὐκ ἀρκοῦσαν ἔχει τὴν χορηγίαν τῶν ἀναγκαίων· εἰ δὲ καὶ ἀρκοῦσαν, ἀλλὰ μόλις καὶ πόνῳ συντόνῳ καὶ καμάτῳ πολλῷ.

Ἀλλ' ἐπιπεφόρτισται αὐτῷ συγγομή, ἣν ἀχθηφορεῖν μὴ δυνάμενος, μικροῦ δεῖν ἄφωνος εἰς γῆν καταπέπτωκεν· ἡ μὲν οὖν ἀξίωσις, ἐπελαφρῦναι αὐτῷ τὸ ἄχθος τοῦ φορτίου· εἰδὼς δὲ ὅσα μέλλεις ἐρεῖν εὔλογα πρὸς τὴν τῆς ἀξιώσεως παραίτησιν, τοῦτό σοι μόνον προστίθημι, ὅτι πρὸς τὴν σὴν πλατεῖαν φρόνησιν, ἄπορον οὐδέν, οὐδὲ ἀδύνατον· πλατυνεῖς δὲ αὐτὸν ἔτι καὶ τῷ μέτρῳ τῆς φιλίας ἡμῶν. Κἂν οὕτω ποιήσῃς, εὐτύχησεν ἐν ἀτυχίαις ὁ Μελισσηνός, δεσπότου τυχὼν νικᾶν εἰδότος τὴν τῆς τύχης δυσχέρειαν.

## 76. Ἀνεπίγραφος.

Οὐδὲν ὡς ἔοικε κατὰ τὸν παρόντα χρόνον τοῦ ἀναισχυντεῖν ἰσχυρότερον· οἱ γὰρ τῆς Ἀλέας ἐπίσκοποι οὔτε ἡμῶν φείδονται, οὔτε σοῦ, οὔτε τοῦ δικαίου, οὔτε τοῦ Θεοῦ· ἀλλὰ παντὶ τρόπῳ σπουδάζουσι τοὺς Λυσοκρανίτας ἐξοικίσαι τοῦ ἰδίου χωρίου. Καὶ διωκόμενοι γάρ, καὶ τυπτόμενοι, καὶ καταδικαζόμενοι, οὐ παύονται τοῦ ἐγκαλεῖν.

Ὅμως καὶ αὖθις ἐκρίθη παρὰ τοῦ δικαιοτάτου βασιλέως ἡμῶν, καὶ ἐκράτησε τὸ δόξαν ἐμοὶ καὶ ἀποφανθέν. Εἰ μὲν οὖν στέρξουσι τὴν καταδίκην κἂν νῦν οἱ Λυσοκρανῖται, ἔσται τὰ κεκριμένα κύρια, εἰ δ' οὖν, αὖθις φλυαρείτωσαν. Τῆς δὲ σῆς ἐστὶ καὶ φρονήσεως καὶ δυνάμεως καταναγκάσαι τούτους στοιχῆσαι τῷ δικαίῳ καὶ ἄκοντας.

## 77. Ἀνεπίγραφος.

Διὰ σὲ τὸν ἐκ μέσης ἡμᾶς ἀγαπῶντα ψυχῆς καὶ ἑτέραν ἀλλοτρίαν κτῆσιν προσεκτησάμεθα· τίνα ταύτην; τὴν ἐν τῷ Ὀλύμπῳ λάβραν τῶν Μεγάλων Κελλίων· ἐπεκτησάμεθα δὲ ἀκηκοότες, ὡς ἐλευθέρα ἐστὶν ἡ ἀπὸ τῶν κτηματιτικίων (sic) αὐτῆς πρόσοδος.

Ἀλλ' ἐπειδὴ ἀνεπηρέαστόν ἐστι τὸ ταύτης γεώργιον, καὶ ἥ τε ἄμπελος τῇ μονῇ τὸν βότρυν καρποφορεῖ, ἥ τε αὖλαξ τὸν στάχυν τοῖς μοναχοῖς ἀναδίδωσιν, ἀλλ' οὐκ εἰς διάρπαγμα κεῖται τῶν ταύτην ἁρπάζειν βεβουλημένων, διὰ ταῦτα προθύμως ἡμεῖς προσηκάμεθα τὴν βραχεῖαν καὶ ἀνεπηρέαστον τῶν κτημάτων συνεισφοράν.

Ἔστι γὰρ παρὰ τῇ λάβρᾳ βασιλικὸν ἔγγραφον, πᾶσαν πονηρὰν κατὰ τῆς μονῆς ἀναστέλλον ὑπόνοιαν· ἀλλ' ὁ οἰκοδεσπότης ᾧ ἂν ἐγχειρίσῃ τὴν τοῦ οἰκέτου ἐπίσκεψιν, οὐ τὸν περιῳκοδομημένον μόνον, ἀλλὰ μὴν καὶ τὰ ὕπαιθρα ἀνατίθησιν, ἢ μᾶλλον οὐ τούτων, ἀλλὰ κἀκείνων ἐμπιστεύει τὴν φυλακήν.

Τοιοῦτόν τι κἀγὼ ποιεῖν νῦν βεβούλημαι, καί σοι πάντα τὰ ἐμὰ ἀνατίθημι, τὰ Καθαρά, τὸ Μηδίκιον, τὰ Κελλία, ὀνόματα, μὰ τὴν ἱεράν σου ψυχήν, μεγάλα καὶ πολυθρύλλητα, ἐπιζήμια δὲ μᾶλλον ἢ ἐπικερδῆ, καὶ τότε κύκλωσε κατασφαλιζομένων ἡμῶν ταῦτα καὶ ἀθιγῆ ποιούντων πάσαις χερσίν.

Ἔγωγ' οὖν, εἰ μή σε αὐτόθι ἔχοιμι δικαστήν, ἀποταξαίμην ἂν πᾶσιν αὐτοῖς· ὁπότε γὰρ σοῦ αὐτὰ περιέποντος, οὐδὲν παρ' οὐδενὸς αὐτῶν κομιζοίμεθα, ποία ἐλπὶς ἐκεῖθέν τι προσλήψεσθαι, ἑτέρου ταῦτα διαμοχλεύοντος;

## 78. Ἀνεπίγραφος.

Τίσι καὶ πόσοις δώροις ἐδεξιώσω τὸν Λίζικα, πηλίκην δὲ καὶ διάθεσιν πρὸς αὐτὸν ἐνεδείξω, νὴ τὴν ἄρρητον καλλονήν, οὐ

τὰς ἐμὰς μόνον ἀκοὰς τῶν σῶν ἐγκωμίων ἐνέπλησεν, ἀλλὰ δι' ἐμοῦ τὰς τῶν ἁπάντων, καὶ τὰς τοῦ βασιλέως αὐτοῦ. Ἐγὼ γὰρ ᾔδειν σε καὶ πρὸ τούτου καλόν, τηλικοῦτον δὲ νῦν ἀκριβῶς ἔγνωκα· ἀξιῶ δέ σε δικαίαν ἀξίωσιν.

Εἰ μὲν σὺ τοιοῦτος καλός, ὁ δὲ κριτὴς ἐλάττων, ἢ τοῦ δικαστικοῦ ἀνάξιος πράγματος καὶ ὀνόματος, μηδὲν περὶ αὐτοῦ, πρὸς τὰς βασιλικὰς ἀκοὰς μήτε γράψῃς νῦν, μήτε εἴπῃς εἰσελθών· εἰ δὲ καλὸς καὶ σοφός, καὶ δίκαιος, ποίησον ἀμφότερα· ἐμὲ δὲ οὕτως ἐδούλωσας, καὶ οὕτως ὑποχείριον ἔσχες, ὡς ἥδιστ' ἂν καὶ παρασταίην σοι καὶ λούσαιμι, καὶ ἄλλό τι τῶν ἐν ὑπηρεσίαις ποιήσαιμι. Δῴη σοι Κύριος τὸν τῆς φιλίας μισθόν, καὶ ἀγαπῆσαι ὡς αὐτὸς ἠγάπησας τὸν κριτήν.

## 79. Ἀνεπίγραφος.

Περὶ πολλῶν καὶ ἄλλων ἠξίωσα τὴν ὑπέρτιμόν σου ψυχήν, ἀλλ' οὐχ οὕτως ἐκείνων μοι μέλει, ὡς τῆς ἱερᾶς τοῦ μητροπολίτου Κυζίκου ψυχῆς. Ἔστι γὰρ ὁ ἀνήρ, ὡς ἂν καὶ αὐτὸς εἰκάσαις ἰδών, πλήρης μὲν θείας ἁπλότητος, καὶ οἷος ὁ Ξηροχωραφίτης ἐκεῖνος, ὃν μάλιστα τῶν ἄλλων πεφίληκα, μεστὸς δὲ συνέσεως καὶ τῆς ἀρχιερεῖ πρεπούσης τάξεώς τε καὶ καταστάσεως, καὶ διὰ ταῦτα ἀγαπώμενος ἐμοὶ καὶ τιμώμενος.

Εἰ μὲν οὖν ἐμὲ ἀποχρῶντα οἴει πρὸς ἀρετῆς κατανόησιν, μηδέν τι πλέον ἐξετάσεις περὶ τοῦ ἀνδρός, ἀλλ' ἐμοὶ λέγοντι πίστευσον, καὶ ὡς ἔστι φίλος θεῷ· εἰ δ' οὖν, αὐτὸς δοκίμασον, καὶ εὑρήσεις ὡς οὐ διημαρτημένος ἐγὼ τῆς περὶ τοῦτον κρίσεως.

Τὸ δ' ἐπὶ τούτοις ἐστίν, οὐ τιμῆσαι μόνον τὸν ἄνδρα, ἀλλὰ καὶ ὠφελῆσαι τὸν δυνατὸν τρόπον. Ἦν μὲν γὰρ καὶ πάλαι ἡ θρυλλουμένη αὕτη μητρόπολις ἐκλελειμμένον, ἵν' οὕτως εἴπω, ὑπὸ τῆς ἀνωμαλίας τῶν χρόνων ἐρείπιον· κατασείσαντος δὲ οὕτω πέρυσι τοῦ θεοῦ, τὸ πᾶν αὕτη τοῦ τρυγίου τῆς τοῦ θεοῦ

ὀργῆς ὑπεδέξατο· δεῖται οὖν συχνῆς χειρὸς διορθουμένης αὐτήν. Ἀλλ' ἡμεῖς οὐκ ἀξιοῦμεν προσθεῖναί τι ταύτῃ, ἀλλὰ μὴ ἀφελεῖν τι τῶν αὐτοῦ.

Δεῖ μὲν γὰρ καὶ τῶν δημοσίων θησαυρῶν φροντίζειν σέ, δεῖ δὲ μᾶλλον τοῦ τιμαλφεστάτου | θησαυροῦ τῆς ψυχῆς, καὶ πρὸ φ. 205ʳ. ταύτης, τοῦ θεοῦ, καὶ τῶν θείων ναῶν. Εἰ δ' οὖν, ἀλλὰ μὴ ἀκουσάτω τοῦ λόγου τὸ δημόσιον ταμιεῖον, μὴ πάντα τοῖς ἐκείνου θησαυροῖς, πρόσθες τι καὶ τοῖς ἄνω σηκοῖς, καὶ ἀπάρξαιό γε ταύτης τῆς ἀρετῆς ἀπὸ τῆςδε τῆς μητροπόλεως, ἧς ὁ κάλλιστος οὗτος ἀνὴρ καθέστηκε πρόεδρος.

## 80. Τῷ Εὐχαΐτων.

Προσαγορεύω σε τὴν ἱερὰν κεφαλήν, ἱερὰ τῷ ὄντι καὶ θεία μοι ψυχή· εἰ γὰρ μὴ καὶ ἐμοὶ προσήκει ἡ τοιαύτη προσφώνησις, ἀλλὰ σοὶ μάλιστα τὸν τοῦ θεοῦ λόγον βροντήσαντι καὶ θείας λαμπρότητος καὶ τοὺς ἐγγὺς καὶ τοὺς πόρρω πληρώσαντι· προσαγορεύω οὖν σε οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, καὶ περιπτύσσομαι ψυχικώτερόν τε καὶ νοερώτερον.

Εἶτα δή σοι καὶ αὐτὰ καταγγέλλω τὰ γεγονότα· οὐκ οἶδα δὲ εἴτε ἡμεῖς, εἴτε οἱ καθ' ἡμῶν παραπολαύουσι τοῦ καιροῦ· διττὴ γὰρ ἡ τῆς λέξεως ἔμφασις· κατὰ δὲ τὴν προβεβλημένην ἔννοιαν οἱ ἐκ τῶν Εὐχαΐτων τούτου παραπολελαύκασι, πλὴν οὐ τοσοῦτον ὅσον ἐβούλοντο· λύκοι γὰρ τυγχάνοντες γεγόνασιν. Ἐλύττησαν μὲν γὰρ καὶ τὰς γλώσσας αὐτῶν ἐπὶ τὰς σάρκας ἐξέχεον, ἀλλ' οὐδὲν ἧττον τῶν περὶ τὸν Δανιὴλ λεόντων πεπόνθασιν· ἐγὼ δέ σοι εἰ βούλει ὁ Ἀμβακούμ, οὐκ αἰθέριος, ἀλλ' ὡς εἴωθα ἀπεχαλίνωσα τούτοις τὰ στόματα, ὥςτε θαυμάζειν καὶ τὸν βασιλέα, εἰ οὕτως ὀξὺ βοήσαντες καὶ πόρρωθεν βρυχησάμενοι, ταχὺ τῆς θηριωδίας ἔληξαν.

Ἀλλ' οὐ τοῦτό σοι μόνον διυπηρέτηκα, δέσποτά μου ὡς ἀλη-

θῶς τιμιώτατε; ἀλλὰ καὶ τὴν τοῦ κρατοῦντος δόξαν μετεποίησά σοι, καὶ ἀντὶ τοῦ πείθεσθαι τοῖς κατηγόροις, καὶ κατηγορεῖν ἀναγκάζεσθαι, εὐφημίας ἀφῆκε περὶ σοῦ ῥήματα μεστά. Τὴν δέ γε ἐπιστολήν σου, τὴν καλὴν ὁμοῦ καὶ σοφήν, πολλάκις διεξελήλυθε, καὶ πρὸς τοὺς ἀρχαίους λόγους συνέκρινε· κἀγώ σοι τὸ ὑπερέχον ἐμνηστευσάμην.

Οὕτω μὲν οὖν σοι ἐκ περιτροπῆς τῶν δυσχερῶν, τὰ ἐναντία περιελήλυθε· βούλομαι δὲ κατ' εὐθεῖάν σοι ταῦτα φέρεσθαι, καὶ μὴ ὥςπερ ἐκ μηχανῆς. Κἀνταῦθα μὲν οὐδέν σοι περὶ τούτου γέγραπται, οὐδὲ διηρμήνευταί σοι τὸ καθ' ὅν τινα τρόπον· ἣν δὲ κομιοῦσί σοι οἱ τῆς πολιτείας ἐπιστολήν· ἐπηγγειλάμην γὰρ αὐτοῖς δοῦναι πολλάκις αἰτησαμένοις· ἑρμηνεύσει σοι τὰς αἰτίας τῆς κρείττονος διοικήσεως.

Διατί γὰρ ὁ κορυφαιότατος σὺ τῆς ἱερᾶς συνόδου, καὶ ὁ πᾶσιν ἀπαράμιλλος, οὐ τοῖς καθ' ἡμᾶς μόνον, ἀλλὰ καὶ τοῖς ᾀδομένοις κατὰ τὸν ἄνω βίον ἀνδράσι, μῶμόν τινα καὶ μέχρις αὐτῆς προσδέξαιο ὑπολήψεως, ὁπηνίκα πρὸς τὸν ἐν προφορᾷ λόγον, ἀλλ' οὐ πρὸς τὸν ἐνδιάθετον ἡ ἐφεστῶσα κρίσις δοκιμάζει τὰ πράγματα, καὶ οὐχ ὅτι ἡμῖν πράττεται, ἀλλ' ὅτι καθ' ἡμῶν λέγεται; Ἀλλά σοι κατ' ἐξαίρετον ὁ θειότατος ἡμῶν βασιλεὺς τὸ ἰδιαίτατον ἐκείνου ἀφείλετο.

Ἀλλ' ἐξελαθόμην παρενεχθεὶς ὑπὸ τῆς τοῦ λόγου ῥύμης, πῶς ὁ κριτής; ἆρ' οἷον εὐχόμεθά τε καὶ ὑπειλήφαμεν; πότερον, σώζει τοὺς χαρακτῆρας τῆς ἡμετέρας παιδεύσεως; ἔχει τινὰ τὸ ἦθος αὐτοῦ πρὸς τὸ ἡμέτερον μίμησιν, ἢ τοὺς δοθέντας ὅρους ἐκβέβηκεν; Εἰ μὲν οὖν ἔχει, τίμησον· εἰ δ' οὖν, μάστιξον· εἰ δὲ φείδῃ τοῦ σώματος, γένοιο τούτῳ ἀνθ' ἡμῶν, καὶ ἐντύπωσον αὐτοῦ τῇ ψυχῇ, τὴν σὴν καλλίστην ἰδέαν καὶ τοῦ ἤθους, καὶ τῆς γνώμης, καὶ τῆς ἁπλότητος, καὶ δεξαίμην αὐτὸν ἀπὸ σοῦ μάλιστα μεμορφωμένον, ἢ τοὺς ἐμοὺς χαρακτῆρας φυλάττοντα.

## 81. Τῷ βασιλεῖ [Ἰσαακίῳ] τῷ Κομνηνῷ ὅτε κατὰ τῶν βαρβάρων ἐξῆλθε.

Βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· ἀλλ' ὁ μὲν Δανιὴλ τοσοῦτον εἰρήκει οὐκ ἀγαθῷ διαλεγόμενος βασιλεῖ· ἐγὼ δὲ ἐπιγείῳ θεῷ, ἵνα καὶ τοῦτο θαρρούντως εἴποιμι, διὰ γράμματος ὁμιλῶν, καὶ τἄλλα προστίθημι· βασιλεῦ ἐπιεικέστατε, πρᾳότατε, φιλανθρωπότατε, ζῆθι καὶ εἰς τὸν παρόντα αἰῶνα μέχρι πολλοῦ, καὶ εἰς τὸν μέλλοντα αἰωνίως τὴν ἐν θεῷ κεκρυμμένην ζωήν· τοῦτο γὰρ ἐμοὶ περὶ σοῦ καὶ εὐχή, καὶ ἐλπίς, τὸ μέν, εἰς σωτηρίαν πολλῶν καὶ ἀνάπαυσιν, τὸ δέ, εἰς ἀνταμοιβὴν τῶν ἐνταῦθά σου πράξεων καὶ διηνεκῆ ἀγαλλίασιν. Ἐγὼ δὲ τῆς μὲν ἀποκληρωθησομένης σοι ἐν τῷ μέλλοντι αἰῶνι ζωῆς μακρὰν ἴσως ἔσομαι, μὴ τὸν ὅμοιόν σοι βίον ζηλώσας, μὴ δ' ἐφικόμενός σου τῶν ἀρετῶν.

Ἐνταῦθα δὲ διατί σου ἀφίσταμαι; λέγω δὲ οὐχ ἵνα ἐγὼ μεταναστεύσω ὥςπερ στρουθίον εἰς τὰς σὰς οὐρανομήκεις περιωπάς, ἀλλ' ἵν' αὐτὸς ἐπανέλθῃς, καὶ συγκατέλθῃς ἡμῖν, καὶ τὴν μεθ' ἡμῶν ἀγαπήσῃς ζωήν· οὕτω γὰρ καὶ θεὸς ἐξ οὐρανοῦ καταβεβηκὼς τὴν Παλαιστίνην κατῴκησεν· οὐ χείρων δὲ ἡ μητρόπολις αὕτη τῶν πόλεων τῆς παλαιᾶς Ἱερουσαλήμ, ἣν ἐτίμησας, ἐν ᾗ τετίμησαι, ἣν βασιλίδα τῷ μεγέθει πεποίηκας, ἐν ᾗ βεβασίλευκας. Ὥςπερ γὰρ σὺ ὁ θειότατος βασιλεύς, καὶ αὐτῶν τῶν φιλτάτων καταφρονήσας, καὶ συγγενικῆς ἁπάσης ἀναγκαιότητος, τὸν ὑπὲρ τῆς τῶν ὅλων σωτηρίας προείλου κίνδυνον, οὕτω δὴ καὶ αὐτή σοῦ προκινδυνεύειν αἱρεῖται· μᾶλλον δὲ τοῦ ἐραστοῦ ταύτης νῦν μᾶλλον ἐρᾷ σφοδρότερον, ἢ τὸ πρότερον, καὶ σὲ τῆς προθυμίας ἐκθειάζει, καὶ ὡς στεφανίτην ἤδη ἀνακηρύττει.

Ὃ γὰρ ἐχρῆν ποιῆσαι, πεποίηκας βασιλεῦ· καὶ τὸ περαιτέρω

προβαίνειν οὐκ ἀσφαλές, οὐ γὰρ δεξιὸν τὸ τοῦ δεξιοῦ δεξιώτερον. Τὸ μὲν μέχρι τούτου, θάρσους ἐστὶ καὶ ἀσφαλοῦς προμηθείας, τὸ δ' ἐπὶ πλέον, φοβοῦμαι μή τις εἴπῃ θρασύτητος. Ἐγὼ δὲ οὐχ ὥσπερ τοῖς ποσὶν ἀστράτευτος, οὕτω δὴ καὶ τῇ κεφαλῇ· καὶ εἰ ἐβουλόμην μακρηγορεῖν, πολλοὺς ἂν ὑπανέγνων σοι νόμους στρατηγικοὺς διδάσκοντας, πότε καὶ μέχρι τίνος,
φ. 207. καὶ ὅπως χρεὼν στρατεύειν τὸν αὐ|τοκράτορα.

Ἔδει θροηθῆναι τὸν βάρβαρον, τεθρόηται· ἔδει θαρρῆσαι τὸ ὑποχείριον, τεθάρρηκε· τοῦ δὲ καὶ ἀπολαιμωθῆναι τὸ ἀντίπαλον ἔθνος, οὔπω καιρός. Μὴ τοίνυν προεξαναστῇς τοῦ καιροῦ, μή ποτέ σοι ἄλλό τι ἀπαντήσοι τῶν ἀνελπίστων. Γράφω δὲ πεπαρρησιασμένως πρὸς ἐννομώτατον βασιλέα, ὃν οὐ πεφόβημαι· λέγω τεθαρρηκώς, ἀλλ' οὐ μᾶλλον κολακευτικῶς.

Τὰ μὲν οὖν αὐτόθι θεὸς ἄγοι πρὸς τὸ βέλτιον· τὰ δὲ ἐνταῦθα εἰρηνικώτερα μᾶλλον καὶ ὁμαλώτερα, ἢ τὸ πρότερον. Οὕτως ἡμᾶς ἐξεπαίδευσας· οὕτω τὸ ἵππειον κατήρτυσας θράσος· τοσοῦτον δύναται βασιλεὺς τὴν βασιλικὴν ἡνιοχείαν εἰδώς. Ἀλλ' ἐπίβηθι καὶ πάλιν ἡμῶν· μᾶλλον γὰρ ἡδόμεθα ἡνιοχοῦντά σε ἐπὶ τῶν κεφαλῶν ἡμῶν φέροντες, ἢ ἀποβεβηκότα σε θεώμενοι τοῦ ὀχήματος.

## 82. Πρὸς τὸν Διογένην ὅτε ἐτυφλώθη.

Ἀπορῶ παντάπασι, γενναιότατε καὶ θαυμασιώτατε ἄνθρωπε, πότερον ὡς δυστυχέστατόν σε ἄνθρωπον ἀποκλαύσομαι, ἢ ὡς εὐκλεέστατον θαυμάσομαι μάρτυρα. Ὅταν μὲν γὰρ ἀποβλέψω εἰς τὰ ἐπενεχθέντα σοι λυπηρά, ἀριθμὸν καὶ δύναμιν ὑπερβαίνοντα, μετὰ τῶν ἀτυχεστάτων συναριθμῶ· ὅταν δὲ τὴν γνώμην σου ἐνθυμηθῶ τὴν ἀναίτιον καὶ τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν, μετὰ τῶν μαρτύρων συγκαταλέγω· εἰ δὲ καὶ μετὰ τὰς

μυρίας κακώσεις, ἔτι μείνης μεγαλοψυχῶν καὶ εὐχαριστῶν τῷ θεῷ, ὑπὲρ τὴν τάξιν σὲ τίθημι τὴν μαρτυρικήν.

Οὐ γὰρ οἶδα εἴ τις ἕτερος ἄνθρωπος τοσούτων ἐπειράθη κακῶν, καὶ ταῦτα ἐπὶ πᾶσιν ἀναίτιος. Τοῦτο δὲ γνῶθι παρ' ἐμοῦ, θειότατε ἄνθρωπε, ὅτι πάντα τὰ ἐν τῷ βίῳ γινόμενα τῆς θείας προνοίας καὶ οἰκονομίας ἐξήρτηνται, καὶ οὐδὲν ἀλόγιστον, οὐδὲ ἀπρονόητον, ἀλλὰ πάντα ἐποπτεύει ὁ ἀκοίμητος ὀφθαλμός, καὶ ἀντὶ τῶν ἐνταῦθα ἐπιπόνων καὶ δυσχερῶν, μεγάλας ἀντιδόσεις τοῖς ὑπομείνασι ταμιεύεται.

Οἶδα μὲν γὰρ ὅτι δριμὺ τὸ στερηθῆναι φωτός, καὶ ταῦτα ἐπιπόνως οὕτως καὶ ἐπὶ πολλαῖς προηγησαμέναις κακώσεσιν, ἀλλ' αὖθις ἐπίσταμαι, ὅτι μέγα τὸ ἀπολαῦσαι τοῦ θείου φωτός, ὅπερ ἤδη προητοιμάσθη σοι καὶ ὅσον οὔπω χορηγηθήσεται τῇ καρδίᾳ σου· ἀνάψει γὰρ ὁ θεὸς ἐν τῇ ψυχῇ σου ἀκήρατον φῶς, καὶ καταλάμψει σε ἡμέρα σωτήριος, καὶ καταυγάσει σε ἄδυτος ἥλιος, καὶ μισήσεις μὲν τοῦτο τὸ ἡλιακὸν πῦρ, ἀγαπήσεις δὲ τὸ νοητὸν ἐκεῖνο καὶ ἀπόρρητον φῶς.

Δὸς αἶνον τῷ θεῷ, ὅτι ἄνθρωπον ὄντα σε, ἄγγελον εἰργάσατο, καὶ ὀμμάτων στερηθέντος σε τοῦ κρείττονος φωτὸς κατηξίωσε, καὶ ἔταξε μετὰ τῶν γενναίων αὐτοῦ ἀθλητῶν, καὶ τὸ ἐπίκηρον ἀφελόμενός σε διάδημα, οὐρανοπλόκῳ στεφάνῳ σὲ κατεκόσμησεν.

Ἐνθυμήθητι τὸ μέλλον κριτήριον τοῦ θεοῦ, ὅτι οἱ μὲν τὰ πολλὰ εὐτυχήσαντες ἐνταῦθα, ἢ παντελῶς τῆς ἐκεῖθεν δόξης ἀπελαθήσονται, ἢ τιμῆς βραχείας ἀξιωθήσονται· σὺ δὲ ἐν δεξιᾷ σταθήσῃ τοῦ δικαστοῦ λαμπρός, λαμπρῶς ἐστεφανωμένος μαρτυρικῷ διαδήματι, ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς τὰ θεῖα κατοπτεύων μυστήρια καὶ θεάματα. Καταφιλήσουσί σου τὰ πονήσαντα ὄμματα μάρτυρες, κατασπάσονται ἄγγελοι, θαρρούντως ἐρῶ καὶ θεὸς αὐτός.

Τὴν τοσαύτην χαρὰν ἐνθυμούμενος, ἐπάναγε σεαυτὸν ἐπὶ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εὐθυμότερον, καὶ εὐφραίνου ἐν τοῖς παθήμασί σου κατὰ τὸν θεῖον Ἀπόστολον· ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν ὁρῶν μερίδα τινὰ θείαν ἐν τῇ ψυχῇ σου διέγνωκε, καὶ ἵνα μὴ συμπνιγῇ ταῖς σωματικαῖς ἀκάνθαις, τὸ μὲν σῶμα βραχὺ διέφθειρε, τὸ δὲ ἀγαθὸν σπέρμα διεφύλαξεν ἀοράτως ἀοράτοις δυνάμεσιν.

Ἐπὶ πᾶσι καὶ πρὸ πάντων ὄμνυμί σοι θεὸν ὃν ὁ ἀληθὴς πρεσβεύει λόγος, ὅτι ἀθῶος ἡ τοῦ βασιλέως ψυχὴ τοῦ σοῦ πειρασμοῦ, καὶ πάντῃ τοῦ γεγονότος ἀναίτιος· ὅτε δὲ ἔδοξε κατορθῶσαι τὸ μηδεμίαν προσγενέσθαι σοι κάκωσιν, τότε σοι τὸ πειρατήριον προσεγένετο· ἤλγησεν ἀκούσας τὴν ψυχήν, ἐστέναξε μέγα, ἐθρήνησεν, ἐκόψατο περιπαθῶς, κατήνεγκε δακρύων κρουνούς, ηὔξατο πολλάκις ἀποθανεῖν, ηὔξατο χανεῖν αὐτῷ καὶ τὴν γῆν· μὴ ἀπιστήσῃς μοι γράφοντι, οὐ ψευδὴς ὁ λόγος, οὐδὲ πρὸς χάριν, ἀλλ' ἀληθὴς καὶ φωτὸς τηλαυγέστερος· οὔπω παραμεμύθηται, ἀλλ' αὐτὴν ἀπολέγεται τὴν ζωήν. Ἔχεις καὶ τοῦτο ἱκανὸν παραμύθιον, ἔχεις ὃν ἐφίλεις δεσπότην, ἢ καὶ υἱὸν εἴποιμι γνησιώτατον ἅμα καὶ φίλτατον, ἔχεις τὸν παραμυθησόμενον, τὸν ὑπὲρ σοῦ κλαύσαντα, τὸν ἀναπαύσοντα, τὸν ἀγκαλισόμενον, τὸν τιμήσοντα.

Ἐγὼ μὲν ἐβουλόμην αἵμασιν οἰκείοις ἢ δάκρυσι τὴν παροῦσαν χαράξαι ἐπιστολήν, ἐπεὶ δ' οὐκ ἦν δυνατόν, ἔγραψα ὁπωσδήποτε, ἔγραψα, στενάζων μέγα καὶ ὀδυρόμενος, ὅτι σὲ πάντοθεν περιφυλάξαι σπεύδων καὶ προθυμούμενος, οὐκ ἠδυνήθην ὑπεξελεῖν τῆς ἐπενεχθείσης σοι συμφορᾶς.

## 83. Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ ἀξιοῦντι ἐλθεῖν εἰς γάμον.

Εἰ δέ μοι νόμος ἔκειτο λέοντι μὴ μονομαχεῖν, ἔπειτα σὺ τὸν θῆρα θηράσας καὶ τῶν ὀνύχων αὐτὸν ἀφελόμενος, συμπλακῆναι

παρῄνεις, ὡς ἤδη μοι τοῦ νόμου λυθέντος διὰ τὴν τῶν ὀνύχων ἀφαίρεσιν, ἆρ' ἂν εὐλόγως ἐδόκεις λέγειν, ἢ τοῦ παντὸς διημαρτήκεις καὶ τῆς πειθοῦς ἀπετύγχανες; οὕτω τοιγαροῦν καὶ τῶν τοῦ γάμου προτελείων, τὰ ἐπὶ τούτοις ἀφῃρηκὼς ᾄσματα, καὶ ξύμπασαν τῆς τελετῆς πραγματείαν, καὶ ἀποσεμνύνας τὸ πρᾶγμα ὅσα εἰκός, οὐ πιθανὸς εἴης συγκαλῶν | ἐπὶ τοῦτο καὶ παρατρέπων. Ὥςπερ γὰρ ἐκεῖ μένει τοὔνομα τῷ θηρὶ καὶ παρακεκομμένῳ τοὺς ὄνυχας, ᾧ μὴ προσπαλαίειν νενομοθέτητο, οὕτω δὴ κἀνταῦθα, οὐ μεταπεποίηται ὁ ἀρραβὼν ἣν ἀφῄρηται τὰ μέλη καὶ τοὺς ῥυθμούς. φ. 207ᵛ.

Σὺ δ' ἄρα, καὶ γυναῖκα μετακοσμήσας, καὶ τὰς πλοκαμῖδας αὐτῇ βοστρυχίδας ποιήσας, καὶ τὸν τῆς κεφαλῆς κόσμον μεταβαλών, ἔπειτά με συγκαθεύδειν αὐτῇ κατανάγκασον, καὶ τὴν προσήκουσαν αὐτῇ στολὴν ὑφελών, ἐπιχείρησον πείθειν ὅτι μὴ γυνὴ τὸ ὁρώμενον· ἀλλ' οὐ περιεργαστέον ἡμῖν τοὔνομα, ἀλλὰ τηρητέον αὐτοῖς καὶ τὰς λέξεις θ' ἅμα καὶ τὰς ἐννοίας.

Καὶ γάμοις γοῦν ἐγὼ πολλοῖς παραγέγονα ὁπηνίκα ἐξῆν, ἐν οἷς οὔθ' ὁ κιθαρῳδὸς ἐτελεῖτο νόμος, οὔθ' ὑμνεῖτο ὁ ὑμέναιος, ἀλλ' ὅμως ἔκειτο τῷ πράγματι τοὔνομα, καὶ γάμος ἦν τὸ γινόμενον, καὶ οὐδὲν ἧττον ἡ συζυγία ἐπραγματεύετο. Ὥςπερ γὰρ οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἄνθρωπος, καὶ τοῦτο καλῶς τῇ ἐπιστήμῃ ἠκρίβωται, οὕτως οὐδὲ γάμος, οὐδ' ἀρραβών· οὐδὲ γὰρ ὁ ἠκρωτηριασμένος τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἐλάττων παρὰ τοῦτο τοῦ τελείου κατὰ τὸν τῆς φύσεως λόγον, ἢ παρ' ἐκεῖνον ἕτερος· ἄνθρωποι γὰρ ξύμπαντες, καὶ τοῦ αὐτοῦ λόγου κεκοινωνήκασιν.

Εἰ μὲν γὰρ ἔχεις δεικνύειν ὅτι παρὰ τοῖς ἀχόρδοις ἀρραβῶσιν, ἄλλό τί ἐστι τὸ τελούμενον, ἐφ' ᾧ νόμος ἀπείργων ἡμᾶς οὐ τέθειται, αὐτῷ δὴ τούτῳ νενίκηκας, κἀμοὶ ἀπαντητέον αὐτίκα πρὸς τὴν τελετήν· ἕως δὲ μὴ τοῦτο δεικνύειν δεδύνησαι, ἐμοὶ ἀπείργεις τὴν πρόοδον· οὐ γὰρ τὸ πᾶν τοῦ γινο-

μένου ὑφήρηκας, ἀλλὰ τὸ μὲν προβαίνειν εἴασας, τὸ δ' ὑπεκώλυσας. Εἰ δὲ καὶ θέατρον ἐπετέλεις τῇ πανηγύρει, ὥςπερ καινὴν ἱπποδρομίαν ποιούμενος, εἶτα τὴν μὲν γυμνοποδίαν ὑφῄρηκας, αὐτῇ δὲ τῇ ἱπποδρομίᾳ συνίστασο, ἆρ' ἂν με δικαίως ἐκάλεις ἐπὶ τὸ θέατρον, ὅτι δὴ ἐξ ἡμισείας ἠκρωτηρίασται; σοὶ γὰρ ἂν ἐγὼ δικαίως ἐπισκήψαιμι ὅτι τῆς τελετῆς τὸν νενομισμένον ὑφαιρεῖς κόσμον, ὥςπερ εἴ τις ὑφαιροίη τὰ ἄνθη τοῦ ἔαρος. Τί γὰρ δὴ τὸ τελούμενον περὶ τὸν κόσμον τῆς τελετῆς; ὥςπερ γὰρ εἴ τις ἀφέλοιτο τῶν μυστηρίων αὐτὰς δὴ τὰς μυστηριώδεις ἐχεμυθίας, καὶ σύμπασαν τὴν ἱερατικὴν πραγματείαν, τὸ πᾶν συνέχεε καὶ ἀνέτρεπεν, οὕτω δὴ καὶ γάμων καὶ τῶν ἐπὶ τούτοις ἀρραβώνων, εἴ τις τοὺς συνήθεις περιέλοι κόσμους, καὶ μάλιστα τὰ ἐπᾴσματα καὶ τὰ ᾄσματα, λυμαίνεται τῷ παντί.

Οὔτε γοῦν ἐμοὶ νόμος προσιέναι γάμοις καὶ τοῖς τούτων προεισοδίοις, οὔτε σοὶ ἐπ' ἐξουσίας ἐστὶν ὑφαιρεῖν τὰ ἐπὶ τούτοις νομοθετούμενα. Ἀλλ' εἰς ὅ μοι ὁ λόγος ὥρμηται· τῶν γινομένων τὰ μέν, ἀνεῖταί μοι, τὰ δέ, ἀποτετείχισται· καὶ ἀνεῖταί μοι θεῖα τεμένη καὶ θύματα ἔννομα, καὶ ὅσα τούτοις ἕπεται· ἀποτετείχισται δὲ ἱπποδρομία, καὶ τὰ ἄλλα θέατρα, καὶ ὅσα τούτοις ἀκόλουθα· ἆρ' οὖν εἰ ναοῖς ἐντύχοιμι, ἐν οἷς οὐ λουτῆρες, οὐδὲ σπονδεῖα, οὐδὲ τὸ ἅγιον κοσμικὸν περὶ ταῦτα, οὐδὲ παριτητέον μοι εἰς αὐτούς; πολλοῦ γε καὶ δεῖ· τούτων γὰρ σπάνις παρά γε τοῖς πλείοσι· κατὰ γοῦν τὸ ἴσον ἀντίθετον, οὐδὲ ἐς θέατρα βαδιοῦμαι, οὐδ' ἔνθα με νόμος ἀπείργει· εἰ δὲ μή, πάντα ἐκ πάντων τῶν νενομισμένων συντέθειται.

Τῶν δημοσίων τούτων δὴ καπηλείων πρὸ τῆς εἰσόδου εὐτελές τι λῖνον καταπετάννυται· ἆρ' οὖν εἴ τις ἀφέλοι τὸ καταπέτασμα, συνανῄρηκε τούτῳ καὶ τοῦ πανδοχείου τοὔνομα;

Ἀνεψιὲ φίλτατε, ἄλλο γένεσις καὶ ἄλλο ἀλλοίωσις· ἐκεῖ μὲν γὰρ συμμεταβέβληται τὸ ὑποκείμενον, καὶ ἄλλο ἡ ὕλη γίνεται, ἢ πρότερον ἦν· ἐνταῦθα δὲ περί τι εἰδοπεποιημένον

ἡ μεταβολή. Ἀλλοῖός μοι ξεῖν' ἐφάνης νέον ἠὲ πάροιθε, φησὶν Ὅμηρος· οὐ τοίνυν οὐδὲ σὺ τὸ ὑποκείμενον ἀναιρεῖς, ἀλλὰ τὰ περὶ αὐτὸ μᾶλλον μεταβάλλεις. Ὁ κολοιὸς καὶ πρὸ τῶν ἀλλοτρίων πτερῶν ἦν τε καὶ ὠνομάζετο, οὐδὲν δὲ ἧττον καὶ μετὰ ταῦτα νόθος ἐστὶ κολοιός· καὶ ὁ μετασχηματισμὸς πλάνην μὲν τοῖς ὁρῶσι μεταβολῆς τοῦ ὑποκειμένου ποιεῖ, οὐ μὴν κατ' οὐσίαν, ὃ δὴ μετασχηματίζει, ἀναιρεῖν δύναται.

Οἶδας οὖν ὃ ποιήσεις, ἵνα καὶ τὸν νόμον ἐμοὶ σώσῃς καὶ σαυτῷ τὸ ἐνθύμημα; ἐπειδὰν ἀφίξωμαί σοι συμμεθέξων τῆς πανηγύρεως ὁπόσον εἰκὸς ἐμοί, μήτε αὐτίκα ἐάσῃς ἀπεῖναι τῆς τελετῆς, ἀλλὰ συλλαβὼν καὶ δεσμεύσας, ἀκριβῶς φύλαττε· εἶτα δὴ ἐγὼ μὲν προσποιήσομαι τοὐμὸν ἴδιον, καὶ ἀκκιοῦμαί σοι καὶ ἀπερυθριάσω, σὺ δὲ ἔτι μᾶλλον ἐπίσφιγγε, μόνον οὐκ ἐν ἱστοπέδῃ δήσας, ὥς περ τὸν Κεφαλλῆνα οἱ συγκαταπλέοντες ἑταῖροι αὐτοῦ, εἶθ' οὕτως ἀνεγκλήτως ἀκούσομαι τῶν σειρηνίων ᾠδῶν· καὶ ναὶ πρὸς φιλίου, εἰ οὕτως μέλλεις ποιεῖν, ἔστωσαν ἐμοὶ καὶ σειρῆνες· οὐκ εἰμὶ σεμνότερος Δαυΐδ, ὃς δὴ καὶ κιθάραις καὶ ναύλαις τοὺς ἱεροὺς ἐμελούργει ψαλμούς. Εἰ δὲ μὴ οὕτω ποιήσεις περὶ τὸν Σίδης, ἢ περὶ ἐμέ, ἢ περὶ ἄλλον ὁντινοῦν, ὥςπερ ἑπτακύκλου ἀσπίδος τὸν χρυσοῦν ὑφαιρεῖς ὀμφαλόν.

## 84. Τῷ αὐτῷ.

Ἐγὼ μέν, ὦ ἱερὰ καὶ τριπόθητε κεφαλή, οὐκ οἶδα εἴτε ὡς ἄγροικος, εἴτε ὡς ἐκλαθόμενος τῶν τοῦ γάμου προεισοδίων, αὐτίκα ᾤμην τὴν τελετὴν εἰσιών, πᾶσι μὲν αὐλοῖς, πάσαις δὲ κιθάραις περιηχηθήσεσθαι, προϊὼν | δὲ μήλοις μὲν βληθήσεσθαι φ. 208.
παρὰ τῶν ταῖς πλαγίαις θύραις ἐφεστηκυιῶν γυναικῶν, ῥόδοις δὲ καταρρανθήσεσθαι ἄνωθεν, καὶ μὴ διαρκέσειν τὰ ὦτα πρὸς τὸν ὑμέναιον. Διὰ ταῦτα αἰσχυνομένῳ ἐῴκειν καὶ ἀναβαλλομένῳ τὴν ἱερὰν δᾳδουχίαν, ἵνα μὴ ἀπαίσιος γενοίμην πρὸς τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πανήγυριν, καὶ μέ τις ἰδὼν οἰωνίσαιτο ἐν Χάρισι μέσαις, καὶ τηλικαύτην λαμπρότητα μελένδυτον ἀκριβῶς καὶ αὐτῷ τῷ σχήματι σκυθρωπάζοντα· οὐ γὰρ ᾔδειν ταῖς Ἐλευσινίαις μέλλων προσιέναι καὶ μυστηρίοις ἀτεχνῶς ἀπαντήσεσθαι, καὶ ἄναυλον καὶ ἄχορδον ἑορτᾶσαι πανήγυριν, καὶ θύσειν ὅ φασιν ἄκαπνα. Οὕτως ἐκ διαμέτρου τῶν ἐλπίδων τετύχηκα, καί σε μετὰ τῶν ἄλλων τεθαύμακα, ὅτι τὰ τῶν Χαρίτων μυούμενος, ἢ μᾶλλον μυσταγωγῶν, τὰς σεμνὰς συμπαρέλαβες μούσας, καὶ κρατῆρα κιρνῶν ἡδονῆς οὐκ ἄμικτον τὸ κρᾶμα ποιεῖς, ἀλλὰ καὶ φιλοσοφίαν συμπαραλαμβάνεις τῷ πράγματι, οὔτε τὸν Διόνυσον ἄμουσον, οὔτε τὰς Μούσας ἀπροσδιονύσους ποιούμενος, οὔτε ἀναφροδίτους τὰς Χάριτας.

Ἔμοιγ' οὖν φιλόσοφος ἀληθῶς ἡ τελετὴ ἔδοξε, καὶ εἰ μὴ ἀπηντήκειν, μετεγνώκειν ἄν· τὰ μὲν γὰρ Ἐλευσίνια καὶ ἡ Μιθριακὴ τελετή, τὰ μέν, ἄνετα καὶ πομπὴ ἀτεχνῶς καὶ ἐν γέλωτι τὰ μυστήρια, ἡ δέ, διεστοιβασμένη, καὶ κολάζουσα μᾶλλον ἢ μυσταγωγοῦσα· καὶ ἐναντίως ἀλλήλοις εἶχε πάλαι τὰ παίγνια. Τὰ δὲ σὰ Παναθήναια, οὕτω γὰρ δέον εἰπεῖν διὰ τὴν παντοδαπὴν τῶν συνεληλυθότων ἕξιν τε καὶ κατάστασιν, μίγμα τι τοῦ ποικίλου καλοῦ ἐτύγχανεν ὄντα· εἰ μὲν γὰρ ὡς φιλόσοφον τὸν σύλλογον ἐξετάζομεν, μεστὸν εὑρήσομεν χάριτος, εἰ δὲ ταῖς χάρισι παραβάλλομεν, ἔχοντά τι καὶ τῆς θαυμασίας σεμνότητος. Καὶ ὥσπερ γάρ, ἡ μέν τις πάνδημος Ἀφροδίτη, ἣν τὸ δημότερον γένος πρεσβεύει, ἡ δέ τις ἄνωθεν, καὶ κομψῶς τοῦτο ἀλληγορεῖται τοῖς Ἕλλησιν, οὕτω δὴ καὶ Χάριτες, αἱ μὲν γυμναὶ τῶν πηγῶν ἀναδύουσιν, αἱ δὲ ἱερὰν στολὴν ἀμφιέννυνται, κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπιθαλάμιοι καὶ γαμήλιοι ἑορταί, καὶ ὁπόσα τῷ ἐννόμῳ τελεῖται ἔρωτι, τὰ μέν, ἐπαφρόδιτα μόνον, ὧν νεβρίδες καὶ θύρσοι προϋπαντῶσι, τὰ δέ, μετὰ φιλοσόφου σεμνότητος πρόεισι.

Τοῖς μὲν γὰρ κρείττοσιν οὐ δεῖ τῶν χειρόνων, ὅθεν ὑμνεῖταί

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τις σοφία ἱερά τε καὶ ἀκοινώνητος, τὰ δὲ χείρω, ἢν μὴ τὰ κρείττω περιαμπίσχηται, εὐθὺς ἀσχήμονα δείκνυται· διὰ ταῦτα καὶ ἡ ὕλη τὸ εἶδος ἐνδέδυται, καὶ ὅροι ταύτης μέν, τὰ ἔνυλα εἴδη, τῶν δὲ ἐμψυχωμένων σωμάτων, αὗται αἱ ψυχαί. Τοιοῦτον δὴ καὶ τὸ σὸν κρᾶμα τῆς πανηγύρεως, ἀφροδίσιος αὖρα μετὰ μουσικῆς ἐπιπνοίας, καὶ λόγος φιλόσοφος μετὰ χαρίτων ἡδύτητος, καὶ ὑμέναιος, ἄχορδος μὲν ὥςπερ ἔδει καὶ ἄναυλος, οὐ μέντοιγε καὶ ἀσύμφωνος· ἀλλὰ πρεπωδέστατα μὲν τὰ μέλη, οὐκ ἀκόλαστοι δὲ οἱ ῥυθμοί, οὐδὲ διθύραμβοι καὶ ἀνάπαιστοι, ἀλλὰ τὰ πλείω σπονδειακοὶ καὶ ἐπίτριτοι.

Εἰ δὲ καὶ αὐτὸς πάρεργον τῆς ἀναβολῆς ἐγενόμην, καὶ οἷον μαγάδιον ὑπετέθην τοῖς φθόγγοις, σὸν καὶ τοῦτό ἐστι, δι' ὃν ἐγὼ πάντα γίνομαι, ἵνα σε πανταχόθεν ἐμαυτῷ οἰκειώσωμαι· οὐ γάρ ἐστι περὶ ὅ, τι ἄλλο ἐπραγματευσάμην ἐγώ, οὐδ' οὕτως ἑαλώκειν τινί, ἢ ἕτερόν τινα τῶν πάντων τεθήραμαι, εἰ μὴ λέγεις τὸν ἀδελφόν. Ἐλλοχῶ δὲ ὑμᾶς ὥςπέρ τις πελταστής, οὐκ αὐτόθεν, ἀλλ' ἀπὸ τοῦ πατρός, ἀπὸ τῶν ἱερωτέρων τοῦ γένους, ἀπὸ τῆς θαυμασίας μητρός, ἣν ἐγὼ ἀπεικόνισμα φαίην ἂν ἀρετῆς, ἀπὸ τῶν ἐγγυτέρω, ἀπὸ τῶν πορρωτέρω, καί πως συμβέβλημαι ὑμῖν, καὶ ἀναπέφυκα ταῖς ψυχαῖς καὶ συμπέφυκα, οὐκ ἐξ ἀγριελαίου ἐγκεντρισθεὶς εἰς τὴν καλιέλαιον, ἀλλ' ἐκ τῆς αὐτῆς ἵν' εἴπω φυτείας τε καὶ πιότητος. Εἰ δὲ καὶ γένος ἐστὶ ψυχῶν, ὑποτιθέσθω δὲ ὁ λόγος οὐ δογματιζόμενος, ἀλλ' ἁπλῶς εἰσαγόμενος, εἴ τί; ἐστι ψυχῶν συγγένεια, καί τινες χαρακτῆρες ἰδιάζοντες ἐνίαις αὐτῶν ἐπιβέβληνται, ἐγνώκεισαν ἀλλήλας αἱ ἡμεδαπαί· ὁρῶ γὰρ ὅτι μοι καὶ τῶν ἠθῶν κεκοινωνήκατε, καὶ οὔτε τὸ ἁπλοῦν ὑμῶν πᾶσιν ἁλώσιμον, καὶ τῷ γενναίῳ ποικιλίας οὐ μέτεστιν.

Ὁρᾷς οὖν ἀνεψιὲ φίλτατε, ὅπως ὁ ἀρραβὼν ἡμᾶς μᾶλλον συνέδησεν, ἢ ἐκείνους ἐφ' οἷς ἑώρτασται; Τοιοῦτόν ἐστιν ἐρῶσα καὶ ἐρωμένη ψυχή, πάντα λόγον καὶ πᾶσαν ὑπόθεσιν τοῦ οἰ-

κείου ποιεῖται ἔρωτος· οἵας οὖν ἔμελλον ἀπολειφθήσεσθαι πανηγύρεως, νὴ τὴν ἱεράν σου ψυχήν! Ἱλαρὰν ἔχω καὶ τοῖς ἡδίστοις ἁλώσιμον τὴν ψυχήν· ἤν που ἐντύχω ταῖς Χάρισι, γίνομαι τούτων εὐθύς, καί μοι ἀνεῖται ἡ γνώμη, καὶ ὥσπερ ζεφύρου πνοαῖς ἔγκειμαι· ὁπότε δὲ καὶ παρὰ σοὶ καταλύω, μάλιστα διαχέομαι· διατί; ὅτι δῆτα ἐν τοῖς ἐμοῖς τὸ συσσίτιον.

## 85. Τῷ αὐτῷ.

Πάλαι ποτὲ ἀπέτικτον ἐγώ, ἄγαλμα σοφίας ἐπήρατον, ὡραίας ἐπιστολάς, αἷς δὴ σὺ περιτυγχάνων πολλάκις, εἶτα δὴ καὶ θαυμάζων ἴσως τῆς χάριτος, οἴει καὶ αὖθίς με τοιαύτας ἀποτεκεῖν δύνασθαι· διὰ ταῦτα σὺ μὲν ἐρᾷς τῶν ἐμῶν ὠδίνων, ἐγὼ δέ σοι ἐκφῆναι τὸν τόκον οὐ βούλομαι.

Ἡ γὰρ Λαῒς ἐκείνη, ἡ τὸ καλὸν τῆς ὥρας ἐν τοῖς τότε χρόνοις ἀνθήσασα, ἐπειδὴ ῥυτίδας ἐγνώκει περὶ τὸ πρόσωπον, ἀνέθηκε τὸ κάτοπτρον τῇ θεῷ, «οἵη μὲν γάρ φησιν, ἦν πάρος, εἶναι οὐ δύναμαι, οἵη δὲ νῦν εἰμὶ οὐ βεβούλημαι»· ἐμοὶ δὲ τοῦ πνεύματος ἐπιλείποντος, ὑφ' οὗ τὸ πρόσθεν ἐβρόντων τε ἐν τοῖς λόγοις καὶ ἤστραπτον ἀτεχνῶς, αἰσχύνομαι νῦν ὑπὸ βύρσῃ
φ. 208ᵛ. βρον|τᾶν καὶ μὴ ἐξ αἰθέρος πολλῶν μοι συρρηγνυμένων νεφῶν. Εἰ δ' ὥσπερ οἱ φιλότιμοι ἐρασταὶ ἁλώσιμος ὑπὸ συνηθείας γέγονας, ὡς τὴν ἀνθοῦσάν ποτε ὥραν καὶ μετὰ χαλαρᾶς ῥυτίδος προσίεσθαι, οὐδ' ἂν αὐτός σοι προσποιήσωμαι οὔτε τὸ τῆς ἐμῆς ψυχῆς ἀσύλληπτον, οὔτε τὸ πρὸς τόκους ἀνεπιτήδειον. Οὐ γὰρ ὥσπερ ἐπὶ τῶν σωμάτων, οὕτω δὴ καὶ ἐπὶ τῶν ψυχῶν αἱ τῶν λόγων ὠδῖνες ἔχουσι· τὰ μὲν γὰρ οὐκ ἔστιν ὅπως, πρὸς τὸ τίκτειν ἀπομαρκήσαντα, εἰς τὴν πρώτην ἐπανέλθοιεν δύναμιν, αἱ δὲ ψυχαὶ δύναιντ' ἂν πρὸς τὴν προτέραν ἕξιν μετενεχθῆναι, ἢ λόγου ταύτας ἐπᾴδοντος, ἢ προθυμίας διεγειρούσης· εἰ δὲ καὶ τῷ ἐπιδεικνυμένῳ τὴν ὥραν τοῦ λόγου ὁ ἀκροατὴς ἐπι-

ρωννύει τὴν δύναμιν, πῶς οὐχὶ μᾶλλον ἡ ἐπίδειξις κατὰ λόγον χωρήσει τῷ ῥήτορι;

Ἔγωγ' οὖν ἐν μέσῳ θεάτρου πολλοῦ, αὐτὸ δὴ τοῦτο θεατρίζων τὸ κάλλος τῶν λέξεων, καὶ περὶ τὴν ἐμμελῆ συνθήκην τῶν μερῶν τοῦ λόγου πραγματευόμενος, πρὸς τὰ τῶν ἀκροατῶν ὦτα καὶ σχήματα, εἴτε κατερραθυμημένα εἴη, εἴτε διεγηγερμένα καὶ δόκιμα, οὕτως ἢ ἐκείνως ῥυθμίζομαι· ὑπὸ σοὶ δὲ μᾶλλον ἀκροατῇ τοὺς λόγους ποιούμενος, ἔνθους τε γίνομαι, καὶ συνεπαίρομαί σοι τῷ ἐπτερωμένῳ σχήματι τῆς ψυχῆς καὶ τῷ σημαίνοντί σοι τοῦ βλέμματος, καὶ τῷ γεγηθότι τοῦ μειδιάματος, καὶ ταῖς ἐμφύτοις καὶ ἀπροσποιήτοις χάρισι χαριεστέρας σοι καὶ αὐτὸς τὰς τῶν λόγων ἀνταποδείκνυμι χάριτας. Ὃ γὰρ δὴ πρὸς τὰς τοῦ καιροῦ ὥρας καὶ τὰς τοῦ ἔαρος τροπὰς αἱ ψυχαὶ πάσχειν πεφύκασι, τοῦτο δὴ πρὸς τοὺς ἀκροατὰς ἐγὼ τῶν ἐμῶν δημηγοριῶν γίνομαι· καὶ τὰ μέν, ἐσκυθρωπακὼς φαίνομαι, τὰ δέ, ἀγλαΐας πληρούμενος.

Εἰ μὲν οὖν προῖκα ὥςπερ δὴ καὶ τὸν ἄλλον χρόνον προσηγηόχειν σοι τὴν ἐπιστολήν, οὐκ ἂν περὶ τὸ κάλλος ἐπραγματευσάμην τῶν λέξεων· ἐπεὶ δὲ ἄλλό τι νῦν ἐξεργάζομαι, ἐξωνούμενος, ἢ ἀνταλλαττόμενος τῶν κρειττόνων τὰ χείρονα, διὰ ταῦτά σοι περιανθίζω ὥςπερ ἐν πωλητηρίῳ ταύτην δὴ τὴν ἀπεμπολουμένην ἐπιστολήν, ἵνα δὴ τῷ φαινομένῳ κάλλει θελχθείς, ὁποσουδήποτε ταύτην προΐῃ τιμήματος. Ἢν δὲ βούλει οὕτω πρὸς ἀλλήλους ποιήσωμεν, μήτε ἐγώ σοι τὴν χεῖρα ὠνήσομαι, μήτε αὐτὸς τὴν γλῶτταν ἐμοί, μὴ δ' ἀλλήλοις ταῦτα καταλλαξαίμεθα· ἀλλ' ἐπειδὴ σὺ μὲν ἐμοῦ μᾶλλον δεδύνησαι τῇ χειρί, ἐγὼ δέ σοι τῇ γλώττῃ καθυπερτερῶ, ἀφορμὰς ἀλλήλοις τῶν ἀντιδόσεων ποιήσωμεν ἄλληλα, ὥςπερ ἐπὶ τῶν ἀτμῶν ἔχει καὶ τῶν ὑετῶν· τοὺς μὲν γὰρ ἀτμοὺς ἡ γῆ πρὸς τὸν οὐρανὸν ἀναπέμπουσα, ἀφορμὰς ἐκείνῳ ὑετῶν δίδωσιν, ἐκεῖνος δὲ τὸ ὑποκείμενον ὑετίζων στοιχεῖον, αὐτὸ δὴ τὸ ἀντιπεμπόμενον ἀρχὴν

ἀτμίδος ἐργάζεται. Ἀλλὰ σοὶ μὲν περὶ τὴν ἐμὴν ταύτην ἴσως ἐπιστολὴν τὰ ὦτα θελχθήσεται, ἢ εἰς καρδίαν ἡδονή τις ἐντεῦθεν παραρρυεῖσα θέλξει τε καὶ καταψυχαγωγήσει, καὶ εἰς ἡδίστην ἕξιν σε διαθήσεται, ἐγὼ δὲ οὐκ οἶδ' ὅ,τι τῆς ἀντιδόσεως κερδανῶ, μᾶλλον δὲ οἶδα, ὡς οὐδὲν μετὸν ταύτης ἐμοί· ἀλλ' οὖν, οὐ χείρων ἐγὼ τῶν χελωνῶν ἔσομαι; ἐκεῖναι γὰρ διψῶσαι, οὐ κατὰ μίαν ἅπασαι σπῶσι τοῦ νάματος, ἀλλ' ἣν ἡ πρώτη ἀποχρώντως πίῃ, αἱ λοιπαὶ ἀρρήτως κορέννυνται.

## 86. Τῷ αὐτῷ.

Θαυμάζειν μοι λίαν ἔοικας, θαυμασιωτάτη τῷ ὄντι ψυχή, μικροῦ δὲ καὶ διαπιστεῖν, εἰ διψῶσα χελώνη, εἶτα δὴ πιοῦσα ποταμῶν, ἢ πηγῶν, διαδόσιμον τὸ τῆς δίψης ἄκος ταῖς συνεπομέναις ποιεῖται· καὶ ἐκπλήττει μὲν ὡς ἀληθῶς καὶ τὴν ψυχὴν καὶ τὴν ἀκοὴν τὸ γινόμενον. Ἔστι δὲ τὰ πολλὰ ἡ φύσις τοιοῦτον, ἐν οἷς ἀπόδειξις μὲν οὔτε ἐξ ἐπαγωγῆς ἐστιν, οὔτε ἐκ πρώτων αἰτιῶν ἢ ἀρχῶν ἐγνωσμένων, τὸ δὲ ὁρώμενον ἀντὶ πάσης ἀρκεῖ τῆς διὰ τῶν λόγων ἐντέχνου πίστεως.

Τί ποτε δὲ οὕτως ἐξεπλάγης τὸν νοῦν ἐπὶ τῷ παραδόξῳ τῶν χελωνῶν διηγήματι; ἆρ' ὡς μή πω τεθεαμένος ἔργα φύσεως ἄρρητα; τὸ δὲ τῆς μαγνήτιδος λίθου οὐ πάσης τεχνολογίας ἐπέκεινα; τὸ δὲ τοῦ λαγωοῦ ἐπαμφότερον καὶ περὶ τὴν φύσιν ἀμφισβητήσιμον, οὐ πλεῖστοι τῶν τεθηρακότων τὸ γένος ἐν πλείστοις ἐγνώκασιν; Ἆρ' οὖν εἰ μή πω ἐγνώκεις τοῦ λίθου τὴν ἀπόρρητον δύναμιν, εἶτα δή σοί τις ἐξετραγῴδησε τὸ γινόμενον, οὐκ αὐτὸ δὴ τοῦτο σκηνὴν ἀτεχνῶς καὶ δρᾶμα τὸν λόγον ᾠήθης; νῦν δὲ διεστηκὸς τὸ σιδήριον ὀλίγῳ τῷ διαστήματι ἐφέλκεται ἡ μαγνῆτις, ὥςπερ χειρῶν ἐπιβολαῖς ἐπισπωμένη πρὸς ἑαυτήν.

Ἴσθι τοιγαροῦν ὡς δυνάμεις τινὲς ἄρρητοι καὶ πάθη οὔπω

τοῖς πολλοῖς ἐγνωσμένα, καὶ ζώοις, καὶ λίθοις, καὶ πόαις ἐγκάθηνται· καὶ γοητεύεται ἄλλο παρ' ἄλλου, καὶ ἕτερον ἑτέρῳ αὐτομάτως προσφύεται· καὶ τὰ μέν, ἄτομα ἐνεργεῖ, τὰ δέ, μετὰ τὴν τομήν, καὶ ἕκαστον τῶν τμημάτων ἄλλό τι ποιεῖ· καὶ σύνδεσμοι, καὶ ἶνες, καὶ χιτῶνες παντοδαποί· καὶ τὸ μέν, οὕτω σχηματισθέν, τήνδε ἐπικτᾶται τὴν δύναμιν, τὸ δέ, ἑτέρως ἄλλην τινὰ ἐνδείκνυται τὴν ἐνέργειαν. Καὶ σύμπνοια μὲν μία τῶν ὅλων, τὰ δέ, διεστήκασι, καὶ τὴν σύρροιαν οἶδεν ὁ τοῖς ὅλοις ἐφεστηκώς, εἴ τε νοῦς, εἴ τέ τι τούτου ἐπέκεινα· οὐ γὰρ διῄρηται τὰ ὄντα ἀσυμπαθῶς, ἀλλ' ἥρμοσται ὑπερφυῶς ἄλλα ἄλλοις· καὶ αἱ μὲν σειραὶ διάφοροι, καὶ ἡ ἐφεστηκυῖα ἑκάστη πηγὴ καὶ ἀρχή, ἑτέρα πρὸς τὴν ἑτέραν· σύμπνουν δὲ καὶ τὸ ἐκείνων πάθος καὶ ὑπὸ τὴν πρώτην αἰτίαν | πάντα. φ. 209.

Ἐγὼ δέ σοι θεραπεύειν τὸ πάθος ἑλόμενος, διαλύειν μὲν οὐ δεδύνημαι, οὐδὲ ἀπογυμνοῦν τὰ τῆς φύσεως ἄδυτα, οὐδὲ γὰρ οἶδα, οὐδ' ὅτι τῶν ἀγνώστων τὸ καταπέτασμα, ἑτέροις δὲ θαυμασίοις πλείοσιν ἑτοιμάσω σου τὴν διάνοιαν μὴ καινοπαθεῖν ἐφ' οἷς ἀκατάληπτόν ἐστι λόγῳ τὸ δημιουργούμενον ὑπὸ φύσεως.

Αὐτίκα ἡ μὲν ἐπιμενίδειος ἄλιμος σύνθετόν τι πρᾶγμά ἐστιν ἐκ διαφόρων εἰδῶν τοῖς χρωμένοις φύσιν ὑπερτέραν διατηρούντων ὀρέξεως· τὸ δ' αὖ νηπενθὲς λήθην ἐμποιεῖ τῷ πιόντι ὧν πέπονθε [δει]νῶν, καὶ Ὅμηρος δὲ οἶδε τὸ φάρμακον καὶ τῇ Τυνδάρεω θυγατρὶ τοῦτο χαρίζεται· ὥςπερ δὲ τὸ νηπενθὲς σβέννυσι τὴν μνήμην τῶν ἀνιαρῶν, οὕτω δή τι ἕτερόν ἐστι φάρμακον ἀνάμνησιν ἐμποιοῦν τῇ ψυχῇ τῶν χρηστῶν ἄτερ τῶν χαλεπῶν. Τὴν μέν τοι νάφθαν τὸ τῆς Μηδείας φάρμακον οὐδὲ αὐτὸς ἀγνοεῖς· οἶμαι γάρ σε πολλάκις τὸ ἐντεῦθεν ἐξαλλόμενον θεάσασθαι πῦρ· τὸ δὲ τοῦ λαγωοῦ αἷμα συλληπτικὴν ἔχει δύναμιν ἄρρητον, καὶ τὸ τοῦ χηνὸς στέαρ, καὶ ἡ τερεβίνθη, καὶ ἴσασί γε ταῦτα αἱ τῶν γυναικῶν ἄγονοι, εἰ μὴ πάνυ τοῖς ἐπιθειάζουσι ταῦτα διημφισβήτηται. Τὸ δὲ ἀτόκιον, οὐ βατράχου

ἐστὶν ἐγκέφαλος; τὸ δὲ ὠκυτόκιον, οὐ λίθος Γαλάτης; τὸ δὲ ἀσύλληπτον, οὐ στέαρ λεόντειον; τὸ συλληπτικόν, οὐχὶ δάκρυόν ἐστι τοῖς θεαταῖς διεγνωσμένον τῆς φύσεως; ἡ δ' ἐχενηΐς ὁ ἰχθύς, οὐ ταῖς ὀλισθηραῖς ὑστέραις κατοχὴν ποιεῖ; ὁ δ' αὐτὸς καὶ φερομένῃ νηῒ ἱστίοις ἅπασιν ἀντίσταθμός ἐστι τὴν πρῶραν ὑποδραμών. Τὰ δ' αἱμαγωγά, τὰ δ' ἴσχαιμα, οὐ πόαι καὶ λίθοι δύνανται;

Γεωργίας δὲ πόσα παράδοξα; καὶ εἰ μή με ἀπάγεις τῶν πρασιῶν, σπαρτοὺς μύκητας ἕξεις, ἐὰν αἰγείρου καὶ λεύκης φλοιὸν συγκόψας, σπείρῃς ἐν πρασιᾷ· μῆλα δὲ ἐρυθρότατα γενήσεταί σοι ἐμβληθείσης κινναβάρεως τῷ πυρρῆνι.

Εἶτα δὴ πῶς οὐχὶ καὶ τοῦτο θαυμάζεις, ὅτι ἕτερον εἶδος ζώου ἐξ ἑτέρου δι' ἐπιτεχνήσεως γίνεται; ἔστι μὲν γὰρ τούτων καὶ φυσικὸς λόγος ἀπόρρητος, καὶ θαυμασία ἡ μεταμόρφωσις, τὸ δὲ καὶ ἡμᾶς δύνασθαι ἀναλύειν τοὺς ὅρους τῆς φύσεως, ποίαν οὐχ ὑπερβαίνει διάνοιαν; Σχοίνου μὲν γὰρ ἄνθη, καὶ ἐλενίου, καὶ κασίας, καὶ ἴρεως, καὶ ἄσαρος, καὶ μίου, καὶ εἴ τι ἀρτεμόνιον δύναται καὶ εἴ τι μελίδωτον, εἰ ἀλλοιοῦσι τὰ ὑποκείμενα, ἢ μᾶλλον εἰπεῖν ἐπιτείνουσιν αὐτοῖς τὰς ποιότητας, οὐκ ἐν θαυμασίοις ἄγω· εἰ δὲ μεταμείβουσι τὰ φυσικὰ εἴδη, τεχνικοῖς λόγοις παρ' ἡμῶν μιγνύμενά τε καὶ κεραννύμενα, τοῦτο. Ὁ λόγος δὲ οὗτος ποδαπός σοι φανεῖται; ἡ ἐδώδιμος πόα τὸ ὀρίγανον, βάσκανον ἔχει καὶ δραπέτιν τὴν δύναμιν· οὐ βαθεῖα μὲν γὰρ αὐτῆς ἡ ῥίζα, ἣν δέ τις περιορύττων ἐθέλῃ ταύτην ἰδεῖν, ἡ δέ, ὑπείσεισι τὸ βάθος τῆς γῆς καὶ διαδύεται ἀπορρήτως, καὶ προλαμβάνει τὸ ὄρυγμα· ἁλίσκεται δὲ οὔτε σκαπάνῃ, οὔτε δικέλλῃ, οὔτε χειρί· εἰ δέ τις περὶ τὴν πόαν ἀσελγαίνειν ἐθέλει, ἡ δέ, αὐτίκα ἀνατρέχει τῆς γῆς, ὥσπερ ἐρῶσα τοῦ ἀσελγήματος· καὶ τό γε παράδοξον εἰς κόρης εἶδος ἡ ῥίζα ἀπεικονίζεται.

Ὀφθαλμῶν δὲ χρόας ἐπὶ τὸ ἄμεινον πόσαι πόαι δεδύνηνται μεταβαλεῖν; τὸ δὲ ὀλισθηρὸν καλλιβλέφαρον, τὰ δὲ ἐποπτικά, τὸ

δὲ παρθενικόν, ὁ δὲ δραπεταγωγός, ὁ δὲ κλεπτέλεγχος, οὐ τούτων τὰ μέν, βοτᾶναί εἰσι, τὰ δὲ φωναί τινες καὶ ἐπάσματα, μείζους τῶν Πορφυρίου φωνῶν, ὃς δῆτα ταῖς Ἀριστοτελείαις ἀντιδιαταττόμενος ὑπὸ διπλάσιον τὸν ἀριθμὸν ἐκείναις πεποίηκε, κἂν τῷ ὑφειμένῳ μέτρῳ τὸν κάλλιστον τῶν λόγων τετηρηκώς, τὴν δὲ δευτέραν θέσιν τῶν ὀνομάτων ἐπιδεικνύμενος. Φωνὰς ταῦτα εἰρήκει;

Τὰ γάρ τοι γένη καὶ τὰ εἴδη κυριολογεῖται μὲν ἐπὶ τῶν πρώτων ἀρχῶν καὶ αἰτίων τῆς φύσεως, καὶ εἴποις ἂν τὰς ἰδέας καὶ τοὺς καθόλου, λόγους τὰ μέν, γένη, τὰ δέ, εἴδη, ἐφ' ἑαυτῶν μὲν ἑστηκότα, ποιοῦντα δὲ τὰ γινόμενα, ἐν οἷς καὶ τὸ ὅλον κυρίως καὶ τὸ μέρος· τὰ δὲ παρὰ Πορφυρίῳ, ἢ τοῖς ἐκ περιπάτου λεγόμενα, εἰδωλικά τέ εἰσι καὶ ὑστερογενῆ, καὶ ἐν ἐπινοίᾳ κείμενα, καὶ φωναὶ ἄντικρυς, καὶ μιμήματα τῶν πρώτων γενῶν καὶ εἰδῶν, ἐν οἷς τὰ ἐγγὺς μὲν τῶν ἀτόμων οὐσιωδέστερα, ἐξιτηλότερα δὲ τὰ πορρωτέρω. Ἀνάπαλιν δὲ ἐπὶ τῶν κυρίων ἔχει γενῶν· ἐκεῖ γὰρ τὰ πορρωτέρω ἀφεστηκότα, αἰτιώτερα καὶ περιεκτικώτερα τῶν ἐγγυτέρω καθέστηκεν.

Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους ἐν οἷς ἐπιστημονικὴν τέχνην ἐνδείξασθαι βούλομαι, τὰ δὲ σὰ διέφθαρται θήρατρα· ἔοικας γάρ μοι μὴ γενναίαις εἶναι ἁλώσιμος φύσεσιν, ἀλλ' ὅσαις κάλλος ἐριζάνει ἢ ἔμφυτον, ἢ ἐπιποίητον· καὶ νὴ τὴν ἱεράν σου ψυχήν, τῆς αὐτῆς σοι κἀγὼ πάγης εἰμί· καὶ γοητεύο|μαι ἄνθεσί τε φ. 209ᵛ. φαινομένοις καὶ χάρισιν, εἴτε πόαις ταῦτα, εἴτε λόγοις ἐγκάθηται. Καί με οὐ τοσοῦτον χειροῦται ὁ Παιανιεὺς Δημοσθένης, ἢ ὁ Λαοδικεὺς Ἀριστείδης ἐν συστροφαῖς νοημάτων καὶ περιόδοις, καὶ ταῖς ἀντιστρόφοις τῶν σχημάτων μεταβολαῖς, ὅσον ὁ Λήμνιος Φιλόστρατος, καὶ μάλιστα ἐν ταῖς τῶν ἀγαλμάτων ἐκφράσεσι, χαλῶν τὸν λίθον, καὶ τὸν χαλκὸν ἐξυγραίνων, καὶ τακερὸν τῶν σιδήρων ὀφθαλμῶν ἀπολείβων καὶ ἐφελκόμενος δάκρυα. Σὺ δὲ βούλει μὲν καὶ τοῦ παιδὸς εἵνεκα τοὺς ἐξ ἐπιστη-

μῶν λόγους ἐπεισκυκλοῦν ταῖς ἐπιστολαῖς, βούλει δέ σοι καὶ τὸν τοῦ κάλλους ἐξαστράπτειν ἔρωτα ὑγρὰν τὴν λέξιν ποιούμενος καὶ οἷον ἀρωματίζουσαν, βούλεται δὲ καὶ ὁ φυσικὸς πόθος καταπίμπλασθαι τῶν φυσικῶν ἀκροάσεων, καὶ οὐκ οἶδα ἥν τινα λέξιν ἁρμόσω τῇ τοσαύτῃ διαγωγῇ τῶν ὑποθέσεων. Ὅθεν, ἢν τὰ πολλὰ αὐχμηρὸς δοκῶ, μή μοι γίνου μεμψίμοιρος· αὐτίκα γάρ σοι μεταμορφώσομαι, οὐ γάρ εἰμι χείρων τῶν ζώων ἐκείνων ὅσα ἐξ ἑτέρων ἕτερα τοῖς εἴδεσι γίνεται.

## 87. Τῷ λογοθέτῃ τοῦ δρόμου.

Ἅπαξ σοφώτατε, ἵνα μηδὲν πλέον ἐρῶ, καὶ γεύσας ἀθρόον τοῦ μέλιτος, εἶτα ἀθροώτερον ἐπισχών, καὶ ἀλγεινότερον τὸ κέντρον ἀφείς, ὥςπερ ἥλιος ἀνατείλας καὶ εὐθὺς τὸ νέφος ἐπισπασάμενος, βασκάνου τοῦτο ψυχῆς, ἀλλ' οὐχὶ σοφῆς· ἀλλ' οὐδὲ τοὺς ποταμοὺς ἐπαινοῦμεν ὁπόσοι χειμῶνος μὲν ῥέουσι, θέρους δὲ παύουσι· τῶν τε δένδρων ἐκεῖνα θαυμάζομεν, οἷς οὐδέποτε τῶν κλάδων ἀπορρεῖ τὸ φῦλλον· ἀπελαυνόμενον δὲ καὶ τὸν φωστῆρα τὴν χειμερινὴν ὥραν ἐπὶ τὸν νότον οὐ πάνυ τι ἐπαινοῦμεν, βουλόμενοι ἐφ' ἑαυτῶν ἔχειν ἀεί· καὶ τῷ μὲν Νείλῳ ἑτέρωθεν αἱ πηγαί, ἀπὸ γὰρ τῆς Αἰθιοπίας τὰ ῥεύματα καὶ τῆς ἑτέρας ἠπείρου, κἀκεῖθεν οἰδεῖ, ὅθεν οὐδ' ἄν τις αὐτὸν τοῦ μὴ ὑπερκεχῦσθαι ἀεὶ αἰτιάσαιτο. Τῇ δὲ σῇ γλώττῃ προχεούσῃ τὸ ῥεῖθρον παρὰ τῆς σῆς ἡ πηγὴ καρδίας, καὶ οὐχ ὡς ἡ σελήνη ἑτέρωθεν ἐρανίζει τὸ φῶς, ἀλλ' ὅλῳ κύκλῳ τὸν πάντα χρόνον πεφώτισται.

Διατί οὖν μὴ ἀεὶ ἐπάρδοις, μὴ ἀεὶ καταλάμποις, καὶ ταῦτά σοι τοσούτων ἀφορμῶν προκειμένων, καὶ ταῖς ἐλλάμψεσι καὶ τοῖς ῥεύμασιν; ἄφθονα γὰρ ὁ Ἴστρος καὶ τὰ περὶ τὸν Ἴστρον τὰ ῥεῖθρα τῶν λόγων προχέει· τί οὖν μὴ μεγάλα ταῦτα πρὸς ἡμᾶς καχλάζῃς τὰ κύματα, ὁπόσα τῷ πολέμῳ πρόσεστι κα-

ταλέγων, διώρυχας, καὶ μετοχετεύσεις, ἀκροβολισμούς τε καὶ ἀνδροκτασίας, ἐξελιγμούς τε καὶ ὑπερφαλαγγώσεις, καὶ ὁπόσα οἱ παλαιότατοι τῶν συγγραφέων τῷ Μακεδόνι πεφιλοτίμηνται; Σὺ δὲ ἀλλὰ μὴ δὲ τὴν κυναίην παραιτήσῃ, ἀλλ' ὕπελθε ταύτην γενναίως, μὴ δὲ τὴν αἰχμὴν τῶν χειρῶν ἀπώσῃ· μὴ γάρ μοι μέχρι τῶν λόγων, φίλτατε, σταίης, ἀλλὰ τοῦ καιροῦ παρασχόντος, καὶ θώρακα ἔνδυσαι, καὶ ῥομφαίαν περίζωσαι.

Εἰ δὲ μὴ τῷ Ἄρει σπένδεις, ἀλλ' ὅλος ἐξήρτησαι τοῦ Ἑρμοῦ, σὺ δέ μοι καὶ παρ' ἐκείνου τέχνας ἐπὶ τοῖς πράγμασι λάμβανε· ἢ γὰρ οὐκ ἀκήκοας, ὡς κλεπτοσύνη τούτῳ δὴ τῷ θεῷ ἤσκηται; ἐκεῖθεν οὖν μοι καὶ λόχησον, καὶ προλόχησον, καὶ τἆλλα κατὰ καιρὸν ποίησον, φαινομένην φυγήν, προσποίητον ἐπιδίωξιν.

Ἃ μὲν οὖν αὐτόθεν κατωρθώκατε ἢ ἠριστεύκατε, οὐ πάνυ τι σαφῶς οἶδα· κατακεκρότηκε γοῦν ἡμῶν ἐνταῦθα τὰ ὦτα τὰ παρ' ὑμῶν ὑπηχούμενα, καὶ τῶν εἰσιόντων, ὁ μέν, εἰσβολήν, ὁ δέ, καθέδραν, ὁ δὲ μάχην, ὁ δέ, πεῖραν, καὶ ἄλλος ἄλλο τι ἥκει μοι κομίζων νεώτερον ἄκουσμα· ἐγὼ δὲ τῇ μὲν ἀκοῇ χαίρω, οὐ πάνυ δέ τι ἥδομαι τῇ ἀφελείᾳ τῶν διηγήσεων. Νῦν οὖν μοι τὴν σὴν εἴπέρ ποτε φωνὴν ἀναλάμπρυνε, οὐκ ἀναβεβλημένῳ ῥυθμῷ, ἀλλὰ συντόνῳ καὶ πολεμικῷ ἀτεχνῶς τὰς ἐπιστολὰς συντιθείς.

## 88. Τῷ βεστάρχῃ καὶ ἐπὶ τοῦ κανικλείου.

Ἀλλ' οὐδὲ γρῦ, καὶ ταῦτα ποταμοὺς ὅλους ἐπαγγειλάμενος, φιλτάτη ψυχή· ἀλλ' ὡς ἔοικε τὸν μὲν Ἑρμῆν ἠρνήσασθε σύμπαντες, τῷ δὲ Ἄρει σπένδετε καὶ συσπένδετε, καὶ τῶν μὲν φιλοσόφων φωνῶν ἐπελάθεσθε, ὥςπερ δὲ ἀκούειν ὑμῶν δοκῶ, ἐξέλιξιν ἐπὶ μέτωπον, ἐπὶ τὸ κέρας ὁ Λάκων, ἀλλ' οὐχ ὁ Μακεδών· λείπεται οὖν ἡμῖν τοῖς ἀστρατεύτοις μὴ δὲ προσφθέγ-

γεσθαι, ἐπεὶ μὴ δὲ πάνυ τι συνίεμεν τῶν τοιούτων φωνῶν· ἆρ' οὖν Ἕλληνες παρὰ βαρβάροις ἐσόμεθα, ἢ παρ' Ἕλλησι βάρβαροι; καὶ πότερον μέχρι παντὸς ἀλλήλων τὴν φωνὴν ἀγνοήσομεν, ἢ ἡμεῖς μὲν μενοῦμεν ἐπὶ τῶν ἠθῶν, ὑμεῖς δέ ποτε πρὸς τὴν σύντροφον γλῶτταν ἐπανελεύσεσθε;

Ἀλλὰ μή μοι ὁ ἐμὸς Βασίλειος, μὴ δὲ τὴν ἀλλοίωσιν ταύτην, μὴ δὲ τῆς διαλέκτου πάθοις τὴν ἄμειψιν· μὴ δ' ὥσπερ ἐν Λεβαδείᾳ γενόμενος ἐκσταίης ποτὲ σαυτοῦ καὶ τὴν πρὸς ἡμᾶς ὁμιλίαν ἀποστραφείης· εἰ δὲ οὐδὲ τῆς κοινῆς διαλέκτου καταπεφρόνηκας, καὶ τὴν ἕκτην ταύτην προσείληφας, ἅτε ποταμὸν διαβὰς καὶ ὄρος ὑπερβάς, καὶ περιξέσας ὑπώρειαν, καὶ μηχανὰς ἴσως πεποιηκώς, ὑπερόρια πεφρόνηκας, καὶ ὡς πολλῶν
φ. 210. κατεπήρθης ἡμῶν|, ἑτέροις δὲ κρείττοσι συνομιλεῖς γένεσι, συγγνώμην σοι καὶ δίδωμι καὶ παρέξω, τοσούτοις [πή]χεσι τῆς ἡμετέρας ὑπερανα6εβηκότι ἕξεώς τε καὶ φύσεως.

Κἀγὼ μὲν τούτου σοι τοῦ μέρους ἡττηθεὶς ἀπελήλυθα, ἕτερος δὲ σοί τις ἀντικρούσειεν, ὅτι ὦ 'γαθέ, οὐχ ὡς ἀετὸς τὰς λοφιὰς ὑπερπέτῃ, ἀλλ' ὥσπερ οἱ νεοττιδεῖς τοῦ γένους τοῖς τῶν πατέρων ἀναπτερύσσῃ πτεροῖς· καὶ ἄνεισι μὲν ὁ βασιλεὺς εἴτε λόφον, εἴτε ἀκρώρειαν, εἴτε ἀέρας τινάς, ὑμεῖς δὲ ἀναβλέπετε μόνας τὰς λοφιὰς καὶ τὸ βάθος τοῦ ἀέρος, μονονουχὶ περιγίνεται τὸ ἐπὶ τῶν ὀφρύων νέφος, τὸ οἴεσθαι. Ἀλλ' οὐκ ἐγὼ ταῦτα ἐρῶ· τί ποτ' οὖν ἕτερον; οὐ πάνυ μοι τὴν φιλοξενίαν ἐξακριβοῖς, ἀλλὰ τοῖς ὄμμασι περιγραπτὸν ἐργάζῃ τὸν φίλον, καὶ παρόντα μὲν περιβάλλεις, ἀπόντα δὲ ἀγνοεῖς· εἰ δὲ καὶ τὰ ἴσα παρ' ἡμῶν ἀπαιτεῖς, τοσοῦτον ἀπολογούμεθά σοι, ὅτι παρ' ἡμῖν μὲν τὸ τοὺς ἀφικνουμένους εἰς ἡμᾶς ὁρᾶν, παρ' ὑμῖν δὲ τὸ περὶ ἡμῶν ἐκείνους πυνθάνεσθαι.

Ἐγὼ δὲ ὁ τούτων γραφεὺς ὁ βέστης τὴν συνήθη σοι πόρρω ποιοῦμαι προσκύνησιν.

## 89. Τῷ ἐπὶ τῶν δεήσεων κῦρ Λέοντι τῷ τοῦ Πατρῶν.

Καὶ ὁ ἐπὶ τῶν δεήσεων μέχρι τοσούτου μοι σιωπᾷ, οὐδὲ τί μοι μέρος τῶν δεδανεισμένων ἀποδίδωσι λόγων, οὐδὲ τὴν παρακαταθήκην ἀποδίδωσι φέρων, ἀλλὰ τοῖς ἐμοῖς ἐπεντρυφῶν ἀγαθοῖς, οὐδέν μοι τούτων ἐθέλεις μεταδιδόναι· ἀλλ' ἔστω μήτε δάνειον, μήτε παρακαταθήκη, μήτ' ἄλλό τι τῶν ἐπαναστρεφόντων ὃ παρ' ἐμοῦ εἴληφας, ἀλλὰ φιλοτιμία τις καὶ διδασκαλία· τί οὖν ἐμοί, ἐφ' οἷς πεφιλοτίμησαι, μὴ εὐγνωμονῇς; τί μὴ τὴν γλῶτταν ἐν καιρῷ δίδως;

Πάσης ἐπιθυμοῦμεν Ἑλλήνων φωνῆς· οὐχ ὁρᾷς τὸν ἀέρα ὅτι θέρους πολλάκις ἀτμίδας ἀπὸ τῆς γῆς ἀνενεγκών, χειμῶνος μέρος τι τῶν ἀνενεχθέντων ἀντικατήνεγκεν, οὐ τοιοῦτον ἀποδιδοὺς οἷον εἰλήφει, ἀλλὰ πήξας καὶ μεταβαλών, καὶ ὕδωρ πεποιηκὼς τὴν ἀναφοράν; Σὲ δὲ οὔτε μεταβολὴν τῶν λόγων ἀπαιτοῦμεν καλλίονα, οὔτε τινὰ ἐργασίαν μετέωρον, ἀλλ' ἂν ἀποδῷς οἷον προείληφας, αὐτὸ δὴ τοῦτο ἔχειν τῶν νενομισμένων οἰόμεθα.

Ἀλλά μοι πρὸς τοὺς ἐμοὺς λόγους πεπόνθατε, οἷόν τι πρὸς τὰς ἐπιστημονικὰς φωνὰς οἱ νεώτεροι· φρίττουσι γὰρ ἀτεχνῶς τὰ ξένα τῶν ὀνομάτων ἀκούοντες, τὸν τόμον, τὰ περίσωτα· ἐπειδὰν δ' αὖθις κατατολμήσωσι τῶν φωνῶν, καὶ θαμὰ τοῖς ἐπιστήμοσι προσεγγίσωσι, καὶ φωνὴν ἐθισθῶσι διδόναι τε καὶ λαμβάνειν, ἀντὶ τοῦ ἐκπλήττεσθαι, καὶ καταφρονοῦσιν· ὥσπερ καὶ αὐτὸς πέπονθα, ὁρῶν ἐστιν ἀκούων ἀσύμμετρον μέγεθος, εἶτα δὴ εὑρηκώς, ἐπιθαυμάζειν ἑαυτοῦ κατεγίνωσκον.

Τοιοῦτον δή σοι καὶ τὸ ἐμόν ἐστι· καί μοι οἴεσθε, ξένας μὲν ἐπιθυμήσεις ἀπὸ τῆς ψυχῆς προϊέναι, καινὰ δὲ καὶ ἀλλόκοτα περὶ τῆς γλώττης ὀνόματα, καὶ δεδοίκατε τὰς ἐμὰς φωνάς, ὡς

βροντάς· ταῖς δέ, οὔτέ τις βόμβος περιηχεῖ, οὔτε σαλπίγγων ἦχος, ἀλλ' εἰσὶν ἀπὸ τῆς ὁμοίας ἡμῖν αὔλακος μετὰ τῆς συνήθους καλάμης καὶ τῆς ζώνης καὶ τοῦ ἐνδύματος.

Καὶ τὴν ἐν τῷ μύθῳ Σεμέλην κατέφλεξεν ὁ Ζεύς, πρῶτα μὲν ἐξανθρωπίσας ἑαυτόν, εἶτα δὴ θειώσας· ἐγὼ δὲ ὑμῖν οὐδὲν παραδείκνυμι τοιοῦτον, ἀλλὰ τοσοῦτόν μοι τὸ ἐξαλλάττον τοῦ φθέγματος, ὅσον μὴ κολοιῶν ἀκούειν ἡμᾶς, ἀλλὰ τεττίγων ἀττικῶν.

Ὁ δὲ ταῦτά σοι γράφων βέστης τὴν συνήθη σοι πόρρω ποιοῦμαι προσκύνησιν.

90. [Ὡς ἀπὸ τῶν Βυζαντίων] συντακτήριος πρὸς τὸν βασιλέα [Ρωμανὸν τὸν Διογένην κατὰ τῶν Τούρκων τὸ δεύτερον ἐκστρατεύοντα].

Ὁ μὲν δὴ περὶ τῆς σῆς φιλανθρωποτάτης ψυχῆς συντακτήριος λόγος καὶ ἐξιτήριος, τοιοῦτος καὶ οὕτω θαυμάσιος· ὁ δὲ παρ' ἡμῶν πρὸς σὲ τὸν χρηστότατον δεσπότην καὶ βασιλέα, οὕτω συγκείμενος εὐχαῖς καὶ δάκρυσι σύμμικτος.

Ἀστράψαις ἐκ τῆς ἑῴας εἰς τὴν ἀνατολὴν αὖθις διαβαίνων, ὡς ἥλιος ἀπείρῳ κύκλῳ, πλουσίῳ φωτί, καὶ καταλάμψαις μὲν καὶ τὸ ὑπήκοον, καταφλέξαις δὲ καὶ σύμπαν τὸ βάρβαρον· ἐπὶ τούτοις κατασβέσαις μὲν πῦρ Βαβυλώνιον, χαλινώσαις δὲ λεόντων ὁρμάς, καὶ πῦρ ἐξ οὐρανοῦ ἐφελκύσαις κατὰ τῆς δυσμενοῦς φάλαγγος· θάλασσαν διαρρήξαις, καὶ ποταμὸν ἀνακόψαις· καταπολεμήσαις τὸν Ἀμαλήκ· νεφέλη μὲν ὑπὲρ κεφαλῆς ἀφέλοιτό σοι τὸν καύσωνα, στῦλος δὲ φωτὸς ὁδηγήσαι σε τῆς σῆς ἀσπίδος προπορευόμενος· ἐξομαλίσαι σοι Κύριος πᾶν ὄρος ὑψηλὸν καὶ ἀκρότομον, καὶ ἀναπληρώσαι μέν σοι τὰς φάραγγας, τὰ δὲ σκολιὰ ποιήσαι εὐθύτατα· ἀναδήσαιτό σου τὴν κεφαλὴν ἀρι-

στείοις στεφάνοις, καὶ ἐπανέλθοις ἡμῖν μυρίαις νίκαις κατεστεμμένος, καὶ τροπαίοις κατηγλαϊσμένος πολλοῖς· ἄγγελοί σοι συμπαρατάξαιντο, καὶ συστρατηγήσαι θεός, καὶ τὸν νέον καταποντίσαι σοι Φαραώ.

Εἰ δὲ καὶ καταλλάξαις τὰ διεστῶτα, καὶ τὸ τοῦ φραγμοῦ ἀφέλοις μεσότοιχον, καὶ τὸ δυσμενὸς εὐμενὲς ποιήσαις τῷ κράτει σου, βασιλικώτατον δὴ τοῦτο καὶ τῷ ὄντι νικητικώτατον.

Μιᾷ γοῦν γλώσσῃ τὰς πάντων ὑποκρινόμενος φωνάς, τοῦτο δή σοι τελευταῖον προσφθέγγομαι, μὴ μακρύνῃς ἐπὶ πολὺ ἀφ' ἡμῶν τῶν ποθούντων σε, ἀλλ' ἐπανακάμψαις ταχὺ φαιδρότερος ἡμῖν μετὰ τῶν τροπαίων καὶ φαεινότερος φανησόμενος, ὦ πάντων βασιλέων ἀσυγκρίτως ὑπέρτερε τῷ ἀποκρύφῳ κάλλει καὶ τῷ μεγέθει τῆς φύσεως.

## 91. Ἀνεπίγραφος.

| Τὸ μὲν ἐμὸν βούλημα, πατέρων ἐμοὶ τιμιώτατε, δι' ἐπι- φ. 210ʳ.
στολῶν ὁμιλεῖν σου τῇ ἁγίᾳ ψυχῇ, τὸ δὲ σόν, ἀνεπιστρόφως προσανέχειν θεῷ, καὶ τἆλλά σοι περιττά τε καὶ ὀχληρά· διὰ ταῦτα ἅπαξ γράψαι τολμήσας, πλεῖστον μετὰ ταῦτα χρόνον σιωπᾶν ἀναγκάζομαι· καὶ ἔστιν ὁ μὲν λόγος τῆς ἐμῆς ἔργον ἐφέσεως, ἡ δὲ σιωπὴ τοῦ περὶ σὲ πράγματος οἰκονομία καὶ πλήρωσις. Εἰ μὲν οὖν θεωρῶν τὰ κρείττω, ἢ ἐντυγχάνων θεῷ, ἀνεπιστρόφως ἔτι ἔχεις περὶ τὰ τῇδε, μηκέτι σοι δι' ὄχλου γίνωμαι ταῖς ἐπιστολαῖς· εἰ δὲ δύνῃ ἑκάτερα ἐν ταὐτῷ, τὸν μὲν νοῦν τῷ θεῷ, ὕπεχε δὲ τὰ ὦτα ἡμῖν· εἴτε οὖν τὸ πρῶτον ἐρεῖς, οὐ περιττὸν ἡ γραφή, εἴτε τὸ δεύτερον, οὐκ ὀχληρὸν αὖθις ἡ ἐπιστολή.

Οἶδα δέ σοι καὶ ἕτερον πάθος, οὗ καὶ αὐτὸς ἐπαισθάνομαι ἴσως· ἀλλά με μὴ βάλοι βέλος βασκανίας ἢ καὶ νεμέσεως· τί ποτε τοῦτο; ἰδὼν τὸ νοητὸν κάλλος, τοῦ ἐν λόγοις καταπε-

φρόνηκας, καὶ τὴν ἄρρητον ἐκείνην ἔχων ἐμμέλειαν, τὴν ἐν τούτοις συνθήκην ἠθέτηκας· ὅθεν ὥςπερ ἐντυγχάνοντί σοι θεῷ, ὀχληρὸν ἄλλως δοκεῖ τὸ τῆς ἀηδόνος τερέτισμα· οὕτω δὴ καὶ παντὸς λόγου μέλος πρὸς τὴν νοερὰν ἁρμονίαν, ἄμουσόν τι δοκεῖ καὶ περίεργον· ἀλλ' ἡμεῖς γε ἐκεῖνο μὲν τὸ ἀφανὲς καὶ ὑπὲρ τὴν αἰσθητὴν ἁρμονίαν, καταμαντευόμεθα, ἣν δὲ βούλῃ, εἰκάζομεν· τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην, ὥςπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε καὶ περιϊπτάμεθα, καὶ ἠγαπήσαμεν ἂν εἰ ἀπὸ τοῦ τῶν σωμάτων κάλλους εἰς τοῦτο ἀναβάντες ἐλήξαμεν· ἀλλὰ δέδια μὴ αὖθις ἐπὶ τὴν αἴσθησιν καταρρέωμεν.

Πῶς ἂν οὖν σοι καὶ τὸ ἡμέτερον γίνοιτο καὶ τὸ σὸν ἐκπληροίη θεός; οἶδα ὡς εἰ καὶ σύντονόν σοι τὸ πρὸς τὰ κρείττω τετάσθαι, ἀλλ' οὐκ ἄκαμπτον πάντη, οὐδ' ἀμετάστροφον· οὐ γὰρ ἐπιλέλησταί σοι μετὰ σώματος ὄντι ὁ νοῦς τοῦ δεσμοῦ· ὅθεν οὐδὲ ἀκάματος τούτῳ ἡ δύναμις· ἐπιστρέφει γοῦν καὶ δεῖταί τινος ἀναπαύσεως. Μὴ τοίνυν μὴ δὲ οὕτως ἠρεμείτω, ἀλλ' ὑποδεχέσθω τοῦτον ἡ πολλοστὴ θεωρία, τὰ ἐμὰ γράμματα, ὥς περ κῆποί τινες ἢ λειμῶνες, κἀντεῦθεν οὖν αὖθις ἀνιπτάσθω πρὸς τὸν θεόν· σὺ δέ μοι, ἣν βούλῃ, μὴ δὲ ἐπίστελλε, ἵνα μὴ δὲ τοσοῦτον καταβαίνῃς, ἀλλ' ἁπλῶς οὑτωσί, καὶ ἀφελῶς, ὥς περ βεβούλησαι, προσαγόρευε, ἀρκεῖ γὰρ ἡμῖν ἀντὶ πάντων καὶ ῥῆμα σὸν καὶ νεῦμα, καὶ τὸ ὅλως σε οἴεσθαι μεμνῆσθαι ἡμῶν.

## 92. Ἀνεπίγραφος.

Θεῷ καὶ ἀρχιεράρχῃ τοιούτῳ θεοῦ τί ἄν τις προσαγάγοι ἐπάξιον; ὁ μὲν γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῖ κατὰ τὴν ἐκείνου φύσιν, σὺ δὲ πάντων τῶν ὄντων καταπεφρόνηκας διὰ τὴν θείαν ἐντολήν· πᾶν οὖν τὸ προσφερόμενον ἐκείνῳ τε, καὶ

σοὶ τῷ μετ' ἐκεῖνον δεσπότῃ, ἀνάξιον πάντως δοκεῖ τῆς ὑπερφυοῦς μεγαλοπρεπείας ὑμῶν· ἀλλ' ἐπειδὴ ὁ μέν, μέχρι καὶ δούλου μορφῆς ἑαυτὸν ἐταπείνωσε, σὺ δὲ μιμητὴς ἐκείνου γενόμενος τὴν ὑψοποιὸν ἠγάπησας μετριότητα, μὴ ἀπώσῃ ἣν προσάγω σοι εὐτελεστάτην προσαγωγήν, ὥςπερ οὐδὲ ἐκεῖνος τὰς αἰσθητὰς σπονδὰς καὶ τὰ θύματα, καὶ ἀντίδος τῶν μικρῶν τὰ μεγάλα· ἀντιδώσεις δὲ οὐκ εὐπόρῳ, οὐδὲ πλουσίῳ, ἀλλ' ἀπορωτάτῳ ἀνδρί, καὶ πτωχῷ ἐξ εὐπορίας πολλῆς, ὡς αὐτὸς ἐπίστασαι ὁ δεσπότης μου.

## 93. Ἀνεπίγραφος.

Ὄμνυμι τὴν πρὸς ἀλλήλους ἡμῶν ἀγάπην, ὅτι πολλάκις ἠγανάκτησα κατὰ τῶν ἀποκομιζόντων μοι γράμματα τῆς ἱερᾶς σου ψυχῆς, μὴ μέντοι βουλομένων ἀντισήκους ἐπιστολὰς κομίζεσθαι παρ' ἐμοῦ. Ἡμεῖς γάρ, εἰ καὶ τὸ κατὰ τὴν ἐνοῦσαν προθυμίαν ὠφελεῖν τοὺς φίλους οὐκ ἔχομεν, ἀλλ' οὖν τῆς ἐφ' ἡμῖν ἐπὶ τὸ σπουδάζειν ὑπὲρ αὐτῶν δυνάμεως οὐκ ἠμελήσαμεν πώποτε· εἰ δὲ καὶ περὶ τῶν ἄλλων οὕτως ἔχω φροντίδος, πόσῳ γε περὶ σοῦ μᾶλλον τῆς φιλτάτης μοι κεφαλῆς;

Τοιγαροῦν ὁπηνίκα δέξομαι παρὰ σοῦ γράμματα περὶ τῆς εἰσελεύσεώς σου καταδυσωποῦντα καὶ ἀξιοῦντά με, αὐτίκα πρὸς τὸν κράτιστον ἡμῶν ἀφικνοῦμαι βασιλέα, καὶ ποτὲ μὲν τὴν πρὸς ἐμέ σου ὑπαναγινώσκω τούτῳ ἐπιστολήν, ποτὲ δὲ τῷ ἐμῷ λόγῳ χρῶμαι πρὸς τοὺς ὑπὲρ σοῦ λόγους, ἀναμιμνήσκων αὐτὸν τῶν πρὸς σὲ συνθηκῶν, καὶ ὡς σοὶ μὲν ὁ τῆς ὑποσχέσεως χρόνος πεπλήρωται, ἐκείνῳ δὲ ὁ τῆς ἐπαγγελίας ἐφέστηκε, καὶ ὡς δεῖ ἀμφοτέρων τοὺς λόγους κατὰ τὸν παρόντα καιρὸν ἐντελεῖς γενέσθαι, καὶ συγχωρηθῆναί σοι τὴν εἰς τὴν ἐνεγκοῦσαν ἐπάνοδον· ὁ δέ, τὰ πρῶτα μὲν ἀντέπιπτέ μοι τοῖς λόγοις, παγχάλεπον εἶναι φάσκων ἀνθρώπου τυχεῖν καταλλήλου τοῖς πράγμασιν,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὁποῖος, περὶ σοῦ δὴ λέγων, ἀκριβὴς ἐν πᾶσι καὶ δόκιμος εὕρηται. Ἐπειθ' ὕστερον πρᾳότερος ἐγεγόνει καὶ αὐτοῖς δεικνύει τοῖς πράγμασιν, ὡς βούλεταί σε ἐπανελθεῖν· παντὸς γὰρ ἀποπειρᾶται ἀνδρὸς συνετοῦ, εἴ που εὕρῃ τινά, ᾧ τὴν τῶν δημοσίων ἀναθήσει ἀπαίτησιν· καὶ οἶμαι τεύξεσθαί τινος, πολλοὺς γὰρ ἤδη ὁρῶ ἁπτομένους τοῦ πράγματος, καὶ οἷον πειρωμένους καθάλλεσθαι τοῦ κρημνοῦ.

Εὔελπις οὖν ἔσο, καὶ θυμὸν ἔχε ἀγαθόν, ὡς ἐπανήξεις ἐπὶ τὴν ἐνεγκοῦσαν ταχύ.

## 94. Ἀνεπίγραφος.

φ. 211. | Ὁρᾷς ὅπως ἐπαλλήλους σοι καὶ πυκνὰς ποιοῦμαι τὰς ἀξιώσεις, ἀδελφὲ φίλτατε καὶ ἰσόψυχε; πράττω δὲ τοῦτο, οὐ τοσοῦτον τοῖς ἀξιοῦσί με χαριζόμενος, ὅσον ἐμαυτῷ ὑπόθεσιν ὁμιλίας τῆς πρὸς σὲ μνηστευόμενος, καὶ τό γε θαυμασιώτερον, ὅτι ὅπερ ἔδει ποιεῖν τοὺς δεομένους τῆς σῆς δυναστείας περὶ τὴν ἐμὴν μεσιτείαν, τοῦτο ἐγὼ ἐκείνοις ποιῶ· καταδέομαι γὰρ καὶ ἀντιβολῶ τούς γε πλείονας, ὅπως ἄν μοι πρὸς σὲ μεσίτῃ ἢ καὶ διαλλακτῇ χρήσωνται. Πλὴν μὴ τοσοῦτόν με ἴσθι περὶ τὴν σὴν ἱερὰν ψυχὴν πλημμελοῦντα· περὶ ἐκείνων γάρ σοι τὰς ἐπιστολὰς ποιοῦμαι, οἷς τὸ ἀξιούμενον οὐδὲν ἄλλο, ἢ εὐμενέσιν αὐτοὺς ὀφθαλμοῖς ἐπιδεῖν, ὅπερ σοί τε ῥᾷστον καὶ τῇ φύσει κατάλληλον. Καὶ ὁ παρὼν εἴ γε τύχοι τοιούτων σου τῶν ὀμμάτων, οὐκ ἂν οἶμαι πλέον ἐπιζητήσειεν. Εἰ δέ τισι διδοίημεν καὶ τὰ μείζονα, ἀλλ' εὐχερῆ σοι καὶ ταῦτα τῷ τῆς ἀξιώσεως εἴδει διατιθέμεθα.

## 95. [Τῷ κριτῇ τοῦ Αἰγαίου ?]

Ἀβυδηνὸς μὲν οὐκ εἰμί, φίλτατε ἀδελφέ, μὴ δὲ εἴην διὰ τὴν παροιμίαν καὶ τὸ δεινὸν ἐπιφόρημα, ὥσπερ οὐδὲ Ἰταλός,

οὐδὲ Ἀθηναῖος, οὐδὲ Αἰγύπτιος, οὐδέ σου τὸ Αἰγαῖον ἐπίσταμαι πέλαγος, ἀλλ' οὐδὲ ἑτέρας ἔφυν πόλεως ἢ τῆς τοῦ Βύζαντος· εἰσποιοῦμαι δὲ πάσαις μὲν οἰκίαις, πάσαις δὲ κώμαις, πάσαις δὲ πόλεσι, πᾶσι δὲ ἔθνεσι, καὶ οἰκειοῦταί με, ὥςπερ τὸν ποιητήν, νῦν μὲν ἡ Χίος, νῦν δὲ ἡ Σάμος, νῦν δὲ ἄλλο τι χωρίον τῶν Εὐρωπαίων, ἢ τῶν Ἀσιανῶν, καί με προϊστῶσιν αὐτῶν ὥςπερ οἰκιστήν, ἢ πολιοῦχόν τινα, νῦν μὲν κατ' ἄνδρα ἕκαστος, νῦν δὲ κατὰ πόλιν ἕκαστοι, ἢ ὁμοῦ τι σύμπαντες· δύναμαι δὲ παρὰ πᾶσιν, ὁπόσα ὑμεῖς κατὰ μέρος, καὶ ἵνά τι σεμνολογήσωμαι, οὐκ εἰς ὀφρῦν δὲ ἀνάγω τὸν λόγον, ἀλλ' εἰς ἤθους χρηστότητα, ἄρχων ἀρχόντων εἰμί. Καὶ ὥςπερ οἱ φιλόσοφοι τὴν ἀρχιτεκτονικὴν ἐπιστήμην ἐπὶ τοῖς πολιτικοῖς λόγοις παραλαμβάνουσιν εἰς παράδειγμα, ἑτέραις τέχναις κελευομένην καὶ ἐπιτάττουσαν, οὕτω δὴ καὶ αὐτὸς γίνομαι· πλὴν τοσούτῳ διαφέρω τοῦ ἀξιώματος, ὅτι οὐκ ἐπιτάττω, ἀλλ' ἀξιῶ· ὥςπερ δὴ καὶ νῦν περὶ τοῦ τὴν ἐπιστολὴν δόντος ποιοῦμαι πρὸς σέ· ἐπιξενοῖ γάρ με καὶ οὗτος, μόνον οὐ τὸν παῖδα κατακόψας ὥςπερ ὁ μῦθος ἔχει περὶ τοῦ Πέλοπος, ἀλλά μοι τοὺς ἀκριβεστάτους τῶν φίλων εἰς κοινὴν συμπαραθέμενος ἐκλιπάρησιν.

Βούλεται δὲ τοσοῦτον αὐτῷ παρ' ἐμοῦ γενέσθαι, ὥςτε γνῶναί σε ὅτι τε φιλῶ τοῦτον, καὶ ὅτι βούλομαι γενέσθαι τι αὐτῷ ἀγαθόν. Τοῦτο οὖν αὐτὸ παρ' ἐμοῦ ἔχε μαθών· εἰ γὰρ καὶ τοῖς μὴ ἀξιώσασιν ὀφείλω τὸ πρᾶγμα, πῶς ἂν τῷ ἀνδρὶ ἀπαρνήσωμαι, τοσοῦτον καὶ διὰ τοσούτων με εἰς φιλανθρωπίαν ἑλκύσαντι; ἄλλως τε δὲ οὐδὲ μέγα τί μοι δοκεῖ τὸ ἀξιούμενον καὶ ὑπέρσεμνον, καὶ διὰ ταῦτα εὐθέως κατένευσα· εἰ δ' ἴσως λανθάνει με μέγιστον ὄν, αὐτὸς ἂν ἐνδείξαιο, τὸν ἄνδρα οἰκειωσάμενος, τοῦτο γὰρ αὐτῷ τῆς ἀξιώσεως τὸ κεφάλαιον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 96. Ἀνεπίγραφος.

Στρουθὸς παρακεκινημένος, ὅ φασι, τὸν ἀστράγαλον πειρᾶται ὑπαλείφειν τὸν ὑγιῆ· εἰ δὲ μὴ παντάπασι μὴ προσήκων ἡμῖν ὁ δημώδης λόγος, ἀλλὰ χωλὼ μὲν ἄμφω ἐγώ τε καὶ σύ, οὐ μεῖον ἅτερος θατέρου τήν γε τοῦ μονοπροσώπου χωλείαν· σὺ δέ μοι μᾶλλον ἀλγεῖς, ὡς ἄρτι σοι πρώτως τοῦ ῥεύματος καταρρεύσαντος, ἢ τὸ μὲν ῥεῦμα ἄνωθεν ἔχει σοι τῆς ῥύμης τὸ ἐνδόσιμον, πλημμυρεῖ δὲ νῦν ἐπὶ πλέον σοι καὶ ῥοχθεῖ τραχυτέρῳ τῷ κύματι· καὶ ὁ μὴ πάλαι πρὸς τὴν τρικυμίαν ἀρκῶν, νῦν ὑπέραντλος ταῖς πολυκυμίαις γενόμενος, πῶς ἂν ἐξαρκέσ[ει], εἴποιμι ἂν ὑπὲρ σοῦ;

Ἀλλ' ὦ γενναῖε, πολλῶν μετ' ἄλλων καὶ ἐπικουφιζέτω σοι τὸ δεινὸν ἡ κοινωνία τῆς συμφορᾶς· πεπτώκασι καὶ Πάτροκλοι, σοῦ κρείττους ἴσως καὶ τὴν χεῖρα καὶ τὴν λοιπὴν γενναιότητα· εἰ δὲ πάλαι μὲν ἡ τοῦ ἔτους περίοδος τὸ ἱερὸν ἐν Δελφοῖς ἔλαιον ἔλαττον ἐξανήλισκεν, ἡ αὐτὴ δὲ νῦν περιφορὰ πλείονα τὴν δαπάνην ἐπιζητεῖ, θαυμάζειν οὐ χρή· ἔστι γάρ τις κύκλος ἐν ἀριθμοῖς ἀποκαταστατικὸς καὶ ἐπὶ τὸ αὐτὸ φέρων, καὶ ἐπανελήλυθεν ἡ ἀρχαία περίοδος· ἀλλ' ἐλάττω ξύμπαντα ταῦτα, ὥς τέ σου τὴν ψυχὴν ἐπὶ τῇ νέᾳ προσθήκῃ παραμυθήσασθαι.

Τί γοῦν δράσω ἐπὶ τῆς αὐτῆς σοι κείμενος κλίνης καὶ τῇ αὐτῇ ἀλγηδόνι τῆς καρδίας ἐγκαρτερῶν; τί τοίνυν ἄλλο, ἢ ἔλαττον μὲν τοῦ ἐμοῦ συμπτώματος φροντιῶ, τὴν δὲ σὴν πειράσομαι νόσον ἰάσασθαι; ἐπεὶ καὶ τίς μοί ἐστιν ἐν γειτόνων ἀκριβῶς τὼ πόδε χωλός, ἐμὲ δὲ τοὺς δακτύλους μαλακιῶντα προθυμεῖται ἰάσασθαι· ἔχω γοῦν ἐγγύθεν τὴν φύσιν τοῦ παραδείγματος, ἀλλὰ δέδοικα μή, ὥσπερ οὗτος μάτην μου τοὺς πόδας καταδεσμεῖ, οὕτως δή σοι κἀγὼ τὸ ἀκεσώδυνον ψεύσωμαι·

ἀλλ' ἰτέον, καὶ πειρατέον, καὶ πάντα μοι ποιητέον ὑπὲρ τῆς δεσποτικῆς κεφαλῆς.

## 97. [Τῷ μαγίστρῳ Μιχαήλ].

Φίλτατέ μοι πάντων ἀνδρῶν καὶ συνετώτατε μάγιστρε, ὅτε σου τὰς ἐπιστολὰς εἰς χεῖρας λάβω καὶ γνῶ δι' αὐτῶν τὸ καταφλέγον πῦρ τὴν ψυχήν σου, οὐκ ἔχω τι δράσω, ἢ τίνα σοι προσάξω παραμυθίαν· ὃ γοῦν ἐπὶ τῇ ἐμῇ δυνάμει καὶ προθυμίᾳ ἐστίν, αὐτίκα εἰς ὑπόμνησιν ἄγω τὸν φιλάνθρωπον ἡμῶν βασιλέα, ὧν τε πέπονθας, καὶ ὧν αὐτός σοι κατεπηγγείλατο, καὶ εὑρίσκω τοῦτον κοινωνόν σοι τῶν παθημάτων καὶ τοῖς σοῖς κακοῖς ἐπισχετλιάζοντα, καὶ πολλάκις τό, ὁ κῦρ Μιχαήλ μου, ἐπιφωνοῦντα καὶ προστιθέντα ἅπερ σοι γέγραφα.

Καὶ οἶδας ὅτι ὁ δεόμενος βασιλέως, ἐπειδὰν τοιούτων ἀκούσῃ λόγων, προσκυνεῖ βαθὺ καὶ ἀφίσταται τῆς δεήσεως, ἵνα μὴ φορτικὸς δόξῃ καὶ ὀχληρός, καὶ παροξύνῃ μᾶλλον τὴν τοῦ βασιλέως ψυχήν· | οὐ γὰρ τῆς ἐμῆς γλώττης φείδομαι, ἀλλά σοι φ. 211ʳ.
τοὺς λόγους ἐν κρίσει οἰκονομῶ· τὸ δὲ κατελθεῖν σε εἰς πύλας ἰαθησόμενον, ἵνα μὴ δόξῃ γενόμενον πλήρωσις ἀξιώσεως, οὔτε ἠξίωσα, οὔτε ἀξιώσω ποτέ, ἕξομαι δὲ τῶν πρώτων αἰτήσεων μέχρις ἂν δῷ θεὸς χρηστὸν ἀποτέλεσμα.

## 98. [Τῷ βέστῃ . . . . ]

Μὴ ὑπολάβῃς, χρυσέ μου βέστα, ὅτι παρόντα μὲν ἠγάπων καὶ πάντα τρόπον σοι συνηγωνιζόμην, ἀπόντος δὲ κατωλιγώρησα· μᾶλλον μὲν οὖν καὶ προστέθεικα τῇ πρὸς σέ μου φιλίᾳ· ἀλλὰ νῦν πᾶσα φίλου παρρησία ἰσχνόφωνός πως τοῖς φιλουμένοις δοκεῖ, διὰ τὴν πολλὴν τῶν πραγμάτων, ἵν' οὕτως εἴπω ἀκρίβειαν, καὶ τὴν τοῦ φιλανθρώπου βασιλέως ἡμῶν περὶ πάντα

σύνεσιν καὶ ὀξύτητα. Πλὴν ἡμεῖς τὸ ἡμέτερον ποιεῖν οὐκ ὀκνοῦμεν, καὶ οἶμαι ὡς κατὰ τὸν ἐνεστῶτα καιρὸν ἕξεις τὸ τέλος τῆς ἐπιθυμίας σου, καὶ θεάσῃ καὶ τὴν βασιλεύουσαν καὶ τὸν βασιλεύοντα.

Περὶ δὲ τοῦ τὸ γράμμα ἐπιδόντος σοι εὐγνώμονος δούλου σου καὶ νοταρίου, καὶ αὖθις ἀξιοῦμεν συγχωρῆσαι τούτῳ τὴν εἰς τὴν Πόλιν ὁδόν· ἡ γάρ τοι μήτηρ αὐτοῦ πολλάκις μὲν ἀπέθανεν, ἵν' οὕτως εἴπω, τοσαυτάκις δὲ ἀνέζησε δι' αὐτόν, ἐπιθυμεῖ γοῦν ὁμοῦ τε τοῦτον ἰδεῖν, καὶ ἀποθανεῖν· πλὴν εἴ σοι ἄλλως δοκεῖ, γενηθήτω τὸ θέλημά σου, καὶ κρατείτω τὸ δόξαν σοι. Ἴσθι δὲ ὡς οὐκ ἐπαύσατο ὁ τοιοῦτος νοτάριος γράμματα πρός με πέμπων, τὴν σὴν φιλάγαθον γνώμην διακηρύττοντα καὶ μεγαλύνοντα τὸ πρὸς αὐτόν σου ἔλεος καὶ τὴν συμπάθειαν· διὰ ταῦτα πρόσθες ἐπὶ τῇ εἰς αὐτόν σου διαθέσει, ἵν' ἐπὶ πλέον τοῦτον ποιήσῃς εὐγνωμονέστερον.

## 99. Ἀνεπίγραφος.

Πᾶσι μὲν αἰτοῦσι δεῖ προσέχειν τὸν νοῦν καὶ κατὰ τὸ δυνατὸν βοηθεῖν, μάλιστα δὲ τοῖς πολλῶν μέν ποτε εὐπορήσασι, καὶ εἰς δόξαν ἐπανεληλυθόσι βιωτικὴν καὶ λαμπρότητα, διὰ δὲ τὸν θεὸν ἐξαπορήσασι καὶ πτωχεύσασι, καὶ εἰς τὰς ἡμετέρας ἀφορῶσι χεῖρας ὡς ἡμεῖς εἰς τὰς τοῦ θεοῦ, ἔφησέ τις σοφός· ὁποῖός ἐστι καὶ ὁ θαυμάσιος τὴν ἀρετὴν κῦρ Μιχαὴλ ὁ ποτὲ βέστης· οὗτος γάρ, ὡς οἶδας, ἀντὶ βαθέος πλούτου καὶ περιουσίας πολλῆς, εἰς μοναστήριον ἑαυτὸν πενέστατον πάνυ κατέκλεισε, τοῦ Μωροχαρζάνου μὲν λεγόμενον, τοπίων δέ τινων εὐποροῦν ὀλίγων, ἀφ' ὧν οἱ ἐκεῖσε ἀσκοῦντες τρέφονται μοναχοί. Ἀλλ' ἡ τοῦ χρόνου περιτροπὴ ἰσχύει καὶ κατ' αὐτῶν, καὶ προφάσει κλασματικῆς τινος γῆς τὰ παρὰ τῆς μονῆς ἀνέκαθεν δεσποζόμενα, ὑφαιρεῖται καὶ ὑποσπᾷ.

Ἀλλ᾽ ἐπειδὴ ἡ σὴ λογιότης καὶ καλοκἀγαθία τῇ περὶ τούτων ὑποθέσει ἐφέστηκε, τὸ μέν τι, καὶ διὰ τὴν τοῦ δικαίου ῥοπήν, τὸ δέ, καὶ δι᾽ ἡμᾶς, χάρισαι τῇ τοῦ Μωροχαρζάνου μονῇ τὸ ἀνενόχλητον καὶ ἀζήμιον· ναί, μὴ ὀχληθείη περὶ τούτου τοῦ μέρους ὁ βέστης, μὴ δὲ πρὸς οἷς ἀφῃρέθη, πολλοῖς οὖσι, καὶ αὐτὴν τὴν τελευταίαν ἀφαιρεθείη καλύβην, καὶ δυνηθείη ὁ δαίμων κατὰ τῆς τούτου ψυχῆς. Πεπληροφόρησο γὰρ ὅτι μισθός σοι περὶ τούτου πολὺς παρὰ τῷ θεῷ ἀποκείσεται.

## 100. [Τῷ βεστάρχῃ . . . .]

Χρυσέ μου βεστάρχα, ὁ διοικητὴς οὗτος πρωτόζευκτός ἐστι πῶλος εἰς τὰς ἀπαιτήσεις, νῦν γὰρ πρώτως ὑπὸ τῷ ἅρματι τῶν εἰσπράξεων γέγονε· δεῖται οὖν ἡνιόχου ἀκριβοῦς τε καὶ ἐπιστήμονος, ἐξ αὐτῆς ἀφετηρίας ἡνιοχήσοντος τοῦτον καὶ ἐπὶ τὸν καμπτῆρα κατευθυνοῦντος· ἀρτιμαθὴς γὰρ ὢν τοῦ δημοσικοῦ δρόμου, δέδοικε τὰς ὑπερδρομὰς καὶ παρατροπάς. Ἐπίθες οὖν αὐτῷ καὶ σὺ τὴν ἡνίαν, καὶ μήτε ἐνδώσεις αὐτῷ τὸν χαλινὸν ὥς τε ἄτακτα φέρεσθαι, μήτε, ἵνα πάντῃ σε θεατροκοπήσω, ἀνείρξῃς αὐτὸν καὶ ἀποστενώσῃς, ὥς τε παρεγκλινῆ ποιῆσαι καὶ ἑτερόγναθον· μὴ τοίνυν ἐπιβαρήσῃς αὐτῷ τὸν ῥυμόν, ἀλλὰ συνεζευγμένον καὶ ἀπόλυτον στήσας, τὸ μέν, ὑποδίδου αὐτῷ τὴν ἡνίαν, τὸ δέ, ἀνάκοπτε.

## 101. Ἀνεπίγραφος.

Γλυκεῖά σου ἡ ἐπιστολή, καὶ καθ᾽ ὑπεροχὴν γλυκερωτέρα κηρίου καὶ μέλιτος· ἀλλ᾽ ἐμοὶ τὰ μὲν χείλη ἐγλύκανε, τὴν δ᾽ ὑπερῴην οὐκ ἐγλύκανεν, οὐδὲ ἐστάλαξεν ἐν τῇ καρδίᾳ μου γλυκασμόν τινα, ὥς τε δύνασθαι πεισθῆναι σοί ποτε ὅτι σωθήσομαι διατρίβων ἐν πόλει. Οἱ γὰρ περὶ τὸν Μωϋσέα καὶ οὓς

εἰς παράδειγμα τέθεικάς μοι, παρ' αὐτοῦ τοῦ θεοῦ τὰς προστασίας ἐνεχειρίσθησαν, καὶ εἶχον ἀπολογίαν τῶν πράξεων, τὴν τοῦ θεοῦ πρόσταξιν· ἐγὼ δὲ τί ἀπολογήσομαι μὴ ἐπιτραπεὶς διοίκησιν κοσμικήν;

Οὐκ ἀναπαύσομαι τοίνυν ποτέ, μέχρις ἂν τῆς ἐνταῦθα πέδης τοὺς πόδας ἐλευθερώσας, πρὸς τὸ θεῖον ὄρος δραμοῦμαι τὸν Ὄλυμπον.

## 102. Ἀνεπίγραφος.

Εἰ μὲν ὑγίαινες, βελτίστη ψυχή, ἐγεγόνει ἂν σοι καὶ τὸ γραμμάτιον ὁποῖον ἂν ἐρρωμένου σώματος ἀναλαμβάνῃ ψυχή· ἐπεὶ δέ σοι ὥςπερ ἀκούω, ἡ σύντροφος ἀρρωστία ἐπίτασιν προσειλήφει κακώσεως, ἵνα μὴ παρὰ τὸν εἰκότα λόγον καὶ τὴν τέχνην ποιοίημεν, ἐν οὐ καιρῷ ἐφιέντες τῇ γλώσσῃ καὶ ἀβρυνόμενοι οὐδὲν δέον, ὥςπερ ὁ Ἰσοκράτης ἐν δυσχερείαις πραγμάτων τῇ περὶ τὸν λόγον ἀγλαΐᾳ χρώμενος, ἁπλῶς οὑτωσὶ καὶ ἀφελῶς καὶ συντετμημένως, καὶ γράφω καὶ ἀξιῶ· ὁ Νικαεὺς οὗτος ἐμός ἐστι, καὶ ἐλέει τοῦτον δι' ἐμέ.

## 103. Τῷ πραίτορι Πελοποννήσου καὶ Ἑλλάδος τῷ Νικηφορίτζῃ.

Ὁ θεοφιλέστατος Βεσαίνης ἐπίσκοπος, λογιώτατε καὶ λαμπρότατε, ἔστι μὲν ὡς ἀπεδείχθη πτωχὸς καὶ συμπτώχου ἐπισκοπῆς
φ. 212. πρόεδρος, συκοφαντεῖται δὲ δύο | τὰ μέγιστα, ὅτι τε πλούσιος, καὶ ὅτι θρόνου εὐδαίμονος. Τοῦ μὲν οὖν χρημάτων πολλῶν μὴ εὐπορεῖν γέγονεν ἐνταῦθα δοκιμασία σαφὴς καὶ ἔλεγχος προφανής, περὶ δὲ τῆς εὐδαιμονίας τῆς λαχούσης τοῦτον ἐπισκοπῆς, αὐτὸς σὺ κριτὴς καὶ ἐξεταστὴς κάθησαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τέως μὲν οὖν ἐν οἷς ἀτυχεῖ, εὐτυχεῖ, βασιλέων καὶ δημοθεσίου διαφερομένων αὐτῷ, καὶ ἀντιθέτων ὄντων περὶ τοῦ πλείονος· εἴτε γὰρ νικήσοι ταῖς ψήφοις, ἡ εὐδοκίμησις ἄρρητος, ἐκράτησε γὰρ τῶν κρειττόνων· εἴτε τὴν ἥττωσαν ἀπενέγκοιτο, πάλιν κατ' αὐτὸ τοῦτο εὐδοκιμεῖ, ὅτι θεοῖς, ἵν' οὕτως εἴπω, ξυμβέβληται, κἂν τῇ ξυμβολῇ τὸ ἧττον ἔσχηκεν, ὥςπερ ὁ Ἰακὼβ πάλαι ἀγγέλῳ προσπαλαίσας ἢ θεῷ ἥττηται, καὶ τὰ ξύμβολα φέρει τῆς ἡττωμένης γενέσεως, ἀποκναισθεὶς τὸν μηρὸν καὶ οἷον ἀποναρκήσας.

Ἀλλὰ τὸ τῆς καμήλου παίγνιον, θάνατος ὄνου ἐστί, φησὶν ὁ δημώδης λόγος, καὶ δέδοικα μὴ ταὐτὸ πάθοι καὶ οὗτος, καὶ ταῦτα οὐκ ὢν ὀρεσίφοιτος, οἷος ὁ τοῦ Ἰὼβ ἀτίθασσος, φωνὴν φορολόγου μὴ ἀκούων, ἀλλὰ πολιτικός, καὶ τῆς ἀρίστης πόλεως, καὶ πολλοῖς φορολόγοις ἐκκείμενος.

Ὁ μὲν οὖν πολλοὺς ἐνδεδυμένος χιτῶνας, οὐκ ἂν εὐθὺς τὰς σάρκας διασπαρείη τῷ λέοντι, ὁ δὲ ὑφ' ἑνὶ καὶ ταῦτα λεπτῷ συγκεκαλυμμένος, εὐθὺς τῶν ὀνύχων τὰς ἀμυχὰς ἐντυπωθείη τοῖς μέλεσιν. Ἆρ' οὖν οὐχὶ μονοχίτων τρόπον τινὰ καὶ ὁ τῆς Βεσαίνης ἐπίσκοπος, βραχεῖαν ἔχων περιβολήν, καὶ ταύτην ἀναγκαιοτάτην, εἶτα δὴ καὶ περὶ αὐτῆς κινδυνεύων;

Εἴ τίς σοι λόγος δικαιοσύνης, πρὸς δὲ καὶ φιλανθρωπίας, γενοῦ τῷ ἀνδρὶ οἷος ἐκεῖνος ὁ ἐκ Σαμαρείας τῷ καταβαίνοντι ἐξ Γερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λησταῖς περιπεπτωκότι· τοσοῦτον δέ μοι ἐκείνου διένεγκαι, μὴ ἀναμείνῃς περιδυθῆναι τὸν ἄνθρωπον καὶ περιτεθῆναι πληγάς· τί γὰρ τούτῳ μετὰ ταῦτα οἱ κατάδεσμοι καὶ τὰ ἔλαια, καὶ ἡ καινὴ παρακαταθήκη καὶ τῶν δύο Διαθηκῶν τὰ αἰνίγματα; οὐ γὰρ ἕξεις σὺ ᾧ παραθήσεις, οὐδὲ ἀναθεῖναι ἐπὶ τῶν ὤμων δυνήσῃ, κέκλεισται γὰρ ἤδη τὰ σεμνὰ ἐκεῖνα καὶ πράγματα καὶ ὀνόματα.

Τί οὖν ᾧ περισώσεις τὸν ἄνδρα; ἀπάντησον ἀπὸ τῶν ὑψηλῶν καταβαίνοντι, καὶ γενοῦ σύμμαχος αὐτῷ, ἢ πρόμαχος γεν-

ναιότατος, καὶ μὴ ἐάσῃς ληστρικῷ συντάγματι ἐμπεσεῖν· τὸ γὰρ πλεῖον τοῦ ἀντιθέτου μέρος φιλάνθρωπον· εἴγε βάσις ἐλέους ὁ βασιλεύων ἠτυμολόγηται, κἂν οὐκ ἔστιν ἄλλως ἢ πειραθῆναι τὸν ἄνθρωπον, σὺ δὲ ἀλλὰ μὴ ἄψῃ τῶν ὀστῶν αὐτοῦ, ἢ μᾶλλον μὴ ἐάσῃς ἅψασθαι τούτου τὸν πειραστήν· ἢ γὰρ ἂν εἰς πρόσωπόν σε εὐλογήσῃ, ἵνα καὶ ἑτεροίως εἴπω τὸ δύσφημον, οὐ μέλει δὲ αὐτῷ τοῦ ὑστέρου χρηματισμοῦ καὶ τοῦ ἵνα ἀναφανῇ δίκαιος. Ἀντιτάχθητι γοῦν τοῖς ἐπ' αὐτὸν ἱππεῦσι, καὶ στῆσον τὸν ἥλιον κατὰ Γαβαὼθ καὶ τὴν σελήνην κατὰ φάραγγα, μᾶλλον δὲ ἐπίταξον τοῖς ἀνέμοις μὴ ἐπεισπνεῦσαι τῇ τούτου ἐπισκοπῇ, ἵνα μὴ ἄλλος ἐπ' ἄλλῳ τῶν πονηρῶν ἀγγέλων προτρέχῃ καὶ ἐπιτρέχῃ ἀπαγγέλλων αὐτῷ τὰ δεινότατα.

Τοῖς μὲν οὖν ἄλλοις τῶν δικαστῶν ἢ χεὶρ λῆμμα διδοῦσα δεδύνηται, ἢ δάκρυον ῥέον ἐκ βλεφάρων πολύ, παρὰ δέ σοι ὁ γενναῖος λόγος ἀρκεῖ. Εἰ μὲν οὖν ἡ ἐπιστολὴ ἐκ τῶν πηγῶν ἐκείνων οἵων ἐρᾷς, ἐπίρανόν τι φιλανθρωπίας τῷ ἐπισκόπῳ, εἰ δὲ αὐχμώδης καὶ οὐ διολισθαίνουσα λείως εἰς τὴν ψυχήν, ἔστω δὴ καὶ τοῦτο ἀτύχημα τῷ ἀνδρί, ὅτι οὕτως αὐτῷ ἡ γένεσις τεθεμάτισται, μήτε ἐμὲ λέγειν περὶ τούτου θελκτήρια, μήτε ἡδέως τὰ λεγόμενα δέχεσθαι.

## 104. Πρὸς τὸν Βασιλέα τὸν Δούκαν.

Τῷ ἀηττήτῳ καὶ ὑπερμεγέθει καὶ φοβερῷ τὴν ἠχὴν λέοντι, τῷ βασιλεῖ καὶ δεσπότῃ μου ἰχθύας ἀφώνους ὁ δοῦλός σου πέπομφα, τῷ μόνῳ καὶ ἑνὶ καὶ μονάρχῃ, τέσσαρας, ἵνα καὶ τῶν τεσσάρων ἄρξῃς τῆς οἰκουμένης μερῶν· οἱ δὲ ἰχθύες καὶ ποτάμιοι καὶ θαλάσσιοι, ἵνα καὶ θαλάσσης συμπάσης βασιλεύσῃς καὶ ποταμῶν· ἀπὸ δὲ τῶν καθαρῶν τὸ δῶρον, ἵνα ἀναιμάκτως· καὶ λευκοὶ τὴν κλῆσιν, ἵνα καὶ ὁ λόγος ἀληθὴς ᾖ. Ὁρᾷς τὰ σύμβολα; ὁρᾷς τὰ σημεῖα σαφῆ; Καὶ φάγοι μὲν αὐτὰ λέων,

συμφάγοι δὲ καὶ σκῦμνος λέοντος, καὶ πρὸς τούτῳ ἡ λέαινα· ἀλλ' ἑρμήνευσον τῇ δεσποίνῃ τὸ ὄνομα, ἵνα μὴ κακίσοι τὸν λόγον, ἣν ἀντὶ πάντων καὶ ὑπὲρ πάντων ἐκτησάμην ἐγὼ καὶ εὐεργέτιν καὶ βασιλίδα, εἴπω καὶ τὸ ἀπόρρητον, καὶ ἀνεψιάν· εἰ δὲ τολμηρὰ ἡ φωνή, τέμε τὴν γλῶτταν ἡ τῶν ἐμῶν λόγων τομή, ὁ μόνος μοι τὸ στόμα ἐμφράξας, μᾶλλον δὲ τὸ τῆς ἐμῆς καρδίας ἐμμουσότατον θέλγητρον.

## 105. Τῷ Βούρτζῃ.

Οὐκ οἶδα τίνα σοι παραμυθίαν προσάξω τῷ εὐγενεστάτῳ κυρίῳ μου ἐπὶ τῷ κοινῷ πένθει καὶ ἀπαρηγο|ρήτῳ τοῦ φιλτά- φ. 212ʳ.
του σου ἀδελφοῦ· εἰ γὰρ οἱ ἀπὸ ψιλῆς θέας ἐγνωκότες ἐκεῖνον οὐ δύνανται φέρειν τὴν συμφοράν, ἀλλὰ στενάζουσι καὶ δακρύουσι, πῶς ἂν αὐτὸς ὑπενέγκῃς τὴν ἀπροσδόκητον ἀκοήν, ὁ ἐκ τῶν αὐτῶν ἐκείνῳ γονέων γεννηθεὶς καὶ τοὺς ἐκείνου τρόπους ἐζηλωκώς, καὶ οἷον ἐπ' ἐκείνῳ μόνῳ καὶ ἀναπνέων καὶ ζῶν; Ἐγὼ τοιγαροῦν ὁ μὴ προσήκων κατὰ γένος ἐκείνῳ, ὁπότε τὴν ἀγγελίαν τοῦ θανάτου ἀκήκοα, ἄπνους ἐγεγόνειν καὶ ἀκίνητος, ἐννοῶν οἷον ἄνθος ἀθρόον ὁ πονηρὸς δαίμων ἐμάρανεν, οἷον στῦλον τῆς Ῥωμαίων κατέσεισε γῆς, οἷον πῦργον κατέρριψεν, οἷον κατέσπασε φρούριον.

Ἀλλὰ ποῖόν τις ἐκείνου θρηνήσειεν; ἅπαντα γὰρ ἶσα καὶ ἀπαράμιλλα, ἡ τῆς ἡλικίας ἀκμή, ἡ τοῦ φρονήματος σταθηρότης, ἡ τῆς ψυχῆς ἑτοιμότης, τὸ γενναῖον τοῦ λογισμοῦ παράστημα· ὢ γλῶττα ἐκείνου λόγων ἀποστάζουσα χάριτας· ὢ βλέμμα προσηνές, καὶ σῶφρον μειδίαμα, καὶ διάθεσις ἄδολος, καὶ ἦθος κοινοπαθὲς καὶ φιλάνθρωπον! Ἐμὲ δὲ τίς ἐπ' ἐκείνῳ παραμυθήσεται, ἢ τίς μοι στήσει τῆς καρδίας τὸ δάκρυον; ἐκλέλοιπέ μοι καὶ ἡ ψυχὴ βραχὺ ἀναπνέοντι, καὶ ζητοῦντι τὴν

φιλτάτην ἐκείνην γλῶτταν, καὶ τὸ σύνηθες τῆς ὁμιλίας, καὶ τὴν τῆς ἀγάπης κοινωνίαν.

Εἰ γὰρ κατὰ γένος ἠλλοτριώμεθα, ἀλλ' ἀδελφοὶ τὴν ψυχὴν ἐτυγχάνομεν ὄντως, καὶ παραμυθία ἀλλήλοις κατὰ τὸν βίον ὑπήρχομεν· κακεῖνος μὲν ἔστενεν εἴ τί μοι πολλάκις προσεπεπτώκει ἀνιαρόν, ἐγὼ δὲ πολλάκις ἐπ' ἐκείνῳ ἐδάκρυσα ὅτι ἡ συκοφάντις γλῶττα τοῦ φρονήματος ἐκείνου κατίσχυσε· καὶ οἶδεν ἡ γενναιοτάτη ψυχὴ ὅσα τηνικαῦτα καὶ συνήλγησα καὶ συνήσπισα, εἰ καὶ τὸ ἄθελκτον τῶν κρατούντων πρὸς τὴν ἐμὴν ἐκώφευσε μοῦσαν.

Τί οὖν ἴσα τοῖς ἀνελπίστοις τοὺς ἀποιχομένους δακρύσομεν, καὶ οὐδαμοῦ τινα παραμυθίαν ἑαυτοῖς ἐξευρήσομεν; ἢ χρὴ δακρύειν μὲν ὅσον χρεών, αὖθις δὲ χρηστοτέραις ἐλπίσιν ἑαυτοὺς ἀναλαμβάνειν καὶ πρὸς βελτίονα γνώμην μετατίθεσθαι; Τίς οὖν ἡ παραμυθία; ἐπίκηρός ἐστιν ἡμῶν ἡ ζωή, ἡ φύσει σύνθετος, τὸ σῶμα ἐκ γῆς φυόμενον καὶ εἰς γῆν ἀποκαθιστάμενον· ὅρα τὴν πρώτην ἡμῶν ἀρχὴν τῆς γεννήσεως· ἐκ χοὸς συνεπάγημεν, εὐδιαλύτου καὶ σαθροῦ πράγματος, καὶ διὰ ταῦτα εἰς χοῦν ἀναλυόμεθα· καὶ τὸ μὲν σῶμα οὕτως· ἡ δὲ ψυχή, ἀθάνατος μένει καὶ μετὰ θάνατον· οὐ γὰρ σβέννυται, οὐδὲ διαλύεται, ἀλλὰ πρὸς τὸν ἑαυτῆς δεσπότην ἄπεισι, καὶ τὰ ἆθλα τῆς ἐνταῦθα ἀγωνίας κομίζεται. Μὴ οὖν ὀλιγώρει, ὅτι τέθνηκέ σου ὁ ἀδελφός· ἀπῆλθε γὰρ ὅθεν ἦλθε· καὶ τὸ μὲν σῶμα λύεται ἴσως, τὸ δὲ πνεῦμα ἄφθαρτόν ἐστι καὶ ἀνώλεθρον.

Εἰ δὲ καὶ ἐν ἀκμῇ τῆς ἡλικίας τὴν διάλυσιν πέπονθε, μὴ ἀποδύρου· ὁ γὰρ τῆς ζωῆς ἡμῶν φυτουργὸς οἶδε κατὰ καιροὺς ἰδίους ποτὲ μὲν ἄωρον ἀποτέμνειν τὸν τοῦ βίου καρπόν, ποτὲ δὲ ἀκμάζοντα, ποτὲ δὲ πέπειρον· τέθνηκεν οὖν ὁ σὸς ἀδελφός, οὐκ ἀπομαρανθείσης τῆς ζωῆς, ἀλλ' ἡβῶν ἔτι καθ' ὥραν ὡς ἔδοξε τῷ κηδεμόνι τῆς ἡμετέρας ζωῆς. Ἀπῆλθεν ἐπὶ πολλοῖς τροπαίοις, ἐπὶ πολλοῖς ἀγωνίσμασι, τιμήσας τὸ γένος

αὐτοῦ, οὐδενὶ γενόμενος ἁλωτὸς τῶν ὅσα χραίνειν οἶδε τῶν κρειττόνων τὰς ὑπολήψεις.

Ἦν ποτε φρικώδης ὁ θάνατος, ὁπηνίκα αἱ τῶν τελευτώντων ψυχαὶ τοῖς ἐν τῷ ᾅδῃ δεσμοῖς κατείχοντο, νῦν δὲ μετὰ τὸν τοῦ Χριστοῦ θάνατον ἐλευθερία πᾶσα τῷ γένει τῶν ἀνθρώπων δεδώρηται, καὶ πρὸς οὐρανὸν ἀνιπτάμεθα ὅσοι σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου ἐκείνου γεγόναμεν· εὔκολον ἡμῶν τὴν τελευτὴν πεποίηκεν ὁ θεός· εἰ γὰρ ἐκεῖνος τὴν ἑαυτοῦ ψυχὴν προήκατο, καὶ ἐὰν ὁ ἀναμάρτητος θανάτου ἐγεύσατο, πῶς ἂν ἡμεῖς ἀποδυσπετήσωμεν ἀποθνήσκοντες; πῶς δὲ τοὺς τελευτήσαντας ἀπολοφυρώμεθα; Τέθνηκεν Ἀβραάμ, ὁ ἐκείνου υἱὸς ὁ μέγας ἐν πατριάρχαις Ἰακώβ, ὁ τοῦ θεοῦ προπάτωρ Δαυΐδ· ἀλλὰ τὴν ἀνδρείαν ἐκείνου καὶ εὐψυχίαν θρηνεῖς; τέθνηκε καὶ Σαμψών, τεθνήκασι καὶ πρὸ ἐκείνου οἱ γῆς ἀπόγονοι Γίγαντες; τί δὲ μὴ πάλιν λέγω τὸ μεῖζον; τέθνηκε καὶ Χριστός, ἀρκεῖ τοῦτο εἰς παραμυθίαν.

Μὴ ἀπογνῷς, εὐγενέστατε ἀδελφέ, ὡς οὐκ ὄψει τὸν ἀδελφόν· μεῖνον τί μοι μικρὸν τὴν τοῦ ἀρχαγγέλου φωνήν, μεῖνόν μοι τὴν τῆς ἀναστάσεως σάλπιγγα, ὄψει δὲ τότε τὸν φίλτατον λαμπρὸν λαμπρῶς ἀθάνατον, ἀτελεύτητον, καὶ κληρονόμον ἴσως θεοῦ· ἀποδημίαν βραχυτάτην ἐστείλατο, οὐ πρὸς βαρβάρους, οὐ πρὸς πολέμους, ἀλλὰ πρὸς ἀγγέλους, πρὸς ἀρχαγγέλους, ὄψει πάλιν ἐπανεληλυθότα μετὰ καλλίστου καὶ ἀθανάτου σώματος.

Ταύτας τὰς ἐννοίας ἀναλεγόμενος παρὰ σεαυτῷ, καταπράϋνε τῆς ψυχῆς τὸ φλεγμαῖνον, καὶ δάκρυε μὲν ὅσον εἰκός, αὖθις δὲ σαυτὸν ὕπεχε καὶ παραμυθοῦ τοῖς κρείττοσι λογισμοῖς, καὶ πρὸς τὴν τοῦ πένθους ἀκμὴν ἵστασο.

Ταῦτά σοι ὀλίγα ἐκ πολλῶν ἔγραψα, ἵνα μὴ ὁ παρὼν ἄνθρωπος ἡμῶν κενὸς ὀφθῇ σοι, μηδὲν ἐπιφερόμενος ἀγάπης ἐφόδιον· οὗτος γὰρ ἐξ αὐτῶν σπαργάνων ὡς εἰπεῖν σχεδὸν μεθ' ἡμῶν ἐν βίῳ τραφείς, βραχύτατόν τινα μισθὸν τὸ μανδατωρίκιον κο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μισάμενος ἐκδουλεύει ἡμῖν· ἔγωγ' οὖν αὐτῷ κατὰ τὴν ἐξέλευσιν ταῦτα ἐπένευσα, ὅπως σοι τὴν ἔγγραφον ταύτην ἀποκομίσῃ παραμυθίαν.

## 106. Ἀνεπίγραφος.

Τίς ἄρα, τίς λόγος ἐπιστολιμαῖος καὶ σύντομος τὸν πρὸς σέ μου παραστήσειε πόθον; πῶς ἄρα μιᾷ γλώσσῃ τὸν τηλεφανῆ πυρσὸν τῆς διαυγοῦς πρός σε φιλίας ἐκφράσει, ἣν οὐδὲ δέκα στόματα καὶ δέκα γλῶσσαι διατρανῶσαι ἰσχύσειαν; εὔκαιρον
φ. 213. λοιπὸν σιωπᾶν. Δοκίμασόν με ὡς χρυσὸν | ἐν χωνείᾳ ἔτι καὶ ἔτι, καὶ οὐχ εὑρήσεις ἐν ἐμοὶ ῥύπον ἀφιλίας, εἴ τε ψυχρότητος· θεῷ δὲ ἄρα πέποιθα καὶ σὲ τὸν αὐτὸν εἶναι ὃν ἐκ πολλῶν ἔγνωκα· οἶμαι δὲ ὅτι τοιοῦτος εἶ. Πῶς γὰρ ἂν τραπείης τῆς πρὶν ἀγαθοτρόπου γνώμης ὁ φύσει πρὸς ἀφιλίαν δυσκίνητος, ἢ ἀκίνητος;

Οὑτοσὶ δὲ ὁ γραμματοδιακομιστής, ὑπάρχει καὶ ἐμός, καὶ τῶν καθ' αἷμά μοι προσῳκειωμένων, ὑπάρχει δὲ καὶ ἀπ' αὐτοῦ τοῦ τρόπου ἱκανὸς τοῖς ὁμιλοῦσι θαυμασίαν τινὰ ἡδονὴν ἐμβαλεῖν· καὶ δι' ἐμὲ τοίνυν τῆς σῆς αὐτὸν ἐπικουρίας καὶ εὐμενείας ἀξίωσον, καὶ δι' αὐτὸ τὸ τῆς ἀρετῆς καλόν, πᾶσι γὰρ ὁμοίως τὸ καλὸν αἰδέσιμον. Μὴ νόμιζε δὲ ὅτι ἀχαρίστῳ χαρίσῃ χάριτα, οὐχ οὕτως ἄχαρις ὁ μεσιτευόμενος, ὡς μὴ δὲ μίαν εἰδέναι χάριν τῷ ποιοῦντι τὴν χάριν· μέχρι γὰρ αὐτῶν Γαδείρων δραμεῖται τὸ σὸν ὄνομα, ὥς περ ὑπὸ σάλπιγγός τινος κοσμοφθόγγου τῆς τούτου γλώττης εἰς πάντα διερχόμενον.

Εἰ τοίνυν εὐφρᾶναι καὶ φίλους θέλεις, καὶ σεαυτὸν κηρῦξαι ἀριδηλότατα, τῶν ἀξίων ἀξίου τὸν ἄνδρα ὡς ἄξιον· ἄξιον γὰρ τὸν ἄξιον κατ' ἀξίαν ἀξιοῦσθαι ἀξίων. Τὰ δ' ἄλλα, καλῶς διαπλέοις τὸ τοῦ βίου πολυπλανὲς πέλαγος.

## 107. Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν τῷ γεγονότι πρωτονοταρίῳ τοῦ δρόμου.

Ὃ οὐκ ἂν ᾠήθημεν, ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τὸ σὸν δὴ τοῦτο πεπόνθαμεν, ἀδελφὲ λογιώτατε· ἀλλ' ἐγὼ οὐ τοιοῦτος, ἐν μέσῳ δὲ τῶν σῶν σκορπίων, τὸ τοῦ προφήτου φάναι, ἐγὼ οἰκῶ, τοῖς μέν, ἐμφράττων τὸ στόμα, τοὺς δ' ἀναιρῶν, τοὺς δέ, πείθων μὴ δάκνειν, τίνα; σὲ τὸν ἀπόδημον. Ἀλλά σοι λόγος οὐδείς, καὶ ταῦτα λόγων, καὶ τούτων τῶν ὑπὲρ σοῦ· ἀλλ' ἀφήσω τοῦτο τὸ μέρος, καὶ συγκεχωρήσθω σοι ἀλήπτῳ τυγχάνειν καὶ συνηγορίας ἀπροσδεεῖ. Τἆλλα δέ σοι ποῦ; τὰ πρὸς ἡμᾶς, τὰ παρ' ἡμῶν, ὅσα τε ῥητά, καὶ ὅσα ἀπόρρητα, ὧν τὰ μέν, τοῦ λόγου, τὰ δέ, τῆς σκηνῆς; οἴχεται πάντα, ἀπελήλαται, τέτλαθι κραδίη, ἀλλὰ καὶ θάρρησον, οὐ γὰρ ἄν ποτε κύντερον τλαίης· τοῦτο γάρ σοι τῆς ἀτυχίας ὅρος ὁ ἔσχατος.

Ἔδει γάρ, ἐπεὶ φιλοσοφεῖν εἱλόμην αὐτός, ἀφιλοσόφους ὑμᾶς ἐλεγχθῆναι· σὺ δ' ἴσως ἀναγινώσκων τὸ γράμμα, ἠρέμα διασείσεις τὸ πρόσωπον, καὶ διαπορήσεις, ἢ καὶ ἐρεῖς, ἐφ' ὅτῳ ταῦτα, καὶ τίς ὁ σκοπὸς τῆς ἐπιστολῆς, καὶ τί σὺ ποιῶν παρὰ τὸν λόγον ἐλήλεγξαι; τί ποιῶν; αὐτὸ τοῦτο ὃ μὴ ἔδει ποιεῖν, ἵνα βραχεῖ λόγῳ δηλώσω τὸ πᾶν, μὴ διὰ μνήμης ἔχων, μὴ διὰ γραφῆς ὁμιλῶν, μὴ δεικνὺς τὸ ἀρχαῖον φίλτρον ἀκίνητον.

Οἶδ' ὅτι πολλὰ ἐρεῖς πρὸς ταῦτα, καὶ ἀπολογήσῃ· ἀλλ' ἐμὲ ἴσθι, ῥητορείας μὲν ἁπάσης καταφρονοῦντα, ἀληθείας δὲ τυγχάνοντα ἐραστήν. Εἰ μὲν οὖν τοῦ ἀπολογεῖσθαι ἀφέμενος, ἐν πρωτολογίαις δὲ σαυτοῦ κατήγορος γεγονὼς ἐπὶ τὴν ἀρχαιολογίαν ἥξεις ἡμῶν, οὕτω γὰρ νῦν αὐτὸς ἐκλαμβάνω τοὔνομα ἐγκλήματός σε ἀφήσω παντός· ἢν δ' ἄλλως ποιήσῃς, οὔτε προσήσομαι, καὶ τὴν γραφὴν ὧν ἐγκέκληκα, ἀκριβεστέραν ἐπάξω σοι.

## 108. Τῷ δρουγγαρίῳ τῆς βίγλης τῷ Μαχηταρίῳ.

Οὕτως ὁ συνετώτατος, οὕτως ὁ φίλτατος ἐμοὶ Μαχητάριος; οὕτως ὁ κανὼν παντὸς λόγου καὶ τάξεως; καὶ ταῦτα, κατὰ φιλοσόφου; Ἀλλὰ δεῖ με καὶ πλείονα ἀριθμήσασθαι, ἵνα γνῷς οἷος εἰμί, καὶ μὴ δυσχεραίνῃς τὴν προεδρίαν· κατὰ τοῦ πᾶν ἀνεγνωκότος μάθημα καὶ ὑπὲρ πάντας ἀνθρώπους ταλαιπωρήσαντος, φημὶ δὴ ῥητορικήν, γεωμετρίαν, μουσικήν, ῥυθμικήν, ἀριθμητικήν, σφαιρικήν, νομικήν, κἂν Ἕλληνες ἀπαρέσκωνται ἱερατικήν, θεολογικήν, ὅσα ἔγνωσται, ὅσα οὐκ ἔγνωσται, ὅσα μηδεὶς τῶν πάντων· εἶτα, ἐπειδή τινος βιωτικοῦ καὶ φλυάρου τετυχήκαμεν ἀγαθοῦ, δυσχεραίνεις καὶ τὰ ἄνω κάτω ποιεῖς, καὶ ταῦτα κατὰ πρόσωπον ἐπιδεικνύμενος τὴν δυσχέρειαν, καὶ βαρυνόμενος;

Ἡ δὲ αἰδὼς ποῦ, κάλλιστε ἀνθρώπων; ἡ δὲ φιλία; ἡ δὲ χάρις; οἴχεται πάντα; ἀπολώλεκε, διέφθαρται; Ἀλλὰ δῶμεν, ἐστερημένον με τυγχάνειν πάσης ἀρετῆς καὶ φρονήσεως, ὁ δέ με τοῦ βίου τροχὸς ἀνήνεγκεν ἔνθα ἐβούλετο· συνταράξεις οὖν πάντα καὶ θορυβήσεις, καὶ θεοῦ ἴσως ἀντιτάξῃ βουλήσεσι, φίλτατέ μοι Μαχητάριε; οὕτως ἐμοῦ μόνου καταπεφρόνηκας; καὶ μόνος σοι παρὰ πάντας ἐγὼ ἄτιμος καὶ ἐφύβριστος; Ὢ τῆς συμφορᾶς, ὅτι ᾧ ἡ σύμπασα οἰκουμένη τοῦ πρωτείου παραχωρεῖ, τοῦτον ὁ φρονιμώτατος Μαχητάριος παρὰ πάντας τοὺς ὑπὲρ αὐτὸν τετιμημένους ἐβαρύνθη καὶ ἐδυσχέρανεν!

Ἐγὼ δέ, μὰ τὴν ἀγαθήν σου ψυχήν, Χρονογραφίαν συντάττων καὶ μεμνημένος γενναίων ἀνδρῶν, ἐν τοῖς πρώτοις σε τέθεικα, ὡς μεγαλόφρονα, ὡς ὑψηλόνουν, ὡς πεπαρρησιασμένον, ὡς φίλον ἐμοί· ἀλλὰ νῦν τί ποιήσω; γράψω τὰ ἐναντία; οὐ μὰ τὴν φιλίαν ἡμῶν, κἂν πλέον ὑβρίσῃς, κἂν τύψῃς, κἂν ἄλλο τι ποιήσῃς

τῶν δεινοτέρων· ἀλλ' εἰ βούλει, καὶ τὰς ἐμὰς χεῖρας δεσμήσω σοι, καὶ προσκυνήσω δουλικὸν καὶ βαθύ· μόνον, ἀδελφέ, μὴ δυσχέραινε ἐφ' οἷς με τετίμηκεν ὁ μέγας Ἰσαάκιος καὶ πάντων βασιλέων ὑπέρτερος.

## 109. Ἀνεπίγραφος.

Ἐπήλθομεν τὴν γραφήν σου καὶ ηὐφράνθημεν· καὶ πῶς γὰρ οὐκ ἦν εὐφρανθῆναι τῇ σῇ γραφῇ ἐντυγχάνοντας, ἐν ᾗ περ αἱ μοῦσαι ἐχόρευον, καὶ ταῖς λέξεσιν αὐταῖς ἐπεκρότουν καὶ τὸν νοῦν ἐπεκάλλυνον; τοσοῦτον δὲ ηὐφράνθημεν, ὥς τε μὴ δὲ θεῖναι ταύτην ἐν γωνίᾳ ποτὲ δύνασθαι, ἢ στῆναι τῆς ἀναγνώσεως· οὕτως ἦν αὐτὴ λωτὸς ἄντικρυς, ἕλκουσα τὸν ἀναγινώσκοντα | καὶ πείθουσα παντὸς ἄλλου ἐκ περιουσίας καταφρονεῖν· καὶ φ. 213ʳ. τοῦτο δικαίως πεπόνθαμεν· ὥςπερ γὰρ οἱ τὰς μυθικὰς ἐκείνας σειρῆνας παραπλέοντες μελῳδίας ἀκούσαντες, παραπλεῦσαι οὐκ εἶχον εὐπετῶς, οὕτως οἱ τὴν σὴν μελίῤῥυτον ἀναγινώσκοντες γραφήν, ἕλκονται πρὸς αὐτήν, ὥςπερ ἐξ ὤτων ἢ καὶ ῥινῶν, καὶ ἀνάγκη, ἢ μὴ ἀναγνῶναι αὐτήν, ἢ τῷ ἀναγνῶναι πάντως ὁλοσχερῶς κηληθῆναι καὶ μὴ μικρὸν δύνασθαι ταύτην ἐᾶσαι· οὕτως ἕλκει τὸν ἀναγινώσκοντα, ὡς ἡ μαγνῆτις τὸν σίδηρον· πανταχόθεν γὰρ αὐτῇ τὸ κάλλος περιαστράπτει λαμπρὸν λέξεσί τε καὶ νῷ, καὶ συνθήκῃ καὶ ῥυθμῷ, καὶ καλλιεπείᾳ θελκτικῇ τε καὶ εὐφραδεῖ.

Ἀλλὰ μὴ ἀπαγορεύσῃς ἡμῖν ἐπιστέλλων, ὦ γλῶσσα Νεστόριε, καὶ τῆς Δημοσθενικῆς ἐκείνης ἠχοῦς ἀποπνέουσα· τοσαυταχῶς δὲ γράφε, σοφώτατε, ὁσαυταχῶς ἀπὸ τῶν αὐτόθι τις πρὸς τὰ ἐνταῦθα ποιεῖται τὴν ἄφιξιν· τὰ δ' ἄλλα εἴης μοι φυλαττόμενος ἐν χειρὶ θεοῦ ἀβλαβής.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 110. [Τῷ κριτῇ? Καππαδοκίας].

Ἔχεις μὲν ὅπερ ἐζήτησας, ἐνδοξότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε, ἵνα σοι πρὸς τὸ ἀκροτελεύτιον τοῦ γράμματος ἀντιφθέγξωμαι, τὴν ἡμετέραν ταύτην ἐπιστολήν, οὐκ οἶδ' εἰς ὅ,τι ὀνήσουσαν. Ἐγὼ δὲ πρὸς τὸ τῆς σῆς γραφῆς προοίμιον τοσοῦτον ἀπηρυθρίακα, ὥςτε δοκεῖν δεινόν τι πεποιηκέναι καὶ σχέτλιον, εἶτα δὴ ἡλωκέναι καὶ εἰς δικαστήριον ἄγεσθαι· τί γὰρ ἡμεῖς τοσοῦτον πρὸς τηλικαύτην εὐγνωμοσύνην σοι πεποιήκαμεν, ἢ ποῖον τὸ μέτρον τῆς ἐμῆς χάριτος, πρὸς τὰς σὰς εὐχαριστηρίους πηγάς;

Εἶτα, οὐ δεῖ σχετλιάζειν, ὅτι τῶν μὲν ἄλλων τῷ εὖ ποιεῖν κεκρατήκαμεν, τῷ μὴ ἴσαις ταῖς εὐγνωμοσύναις ὑμᾶς ἀνταμείβεσθαι, οὐ τῷ μὴ βεβουλῆσθαι, ἀλλὰ τῷ μὴ δεδυνῆσθαι, σοῦ δὲ ἧττους ὀφθέντες ἀπεληλύθαμεν τῷ πιθανῷ τῶν λόγων, ὀκνῶ γὰρ εἰπεῖν ψευδεῖ, τὴν ἐν τοῖς πράγμασιν ἀλήθειαν ἐκνικήσαντος; Κἀγὼ μέν, νὴ τὸν φίλον, ἐπελαθόμην εἴ ποτέ σοι τὴν γλῶτταν ἐχαρισάμην ἐγκωμιάζουσαν, σὺ δέ, ὡς νῦν λαμβάνων τὰς τῶν ἐγκωμίων ὑπερβολάς, ταῖς ὑπεροχαῖς τῶν ἐν λόγοις ἀντιδόσεων τὰ ὦτα ἡμῶν κατεβρόντησας. Ἀλλ' οὐ κατισχύσει φιλοσοφίας ῥητορική, οὐδὲ τὸ ἐν τέχναις κομψὸν τῆς ἐν τοῖς οὖσιν ἀποδείξεως· ἁμιλλησόμεθα γάρ σοι πρὸς τοὺς λόγους διὰ τῶν πράξεων, καὶ δώσομεν οὐ τῷ Σύρῳ ἀφορμήν, ἀλλὰ τῷ ἰσοπολίτῃ ἡμῶν τῶν ἐν ταῖς εὐγνωμοσύναις ὑπερβολῶν. Ἀλλὰ μὴ ἄλλως οἰηθείης, ὅτι σοὶ μὲν τὴν τέχνην τοῦ πείθειν ἀποδιδόαμεν, ἡμεῖς δὲ τῆς φιλοσοφίας μόνης ἀπρὶξ ἀντεχόμεθα· εἰμὶ μὲν γὰρ ἀμφοτέρων δεινὸς ἐραστής, καὶ τοῦτο μόνον τὸ κόμμα ἐμόν· πολλοὶ δέ μοι καὶ τὸ κρατεῖν ἐν ἄμφω διδόασιν· ἀλλὰ τῆς ἐπιστήμης ἀντιποιοῦμαι, τῆς δὲ τέχνης τοῖς ἄλλοις παραχωρῶ.

Υποθώμεθα οὖν σὲ μὲν εἶναι δεινότατον ῥήτορα, τοῖς λόγοις τὰ πράγματα ὑπερβάλλοντα, ἐμὲ δὲ φιλόσοφον ἀκριβῆ, οὐχ ὑπερβολάς, οὐδὲ ἐλλείψεις, ἀλλ' ἁρμονίαν τοῖς παραβαλλομένοις ἐμποιοῦντα· εἶτα οἴει τὸν τῆς δημώδους ταύτης ῥητορικῆς ἐπιστήμονα, τῆς πολυτελοῦς τε καὶ θεατρικῆς, τῆς ἀφελοῦς καὶ λιτῆς καὶ σεμνοτάτης κατισχύσειν φιλοσοφίας; πολλοῦ γε καὶ δεῖ. Ἐγὼ γὰρ μὴ πάνυ τοῦτο εἰδώς, ὅτι μὴ πρὸς ἀντερίζοντα ὁ λόγος ἐμοί, οὐ πάνυ μεγαλοπρεπῶς πρὸς τοὺς ὑπὲρ σοῦ ἐπαίνους ἐλήλυθα· ἐπεὶ δὲ γυμνικὸς ἀγών, ἢ διφρηλασία τις τὸ καθ' ἡμᾶς πρᾶγμα γέγονε, συναποδύσομαί σοι λαμπρῶς καὶ τὴν τοῦ βασιλέως ἀκοὴν τῶν ἀρετῶν σου καταπληρώσω, καὶ τὴν γλῶτταν θήξω τοσοῦτον, ὡς μὴ μόνον καρδίας διαιρεῖν δύνασθαι καὶ κοίλας ποιεῖν πρὸς ἐγκωμίων ὑποδοχάς, ἀλλὰ καὶ σίδηρον τέμνειν, καὶ εἴ τι ἄλλο στιβαρώτερον καὶ ἀποτομώτερον.

Δυσχεραίνεις ὅτι σοι ὁ Καππαδόκης λεὼς οὐ πάνυ πειθήνιος· τοῦτο δὲ οὐ νῦν ἐπὶ σοῦ οἱ ἄνδρες μετεμορφώσαντο, ἀλλ' ἀρχαιότροπον αὐτοῖς τὸ ἦθος, ἢ ἀπὸ τοῦ πρώτου γενάρχου εἰς τοὺς ἐξ ἐκείνου παρεισπαρέν, ἢ ἀπὸ τῆς διαφορᾶς τοῦ κλίματος, ὡς ἂν ἀστρονόμοι φαῖεν, ταῖς ψυχαῖς αὐτῶν ἐντακέν. Εἰ δέ τι καὶ τοῦ καιροῦ παραπολελαύκασι καὶ τῷ ἀποτόμῳ τῆς γνώμης προσέθεντο, θαυμάζειν οὐ χρή, ὁπότε καὶ τὰ ἡμερώτατα τῶν ἠθῶν εἰς θηριώδη κατάστασιν μετεβλήθησαν· ἀλλ' οὐ χρονίσει τὸ πάθος· ὁ γάρ τοι θειότατος ἡμῶν βασιλεύς, οὐκ ἰατρικῷ σμιλίῳ, ἀλλὰ πολεμικῷ δόρατι τὴν ἐμφωλεύουσαν ταῖς τῶν πολλῶν γνώμαις κακίαν ἀκριβῶς ἐκριζώσειε. Σοὶ δὲ τὸ ἄλλοις ἀντίξουν ἀφορμὴ γενέσθω φρονήσεως καὶ λαμπρότητος· ἐπαινοῦμεν γὰρ καὶ ἡνίοχον, οὐ τὸν τοὺς πολλάκις ὑποζευχθέντας ἵππους τῷ ἅρματι ἐλάσαντα ἐπὶ τὸν καμπτῆρα ἰθυτενῶς, ἀλλ' ὅς τις τοὺς ἑτερογνάθους καὶ νῦν πρῶτα ἡνιοχηθέντας ὑφ' ἅρματι ἀσφαλῶς τε καὶ τεχνικῶς εἰς ταὐτὸ συνελάσειε.

Γλωσσῶν δὲ πονηρῶν μὴ πάνυ φροντίζειν, οὐ γὰρ εὔκολα τὰ

βασιλέως ὦτα πρὸς τοὺς διαβάλλειν ἐθέλοντας· τὴν δὲ ἡμετέραν ἀγαθὰ μελετήσασαν, πόσοις οἴει ἀντιβήσεσθαι ἀτόποις τε καὶ φλυάροις; Θάρρει ἐπὶ τῷ σῷ Μιχαήλ· μόνον τὸν ἐμὸν Βασίλειον ἐπὶ τὸ δικαιότερον μεταποίησον, μᾶλλον ἐπαύξησον· καὶ δίδου μοι ὑποθέσεις τῶν ἐγκωμίων, κἀγώ σοι λαμπρᾷ τῇ φωνῇ τὰ πεπραγμένα βοήσομαι.

## 111. Τῷ μητροπολίτῃ Πατρῶν.

Ζηλῶ σε, μητροπολῖτα Πατρῶν, ζηλῶ σε φίλων ἐμοὶ πάντων σεβασμιώτατε, ὅτι τοιοῦτον καλὸν κατὰ τὸν εἰρηκότα, μόνος ἕξεις ἀπολαβών· τί δή ποτε τοῦτο; ὧν ὁρᾷς τὸ κάλλιστον θέαμα, τῆς καθ' ἡμᾶς πόλεως τὸ κεφάλαιον, ὃν ἀφεῖλεν ἀφ' ἡμῶν φθόνος, οὕτω γὰρ εἰπεῖν δεῖ, ὑμῖν δὲ προσήνεγκε τύχη
φ. 214. καὶ καιρός, καὶ θεός. Νὴ τὴν τιμίαν σου γὰρ κεφαλήν, πολλοῖς ἀνδράσιν ἀγαθοῖς ἐντετυχηκώς, οὐδένα τούτου χρηστότερον τεθέαμαι καὶ καλλίονα· ἔστι μὲν γὰρ αἰδήμων εἴ καί τις ἄλλος, ἐπὶ παντὶ λόγῳ ἔχων ἐξανθοῦν αὐτῷ τὸ ἐρύθημα, τὴν γλῶτταν οὐ μάλα πρόχειρος, τὴν ψυχὴν εὐπαιδευσίας μεστός. Οὗτος δυστυχήσας τὴν ἀφ' ἡμῶν ἀναχώρησιν, εὐτύχησε τὴν παρὰ σὲ ἄφιξιν· φθονῶ γοῦν ὑμῖν τῆς συνουσίας· σύνεσθε γὰρ ἀλλήλοις ἀδόλως, καὶ συνδιαλέξεσθε ἀπεριέργως, καὶ φιλαλλήλως κοινῶν ἁλῶν μεταλήψεσθε. Ἀλλὰ μέμνησθε καὶ ἡμῶν, οὐχὶ ὡς σοφῶν, οὐχ ὡς περιττῶν, ἀλλ' ὡς ὁμοίων τὸ ἦθος· γενέσθαι δέ σε αὐτῷ πάντα ὁπόσα καὶ βούλεται, ἀξιῶ μέν, περιττὴ δὲ ἡ ἀξίωσις ἐποίησας γὰρ κἂν μὴ ἠξίωσα.

φ. 214v.

## 112. Τῇ δεσποίνῃ Αἰκατερίνῃ.

Δέσποινά μου ἁγία καὶ θεόστεπτε βασιλίς, ποθῶ μὲν τὸν βασιλέα ἡμῶν καὶ συνεχῶς ὁρᾷν βούλομαι ἐπιδημοῦντα τῇ πόλει,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ναὶ μὰ τὴν ἐν θεῷ σου καύχησιν, καὶ μὴ ἀπίστει μοι γράφοντι, ὥς περ οὐδὲ ἠπίστησας πώποτε, κἂν ὁ Χαρωνίτης οὐ βούλεται. Ποθῶ μὲν οὖν ὑμᾶς καὶ παρόντας, ἀποδημησάντων δὲ τῆς Πόλεως καὶ ἐξεληλυθότων βραχύ, φέρειν οὐ δύναμαι, ἀλλ' ὥςπερ πῦρ ἐμφωλεῦόν μου τῇ ψυχῇ κατακαίει καὶ δαπανᾷ, καὶ οὐκ ἔχω ἐνεγκεῖν τὴν διάστασιν.

Μηκέτι οὖν δυνάμενος ἄλλως πως συνεῖναι τῷ κράτει ὑμῶν, ἐμαυτὸν παραμυθοῦμαι τοῖς πρὸς ὑμᾶς γράμμασι· δοκῶ γὰρ ὁμιλεῖν διὰ τῶν ἐπιστολῶν. Ἐπὶ τούτῳ οὖν καὶ τὸν συνήθη πρὸς τὴν σὴν βασιλείαν ἐξαπέστειλα μοναχόν, καὶ τολμῶν ἐρωτῶ, πῶς ἔχει ὁ μέγας φωστήρ, ὁ τοῦ κόσμου βασιλεύς, καὶ μᾶλλον ἐμός; πῶς ἔχει τὸ τῆς καρδίας μου φῶς, ἡ τῆς ἐμῆς ψυχῆς ἀγαλλίασις, τὸ ἀκήρατον ἄνθος τῆς ἡδονῆς, ὁ νοητὸς ἥλιος;

Ἔπειτα δὴ καὶ περὶ τοῦ σοῦ κρά|τους πυνθάνομαι· πῶς ἔχει φ. 215. ἥ τε ὡς ἀληθῶς βασιλίς, ἡ χρυσοῖς κροσσωτοῖς τῶν ἀρετῶν περιβεβλημένη, πεποικιλμένη, ἡ καὶ ἐκ γένους βασίλειον αἷμα λαχοῦσα, καὶ κρείττονι αὖθις βασιλείᾳ τὴν προλαβοῦσαν νικήσασα εὔκλειαν; πῶς ἔχεις ἡ φωσφόρος ζωή; Καὶ μὴ θαυμάσῃς, εἰ πολλάκις ἐπανερωτῶ· μυρίων γὰρ ἀγαθῶν παρὰ τοῦ σοῦ κράτους τυχών, προσηνοῦς θέας, εὐμενείας, δεσποτικῆς διαθέσεως, μικρὰν εἰσάγω ἀντίδοσιν, τὴν ἐρώτησιν ταύτην καὶ τὴν προσκύνησιν. Γένοιτο οὖν μοι αἱ ἀποκρίσεις σου δεξιαί, ὅτι χαίρεις, ὅτι εὐθυμεῖς, ὅτι ἐπαγάλλῃ τῷ αὐτοκράτορι ὑγιαίνοντι.

Ναί, κύριέ μου καὶ βασιλεῦ, οὕτως ἔχοι τὰ καθ' ὑμᾶς, ὡς ἐγώ τε βούλομαι, καὶ οἶδε μόνος ὁ θεὸς τῆς καρδίας τὰ κρύφια, καὶ ὑμεῖς βούλεσθέ τε καὶ εὔχεσθε. Καὶ ὅτι μὲν πολλῶν καὶ παρὰ τοῦ φιλανθρωποτάτου βασιλέως χαρίτων ἀπήλαυσα, οὐκ ἄν ποτε ἀρνηθείην, ἀλλὰ μεγάλῃ βοῶ καὶ λαμπρᾷ τῇ φωνῇ, τιμῆς, προεδρίας, δεξιώσεως, ὁμιλίας, ἑτέρων πλειόνων· ἀλλ' οὐ διὰ ταῦτα τοσοῦτον ἐκεῖνον ποθῶ, ἀλλὰ διὰ τὰς ἐμφύτους αὐτοῦ

ἀρετὰς καὶ τὴν περὶ τὰ πράγματα ἐπιμέλειαν. Ἀλλὰ πεῖσαί ποτε τοῦτον, κἂν νῦν καθαρᾶς τυχεῖν ἀπολαύσεως· ὡς γὰρ ἀκούομεν, ὅτι οὐκ ἐξῆλθε τῆς Πόλεως θηράσαι, ἀλλὰ φροντίσαι, οὐδὲ θῆρας ἑλεῖν, ἀλλὰ σεκρετικὰ διαλῦσαι ζητήματα, ὅμως ἐχέσθω τοῦ ἤθους. Εἴη δὲ εἰς μακροὺς χρόνους ἡ βασιλεία ὑμῶν τὰ Ῥωμαίων αὐξάνουσα πράγματα, καὶ τὸ κράτος καλῶς διοικοῦσα καὶ κατευθύνουσα.

## 113. Τῷ ἀνεψιῷ τοῦ βασιλέως τοῦ Κομνηνοῦ.

Ἐγώ σε καὶ φεύγοντα διώκω, καὶ μὴ πάνυ φιλοῦντα φιλῶ, καὶ ἀμνημονοῦντος οὐκ ἐπιλέλησμαι, λαμπρότατε καὶ περίβλεπτε καὶ πᾶν εἴ τι κάλλιστον ὄνομα. Ἀλλὰ πῶς ἔχει ὁ ἐμὸς αὐθέντης, ἡ ταχεῖα φρήν, ἡ πτερωτὴ νόησις, ἡ ἁπλουστάτη ψυχή, τὸ ἀκολάκευτον φρόνημα; πῶς ἔχει ὁ ἐμὸς φίλτατος ἀδελφός; ἀπολαύεις πάντως τῶν φίλων κυνηγεσίων, τῶν ἐξ ἀέρος, τῶν ἀπὸ γῆς, εἰπεῖν δὲ καὶ τῶν ἀπὸ τῆς θαλάσσης; καὶ ἀπολαύοις καὶ τούτων καὶ τῶν ἑτέρων ὧν περ ἐρᾷς, καὶ πρὸ πάντων τοῦ χρηστοτάτου καὶ φιλανθρώπου βασιλέως ἡμῶν.

Ἐγὼ τεθαρρηκὼς βραχύ τι γραμμάτιον πρὸς τὸ κράτος αὐτοῦ ἐξαπέστειλα, κατὰ τὰς σὰς ὑποθήκας ποιῶν, ὅ, εἰ μὲν ἡδέως ἀναγνοίη, καὶ αὖθις καὶ πολλάκις τοῦτο ποιήσω, εἰ δ' ἀηδῶς ἴσως, ἐφέξω τὴν γλῶτταν.

## 114. Τῷ μυστικῷ.

Φιλτάτη καὶ καλλίστη ψυχή, ἡμεῖς μὲν ὑμᾶς οὐκ ἀφήκαμεν, ἀλλ' ἐν ψυχῇ περιφέρομεν, ὑμεῖς δὲ ἡμᾶς τοσοῦτον ἀφήκατε, ὥς τε οὐδὲ οἴδαμεν ὅπη διάγετε, εἰ μὴ ὅσον ἀκοῇ πυνθανόμενοι. Εἰ μὲν οὖν πρὸς ἴσους ἦν ἡ φιλία ἡμῶν, οὐκ ἄν ποτε ἐχωρίσθημεν ἀφ' ὑμῶν, ἀλλ' ἠκολουθήσαμεν, καὶ κατεδιώ-

ξαμεν, καὶ ἰχνεύσαμεν ὑμᾶς καὶ ἐθηράσαμεν· κυνηγέται γὰρ καὶ ἡμεῖς, οὐ θηρῶν, ἀλλὰ ψυχῶν, οὐδὲ ἀλόγων, ἀλλὰ ἀνθρώπων· ἐπεὶ δέ, ὁ μὲν βασιλεύς, καὶ βασιλέων ἡ κορυφή, ἐγὼ δὲ ἰδιώτης, καὶ μοναχός, καὶ οὐδὲ ζητούμενος ἴσως, οὐδὲ ποθούμενος, διὰ ταῦτα αἰδοῦμαι, φίλτατε ἀδελφέ, καὶ συνεῖναι, καὶ γράφειν, καὶ ὅλως εἰς ὄχλον ὑμῖν καθίστασθαι· καὶ εἰ μή γε πολλάκις ἀρρήτους ὅρκους ὀμνὺς ἔπειθες, ὡς οὐ δυσχεραίνει τὴν ἐμὴν συνουσίαν ὁ θειότατος ἡμῶν βασιλεύς, οὐδὲ ἀποκρούεται τὰς ἐπιστολάς, οὐδ' ἂν εἶδέ μέ τις ἐν βασιλείοις παραγενόμενον· καταμανθάνω δὲ καὶ αὐτὸς τὴν τοῦ βασιλέως ψυχὴν ἱλαρῶς πρὸς ἡμᾶς ἔχουσαν.

Διὰ ταῦτα καὶ νῦν βραχύ τι γραμμάτιον γεγραφώς, ὥσπερ ἀπὸ τῆς καρδίας γράψας αὐτῆς, τῷ αὐτοκράτορι ἐξεπέστειλα· γνώσομαι δέ, εἴ γε τοῦτο προσήκατο εὐμενῶς, τῷ ἀντιγράμματι· σοφὸν μὲν γὰρ οὐδὲν ἔχει ἡ ἐπιστολή, οὐδὲ γὰρ κομπάζειν βούλομαι, ἔμφυτον δὲ χάριν καὶ ἡδονὴν τὴν ἀπὸ τῆς ψυχῆς.

Ἔσο μοι δὲ εἰδὼς ὅτι οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ λίθοι σχεδόν με πληροφοροῦσι περὶ τῆς πρὸς ἡμᾶς σου ψυχῆς, καὶ ὅτι μου καὶ τῆς ὁμιλίας ἐρᾷς, καὶ τῶν λόγων, καὶ τῶν ἐπιστολῶν, καὶ τεκμαίρομαι, χρηστότατε ἄνθρωπε, ὅτι σοι σπέρμα φιλόσοφον ἐγκαταβέβληται τῇ ψυχῇ· καὶ τρέφε τοῦτο καὶ αὔξανε, ἵνα βλαστήσῃς ποτὲ καρπὸν γενναῖον, καὶ θρέψῃς θεόν.

## 115. Τῷ βασιλεῖ Μονομάχῳ.

Τίς ἄλλος, ὡς σὺ βασιλεῦ; ἢ τίς θεὸς ἐπίγειος τοιοῦτος, οἷος σὺ ὁ ἐμὸς καὶ βασιλεὺς καὶ θεός; ὄντως ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, καὶ τῆς αἰνέσεώς σου οὐκ ἔστιν ἀριθμός. Εἶτα, οὐκ ἐννοεῖς; θειότατε βασιλεῦ, εἰς οἷον ἤρθης παρὰ θεοῦ μέγεθος, οὐδὲ ἐνθυμῇ|, ὅτι πᾶσα ἡ οἰκουμένη πρὸς σὲ μόνον φ. 215ᵛ.

ὁρᾷ τὸν σώζειν δυνάμενον, καὶ τὰ τῆς γῆς πέρατα τῷ σῷ ὑπείκει κράτει, καὶ φρίττει καὶ δέδοικεν; ἀλλ' ἐπὶ τοῦ μετεώρου τούτου καὶ ἀπείρου τυγχάνων ὑψώματος, βλέπεις καὶ πρὸς ἡμᾶς τοὺς κάτω καὶ ταπεινούς, οὓς αὐτὸς ἔπλασας καὶ ἐζώωσας καὶ τῷ σῷ ἐψύχωσας ἐμφυσήματι. Ἀλλ' ὄντως τὸν σὸν θεὸν καὶ βασιλέα μιμῇ, ὃς καὶ οὐρανοὺς ἔκλινε δι' ἡμᾶς καὶ κατέβη, καὶ τὰς ἁμαρτίας ἡμῶν ἐβάστασε, καὶ τὰς νόσους ἰάσατο, καὶ τῷ οἰκείῳ μώλωπι τὰ τραύματα ἡμῶν ἐθεράπευσεν· ἢ γὰρ οὐχὶ καὶ σύ, ὥςπερ ἀπ' οὐρανοῦ τοῦ τῆς βασιλείας ὕψους ἀρρήτως καὶ ἀπορρήτως συγκαταβαίνεις ἡμῖν; καὶ τὰ ἡμέτερα θεραπεύεις παθήματα, τὰ μέν, χειρῶν ἐπαφαῖς, τὰ δέ, εὐχαῖς πρὸς τὸν θεὸν καὶ ἱλαστηρίοις δεήσεσι, τὰ δέ, λόγῳ μόνῳ ὥςπερ ὁ σὸς Ἰησοῦς;

Καὶ καινὸν οὐδέν· πρὸς γὰρ τὸ παράδειγμα βλέπων τοῦ σὲ βασιλεύσαντος, οὕτως καὶ τὴν σὴν ἐξεικονίζεις ψυχήν. Ἀλλ' ἐκείνῳ μέν, ἄγγελοι διηκόνουν ἀναβαίνοντές τε καὶ καταβαίνοντες, καθά φησι τὸ ἱερὸν Εὐαγγέλιον, καὶ παρὰ τοῦ πατρὸς τὰς λύσεις τῶν αἰτήσεων προσκομίζοντες· σοὶ δέ, καὶ ταῖς σαῖς εὐχαῖς καὶ δεήσεσι, πρέσβυς ὁμοῦ καὶ εἰσαγγελεὺς ἀψευδέστατος, ἡ τὸ τοῦ θήλεος γένος κοσμήσασα καὶ τὴν τῆς Εὔας παρακοὴν τοῦ τῶν ἀνθρώπων γένους ἀλλοτριώσασα, καὶ τῇ πρὸς θεὸν καθαρᾷ πίστει, καὶ ἐλπίδι εἰλικρινεῖ, καὶ ἀγάπῃ θεοειδεῖ, οὐ μόνον τοῦ γυναικείου γένους, ἀλλὰ καὶ τῆς τῶν ἀνδρῶν κρατήσασα εὐτονίας πρὸς ἀρετήν· τίς δὲ αὕτη; ἡ φερώνυμος Ζωή, καὶ ζῶσα κατὰ θεόν, καὶ τοῖς ἄλλοις ἡμῖν χορηγοῦσα τὸ ζῆν. Διὰ ταύτης, ὦ βασιλεῦ, τεθαμμένους σχεδὸν ἡμᾶς ζωοῖς καὶ ἀνιστᾷς, καὶ πρὸς ἐλπίδας ῥωννύεις κρείττονας.

Ἤδη γὰρ ἀπειρηκότα με τῆς κεφαλῆς τῷ ἀλγήματι, παρὰ δόξαν ἰάσω, τὰ τοῦ θεοῦ πρός με φθεγξάμενος ῥήματα, « ἡ τοιαύτη ἀρρωστία οὐκ ἔστι πρὸς θάνατον ». Εὐθὺς γὰρ ἀκούσας, τήν τε δύναμιν ἀνεκαλεσάμην, καὶ θαρραλεώτερος γεγονώς,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῆς κλίνης ἀνέστην ὡς τεταρταῖος τοῦ μνήματος Λάζαρος, καὶ γέγονα ἔμπνους ἅμα καὶ ἰσχυρός, πολλὰ καταγελῶν τῶν ἀπεγνωκότων με ἰατρῶν.

Ἀλλὰ τί πέπονθα, βασιλεῦ; εὐθὺς γὰρ πρὸς τὰ βιβλία πάλιν ἀπέκλινα, τῶν πολλῶν ὅρκων ἐπιλαθόμενος· τί γὰρ ποιήσω; ἐπὶ γὰρ τούτοις κεκλήρωμαι, καὶ ἐπὶ τούτοις εἰς τὸν κόσμον ἐλήλυθα· συνεχῶς δὲ τούτοις προσομιλῶ, ἵνα δύναμιν ἀξιόχρεων κτήσωμαι πρὸς τοὺς σοὺς ἐπαίνους καὶ τὰ ἐγκώμια· πολλὰ γὰρ εἰπὼν περὶ τῶν σῶν ἀρετῶν ἐν πολλοῖς λόγοις τε καὶ συγγράμμασιν, οὐδὲν τῶν σῶν πλεονεκτημάτων ἐπάξιον εἴρηκα.

Ἀλλά, τί ταῦτα φθέγγομαι, ἐν φαντασίᾳ μόνῃ τὸ σὸν τυπούμενος πρόσωπον; ἀλλὰ πότε ἐλεύσομαι, καὶ τῷ τοῦ κυρίου μου προσώπῳ ὀφθήσομαι; πότε τῆς χρυσῆς ἀκούσω γλώσσης; πότε τὰς ἱλαράς σου τῶν ὀμμάτων ἴδω βολάς; αὔριον! ἀλλὰ μακρὰ ἡ προθεσμία, πολλὴ ἡ διάστασις, αἰὼν ὅλος τὸ τῆς ἡμέρας διάστημα. Ἀλλὰ θεραπεύσω τὸν πόθον, τὴν σὴν εἰκόνα στήσας ἐμαυτῷ κατὰ πρόσωπον· ἀκούσω δέ σου καὶ λέγοντος, ἀναγινωσκομένης μοι πολλάκις τῆς τοῦ σχέδους ἐκδόσεως· ἀπὸ γὰρ τῶν σῶν χειλέων δόξω ταύτην μοι ἐνηχεῖσθαι τῇ ἀκοῇ· ἧς τί μὴ καλόν, τί μὴ ὡραῖον, τί μὴ λεῖον, τί μὴ εὐφραῖνον ψυχήν; ποῖον δὲ ἐν αὐτῇ σκολιόν, δυσνόητον νόημα; οὐ πάντα ἐαρινῆς τῷ ὄντι ὥρας μεστά; οὐ πάντα λάμπει ταῖς χάρισιν; οὐ πάντα τῆς σῆς γλώττης, ἐφ' ἧς αἱ νοηταὶ μέλισσαι τὸ τοῦ λόγου μέλι ἐναποστάζουσι;

Ταῦτά σοι ὁ τέως ἀπεγνωσμένος ἐγώ, ὁ συντριβεὶς ὁμοῦ καὶ ἀνορθωθεὶς παρὰ σοῦ· καὶ σὺ μὲν εἶπας πρός με — θάρρει, οὐ μὴ ἀποθάνῃς ἄρτι, ὁ δὲ τῶν ὅλων κύριος, — θάρρει, οὐ μὴ ἀποθάνῃς, καὶ εἴρηκε καὶ ἐρεῖ πρὸς σέ, ἀφελὼν τό, ἄρτι· καὶ οὐ μὴ ἀποθάνῃς βασιλεῦ! δίκαιοι γὰρ εἰς τὸν αἰῶνα ζῶσιν· ἀλλὰ μόγις μὲν καὶ ποτέ, καὶ ἐπὶ πολλοῖς ἡλίοις, καὶ γενῶν ἀπείροις διαδοχαῖς, ἀναστήσῃ πρὸς τὸν πλάσαντά σε θεόν· συνέσῃ δὲ τῇ

ἀοιδίμῳ Ζωῇ ἐν τῇ ἀτελευτήτῳ ζωῇ, καὶ ἴδοις τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ, καὶ τύχοις τῶν καὶ ὀφθαλμοῖς ἀθεάτων καὶ μὴ ἀκουστῶν τοῖς ὠσίν, ἀγγέλοις συναριθμούμενος, ἀποστόλοις συγκαταταττόμενος, καὶ τὴν θείαν ᾄδων ᾠδήν, καὶ τὸν τρισάγιον ὕμνον ἀναμέλπων θεῷ.

## 116. Ἀνεπίγραφος.

φ. 216ᵛ. | Φίλτατε ἀδελφὲ καὶ σοφώτατε, εἰ μή τινας ὑποθέσεις μεγάλας ἡ περιφορὰ δοίη καὶ πρόσωπα ἐπενέγκοι λαμπρά, οὐκ ἂν ἄλλως τῷ προσήκοντι χρησαίμεθα διαλόγῳ· καὶ μὴν οἱ περὶ τὸν Ἀρίστωνα καὶ ὁ εὐδαίμων ἐκεῖνος τῶν ἀρχαίων φιλοσόφων χορὸς ἀπὸ τῶν κοινῶν καὶ περιτρεχουσῶν ἡμᾶς ὑποθέσεων, τοὺς μεγαλοπρεπεῖς ἐποιοῦντο λόγους. Ἀκούεις που τὸν τοῦ Πλάτωνος Σοφιστὴν ὃς ὄνομα τῷ διαλόγῳ πεποίηται; ἀλλὰ σεσόφισται οὗτος τῷ Πλάτωνι, καὶ λανθάνει οὐ σοφιστὴς ὤν, ἀλλὰ ποιητὴς τοῦ συμμίκτου δημιουργήματος. Οὐκ ἀπηξίου δὲ ὁ φιλόσοφος οὐδὲ τὴν Διοτίμαν, ἀλλ' ἐν Ἀγάθωνος εἰσῆκται αὕτη τῷ Σωκράτει τὸν ἔρωτα ἑρμηνεύουσα, ὅτι πενίας ἐστὶ καὶ πόρου υἱός, καὶ φιλόσοφος μέν, σοφὸς δὲ οὔ, καὶ τῶν γενεθλίων τῆς Ἀφροδίτης πάρεργον.

Εἰ οὖν οὕτω ταῦτα τοῖς γε ἡμῶν καλλίοσιν, οὐ ζηλώσομεν καὶ ἡμεῖς καὶ ἐν τῷ πολλῷ πλήθει φιλοσοφήσομεν, καὶ ἡντινοῦν τῶν ὑποθέσεων ἀφορμὴν διαλόγου ποιησόμεθα; Ἔγωγέ τοι τὴν δοῦσάν σοι τὸ γράμμα γυναῖκα τῆς Διοτίμας ἥγημαι κρείττονα, ὅτι μοι παρενθήκη τῆς πρὸς σὲ ὁμιλίας γεγένηται· καὶ ἵνα μὴ αὐτὴ βλάπτοιτο, ἐμοί τι κέρδος πολυτελὲς ἐμνηστεύσατο. Τὸ μὲν γὰρ αὐτῆς πρᾶγμα, ἔλαττον ἴσως ἢ ὥστε τὴν φιλίαν ἡμῶν ἐνδείξασθαι· ἡ τάξις γάρ· ἀλλ' ἐπ' αὐτὴν οὐχ οὕτω ποιοῦσιν, ἀλλὰ τὸ ἐσβεμμένον αὐτῇ τοῦ μονοπροσώπου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πῦρ ὑπανάπτουσι, τὸ μὲν μὴ ὂν οὐκ εἰσπράττοντες, αὐτὴν δὲ κύκλωσε περιθέοντες.

Εἰ δὲ ἀσαφῶς εἴρηκα, αὐτὴ ἂν τὸ οἰκεῖον πάθος ἐπεκδιδάξειε· καὶ ἡ μέν, ἐλάττων τοῦ καθ' ἡμᾶς λόγου, ἀλλ' ἐγὼ καὶ τὸ ἀναπτόμενον στύππειον οὐκ ἐπ' εὐθὺς ἀποσβέννυσθαι, ἀλλ' ἅπαν τὸ προστυχόν, ὥς περ ἐμπορίαν ποιοῦμαι πρὸς σέ, καὶ βούλομαι διὰ πάντων καὶ διὰ πάντα προσφθέγγεσθαί σοι τῇ ἱερᾷ κεφαλῇ· καί μοι καὶ ὁ ἀγρότης, καὶ ὁ τέμνων τὸν στάχυν, καὶ ἡ τὸ φύραμα ποιοῦσα καὶ ἡ μάττουσα, ἀντὶ τῶν ἰδεῶν καὶ τῶν ἐν τῇ Πλατωνικῇ πολιτείᾳ λόγων εἰσί· καὶ πρὸς μὲν τοὺς ἄλλους ἄχθομαι πῶς ἂν εἴπῃς, ἐπιφορτίζοντάς μοι καθάπερ (*) τὰς πρὸς τοὺς φίλους αὐτῶν ἀξιώσεις, πρὸς δὲ σὲ εἴ τίς με ἀπαιτοίη γράμμα, ὑπαγορεύω εὐθὺς τὴν ἐπιστολήν, οὐ δυσχεραίνων τὴν αἴτησιν, δυεῖν ἕνεκα, τοῦ τε ἀφορμὴν λαβεῖν ὁμιλῆσαί σοι, καὶ τοῦ οὕτως οἴεσθαι, μᾶλλον δὲ κρίνειν γενναίως καὶ φιλοσόφως, ὡς οὔτε αὐτὸς ὑπερθήσεις τὸ ἀξιούμενον, εἰ μή τι ὑπεναντίον εἴη τῷ πράγματι, οὔτε αὐτὸς ἀχθεσθήσομαι, εἰ μὴ οὕτως ἕξει ὥς περ ἠξίωσα, εἰδὼς ὅτι παρὰ τὸν καιρόν, οὐ παρὰ τὸν φίλον μὴ γενέσθαι τοῦτο συμβέβηκεν.

## 117. Τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου.

Μὴ δὲ τοῦτο ἄνευ γραφῆς· ἀλλ' ὑμεῖς ὁδῷ βαδίζοντες καὶ γράμμασί με ἀνθομιλεῖν ὑμῖν ἀναγκάζετε, κἂν ἁπλῶς προσφωνήσητε, ἔγγραφον ἀντεπιφώνημα ἀπαιτήσετε· τοιαύτη τις λιχνεία κατέσχε τὴν ὑμετέραν ψυχὴν περὶ τὰς ἐμὰς ἐπιστολάς· κἀγὼ δὲ ὥς περ ὄφλημα ἀποδιδοὺς ἀπαραίτητον, ἑτοίμως παρέχω τὸν λόγον, οὐ χάριν διδούς, ἀλλ' αὐτὸ τοῦτο ὑπερήμερον χρέος ἀποδιδούς, καὶ ὥς πέρ τι ἐπίσημον γνώρισμα, καθάπερ ἐπὶ

(*) χειρόγρ. καθάπτερ.

τῶν ἀσπίδων ὁ τελευταῖος κύκλος, τῆς ἐμῆς πρὸς ὑμᾶς ἀποστολῆς ἢ ἀφίξεως, ἡ ἐπιστολή· καὶ οὔ φατε γνωριεῖν, οὔτε ἐμὲ ἢν ἀφίξωμαι, οὔτέ τινα τῶν ἐμῶν ἢν ἀποστελῶ, εἰ μὴ τὸ γράμμα κομίσειε. Διὰ ταῦτα πράγματα ἔχω ἄλλους ἐπ' ἄλλοις λόγους προσυφαίνων ὑμῖν· οἱ γοῦν ἀληθεῖς φορολόγοι ὑμεῖς, οὓς ἄν τις εὐφυῶς ἀντιστρέψας καὶ λογοφόρους ἐρεῖ· ἀτεχνῶς γὰρ ἐπὶ πᾶσι τοὺς ἐμοὺς ἐπιφέρετε λόγους, ὥςπερ οἱ Πελοπῖδαι τὸν ἐπίσημον ὦμον τὸν ἐλεφάντινον. Μή ποτε οὖν ὃ δυσχεραίνω φιλῶ, καὶ ὃ λέγω ἀκκισμὸς καὶ οὐ μέμψις ἐστί;

Κἂν ψυχὰς εἶχον αἱ πηγαί, ἠσθένησαν ἂν ἐξαντλούμεναι· ὑπεκρίθησαν δὲ ἡδέως τῷ λόγῳ, ὅτι ἐπαχθῶς ἔχουσι τῷ ἀρρύεσθαι· καὶ αὐτὸς γοῦν ἀσμένως τὰς λεκανίδας καὶ τὰς κάλπεις ὑμῶν ὑποδέχομαι, οὐδὲ γὰρ οὐ δέδια μὴ ἐπιλείψῃ τὸ νᾶμα. Τὸ γάρ τοι ἐμόν, ταῖς τῶν γυναικῶν ἔοικε θηλαῖς· καὶ μή μοι τὸ παράδειγμα ἐπιμέμψαιο, οὐδὲ γὰρ ἀπόβλητον ἔργον τῆς φύσεως· πῶς οὖν ἐκείναις αὐτὸ δὴ τὸ γάλα τὸ βλύζον ἐκεῖθεν; οὐ τοιοῦτόν ἐστιν ἐν ταῖς σαρξίν, ἀλλ' οὐδὲ τοσοῦτον, τὰ δὲ τῶν θηλαζόντων βρεφῶν στόματα ἐκπιέζοντα τοὺς μαστοὺς καὶ τὸν ἐμπροάδιον μῦν ἐπιθλίβοντα, ἀνυγραίνουσι τὰς ἐγκατεσπαρμένας ἐν τῷ βάθει νοτίδας καὶ εἰς ῥεῦμα μεταποιοῦσι· καὶ τεκμήριον ὅτι, ἂν ἐπιλίπῃ τὸ θηλάζον βρεφύλλιον, κατέψυκται ὁ μαστός, καὶ οὐδαμοῦ τὸ γάλα· φρεωρυχίᾳ γὰρ τὸ πᾶν ἔοικε· κἀκεῖσε γὰρ ἡ διωρυχὴ καὶ ὕδωρ ἐκθλίβει· οὐδὲ γὰρ ἀναφαίνει, ὥς τινες οἴονται ἐντεθησαυρισμένον κάτω που τοῖς κοιλώμασιν, ἀλλ' αἱ νοτίδες συνθλιβόμεναι τοῖς ὀρύγμασι τὰς ἐπιρροὰς ἐπι-
φ. 217. βάλλουσιν. Οὕτω γοῦν | καὶ αὐτὸς τοῖς τῶν ἐμῶν ἐπιστολῶν φρεωρύχοις ὥςπέρ τινας πίδακας ἀποθλίβω τοὺς λόγους· κἂν μὲν ὀρύττωμαι παρ' ὑμῶν, ἀνυγραίνομαι,' ἂν δὲ μή, κατέψυγμαι ἀτεχνῶς.

Ὀρύττετε οὖν οὐ λιθοτομίας, ἀλλὰ τὰ τῶν Φιλιστιέων φρέατα· οὐ γὰρ ἐπιλείψει ποτὲ ἡ πηγή, εἰμὴ πρὸς τὴν διωρυχὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὑμεῖς ἀποκάμητε· ἆρ' οὐκ ἄξια ταῦτα γραφῶν καὶ ὑπογραφῶν; ναὶ νὴ τὸν γλυκὺν γενικόν.

## 118. Τῷ πρωτοσυγκέλλῳ τῷ Παρασπονδύλῳ.

Οὐκ ἀπεψύγη μοι τὰ τῆς ἀγάπης, ἄνθρωπε τοῦ θεοῦ καὶ ἰσόψυχε κύριέ μου καὶ ἡγεμών μου, καὶ γνωστέ μου καὶ γνωστά μου, οὐδ' ἀπέσβεσται τὰ τῆς φιλίας καὶ εἰς σποδὸν διαλέλυται· μὴ οὕτω μανείην, ὡς καὶ τοῦ φιλικοῦ καθήκοντος λήθην λαβεῖν καὶ ἀμνημονεῦσαι χαρίτων τῶν σῶν· πρὸ δὲ παντὸς εἰμί σοι τὰ πρὸς στοργὴν φλογωδέστερος καὶ θερμότερος, καὶ κατηνθράκωται ταῦτα παρ' ἐμοὶ καὶ καθεκάστην ἀναζεῖ καὶ ἀνάπτεται, καὶ ἐκ σπινθῆρος πυρὸς πῦρ ἐξαίρεται διαέριον, καὶ μάλιστα σοὶ καὶ τοῖς οἷος σύ, παρ' οἷς καὶ ὁ τῆς φιλίας ὅρος ἀληθεύει καὶ οὐ διαψεύδεται· ἐπεὶ τοῖς παρὰ κρατῆρι μόνῳ τοὺς φίλους γνωρίζουσι, πάλαι καὶ ἀπεμαράνθη καὶ κατεσπόδωται.

Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα, καὶ ἐν τούτοις ἐσμέν, καὶ ζῶμεν τοῖς ἀγαπῶσι μόνοις, καὶ τοῦτο δὴ τὸ ἀποστολικόν, ὅσῳ περ ὁ ἔξω ἡμῖν διαφθείρεται ἄνθρωπος, τοσοῦτον ὁ ἔσω πρὸς τούτοις ἀνακαινοῦται, τοῖς δέ γε λοιποῖς καὶ ἀπετεφρώθη ἤδη, ἢ μᾶλλον ἀπωστρακώθη, καὶ τὸ τῆς Νιόβης πάθος, ἀπελιθώθην· αἱ γὰρ τῶν προλαβόντων ἀνέμων στροβιλώδεις καταφοραί, καὶ ἡ Θρακικὴ χιὼν ἐκείνη τῶν περιστάσεων, καὶ ἡ ὀλεθρίως τετριγυῖα χάλαζα μικροῦ δεῖν ἐξέτριψέ με παντάπασι καὶ ἀπέψυξε, καὶ λίθινον ἢ κρυστάλινον ἀπέδειξεν ἄνθρωπον, ἄχρηστον πρὸς ἅπαν λυσιτελές, καὶ ἀκίνητον.

Οὕτω κατειργάσθην ταῖς πολλαῖς καὶ βαρείαις ἐπαγωγαῖς, οὕτω ταῖς προηγησαμέναις ἐκδεδαπάνημαι μάστιξι· διὰ ταῦτα καὶ ζῶν νεκρὸς εἶναι λογίζομαι, καὶ νεκρὸς τυγχάνων, ἄκλαυστος μένω καὶ ἄταφος, καὶ φόρτος εἰμὶ τῇ γῇ περιττὸς καὶ

ἀνόνητος· καὶ τὸ δὴ χεῖρον, ὅτι μὴ δὲ κειμένῳ σπένδεταί μοι τὰ λυπηρά, ἀλλ' ἐπιστρατεύεται καὶ αὐτῷ μου τῷ πτώματι, γυπῶν τρόπον ἢ κοράκων τινῶν, καὶ πάντοθεν διασπαράττεταί μοι τὸ δύστηνον σαρκίον καὶ διαξέεται· οὕτω τῆς παντεφόρου δίκης δικαιωσάσης δίκας ὑπέχειν με μέχρι τέλους τῶν πολλῶν ἁμαρτάδων, ἐξ ὧν αἱ τοιαῦται κολάσεις τοῖς πταίουσιν ἀποτίκτονται.

Διὰ ταῦτα ἀλγῶ καὶ ὀδυνῶμαι, δοῦλε τοῦ θεοῦ, καὶ φέρειν οὐκ ἔχων, τὴν ζωὴν ἀπολέγομαι· ἐκτήκει γάρ μου ταῦτα τὸν μυελόν, καὶ τὸν ἡγεμόνα νοῦν ἐκτυφλοῖ, καὶ τὴν γλῶτταν ξηραίνει, καὶ τὴν χεῖρα συστέλλει καὶ ναρκᾶν ἀναπείθει, καὶ μήτε γράφειν βιάζεται, μήτε λέγειν, μήτ' οὖν ἐνεργεῖν, ἀλλ' ὡς ὑπόκωφον ὁδεύειν, ἢ καὶ ὑπόληρον, καὶ ἄλλως εἰπεῖν με ἀμουσότατον ὄντα καὶ νοῆσαι ἀλογιστότατον, καὶ πρᾶξαί τι τῶν δεόντων ἀθλιώτατον. Διὰ ταῦτα σταθμὸν ἔσχατον, κατὰ τὸν Ἱερεμίαν ἐπιζητῶ, καὶ πρὸς γωνίαν ἐμαυτὸν συνωθῶ καὶ κλίνην ἄψυχον, καὶ γῆς ὑποδῦναι δοκῶ τὰ μυχά, καὶ ᾄδου περιβαλέσθαι κυνῆν, ἵνα μὴ ὡς ἀπαίσιον τέρας τοῖς πᾶσιν ὁρῶμαι καὶ κακὸν δυσοιώνιστον· διὰ ταῦτα καὶ τὰς θρηνούσας καλῶ μέν, οὐχ εὑρίσκονται δέ, καὶ ὑπομένω τινὰ συλλυπούμενον, πλὴν οὐχ ὑπάρχει· ἀμέλει καὶ σκότῳ συγκλείω τὸ ἀπρόϊτον ἐμαυτῷ προοικονομούμενος, ἵνα καὶ ἀὴρ συμπενθῇ μοι καὶ τἄλλα στοιχεῖα συγκλαίῃ καὶ συνοδύρηται· ἐκ τούτων ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐξηράνθην, καὶ ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανηρέθην, καὶ οὔτε χείλη διᾶραί μοι δυνατόν, οὔτε γλῶσσαν ἀνοίξει κινήσειν τοῦ στόματος.

Ἀλλ' εἰ καὶ θανὼν κατακείσομαιν ἀΐδαο, αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑτάροιο· εἰ γὰρ καὶ αὐτὸ τὸ εἶναι σχεδὸν ἄνθρωπος περιήρημαι, ἤδη σε καὶ ἀγαλματοφορῶ ἐν τοῖς τῆς καρδίας θαλάμοις, καὶ περιφέρω διὰ παντός, καὶ ὥς περ εἰκόσι τισὶ καὶ στηλογραφίαις τοῖς ἀποκομιζομένοις μοι γράμμασι διοπτρί-

ζομαι, καὶ ἀναψύχω τῆς ψυχῆς τὸ φλεγμαῖνον καὶ παθαινόμενον· τούτοις ἐπιστηρίζων καὶ νοῦν ἅμα καὶ βλέμμα, καθάπερ ἀγάλμασιν ἐπισεμνύνομαί τε καὶ ἐναβρύνομαι, καὶ τὸν πατέρα τῶν λόγων, οἷος ἐν τοῖς γεννήμασι, καταμανθάνω τρανότερον· καὶ βούλομαι μέν σοι προσομιλεῖν, ναὶ μὰ σέ, καὶ προσλαλεῖν τὰ συνήθη καὶ τὴν φιλίαν συνδέοντα, πλὴν ἀτονῶν κατοκνῶ τῆς πηγῆς τῶν λόγων συγχωσθείσης τέλεον καὶ ἀποξηρανθείσης μοι, εἰ μή τις αὐτὴν ἀποῤῥάξει καὶ ἀποστομώσει ποτὲ θυμηδία καὶ μεταβολὴ πρὸς τὸ βέλτιον.

Ἀλλὰ χαῖρέ μοι χωρίον μουσῶν, σοφίας καταγώγιον, ἀρετῶν ἐνδιαίτημα, νόμων ταμεῖον, ἀγάπης φύλαξ, φιλίας λαμπτήρ, καὶ φυλάττοιό μοι μέχρι τέλους τοιοῦτος, καὶ φυλάττοις ἀδιάρρηκτον τῆς ἀληθοῦς φιλίας τὸν σύνδεσμον, ἵνα καὶ πρῶτος καὶ μόνος τῶν ἄλλων ἑαυτῷ τὸν φίλον ὁρίζοιο.

## 119. Ἀνεπίγραφος.

Ἐγὼ μὲν οὐδ' οἶμαι, λαμπρότατε καὶ ἠγαπημένε μοι, τὸ πτωχότατον τοῦτο καλογηρίδιον καὶ τὴν ζωὴν ἀπεγνωσμένον, ἢ μοναστήριον αὐτόθι ἔχειν ἢ βραχύ τι ἐδάφιον· ἐπεὶ δὲ μακροτέραν ἔχει τὴν γλῶτταν τῆς κινητῆς ὑποστάσεως, | εἶτα φ. 217ᵛ. καὶ πλάττεται ἐπηρεαστὰς καὶ ἀντιδίκους τινάς, χρῶμαι κἂν τούτῳ τῷ τοῦ δικαστηρίου ἀξιώματι, καὶ μὴ ὅτι πένης, ἀλλ' ὅτι ἀδικεῖσθαί φησι, τυχέτω τῆς παρὰ σοῦ ἐκδικήσεως. Εἰ δ' ὥς περ ἐν σκηνῇ πάντα τούτῳ δεδραματούργηται, τὸ φροντιστήριον, οἱ μοναχοί, οἱ ἀδικοῦντες, οἱ ζημιοῦντες, καὶ οὐδὲν ἀληθές, ποίησον αὐτὸς ἐν τῷ δικάζειν αὐτῷ ἀντισκήνιον, καὶ πρόσταττε τοῖς ἐπὶ τῆς τάξεως ἀγαγεῖν τοὺς βλάπτοντας τοῦτον οὔπω γεγενημένους· ποίησον δὲ καὶ σκιώδη παρασημείωσιν, ἵν' εἴη πάντως ὥς περ ἐν δράματι ἀνυπόστατά τε καὶ παίγνια.

Εἰ δ' ἔστι τις αὐτῷ οἴκου μερίς, γενοῦ μετὰ τῆς ἀληθείας, καὶ βοήθησον τῷ ἀδικουμένῳ γέροντι.

## 120. Τῷ ἀνεψιῷ τοῦ βασιλέως ἐπὶ τῇ τελευτῇ τοῦ πενθεροῦ αὐτοῦ.

Οὐκ οἶδα τί γράψω, ἢ τί σοι προσομιλήσω, αὐθέντα μου καὶ ἀδελφέ, ἐπὶ τῇ καταλαβούσῃ σε συμφορᾷ, τίνα δὲ παραμυθίαν ἐπαγάγω τῇ ἡμέρῳ σου καὶ φιλανθρώπῳ ψυχῇ; Εἰ γὰρ αὐτός, ἀλλότριος ὢν τοῦ γένους, οὐ μετρίως τὸ πάθος ἤνεγκα, τοιούτου βλαστοῦ εὐγενοῦς ἀπορριζωθέντος ἀθρόον, τί ἂν γένοιο ὁ καὶ συγγένειαν τὴν πρὸς ἐκεῖνον καὶ τὴν ἐντεῦθεν διάθεσιν εἰληφώς τε καὶ δεδωκώς; τίς γὰρ ἐκείνου καλλίων, τίς ἡδύτερος, τίς μετριώτερος, τίς εὐγενέστερος;

Ἐγὼ δὲ θρηνῶ μὲν καὶ ἐπὶ τούτοις τὸν ἀπελθόντα, ἔτι δὲ μᾶλλον ἐποδύρομαι, ὅτι καὶ πρός με οἰκειότατα διέκειτο καὶ φιλίαν ἀκραιφνῆ ἐπεδείκνυτο.

Τὸ μὲν οὖν γεγονὸς δεινόν, καὶ τίς ἂν ἄλλως εἴποι; πέπτωκε γὰρ δένδρον εὐθαλές, καὶ πρὸ πολλοῦ τὴν γῆν ὑπερβεβηκὸς καὶ ἀναδραμόν, ἀλλ' ἔτι ἀνατρέχον καὶ αὐξανόμενον· πέπτωκε γένους ἔρεισμα, ψυχὴ καὶ πνοὴ γυναικός, καύχημα θυγατρὸς καὶ ἀναψυχή, καὶ τῆς σῆς καλλίστης ψυχῆς ἡδονὴ καὶ παραμυθία. Τίς οὐκ ἐπὶ τούτοις σταλάξει δάκρυον; τίς οὐ πενθήσει τὴν συμφοράν;

Ἀλλ' ὅμως, σοφωτάτη ψυχή, οὐκ ἔξω τῆς ἡμετέρας φύσεως τὸ συμβάν, οὐδὲ ἄγνωστον τὸ πάθος τῷ ἀνθρωπείῳ γένει καθέστηκεν· ἑκάστῳ γὰρ ἡμῶν τικτομένων, ὁ θάνατος συγκεκλήρωται, καὶ πρὸς τὸ κοινὸν τέλος ἀγόμεθα ἅπαντες, καὶ οὔτε ὁ γένει περίβλεπτος, οὔτε ὁ κάλλει ὡραῖος, οὔτε ὁ δυνατὸς ἐν ἰσχύϊ, οὔτε ὁ σοφός, οὔ τέ τις ἁπάντων ἐκφυγεῖν τὸν θάνατον δύναται· ἀλλ' οἱ μέν, ἐν σπαργάνοις αὐτοῖς, οἱ δέ, τῆς ὥρας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀνθούσης, οἱ δέ, παρηβηκότες, οἱ δέ, καὶ γηράσαντες, πάντες δ' οὖν τὸ πικρὸν τοῦ θανάτου ποτήριον πίνομεν. Καὶ ἀλγεινὸν μὲν τὸ πρᾶγμα, φορητὸν δ' ὅμως, ὅτι ὁμοτίμως πᾶσι παρὰ τοῦ θεοῦ δίδοται· ἐπὶ τούτοις γὰρ κἀκεῖνος ἀπέθανεν, ἵνα καὶ ἀναστήσῃ κειμένους καὶ παραμυθίαν δῷ ἀποθνήσκουσιν.

Ἔπεχε οὖν μοι τὸ δάκρυον, καὶ τὴν συμφορὰν φιλοσόφησον ὡς γενναῖος ὄντως ἀνὴρ καὶ οἷον αὐτὸς ἐπίσταμαι, καὶ μὴ ἀπαγαγέτω σε τὸ συμβὰν τῆς πρὸς τὸν θεῖον καὶ βασιλέα νεύσεως καὶ σπουδῆς, ὡς ἐγὼ τοῦτο καὶ λίαν δέδοικα, μή τις δαίμων παρεμπεσὼν βραχύ τί σε τῆς τοιαύτης ἀπελάσειεν ἐπιμελείας· μάλιστα δὲ καὶ τῇ ἐκείνου συμβίῳ, καὶ τῇ σῇ μὲν γυναικί, ἐκείνου δὲ θυγατρί, παραψυχὴ καὶ παραμυθία γενοῦ, νῦν μὲν γράφων καὶ ἐν λόγοις παραμυθούμενος, αὖθις δὲ καὶ χερσὶν ὑποστηρίζων, καὶ τὴν διὰ τῶν ἔργων παραμυθίαν ὑποδεικνύς.

Κἀγὼ μέν, ὡς ἐκέλευσας πρὸς τὴν ἁγίαν ἀπεληλυθὼς δέσποιναν τὰ εἰκότα παρὰ τῶν γυναικῶν ἐφθεγξάμην, ἡ δέ, οὐδὲ παρακλήσεως ἐδεῖτο τῆς ἐμῆς· ὅλη γὰρ τοῦ πάθους, καὶ ἅμα τῷ ἐμὲ προκατάρξασθαι, δάκρυα τῶν ὀφθαλμῶν ἀφῆκε πολλά, οὐχ αὕτη μόνον, ἀλλὰ καὶ ἡ πανυπέρλαμπρος σεβαστή· ἐκεῖσε γὰρ τὴν σὴν προσκαλεσαμένη πενθεράν, καὶ φιλοφρονήσασα ὅσα εἰκός, σοφῶς πάνυ καὶ ἐπιτηδείως τὸν τοῦ ἀνδρὸς αὐτῇ ἐξήγγειλαν (*) θάνατον, ὥσπερ δὴ καὶ τῇ κόρῃ αὐτῆς καὶ συμβίῳ σου. Καὶ πρῶτα μὲν συνέκλαυσαν καὶ συνεθρήνησαν, εἶτα δὴ παρεμυθήσαντο καὶ τὰ τοῦ καιροῦ ἐφθέγξαντο πρὸς αὐτήν.

Καὶ ταῦτα μὲν οὕτως· τὴν δὲ γραφήν σου ἀναγνούς, καὶ πληροφορηθεὶς τὴν εἰς ἐμὲ τοῦ βασιλέως διάθεσιν, εὐθὺς ἐξανέστην καὶ τὴν γραφὴν πρὸς αὐτὸν ἐξαπέστειλα· καὶ νὴ τὴν ἱεράν σου ψυχήν, καὶ πολλάκις ἠβουλήθην καὶ ἄνθρωπον ἐμὸν ἀποστεῖλαι αὐτόθι μετὰ τῶν ἀπὸ τῆς Πόλεως ἀγαθῶν· καὶ ἵνα

(*) γραπτέον· ἐξήγγειλε.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σοι τἀληθὲς εἴπω, καὶ πέπομφα, καὶ αὖθις ἐπέσχον εὐλαβούμενος, ἵνα μή με ἡγήσηται ὁ βασιλεὺς κόλακά τε καὶ περιττόν· τοιαύτην μοι δειλὴν ἀπεκλήρωσε ψυχὴν ὁ θεός.

Εὔχομαι δὲ παυθῆναί ποτε τὰ γράμματα καὶ ἐπανελθεῖν ὑμᾶς εἰς τὴν μεγαλόπολιν ταύτην εὐθυμοῦντας καὶ ὑγιαίνοντας, καὶ τῶν πολιτικῶν πραγμάτων ἐφάπτεσθαι, καὶ πόρρωθεν τὰς τῶν βαρβάρων ἀναστέλλειν ὁρμάς.

## 121. Τῷ κριτῇ τοῦ Χαρσινοῦ.

Ἐβουλόμεθα πολλάκις, ποθούμενε ἀδελφέ, διὰ συλλαβῶν ὁμιλῆσαί σοι, καὶ μὴ ἐφευρίσκοντες γραμματοκομιστὴν ἐπιτήδειον, εἰργόμεθα τῆς προθυμίας καὶ ἄκοντες· νῦν δὲ καιροῦ εὐθέτου λαβόμενοι, καὶ ἀφορμῆς εὐλόγου δραξάμενοι, καὶ προσαγορεύομεν καὶ ἀσπαζόμεθα τὸν ἡμῖν ποθούμενον· ἔρρωσο.

## 122. Τῷ . . . . . .

Ἐπεὶ ἐς τοσαύτην φιλίας ἀκρότητα θείᾳ προνοίᾳ τινι ἀμφότεροι ἐληλάκειμεν, ὥς τε καὶ ὡς οἰκεῖα τὰ ἀλλήλων ἡγεῖσθαι καὶ περὶ ὧν δεῖ ἀνενδοιάστως θαρρεῖν, χρώμεθα τῇ παρούσῃ πρὸς τὴν ὑπεροχήν σου γραφῇ, ὅπως διορίσηται καὶ στήσουσι κόντουρα εἰς τὰς ἀλλαγὰς τὰς πλησιαζούσας τῷ ἡμετέρῳ καὶ σῷ θέματι· ἡ δὲ εὐόδωσις τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως εὐφραίνει ἡμᾶς.

## 123. Κωνσταντίνῳ τῷ Ἱεράκῃ ἐν ἐξορίᾳ ὄντι.

Ἔμψυχά σοι τὰ γράμματα τῷ ὑπερορίῳ καὶ τληπαθεῖ, καὶ ὥς περ εἰ παρήμην αὐτός, οὕτω ταῦτα πληροῦσι τὸν ἀσπασμὸν

ἄνθρωπε τοῦ | θεοῦ, οὕτω γάρ σε ἐγὼ οἶδα καλεῖν, ὡς ἤδη τοῦ φ. 218.
πόματος μετασχόντα τῶν ἡδονῶν, καὶ τοῦ κρατῆρος τῶν πειρατηρίων ἀπογευσάμενον, εὐχαρίστως δὲ τὰ προσπεσόντα ὑπενεγκόντα, καὶ γενναίαν καὶ ἄρρενα τὴν καρτερίαν κτησάμενον τῆς ὑπομονῆς, εἰς νοῦν καλῶς εἰδότα καὶ βαλόμενον τῷ θειοτάτῳ Γραφικῷ παραγγέλματι, ὅτι πόνοι, καὶ θλίψεις, καὶ στενοχωρία, καὶ πιεσμός, πρόξενα τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὡς ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται, καὶ ὅτι θλίψεις καὶ ἀνάγκαι συνέχουσι τὸν πρὸς ἀρετὴν ἀναγόμενον· διὰ ταῦτα οἶμαι καὶ ὁ θεῖος Δαυὶδ οἷα προφήτης καὶ βασιλεύς, ὑπομένων ὑπέμεινα τὸν Κύριον, ἔφησε, καὶ προσέσχε μοι· ἐπὶ δὲ τούτοις τό, σχολάσατε, καὶ γνῶτε.

Ταῦτα πάντα καὶ ἄλλαττα μυρία ἔχεις παρηγοροῦντα καὶ ἀναψύχοντά σε· καὶ χαῖρέ μοι καὶ εὐθύμει, ὅτι κατηξιώθης πειρασθῆναι, καὶ τὴν ἅμιλλαν τοῦ ἀγῶνος δραμεῖν, ἵν' ὁ ἀγωνοθέτης ἀξίως τὸ βραβεῖον ἐπιβραβεύσῃ σοι· μακάριος γὰρ ὄντως καὶ τρισμακάριος καὶ σύ, ὅτι τὴν ἅλμην τοῦ βίου ἀποκλυσάμενος, καὶ τῶν ἀστάτων καὶ φθειρομένων καταφρονήσας, μόνος μόνῳ συζῇς τῷ θεῷ, τὸ κοσμικὸν κλυδώνιον διαβὰς καὶ τοῦ βίου περάσας τὴν θάλασσαν, τὴν ἀληθῆ ζωὴν ἔχων παρ' ἑαυτῷ καὶ ταύτης ἐπευφραινόμενος.

Καὶ ἐκκακοῦμεν γὰρ ἴσθι τῷ βίῳ ἡμεῖς καὶ ταῖς αὐτοῦ στενοχωρίαις καὶ πιεσμοῖς, καὶ λυσιτέλεια πρὸς ἀρετὴν ἐντεῦθεν οὐδ' ὁπωσοῦν· ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, καὶ ζῆσαι εἰς ἀπέραντον ἄνθρωπον οὐκ ἐνὸν τὴν παροῦσαν ζωήν, εἰ μὴ πρὸς τὴν ἄνω ἀπίδοι τις, ἀξίως καλούμενος, κατὰ σέ, ἐρρέτω τὰ σύμπαντα.

Σὺ δὲ ὁ τὸ πολίτευμα πρὸς οὐρανὸν θέμενος, ὡς ἐνταῦθα δοκιμασθεὶς ὑπὲρ χρυσόν, μεμνῆσθαι ἡμῶν τῶν ἐκ ψυχῆς ἀγαπησάντων σε, ἄνωθεν μὴ διαλίποις, ὥσπερ οὐδ' ἡμεῖς λήθην σου λαμβάνομεν πώποτε· ὁ δὲ φιλάνθρωπος κύριος, τοῦ κραταιοῦ

καὶ ἁγίου ἡμῶν βασιλέως καλῶς ἔχοντος, ῥύσαιτό σε τῆς συνεχούσης στενοχωρίας καὶ θλίψεως, καὶ τῆς μακρᾶς ὑπερορίας ἀνακαλέσεται, καὶ ἐποφθείης ἡμῖν ὡς ἥδιστος τοῖς ποθοῦσί σε.

## 124. Τῷ μαγίστρῳ Εὐστρατίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου τῷ Χοιροσφάκτῃ.

Λαμπρότατε ἀδελφέ, μᾶλλον δὲ καὶ συνήθης καὶ εἰωθυῖα καὶ ποθεινοτάτη ψυχή, ἔχω μὲν παρὰ φιλοσοφίας μαθὼν ὡς οὐ διΐστανται ἀπ' ἀλλήλων οἱ διὰ φιλίας ἀληθοῦς ἡνωμένοι, ἔστι γὰρ θάτερος, ἐν θατέρῳ, καὶ ἑκάτερος ἑκάτερον ἀγαλματοφορεῖ ἐν τῇ οἰκείᾳ ψυχῇ, οὐ χαλκοῦν τινα καὶ σφυρήλατον, ἀλλ' αὐτοφυῆ καὶ αὐτόχυτον· νῦν δὲ οὐ πάνυ τι τῷ λόγῳ τούτῳ τυγχάνω ἁλώσιμος· ἔχων γάρ σε ὅλον ἐν τῇ ψυχῇ καὶ νοητῶς ἀναθεωρῶν, ὅτι μὴ καὶ τοῖς ὀφθαλμοῖς θεωρῶ, ἔλαττον ἔχειν τοῦ βουλομένου ἥγημαι, ἵνα μὴ λέγω ὅτι ἐστέρημαι τοῦ παντός· εἰ γὰρ καὶ ὑψηλότερόν τι χρῆμα φαντασία αἰσθήσεως, ἀλλ' ἐκείνη μὲν εἰδωτικῶς ἀνατυποῖ τὸ ποθούμενον, αἴσθησις δὲ αὐτὴν ἔχει τὴν φύσιν τοῦ ζητουμένου.

Πότε οὖν σε ἴδοιμι, πότε τὰ κοινὰ καὶ εἰωθότα συνομιλήσαιμι, μᾶλλον δὲ πότε κοινῇ τῷ βασιλεῖ παρασταίημεν; ὡς ἐκκέχυταί μοι, νὴ τὴν ἱεράν σου ψυχήν, ἡ ψυχή, καί με σφοδραὶ ὠδῖνες ἐρώτων κατέχουσι, καὶ ἤδη ἀπείρηκα περιμένων σου τὴν ἐπάνοδον· σὺ δὲ ἄρα λέληθας ἐπέκεινα τῆς Ἰνδικῆς Νύσσης ἐλαύνων, οὐδ' ἱκανά σοι τὰ κατωρθωμένα, ἀλλ' εἰ μὴ καὶ τὴν θάλασσαν καὶ τὴν γῆν παραστήσεις σύμπασαν, οὐκ ἀρκεῖν οἴει. Ἀλλὰ ταῦτα μὲν θεῷ καὶ σοὶ μελήσει· ἴσως γὰρ σμικροπρεπὴς ἐγὼ καὶ μικρόψυχος, τὸ δὲ κατὰ σὲ μεγαλεπήβολον καὶ βαθύγνωμον· καὶ τὸ μὲν μέτριον τοῦ ἀμέτρου φιλοσοφώτερον, τὸ δὲ ἄμετρον τοῦ μέτρου πληθυντικώτερον καὶ ἐρασμιώτατον τοῖς πράγμασι.

## 125. Τῷ ὀστιαρίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου κῦρ Ἰωάννῃ.

Σὺ μὲν ὁ ποθεινὸς καὶ φιλούμενος ἀττικῇ τῇ γλώσσῃ πρὸς ἡμᾶς διείλεξαι, ἡμεῖς δὲ ἁπλῶς καὶ ἀκατασκεύως καὶ προσφθεγγόμεθα καὶ προσαγορεύομεν· εἴ που γὰρ ἐνῆν τι γλαφυρὸν καὶ περινενοημένον ἡμῖν, ἀφείλατο τοῦτο ἡ μετὰ τῶν ἀμούσων καὶ θηριοτρόφων ἀναστροφή, καὶ ἐπηλήθευσεν ἡ παροιμία καὶ πρὸ ταύτης τὸ ἔπος, τό, ἢν δὲ κακοῖσι μιγῇς, φράζον, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Ἀλλ' εὖ ἴσμεν ὡς, εἰ καὶ ἀφελῆ τὰ ἡμέτερα, ἡδίω σοι τῷ λογιωτάτῳ τοῦ Ὑμηττίου φανήσεται μέλιτος· τοιαῦτα γὰρ ἐπειλῆφθαι ἡμῖν δίδωσιν ἡ ἐκ παίδων ἀλλήλων σύμπνοια καὶ ὁμόνοια, ὡς οὐκ ἀπεικότως θαρρεῖν ἔχομεν.

Ἡ δὲ περὶ τῆς ἐπέκεινα πάντων τριάδος παρὰ τῆς σῆς ἀγχινοίας προσαχθεῖσα ἡμῖν ῥῆσις, ἢ ἀξίωσις, πέρας χρηστὸν εἴληφε καὶ τοῖς ἐκεῖσε προσκαθημένοις πάντη ὀνησιμώτατον, πολλῷ δὲ πλέον σοὶ τῷ τὴν ἐμὴν οἰκήσαντι ψυχήν· ἀδείας γὰρ οἱ μονάζοντες ἐπειλημμένοι, ὅσα ὑπὲρ τῆς σῆς σωτηρίας ἐντεύξονται τῷ ὑπὲρ ἡμᾶς, τῷ ῥητορικωτάτῳ σκοπεῖν δίδομεν.

Καὶ τὰ μὲν τῆς ἀπολογίας ταῦτα, ἃ δὲ περὶ τῆς σῆς περιφανείας ἐποφείλεται καὶ εἴθισται ἡμῖν, ὡς καὶ παισὶ δῆλα παρήσομεν, μᾶλλον δὲ παραχωρήσομεν τούτων τῇ τοῦ γραμματοκομιστοῦ γλώττῃ· ἔρρωσο.

## 126. Ἀνεπίγραφος πρὸς ἀρχιερέα

| Εὐτύχησεν ὁ πτωχὸς οὗτος ἐν οἷς ἠτύχησε· τῆς μὲν γὰρ φ. 218ʳ.
πατρίδος ἐστέρηται, ὑπερορίᾳ κατακριθείς, πατέρα δὲ καὶ τρο-

φέα, καὶ θεὸν αὐτὸν ὥςπερ ἐκ μηχανῆς εὕρετο σὲ τὸν ἀπεικονισμένον θεῷ· καὶ ἔδοξε μὲν ἐκ λιμένων ἀπορριφῆναι εἰς πέλαγος, καθώρμισε δὲ τῷ μεγάλῳ κόλπῳ καὶ ἀκλύστῳ ὅρμῳ σοῦ τοῦ θείου οὕτως εἰπεῖν Ἀβραάμ. Σαλπίζει γοῦν αὐτόθεν τὴν εὐεργεσίαν καὶ τὰ μεγάλα δωρήματα τῆς σῆς πλατείας χειρός· τοιοῦτόν ἐστιν ἀρχιερατικὴ ψυχὴ καὶ μεγάλη· πρός τε γὰρ τὸν θεόν ἐστι ἀκλινής, καὶ πρὸς τὴν τῶν πολλῶν πρόνοιαν ἐνταῦθα ἐπικλινής. Ἔσβεσας οὖν τὸ τῆς μητρὸς αὐτοῦ ἐπ' αὐτῷ δάκρυον, καὶ παρεμυθήσω αὐτὰ τὰ φίλτατα, καὶ εὐτυχεστέραν αὐτοῖς τὴν ἀτυχίαν ἀπέδειξας.

Σώζοις οὖν μοι τὴν αὐτὴν ὁ ἐμὸς δεσπότης διάθεσιν, καὶ δείξαις τῷ ὑπερορίῳ τὴν ἀλλοτρίαν τῆς ἐνεγκαμένης γνησιωτέραν· εἰ δέ γε μειρακιεύοιτο, ἔχει γάρ τι τῆς ἀτελοῦς ἡλικίας, ἀλλὰ συγγινώσκοις αὐτῷ· ἡ γὰρ σταθηρότης καὶ τὸ ἀκλόνητον, ἐν ὀλίγαις ἐστὶ τῶν ψυχῶν, καὶ μὴ ζήτει ἐν τοῖς ἀτελέσι τὸ ἀκριβές.

## 127. Ἀνεπίγραφος.

Τοιοῦτός ἐστιν ὁ ἀληθὴς φίλος, ὁποῖος σύ, λαμπρότατε ἀδελφέ· ἀπέχω γοῦν σοι τὴν εἰς τὸν νοτάριον Ἰωάννην χάριν, ὅτι κἀκεῖνος ἀπέχει πληρεστάτην τὴν εἰς σὲ περὶ τούτου ἀξίωσιν· κηρύττει τοιγαροῦν σε διὰ γραμμάτων καὶ ἀνακηρύττει λαμπρᾷ τῇ φωνῇ, οὐ τοῦτο μόνον ὅτι μοι τὸν φίλον εἰκόνισας, ἀλλ' ὅτι καὶ πάσης ὅρος καθέστηκεν ἀρετῆς· καὶ ἵνα σοι τἀληθὲς ἐρῶ, εὐθύς σε τίθημι μετ' ἐμέ, οὐχ ὅτι κρείττων ἴσως ἐγὼ σοῦ, ἀλλ' ὅτι με ἐκεῖνος πλέον τοῦ πεφυκότος ὑπολαμβάνει. Ἐγνώρισα γοῦν σε ὃν ἠπιστάμην, καὶ κατέλαβον ὃν οὐκ ἠγνόηκα. Σὺ δέ, εἰ μὲν προσθήσεις τῇ εἰς αὐτὸν προσπαθείᾳ σου, αὐτὸ δὴ τοῦτο ἀνέργοις φιλοσοφεῖς, ὅτι οὐκ ἔστι τέλος τῆς εἰς τὸ καλὸν ἀναβάσεως· εἰ δὲ καὶ μείνῃς ἐφ' ὧν ἔγνωκας, ἀποχρῶν καὶ τοῦτο

τῷ νοταρίῳ· τοῦ γὰρ ἀκριβοῦς καὶ τελείου, τί ἂν γένοιτο τελεώτερον;

## 128. Ἀνεπίγραφος.

Ἔτι ὁ θαυμάσιος Εὐθύμιος, καὶ οὔπω· ἀλλὰ περιμενεῖ καὶ τὴν αὔριον ὁ καὶ τὴν χθὲς καὶ τὴν σήμερον λιμώττων, λιμώξων δὲ ἴσως καὶ τὴν αὔριον· ἀλλ' οὗτος μὲν ἴσως κορεσθήσεται, ἐγὼ δὲ λιμώξω, γέγονε γάρ μοι λίαν πολυβορώτατος, καὶ τῶν ἀλλοτρίων ἡδέως κατατρυφᾷ. Εἰ μὴ τοιγαροῦν αὔριον, ἀλλὰ μετὰ τὴν αὔριον ὁ κριτὴς τῆς προνοίας τεύξεται, γευσάσθω τὴν αὔριον μετὰ σοῦ, καὶ βραχύ τί μοι τὸν ἄνδρα ἐπελάφρισον, οὐ γὰρ μόνος βαστάζειν δεδύνημαι.

## 129. Ἀνεπίγραφος.

Ὅσα μὲν ἔδει γενέσθαι παρ' ἐμοῦ, πάντα σαφῶς ἐκτετέλεσται· βασιλέως τε γὰρ ἐδεήθημεν, καὶ τοὺς περὶ τὴν διοίκησιν ἠξιώσαμεν· τῶν δὲ οὐκ ἐφ' ἡμῖν, τὸ μὲν ἤνυσταί σοι, τὸ δ' οὔ. Ἡ μὲν γὰρ τῶν ἐν Μακεδονίᾳ φόρων ἀπαίτησις, οὐκ ἀφήρηταί σου, δέδοται δέ σοι τὸν ἐν ταύτῃ κριτὴν πάντα σοι λυσιτελῆσαι ὑπὲρ τῆς τούτων εἰσπράξεως, ὥςπερ ἂν εἰ αὐτὸς τὸν τῆς ἀπαιτήσεως φόρον ἐδέξατο· τὸ δὲ αἴτιον τούτου, ὡς ἐγὼ κατανενόηκα, τὸ αὐτίκα μέλλειν παραλυθήσεσθαι τῆς ἀρχῆς τὸν ἐκεῖσε τὰς κρίσεις διέποντα, καὶ μὴ δὲ τὸν μετ' ἐκεῖνον ἐμφιλοχωρῆσαι τῷ θέματι, καὶ τὸ ἰδίοις κακοῖς τοὺς διαδεχομένους πιέζεσθαι, ὡς μὴ δύνασθαι βάρος ὑπενεγκεῖν ἕτερον.

Διὰ ταῦτά σοι οὐ τὸ πᾶν πέπρακται, ἀλλ' οὐ παρὰ τὴν ἡμετέραν ἀμέλειαν· τὸ γοῦν λειπόμενον, στεῖλαί σε ἐν Μακεδονίᾳ σπουδαιότατον ἄνθρωπον ἐν βραχεῖ χρόνῳ τοὺς ἐκεῖσε φόρους εἰσπράξοντα, κἂν τῷ θέματί σου δέ, ὅπερ ἂν βούλει πράττειν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

συντόμως κατάπραττε· αἱ γὰρ τῶν διοικήσεων προθεσμίαι ἀσύντακτοι καὶ ἀόριστοι.

## 130. Ἀνεπίγραφος.

Ἡ πένης αὕτη καὶ μοναχή, πένης μὲν ἄχρι παντὸς βούλεται εἶναι καὶ μετὰ τοῦ ἱεροῦ σχήματος, οὐ μέντοι γε καὶ λιμώττειν· λιμῷ γὰρ ἔχθιστον θανέειν καὶ πότμον ἐπισπεῖν, κατὰ τὸν εἰρηκότα σοφόν. Αὕτη δὲ καὶ μοναστηριτίκιόν τι ἐκ τῶν ἐνόντων ἐδείματο, καί τινα τούτῳ προσηρανίσατο, τὸ μὴ λιμώττειν τέως ταῖς ἐκεῖσε μοναζούσαις ὑπισχνουμένη· ἀλλ' εἷς τῶν συνενεγκόντων αὐταῖς ἐρανιστῶν, ἵνα μὴ τοὔνομα λέγω, ἀρνεῖται τὸν ἔρανον, καὶ ἀνατίθεται τὴν ὁμολογίαν. Ἴδε οὖν τὸν ἄν-
φ. 219. θρωπον ὁμαλῶς, καὶ ἐξομίλησον δεξιῶς, ἐὰν μὲν | μὴ ἀναλύῃ τὴν χάριν, αὐτὸ δὴ τοῦτό ἐστι τὸ ζητούμενον· εἰ δ' οὖν, στῆσον ταῖς ἀνίσοις τύχαις ἴσον καὶ εὐθὺ δικαστήριον, καὶ ἔστω σοι μετὰ τοῦ δικαιουμένου κατὰ τὸν νόμον ἡ δικαιοῦσα ἀπόφασις.

## 131. Ἀνεπίγραφος.

Καὶ τίς ἄν με μεταπεῖσαι δυνήσεται ἄλλό τι φρονῆσαι περὶ τὴν σὴν τιμιότητα ὧν ἐξ ἀρχῆς ἐγνώκειν, καὶ γνοὺς τεθαύμακα; μὴ τοῦτο οἴου. Οὐχ οὕτως ἐγὼ εὔκολος ὥστε μεταπίπτειν ῥᾳδίως καὶ μεθαρμόζεσθαι.

Τὸν δὲ σεμνοπρεπέστατον **Γορδιασοῦ** διὰ σοῦ ἐγνωκώς, καὶ φίλον αὐτὸν ἐμαυτῷ ποιήσας, βουλοίμην ἄν, εἴ γε καὶ δυναίμην, πᾶν εἴ τι καλὸν αὐτῷ προσπορίσασθαι. Οὔτε οὖν ἐκεῖνος καταμέμφεται τὴν σὴν σεμνοπρέπειαν, ἀλλ' ἀξιοῖ τυχεῖν εὐμενεστέρας τῆς σῆς ἡγιασμένης ψυχῆς, οὔτε ἐγὼ γέγραφα καταιτιώμενος, ἀλλὰ συμβιβάζων σε πρὸς τὴν ἐκείνου φιλίαν καὶ οἷον ἐξιλεούμενος.

Εἰ μὲν οὖν ἀλλήλοις εἰς μίαν γνώμην συνέλθοιτε, ἀγαπῴην ἄν· εἰ δ' οὖν, ἐπεί με κοινὸν καθίζετε δικαστήν, ἐγὼ καὶ δικάσω, καὶ διαιτήσω ἀμφοτέροις τοῖς μέρεσι, καὶ ἀποφανοῦμαι συγκραθῆναι αὖθις ὑμᾶς εἰς ἀρραγεστάτην φιλίαν νῦν μᾶλλον ἢ πρότερον.

Τὰ ἀπεσταλμένα βρώσιμα ἀπέλαβον καὶ ἀπεδεξάμην, εἰ καὶ ἀλλότριον ἐμοὶ ἡ τροφή.

## 132. [Τῇ βασιλίσσῃ Εὐδοκίᾳ?]

Ἔδει μὲν ἐκ τοῦ παραδείσου ὀπώραν τρυγήσαντα, καὶ οἶνον ἐκθλίψαντα, καὶ ἄρτον φυράσαντα, τῷ νοητῷ σοι προσαγαγεῖν παραδείσῳ· μᾶλλον δὲ ἔπρεπεν αὐτὸ τὸ ξύλον τῆς ζωῆς ἐκεῖθεν πρὸς σὲ μετενέγκασθαι· τοῦτο γὰρ καὶ μόνον κατάλληλος τροφὴ καὶ τρυφὴ τῇ σῇ τυγχάνει καλλίστῃ ψυχῇ. Ἐπεὶ δὲ τοῦτο τῶν ἀδυνάτων ἐστί, τὰ ὡραῖά σοι τῶν καθ' ἡμᾶς προσφέρω ἀντῶν ἀδυνάτων ... τῇ ὑπὲρ πᾶσαν φύσιν γυναικείαν καὶ ἄρρενα ὁ εὐγνωμονέστατός σοι δοῦλος καὶ γνησιώτατος.

## 133. Ἀνεπίγραφος.

Μὴ θαυμάσῃς, αὐθέντα μου καὶ ἀδελφέ, εἰ συνεχεῖς πρὸς σὲ ποιοῦμαι τὰς ἀξιώσεις· συνεχεῖς γὰρ καὶ αὐτὸς τὰς ἐνοχλήσεις παρὰ τῶν ἀξιούντων ὑφίσταμαι.

Τὸν δὲ παρόντα ἄνθρωπον συνέστησέ μοι εἷς τις τῶν περὶ τὸ βασιλικὸν βῆμα καὶ τῶν πλεῖστα πρὸς τὸν βασιλέα δυναμένων, καὶ κατεδεήθη πολλὰ συστῆσαι κἀμὲ τοῦτον τῇ ὑπερτίμῳ σου σεβασμιότητι. Τοῦτο οὖν αὐτὸ ποιῶ, καὶ συνιστῶν ἀξιῶ, ἵνα καὶ ὁμιλοίης αὐτῷ προσηνῶς, καὶ προσδέχῃ εὐμενῶς, καὶ δεομένῳ ὑπέχῃς τὴν ἀκοήν, καὶ περιστατουμένῳ ἐπικουρῇς, εὐεργετῇς δὲ ἐν οἷς ἂν δύναιο· ἔστι γὰρ καὶ κατὰ τὸ

φαινόμενον ὁ ἄνθρωπος καὶ πεπαιδευμένος καὶ συνετός· ᾠκειώθη δὲ κἀμοὶ ἀπὸ τοῦ μεσιτεύσαντος τοῦτον εἰς ἐμέ. Ὅθεν τρόπον τινὰ δύο σοι τοῦτον συνιστῶμεν, ἐγώ τε καὶ ὅς μοι τοῦτον ἐγνώρισε· τοῖς δύο οὖν ἀποδώσεις τὰς χάριτας, εἰ καὶ γνωρίζοις τοῦτον καὶ ὁμιλοίης, καὶ ὠφέλειάν τινα παρέχοις ἐν οἷς ἐνδέχεται.

## 134. [Τῷ κριτῇ Πελοποννήσου].

Ἀπόδημος ὢν πλεῖστον χρόνον ὁ ἐπίσκοπος Κορώνης τῆς οἰκείας ἐπισκοπῆς, δεῖταί σου τῆς ἐπὶ ταύτῃ ἀντιλήψεως, ἵνα μήτε τοῖς γείτοσι, μήτε τοῖς ἄλλοις πλεονεκτικοῖς τὸν τρόπον εἰς διαρπαγὴν τὰ ταύτης γένοιτο κτήματα· ἀρκεῖ δέ σοι πρὸς τοῦτο λόγος φιλάνθρωπος εἷς, πᾶσαν ἀναστεῖλαι καὶ γλῶσσαν καὶ χεῖρά κατ' αὐτοῦ προθυμουμένην ἢ πράττειν, ἢ λέγειν.

Καὶ τοῦτο δὲ ἴστω ἡ λαμπρότης σου, ὅτι νοτάριός τις τῶν τῷ ὑπερσεβάστῳ λογοθέτῃ αὐτόθι δεδουλευκότων, ὑπόμνημα κατὰ τοῦ ἐπισκόπου πλάσας, ἀντιδίκοις δή τισιν αὐτοῦ ἐνεχείρισε, τὴν τοῦ λογοθέτου χεῖρα ἐν τῇ ὑπογραφῇ ἀκριβωσάμενος· ὅπερ δὴ καὶ αὐτὸς ἀναγνοὺς καὶ πρὸς τὸν πρὸ σοῦ δικαστήν, οἶμαι δὲ καὶ πρὸς σὲ γραφὴν περὶ τούτου πεποίηκα· ὅρα οὖν μὴ ἐντεῦθεν ἐξαπατηθείης, ὁμολογουμένου, ὥς φασιν ὄντος τοῦ πλάσματος.

## 135. [Τῷ κριτῇ τῆς Ἑλλάδος?]

Εἴ τί σοι τῶν ἐμῶν μέλει, λογιώτατε ἀδελφέ, μέλει δὲ πάντως εἰ μὴ σαυτοῦ ἐπιλέλησαι, μελέτω καὶ τῆς μονῆς τῶν Ναρσοῦ· ὅπερ γάρ ἐστι τοῖς ἄλλοις ἡ πατρίς, τὸ περιεκτικώτατον τῶν ἄλλων χωρίων, τοῦτο ἐμοὶ ὡς ἐν μεγίστῃ μικρὰ ἡ μονὴ αὕτη· γεγέννημαι γὰρ περὶ αὐτὴν καὶ ἀνατέθραμμαι ἐν αὐτῇ,

καὶ εἴωθα τροφεῖα κομίζειν ἀεὶ τῇ ἀναθρεψαμένῃ· οἱ δὲ μοναχοὶ οὐδ' ὡς οἰκήτορα μόνον τῆς μονῆς, ἀλλὰ καὶ ὡς κτήτορά με βιάζονται καὶ εἰσποιοῦνται ἑαυτοῖς. Ἐγὼ δὲ οἰκοδόμος μὲν οὐκ εἰμὶ τῆς μονῆς, κοσμήτωρ δὲ κατά γε τὸ δυνατόν· κοσμῶ δὲ οὐ χρώμασιν, ἀλλὰ συνεισφοραῖς τῶν γε προσηκόντων αὐτοῖς. Σύμπνευσον οὖν μοι καὶ αὐτὸς τῇ περὶ τὴν μονὴν συμμαχίᾳ, καὶ τὴν ναῦν αὐτῶν ἀκύμαντον ἐπὶ ἀτλαντικοῦ πελάγους διατήρησον, καὶ ἐλλιμένισον τῷ Πειραιεῖ, εἴ που | μετὰ τοῦ ὀνό- φ. 219ᵛ.
ματος σώζοις τὴν ἀξίωσιν· εἰ δ' οὖν, εὐαγῶς διαβίβασον· ἢν δὲ δύνῃ, ἐπίταξον καὶ τοῖς κύμασιν, ἢ καὶ τοῖς πνεύμασι μὴ ἀθρόως ἐμπεσεῖν τῇ ὁλκάδι. Οὕτως ἀβάπτιστος διατηρηθείοις τοῖς πειρασμοῖς καὶ ἀκύμαντος τοῖς τῶν περιστάσεων κύμασιν.

## 136. Ἀνεπίγραφος.

Τὸν φυτευθέντα σοι νοτάριον, λογιώτατε καὶ ὑπέρλαμπρε, παρὰ τῆς μαγιστρίσσης τῆς Δαλασηνῆς, ποτίζειν ἐγὼ προήρημαι, ἵν' εἰ μή γε διὰ τὸν φυτευτήν, ἀλλά γε διὰ τὸν ποτιστὴν ἐμὲ αὐξήσῃ θεὸς διὰ σοῦ. Πεφύτευται δὲ ἐν καλῷ γῆς, μᾶλλον δὲ ἵν' εἴπω τι κατὰ σέ, ἐν καλλίστῳ μέρει τῆς ὑπερκοσμίου ψυχῆς· τοιαύτη γὰρ ἡ σὴ οὐσιώδης ζωή, περὶ ἣν ἢ καθ' ἣν αὐτόθεν βλύζει τὰ θεόρρυτα νάματα. Ἀρκεῖ μὲν οὖν τῷ νοταρίῳ καὶ ἡ φύσις ἐν ᾗ κατέσπαρται, εἰ δὲ βούλει καὶ ὁ φυτεύσας· εἰ δ' οὖν, ἀλλ' ἐγὼ μόνος ὁ ἐπάρδων· εἰ δ' ὁμοῦ τὰ τρία συντρέχει, πῶς οὐκ ἀποχρῶντα αὐτῷ εἰς πᾶσαν καρπογονίαν;

Καὶ ἵνα σοι ἰδίᾳ φθέγξωμαι γλώττῃ· ὁ γὰρ λοιπὸς χαρακτὴρ τῆς ἐπιστολῆς διθυραμβώδης καὶ πρὸς τὴν σὴν ἀπεικασμένος ἰδέαν, ἐν ᾗ τὰ τοιαῦτα καχλάζει κινούμενα ῥεύματα· ἵν' οὖν αὐτόθεν σοι ὁμιλήσω, μήτε πᾶσαν ἡνίαν δίδου τοῖς ὑπὸ σὲ νοταρίοις, μήτε μὴν κάταγχε πικρῶς ἀνασειράζων τῷ χαλινῷ·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀλλ' εἰ μὲν βούλει, μετριάσας τὴν πρώτην, τὴν αὐτὴν μέχρι παντὸς τήρει διάθεσιν, εἰ δ' οὖν, ἀλλ' ἐπαφείς, αὖθις ἔπεχε, μήτε κροαίνειν κατὰ πεδίων διδοὺς παντάπασι, μήτ' ἐπὶ φάτνης ἑστᾶναι ἀεὶ βιαζόμενος· ὁπότε δὲ τούτοις, ὥςπερ ἵπποις ὁ χιλὸς ἐπιλείψει, ἢ ἡ συνήθης νομή, ἀλλὰ σὺ τηνικαῦτα τῆς ἄλλης αὖθις θεραπείας ἀξίου, καὶ σαῖνε ταῖς ἐπαγγελίαις· ὡς ἐγὼ πολλοὺς εἶδον τῶν εὐγενῶν τὰς ψυχὰς ἀποχρῶσαν ἡγησαμένους τὴν τοιαύτην θεραπείαν τῶν λόγων, καὶ μηδενὶ πλέον ἐπιζητήσαντας.

Τοῦτο μὲν δή σοι κοινὸν πρὸς πάντας, πλέον δέ σοι παραπολαυέτω ὁ περὶ οὗ ἡ ἀξίωσις, ὡς καὶ παρὰ συγγενοῦς δοθείς, καὶ ἐμῆς τανῦν μεσιτείας ἀξιωθείς.

## 137. [Πρὸς τὸν βασιλέα . . . . .]

Εἴθε ἀμβροσίας εὐπόρουν, εἴθε νέκταρος, εἴθε τινὸς ἄλλου βρώματος ἢ πόματος ἀθανάτου, δέσποτά μου καὶ βασιλεῦ, ὡς ἂν αὐτός σοι τὸ ἀθάνατον βρῶμα παρέθηκα καὶ αὐτήν σοι τὴν ἀθάνατον πόσιν ἐκέρασα. Ἐπεὶ δὲ κέκρυπται ἀφ' ἡμῶν ἡ ἀθάνατος λεγομένη πηγὴ καὶ τὸ τῆς ζωῆς ξύλον, καὶ γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται, ὁ δ' εἰς τὸν αἰῶνα μένει, κατὰ τὸν τοῦ Ἐκκλησιαστοῦ λόγον, αὐτά σοι τῶν ἐπὶ γῆς τὰ κάλλιστα καὶ ἀναγκαιότατα πέπομφα, ἐκ λειμώνων ὀπώραν, ἐξ ἀμπέλου ἡδίστης οἶνον, ἄρτον ἐκ γενναίας αὔλακος, οἷς τὸ πρῶτον ἡ φύσις ἡμῶν ἀπετρέφετο· λιτὰ πάντα καὶ βραχέα, καὶ εὐτελῆ, καὶ βασιλείας μὲν ὕψει καὶ μεγέθει ἀπεοικότα, τῇ δὲ σῇ φύσει κατάλληλα τῇ ὄντως φιλοσόφῳ καὶ μετρίᾳ, καὶ ἀγαθῇ, καὶ δι' ἣν πάντων κεκράτηκας. Φάγοις οὖν καὶ πίοις αὐτῶν ὁ ἐμὸς βασιλεύς, εἴπω τι καὶ τολμήσω; καὶ ἐμὸς θεός, καί σοι γένοιτο καὶ ἡ τροφὴ καὶ ἡ πόσις εἰς ἀνάδοσιν ὑγείας καὶ ζωῆς πλείονος.

## 138. Ἀνεπίγραφος.

Θεράπευε μὲν καὶ τοὺς δυνατούς, ἠγαπημένε μοι ἀνεψιέ, θεράπευε ὅση σοι δύναμις, φείδου δὲ καὶ τῶν ἀσθενεστέρων, ὁποῖός ἐστιν ὁ Πατρίκιος ὁ τῆς Ἰκανατίσσης (*) υἱός· ὃς ὁρῶν τοὺς τῶν μοναστηρίων αὐτοῦ παροίκους ὥσπερ ἀφιπταμένους ἑτέρωθεν ὧν παρῴκουν τόπων, ἀλγεῖ πυκνὰ τὴν ψυχήν, καὶ δεῖταί σου μεθ' ἡμῶν μὴ μεθιστᾶν τούτους τῆς τῶν μονῶν παροικίας. Εἰ γὰρ καὶ εὐγενὴς ὁ Πατρίκιος, καὶ τῆς εὐδαιμονεστέρας σειρᾶς ἄνωθεν, ἀλλ' οὐ πολλαὶ αὐτῷ τοῦ ἐν εὐροίᾳ ζῆν ἀφορμαί· συνερανίζεται οὖν ἐκ πορισμῶν δικαίων ῥανίδας τινὰς τῆς πρὸς τὸν βίον εἰσαγωγῆς· μὴ οὖν αὐτὸς αὐτῷ τέμοις τοὺς ὀχετούς, ἀλλὰ μᾶλλον ὑπάνοιξον.

## 139 Τῷ Πατριάρχῃ λειτουργήσαντι ἐν τῇ Χαλκῇ.

Ἀπὸ τῶν σῶν κυμάτων, θεοτίμητε δέσποτά μου, ταῖς σαῖς αὖθις προσέσχον ἀκταῖς· τέως δέ μοι πελαγίου αἰρομένου τοῦ πνεύματος καὶ τοῦ κλύδωνος εἰς ἄκρον ἐπαναστάντος, μικροῦ δεῖν ἀποπνίξεσθαι ἔμελλον· κύματα δὲ ἄλλα ἐπ' ἄλλοις καὶ πνεύματα ἐπὶ πνεύμασι, καὶ ἐπὶ πᾶσιν ὁ αἰθρηγενέτης βορέης μέγα κῦμα κυλίνδων, τὸ σύνηθες πνεῦμα καὶ ἀπαραίτητον· εἶτα δὴ σύ μοι ὁ τῶν ἀνέμων ταμίας, οὐ τῷ μέν, ἐπιτάξεις ἐπιπνεῖν ἠρέμα, τὸν δὲ τῆς φορᾶς ἀπείρξεις; ἢ σὺν τῷ ἀπαρκτίᾳ κινήσειας καὶ τὸν ζέφυρον; ἀλλὰ πάντες Ἑλλησποντίαι καὶ σκίρρωνες, χείρους καὶ τοῦ Σικελικοῦ πορθμοῦ καὶ τῆς ἐν

(*) Ἐν τῷ χειρογράφῳ φέρονται συγχρόνως καὶ αἱ αἱ δύο γραφαὶ — τοῦ Ἱκανάτου — τῆς Ἱκανατίσσης.

Εὐβοίᾳ παλιρροίας, καὶ τῶν πλαγκτῶν πετρῶν, καὶ τῆς θρυλλουμένης Χαρύβδεως, καὶ τῆς ὠκεανίτιδος καταπόσεως, ἢ ἀναπόσεως.

φ. 220. Οὐ φέρω, τὸν | ἐπίγραπτον ἐκτομίαν, τὸν πωγωνίαν κομήτην, τὸ μέγα τῆς κερτομίας κακόν· οὐ φέρω τοὺς σοὺς δεκάρχας ἢ μοιραγέτας, τοὺς παλαμναίους οὕτως εἰπεῖν καὶ ἀλάστορας· ὤ μοι τῶν καινῶν συμφορῶν, ἐν λιμέσι χειμάζομαι, ἐν ἐρυμνοῖς φρουρίοις πολιορκοῦμαι, ἐπὶ τῆς πέτρας σαλεύομαι· ἐπετείως ἱεροσυλοῦμαι, ἀνέδην κλοποφορούμενος· χεῖρές με ἱερατικαὶ τῶν ἀδύτων ἕλκουσι καὶ σπαράττουσιν, ἢ μᾶλλον ἐν τοῖς ἀδύτοις αὐτοῖς κατατέμνουσιν· εἶτα δὴ τὸν πρῶτον ἐπαιτιώμεθα ἄνθρωπον, ὅτι μυρίων ἐν τῷ παραδείσῳ τεθηλότων φυτῶν, ἑνὸς ἀπεκείρατο, καὶ τοῦτο ἀπατηθείς!

Τήμερον ἱερατικὸς σύλλογος ἐπιπηδῶν ὄχνην ἐπ' ὄχνῃ συνέθλασαν, σῦκά τε ἐπὶ σύκοις καὶ μῆλα ἐπὶ μήλοις, καὶ σταφυλὰς ἐπὶ σταφυλαῖς διηρπάκασιν, εἶτα δή μοι καὶ ὅλον τὸν ἀνθοσμίαν ἐξήντλησαν· ἐπ' ἐμὲ τὰς χεῖρας ἐπέβαλλον· οὐχ ἰδιωτικὸν τὸ ἁμάρτημα, ἀλλὰ δημόσιον πάντη τὸ ἔγκλημα· ἐρῶ καὶ αὐτὸς τὸ τοῦ Δημοσθένους, ὅτι δᾳδοῦχόν με τήμερον καὶ ἱεροφάντην τυγχάνοντα, οὐ κονδύλοις μόνον συνέτριψαν, ἀλλὰ καὶ κροταφικίας ἐπήνεγκαν τὰς πληγάς.

Ταῦτα ἢ στῆσον, ἢ πεῖσον καρτερῶς φέρειν· εἰ δ' οὐδέτερον, ἀλλ' ἐγὼ ἀσφαλῶς αὖθις ἐλλιμενίσας, καὶ τῆς σῆς ἀντιλαβόμενος δεξιᾶς, εἰ μὲν ὑπερβήσομαι τὸν μεμαντευμένον καιρόν, τύχης δῶρον τὸ πρᾶγμα λογίσομαι· εἰ δ' οὖν, οὐ φροντιῶ τοῦ πελάγους, οὐδὲ τοῦ κλύδωνος, πόρρωθεν ὁρῶν σε τὸν θεῖον πυρσὸν πρὸς ὃν συνήθως τὰς κατάρσεις ποιοῦμαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 140. Ἀνεπίγραφος.

Σὲ μὲν οἶδα ὅς τις καὶ οἷος, τιμιώτατε δέσποτά μου, ὅτι τῶν ἀρχιερέων ὁ θαυμασιώτατος, τὸν δὲ μοναχὸν τοῦτον παντάπασιν ἀγνοῶ· δυοῖν οὖν θάτερον, ἢ ἀγαθός ἐστιν, ἢ οὐ τοιοῦτος. Εἰ μὲν οὖν ἀγαθός, τῷ παναγάθῳ σοι ἐντυχὼν γενήσεται ἀγαθώτερος, εἰ δὲ τοὐναντίον, ἀλλ᾽ ὥςπερ ἁλμυρὸν ὕδωρ γλυκεῖ πολλαπλασίῳ ἀνακερασθείς, μεταμειφθήσεται εἰς γλυκύτητα. Καὶ εἴ τε ἠδίκησεν, εἴ τε ἠδίκηται ὥς φησι, δικαιοσύνης κατ᾽ ἄμφω τεύξεται· εἰ δὲ καὶ ἐξ ἐμοῦ, ὥςπερ εὐθέτου ἀφετηρίου, πρὸς τὸ σὸν ἀφῆκε πέλαγος, ἠρέμα τε εὐθυνθήσεται, καὶ ἐλλιμενίσειε γαληνότατα, οὔρια ἀφεὶς εἰς τὸν Εὔξεινον· σὺ γὰρ τοιοῦτος· οὐ κατ᾽ εὐφημησμὸν οὕτω καλούμενος, ἀλλ᾽ ἐπαληθεύων τὴν κλῆσιν τοῖς πράγμασι καὶ οὐχ ὑποδεχόμενος μόνον, ἀλλὰ καὶ ξενοδοχῶν εὖ τοὺς καταίροντας. Εἰ γοῦν, ἐγὼ μὲν αὐτῷ τὰ πρυμνήσια ἔλυσα, σὺ δὲ τὰς ἀγκύρας ἀφήσεις εὔκαιρος αὐτῷ εἴη καὶ ἡ ἀναγωγὴ καὶ ἡ καταγωγή.

## 141. [Τῷ κριτῇ ? τῆς Ἑλλάδος].

Αὐτὰ βοᾷ τὰ πράγματα, κἂν τῇ φωνῇ σιωπᾷς· ὁ γὰρ εὐεργετούμενος παρὰ σοῦ Χριστοφόρος ὁ συγγενής μου ἐξάκουστα τὰ σὰ ἐξ Ἑλλάδος εἰς τὴν Κωνσταντινούπολιν ἐποιήσατο, μακρὰς ἐπιστολὰς αὐτόθεν πρός με περὶ σοῦ ἐκτιθείς· συνδεδραμήκατε γὰρ σύ τε ὁ εὐεργετῶν κἀκεῖνος ὁ εὐεργετούμενος, ὁ μέν, εἰς τὸ εὐεργετεῖν, ὁ δὲ εἰς τὸ εὐχαριστεῖν περιδέξιοι καὶ φιλοτιμότατοι.

Ἔχου τοίνυν τῶν συντρόφων ἠθῶν καὶ ἐθῶν, καὶ προστίθει

τοῖς σοῖς προτερήμασι, καὶ σαυτὸν ἔχε τῶν σῶν πράξεων παράδειγμα.

Δυοῖν δὲ ὄντοιν περὶ ὧν ἠξίωκά σε, τοῦ τε συγγενοῦς μου καὶ τῶν ἀγαλμάτων, τὸ μέν, ἀπέδωκας, πρὸς δὲ τὸ λοιπὸν εἰσέτι τυγχάνεις ὑπόχρεως.

## 142. Ἀνεπίγραφος.

Σοφώτατε καὶ περίβλεπτε ἀδελφέ, οὐ μᾶλλον ὁ τοῦ Τελαμῶνος ἐκεῖνος υἱὸς ἐπὶ τῇ μεγάλῃ ἀσπίδι ἐθάρρει καὶ ἐσεμνύνετο, ὡς οὗτος ἐπὶ τῇ ἐμῇ ταύτῃ ἐπιστολῇ· ὅτε γοῦν καὶ εἰλήφει ἀπὸ τῶν ἐμῶν τὸ γράμμα χειρῶν, αὐτίκα δὴ μετέωρος ἦν ὥς περ οἱ τῶν Ἰνδῶν σοφοί, καὶ τὸ μέτωπον συνιζήσας ὑπὸ μίαν γραμμὴν τὰς ὀφρύας συνῆψεν, ὁποῖον δὴ τῶν ἐνθέων τὸ σχῆμα.

Εἰ μὲν οὖν καὶ ἄτρωτος διατηρηθείη, ὥς περ ὁ ἥρως πολλῶν ἐσακοντιζόντων ἐπὶ τὸ σάκος, αὐτὸς ἂν γνοίης, καὶ ὁ καιρὸς ἐλέγξει τὴν τοῦ ἀνδρὸς οἴησιν· ἐγὼ δ' οὖν οὐχ ὡς μὴ βληθησόμενον τοῦτον ἐκπέπομφα, ἀλλ' ὡς ἐλάχιστα τρωθησόμενον, καὶ ταῦτα, εἰ καὶ σὺ τοῦτον περιβαλεῖς δι' ὃν μάλιστα εὐρυσάκης ὀνομάζοιτο, ἢ παρὰ τὴν ἐπιστολήν.

Τέως γοῦν ἀπήντησ[ε] κατὰ προθεσμίαν, καὶ οὐδέν τι προειλήφει τοῦ δεδομένου μέτρου· θαρρεῖ γοῦν κἂν τούτῳ ὥς περ ἐργασίαν ταλάντου πεποιημένος, καὶ ἐκ προοιμίων ἐπιδεικνύμενος ὡς κατήκοος γέγονε δεσποτικῶν ἐντολῶν. Ἐβούλετο μὲν γὰρ αὐτίκα ἕπεσθαί σοι, ἀλλ' ἐπεῖχεν αὐτὸν τοῦ προστάγματος ὁ δεσμός· ὡς δ' ἀπελύθη τοῦ εἴργοντος, οὐχ ὥς περ ὁ Ὁμηρικὸς ἵππος κατὰ πεδίων ἐκρόαινεν, ἀλλ' ὡς ὁ Πλατωνικὸς πρὸς τὸν καμπτῆρα ἐφέρετο· τοῖν γὰρ δυοῖν ἵπποιν μάλιστα οὗτος
φ. 220ᵛ. προσή|κων αὐτῷ, ὅτι μὴ δὲ πρὸς τὸν σύννομον ἡ φορά, ἀλλὰ πρός τινα κρείττονα.

Ἐγὼ δὲ τοσοῦτον ἄγαμαι, μᾶλλον δὲ τὸ πᾶν διὰ θαύματος ἔχω, πῶς σοι ἐξακριβοῦντι τὰ πράγματα, καὶ ὅλην ἐπέχοντι τὴν ἡνίαν, ὑποζεύγνυσθαι βεβούληνται ἅπαντες, ἢ πάντως ὀνησόμενοί σου τῆς ἐπιστήμης, καὶ ὅπερ ἂν παρὰ σοῦ κτήσαιντο βεβαίως ἕξοντες· εἰ δ' ἦν αὐτοῖς καὶ ἐς τὴν καρδίαν ἐγκύψαι τὴν σήν, καὶ τῆς βαθείας σου καταπολαῦσαι φρενός, διπλῇ ἂν σοι ἀπώναντο· νῦν δ' ἔξω κείμενοι τῶν σῶν ἀποθέτων, οὐκ ἀπὸ τῶν Αἰθιοπικῶν πηγῶν, ἀλλ' ἀπὸ τοῦ Κανωβικοῦ στόματος τοῦ Νείλου ἀρρύονται· τοῦτο γὰρ μέγιστον τῶν ἄλλων τοῦ ποταμοῦ.

Ἀλλὰ τῷ μὲν νοταρίῳ τοιούτων μεταδίδου πηγῶν, ἡμῖν δὲ τῶν ἀπορρήτων καὶ τῶν διὰ λόγου χωρούντων εἰς νοῦν. Εἰσὶ καὶ παρ' ἡμῖν ῥεύματα, καὶ εἰ μή μοι μέμφοιο, οὐ πότιμα μόνον, ἀλλὰ καὶ τῷ κάλλει χρυσᾶ, καὶ λαμπρῶς σε τούτοις ἀμείψομαι· κἂν αὐτὸς μιᾷ προχοῇ ἐς τὴν ἐμὴν θάλασσαν ἐμβάλοις τὸ ῥεῦμα, αὐτὸς ὅλῃ σε ἀντεπικλύσω πηγῇ, ὥς τε οὐκ ἀμειαγώγητόν σοι τὸ προχυθὲν εἶναι ὕδωρ, ἀλλὰ μετὰ πλείονος ἀντεπενεχθὲν ῥεύματος.

## 143. [Μιχαὴλ ὁ Δούκας Ροβέρτῳ δουκὶ τῆς Λογγιβαρδίας].

Τρία ταῦτά εἰσιν, εὐγενέστατε, καὶ συνετώτατε, τὰ κινήσαντά με εἰς τὴν σὴν φιλίαν καὶ ἀκριβεστάτην διάθεσιν, ἡ ὁμοδοξία τῆς ἀληθοῦς πίστεως, ἡ τῆς προαιρέσεώς σου εὐγένεια, καὶ ἡ τοῦ γένους ὑπεροχή· ἄτοπον γὰρ ἐλογισάμην τὸν τοῦ αὐτοῦ σεβάσματος μέτοχον καὶ τὸν καλοκἀγαθίᾳ ψυχῆς σεμνυνόμενον, καὶ τὸν σεμνῷ γένει κοσμούμενον, μὴ καὶ κοινωνόν μοι γενέσθαι ἀγάπης καὶ ὁμονοίας.

Ἐγὼ γὰρ εἰρηνικωτάτου βασιλέως υἱὸς γενόμενος, καὶ τὰ μὲν πρὸς θεὸν εὐσεβοῦς, τὰ δὲ πρὸς φίλους φιλαλήθους τῷ ὄντι καὶ τὴν φιλίαν ἐξακριβοῦντος τοῖς πράγμασιν, ὥσπερ κληρονό-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μος τοῦ κράτους αὐτοῦ ἐγεγόνειν, οὕτω κληρονομῆσαι καὶ τῶν τρόπων ἐσπούδακα· καὶ πρὸ μὲν πάντων εἰρήνην ἀσπάσασθαι, ἔπειτα δὲ καὶ τοὺς συνετωτέρους καὶ γενναιοτέρους τῶν ἀνδρῶν ἐμαυτῷ οἰκειώσασθαι καὶ βεβαίους φίλους ποιήσασθαι.

Ἀκούων δὲ παρὰ πολλῶν τῶν τὴν σὴν γνώμην ἀκριβωσάντων, ὅτι εὐσέβειαν μὲν πρὸ πάντων τῆς ἀρχῆς ἔθου θεμέλιον, δικαιοσύνῃ δὲ καὶ ὁσιότητι τρόπου τὴν σὴν κατευθύνεις ἀρχήν, καὶ ὡς οὐ χαίρεις τοῖς ἐκ τῶν πολέμων αἵμασιν, ἀλλ' εἰρηνικώτατα βούλει διεξάγειν τὰ κατὰ σὲ πράγματα, ἐθαύμασά τε τῆς γνώμης καὶ φιλίαν μετὰ σοῦ κεράσασθαι τίθεμαι σπούδασμα.

Καὶ πρὸς μὲν τοὺς ἄλλους τῶν ἐθνῶν ἡγεμόνας, ἀρκεῖν ἡγοῦμαι εἰ ἀγάπην αὐτοῖς ὁμολογήσω ἐν γράμμασιν, οἳ καὶ μέγα ἥγηνται ὅτι ὁμονοεῖν τούτοις ἠθέλησα, ὥστε εἰρηνικῶς πρὸς αὐτοὺς φέρεσθαι καὶ μὴ ἐθέλειν πολεμεῖν τε καὶ διαφέρεσθαι· πρὸς δὲ τὴν σὴν εὐγένειάν τε καὶ σύνεσιν πλέον τι ποιῆσαι διανενόημαι καὶ ἁρμονίαν φιλίας ἐργάσασθαι ἣν οὐδεὶς τῶν πάντων λῦσαι δυνήσεται· καὶ μὴ θαυμάσῃς ὅτι σὲ τῶν ἄλλων ἀρχηγῶν ἐξαίρω καὶ μείζονος ἀξιῶ πράγματος· ἡ γὰρ ταὐτότης τῆς κατὰ θεὸν ὁμολογίας καὶ πίστεως, τὴν ἀκριβεστάτην ἁρμονίαν τῆς διαθέσεως, ἣν ἐρεῖ προϊὼν ὁ λόγος, εἰργάσατο.

Τίς οὖν ὁ τρόπος τῆς θαυμασίας ἑνώσεως; βούλομαί σε δι' ἀγχιστείας ἐμαυτῷ ποιήσασθαι συγγενῆ, καὶ μίαν τῶν σῶν θυγατέρων τῷ ἐμῷ ἀδελφῷ κὺρ Κωνσταντίνῳ τῷ πορφυρογεννήτῳ βασιλεῖ εἰς γάμου κοινωνίαν ἁρμόσασθαι, ἵνα διὰ τῆς τούτων ἱερᾶς συναφείας καὶ ὁ νῦν δεσμὸς φιλίας ἀρραγέστατος γένοιτο.

Οὐκ ἀγνοεῖς δὲ πάντως ὁποῖόν ἐστιν ἡ τῶν καθ' ἡμᾶς Ῥωμαίων βασίλειος ἡγεμονία, καὶ ὅτι καὶ οἱ πόρρωθεν ἡμῖν κατὰ γένος συναπτόμενοι εὐτύχημα μέγιστον τὴν ἕνωσιν ἥγηνται· ἐγὼ δέ σοι τὴν θυγατέρα, οὔτε ἀλλοτρίῳ τοῦ γένους, οὔτε οἰκείῳ μέν, τῶν πόρρωθεν δέ, συναρμόζομαι, ἀλλ' ἀδελφῷ ἀπὸ τῶν αὐτῶν μὲν φῦντι σπερμάτων, ἀπὸ τῆς αὐτῆς δὲ ἀναβλαστήσαντι φύ-

σεως, ἐν πορφύρᾳ μὲν γεννηθέντι βασιλικῇ, βασιλικοῖς δὲ σπαργάνοις περιπλακέντι, καὶ ὁμοῦ τῇ γενέσει τὴν βασιλείαν λαχόντι παρὰ θεοῦ· τοῦτο ἐμὸν μὲν ἐνθύμημα, σὸν δὲ εὐτύχημα, θεοῦ δὲ ἄνωθεν οἰκονομία ἀμφοτέροις συμφέρουσα· σεμνοτέρα τε γάρ σοι ἐντεῦθεν ἡ ἡγεμονία γενήσεται, καὶ πάντες σε θαυμάσουσι καὶ ζηλώσουσι τοιαύτης τετυχηκότα λαμπρότητος.

Εἰ γὰρ καὶ πρὸς τὸν (*) μετ' ἐμοῦ πρότερον ἄρξαντα τὸ τοιοῦτον ἐσπούδασταί σοι συνάλλαγμα καὶ καθωμολόγηταί σοι ὁ ἐκείνου υἱὸς εἰς μίαν τῶν θυγατέρων, ἀλλὰ πολὺ τὸ διαλλάττον πρὸς ἑκατέρους· οὐ γὰρ ταὐτὸν ἐπείσακτος βασιλεύς, καὶ αὐθεγενής, οὐδὲ εὐθύτης βασιλική, καὶ αὐτονομία τυραννική, οὐδὲ ἶσοι οἱ τοῦ κράτους θεμέλιοι. Ἐγὼ μὲν γὰρ ἐξ ἐννόμου βασιλείας τὴν διαδοχὴν τῆς ἀρχῆς ἔσχηκα, ὁ δὲ ἐξ ἑτερογενοῦς ῥίζης εἰς τὴν βασιλείαν τῶν Ῥωμαίων ἐνεκεντρίσθη· ἐδίκασε δὲ καὶ θεὸς ἄνωθεν, τὸν μὲν τῆς ἀρχῆς ὑφελόμενος τυραννικῶς ταύτην διαχειρίζοντα, ἐμὲ δὲ ἐγκαταστήσας ἐν αὐτῇ τε|λεώτερον. φ. 221.

Νῦν οὖν σοι ἡ ἐπιγαμία εἰς καύχημα ἔσται καὶ σεμνολόγημα, νῦν σοι τὸ θυγάτριον βασιλικοῦ ἀξιωθήσεται αἵματος, ἐννόμου τετυχηκὸς καὶ ἀξίας καὶ κλήσεως.

Δεῖ οὖν σε τὸ ἐντεῦθεν, οἷα δὴ τῆς συγγενείας τοῦ ἐμοῦ κράτους ἠξιωμένον, τὰ μὲν πρῶτα χαίρειν καὶ ἀγαλλιᾶσθαι ἐπὶ τῷ πράγματι, καὶ τὴν ὁμολογίαν συντετελεσμένην ἔχειν ἀληθείᾳ, καὶ φρούριον εἶναί σε τῶν ἡμετέρων ὁρίων, φείδεσθαί τε τῆς καθ' ἡμᾶς ὑπηκόου ἀρχῆς, συμμαχεῖν τε καὶ ἀντιμαχεῖν ἐν ἅπασι καὶ πρὸς ἅπαντας, καὶ τοῖς μὲν εὐνοοῦσιν ἡμῖν προσφέρεσθαι εὐνοϊκῶς, τοῖς δ' ἐναντίως ἔχουσιν ἀπεχθάνεσθαι καὶ μισεῖν· τοιοῦτος γὰρ ὁ τῆς φιλίας ὅρος ἐστίν, ἕκαστον τῶν διὰ φιλίας ἀλλήλοις ἀνακραθέντων τῶν τοῦ φίλου πραγμάτων ὡς ἰδίων ἀντέχεσθαι.

(*) χειρόγρ. τήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τὰ μὲν οὖν ἀφ' ἡμῶν πρὸς σὲ ἤδη σοι καὶ ἐγνώρισται καὶ καθωμολόγηται, καὶ οὐκ ἄλλως τὸ ἀπὸ τοῦδε γενήσεται· γνώρισον δὲ καὶ αὐτὸς τῇ βασιλείᾳ μου ὅπως ἔχεις περὶ τὰ ἐμοὶ δόξαντα, μᾶλλον δὲ ταῦτα μὲν οἶδα ὡς ἀποδέξῃ, ὅπως δὲ βούλει γενέσθαι τὸ πρᾶγμα διὰ γραμμάτων σου δίδαξον.

## 144. [Ὁ αὐτὸς τῷ αὐτῷ].

Πρῶτα μὲν σύγχαιρέ μοι, λογιώτατε καὶ συνετώτατε πάντων ἀνδρῶν, τὴν πατρῴαν ἀπειληφότι ἀρχὴν πληρέστατά τε καὶ τελεώτερον, θεοῦ τε οὕτω δικάσαντος καὶ πάσης ἀρχιερατικῆς καὶ συγκλητικῆς ψήφου καὶ [τῶν ἄλλων] εἰπεῖν δὲ καὶ πάντων τῶν ὑφ' ἡμᾶς εἰς ταὐτὸν [συναινεσάντων]. Τοῦτο μὲν οὖν πρῶτον ὥσπερ εὐαγγέλιον παρὰ τοῦ ἐμοῦ κράτους δεξάμενος, ἔπειτα καὶ ἣν ἔχω προαίρεσιν περὶ τὰ πράγματα μάνθανε.

Εἰρηνικὸς εἴ πέρ τις ἄλλος ἀνθρώπων εἰμί, καὶ βούλομαι τὴν ἐμὴν ἀρχὴν κατευθύνεσθαι οὐ πλειόνων ἐπιθυμίᾳ, ὥστε διὰ ταῦτα πρὸς τοὺς ἡγεμόνας τῶν ἐθνῶν διαφέρεσθαι, ἀλλ' ἀποχρῶσαν ἐμοὶ ἔχων ἣν ἔλαβον παρὰ θεοῦ βασιλείαν, βούλομαι τοὺς ἡγεμονικωτέρους τῶν ἀνδρῶν καὶ συνετωτέρους, ὁποῖος εἶ σύ, διὰ φιλίας ἐμαυτῷ οἰκειοῦν, καὶ ὥσπερ κρατύνειν τε καὶ κρατύνεσθαι διὰ τῆς ὁμονοητικῆς ταύτης συνδήσεώς τε καὶ διαθέσεως· ἐπὶ δὲ σοῦ καὶ πλέον τι τῶν ἄλλων ἡγεμόνων συμβέβηκε· πρὸς μὲν γὰρ τοὺς μὴ τὴν αὐτὴν ἡμῖν εὐσέβειαν ἔχοντας ἐλλιπὴς [ἂν εἴη], τοῦ καιριωτάτου κεφαλαίου λείποντος, φημὶ δὴ τῆς συμφωνίας τοῦ θείου σεβάσματος· οἷς δὲ ὁ τοιοῦτος θεμέλιος ἀρραγέστατός τε καὶ ὁμοιότατος, ὁποῖος δὴ ἀμφοτέροις ἡμῖν καταβέβληται, τούτοις καὶ ἡ τῆς ἀγάπης οἰκοδομὴ ἐπ' ἀσφαλοῦς κρηπῖδος ὑφέστηκεν· ἐμβληθήσεται γὰρ τοῖς διὰ φιλίας ἑνωθησομένοις ἡμῖν ἀκρογωνιαῖος λίθος ὁ Κύριος, συνδέων τὰ τέως διεστηκότα καὶ συναρμόζων διὰ τῆς ἑαυτοῦ μεσότητος

εἰς ἀκριβῆ σύμπηξιν· διδάσκουσι γάρ με αἱ ἱερατικαὶ βίβλοι καὶ αἱ ἀληθεῖς ἱστορίαι, ὅτι μία τίς ἐστιν ἀρχὴ καὶ ῥίζα ταῖς καθ' ἡμᾶς ἡγεμονίαις, καὶ ὡς ὁ αὐτὸς σωτήριος λόγος ἀμφοτέραις ἐφήπλωται, καὶ οἱ αὐτοὶ αὐτόπται τοῦ θείου μυστηρίου καὶ κήρυκες τὸν τοῦ εὐαγγελίου λόγον ταύταις διήχησαν. Οὐκοῦν ἄτοπον καὶ ἀλόγιστον τοὺς κατὰ τὴν εὐσέβειαν συνημμένους καὶ συνηρμοσμένους, κατὰ τὴν τοῦ γένους κοινότητα διηρῆσθαι καὶ κατὰ τὴν τῆς γνώμης ἑτερότητα, καὶ ὁμονοοῦντας περὶ τὰ μείζονα, ἑτερογνωμονεῖν περὶ τὰ ἐλάττονα, καὶ στασιάζειν πρὸς ἀλλήλους περὶ τῶν ἐν ἀμφοτέροις ἡγεμονιῶν, ἕνα καὶ τὸν αὐτὸν θεὸν ἡγεμόνα προστησαμένους τῶν οἰκείων ἀρχῶν· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ κατατομὴ τοῦ αὐτοῦ σώματος, καὶ τῶν οἰκειοτάτων μελῶν σπαραγμὸς καὶ διαίρεσις.

Ἔγωγ' οὖν ἐννομώτατα τὴν βασιλείαν παρὰ θεοῦ εἰληφώς, ἐννομωτάτην ἅμα καὶ εὐσεβεστάτην ποιοῦμαι καὶ τὴν ἀρχήν· καὶ τῶν ἄλλων ἡγεμόνων ἔλαττον πεφροντικὼς πρὸς σὲ πρῶτον συνθήκας ποιῆσαι προήρημαι, τὸ μὲν πρῶτον καὶ μεῖζον διὰ τὴν τῆς εὐσεβείας ταὐτότητα, οὐδὲν δὲ ἔλαττον καὶ διὰ τὴν τῆς γνώμης ἡμῶν ὁμοιότητα· παρὰ πλείστων γὰρ τῶν τὰ σὰ ἀκριβωσάντων ἀκήκοα μισεῖν μὲν στάσεις καὶ μάχας, φιλεῖν δὲ τἀναντία τούτων, εἰρήνην καὶ εὐνομίαν καὶ τὸ τῆς ὁμονοίας καλόν· προσθήσω δὲ καὶ τρίτον, δι' ὃ μάλιστα περὶ τὴν σὴν φιλίαν ἐσπούδακα, ὅτι σέ φασιν οἱ συνομιλήσαντες καὶ διεγνωκότες συνετώτατον ἄνθρωπον εἶναι, καὶ βούλεσθαι εὐσεβεῖν οὐκ ἐν τῇ ὀρθοτομίᾳ μόνῃ τῆς πίστεως, ἀλλὰ καὶ ἐν τῇ τῶν πραγμάτων εὐθύτητι, καὶ τῷ μὲν φρονήματι πυκνότατον εἶναι καὶ δραστικώτατον, τῷ δὲ ἤθει ἁπλούστατον καὶ χαρίεντα. Ὥσπερ οὖν ἀναγνωρίζων ἐμαυτὸν ἐν τοῖς σοῖς τρόποις καὶ ἤθεσι, κρατῆρά τέ σοι φιλίας ἵστημι, καὶ ἐν αὐτῷ βούλομαι ἀμφοτέρων συγκραθῆναι τὰς γνώμας, καὶ πιεῖν ἀμφοτέρους τοῦ αὐτοῦ νάματος· ἵνα δὲ ἡ τοιαύτη σπονδὴ ἀκριβὴς καὶ ἀσύγχυτος γέ-

νοιτο, καὶ τρόπον ἐπενοησάμην ἐπιμιξίας, ἣν πρὸς ἄλλον μὲν ἂν τῶν πάντων ὤκνησα εὖ ἴσθι ποιήσασθαι, πρὸς δὲ σὲ μόνον προήρημαί τε καὶ προτεθύμημαι, καὶ ἀσμενεστάτην ποιοῦμαι τὴν ἕνωσιν. Τίς δὲ ὁ τῆς συγκράσεως τρόπος καὶ ποία ἡ τῆς ἀδιαστάτου ὁμονοίας ἀφορμή; κοινωνῆσαί σοι βούλομαι διὰ συγ-
φ. 221ʳ. γενικοῦ αἵματος, ἵνα διὰ τῶν ἐξ ἀμφοῖν μερῶν ἁρμονία | τις ἐν ἡμῖν συμπαγείη βεβαιοτάτη, καὶ μὴ μέχρι ψιλῶν ῥημάτων καὶ ὀνομάτων, πραγμάτων ἐρήμων, ὁ τῆς ἀγάπης συνδεθείη δεσμός, ἀλλὰ καὶ διὰ κοινωνίας γενῶν, πράγματος πᾶσαν ἀναιροῦντος ἀντιλογίαν καὶ πᾶν ἀντιπίπτον καὶ ἀντικείμενον λύοντος.

Τὰ δὲ συναφθησόμενα παρ' ἑκατέρων ἡμῶν πρόσωπα γνησιώτατα ἀλλήλοις ποιοῦμαι καὶ φίλτατα, καὶ ἐκ τοῦ ἀθολώτου αἵματος καὶ ἐγγύτατα τῆς πρωτογόνου ἡμῶν καὶ πηγαίας ἀρχῆς. Ἔστι γοῦν μοι ἀδελφὸς ὁμοπάτριός τε καὶ ὁμομήτριος, τοῦ αὐτοῦ σπέρματος καὶ τῆς αὐτῆς φύσεως, ὁ πᾶσι διαβόητος, κὺρ Κωνσταντῖνος, τήν τε ὥραν τῆς ὄψεως, εἰ χρὴ καὶ τοῦτο εἰπεῖν, οἷον ἄγαλμα βασιλείας, καὶ τὴν γνώμην οἷος οὐκ ἄλλος τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν, οὐ πρὸ τῆς βασιλείας τῷ ἐμῷ γεγενημένος πατρί, ἀλλὰ μετὰ τὴν βασιλείαν καὶ τὴν σύλληψιν ἐσχηκὼς καὶ τὴν γέννησιν, ὥσπερ πόρρωθέν σοι τοῦ θεοῦ τὸν τοιοῦτον κόσμον τῷ γένει προευτρεπίζοντος· τοὺς δὲ οὕτω γεγενημένους Πορφυρογεννήτους βασιλεῖς οἱ καθ' ἡμᾶς Ῥωμαῖοι κατονομάζουσι, τὸ δὲ ὄνομα τοῦτο θεῖον ἄντικρυς τοῖς μετεσχηκόσι νενόμισται· ἐντεῦθεν γὰρ καὶ ἡ βασίλειος πορφυρὶς τὸ ἐπίσημον ἔσχηκεν, ὅθεν καὶ ταῖς κοιναῖς εὐφημίαις προστέθειται τῇ βασιλείᾳ τὸ ὄνομα, καὶ τὸν βασιλέα τις εἰρηκώς, προστίθησιν εὐθύς, τὸν Πορφυρογέννητον.

Τούτῳ γοῦν τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ καὶ τῆς ἐμῆς βασιλείας φιλτάτῳ συγγόνῳ μίαν σου τῶν θυγατέρων τὴν καλλίστην ἁρμόζομαι, ἵνα ἡ τοιαύτη τῷ καλλίονι συναφθείη καὶ κρείττονι, καὶ γένοιτο ἡμῖν ὁ τῆς βασιλικῆς

ἐπιγαμίας δεσμὸς φιλίας σύνδεσμος ἀρραγέστατος, καὶ διὰ τῆς μιᾶς ταύτης ἑνώσεως ἀδιαίρετος ἡμῖν καὶ ἡ ὁμόνοια γένηται, καὶ κρατὴρ ὡς ἀληθῶς σταίη, οὐ νάματος διαρρέοντος, ἀλλὰ συγγενικοῦ αἵματος, οὐκ ἐκ διαιρέσεως ῥεύσαντος, ἀλλ' ἐξ ἑνώσεως εἰληφότος τὴν σύμπηξιν.

Ἔστω γοῦν σοι τὸ τοιοῦτον τῆς ἐμῆς ψυχῆς ἐνθύμημα τεκμήριον ἀληθέστατον τῆς πρὸς σὲ τοῦ ἐμοῦ κράτους ἀκριβεστάτης φιλίας καὶ ἀδιάπτωτον ἑνώσεώς τε καὶ διαθέσεως. Δεῖ οὖν αὐτόθεν ἄρξασθαι πρὸς ἀλλήλους τῶν τῆς ἀγάπης καλῶν, καὶ τὰ ἀλλήλων ἡμᾶς οἰκειώσασθαι, καὶ φείδεσθαι τῆς παρ' ἑκατέροις ἡγεμονίας ὡς οἰκειοτάτης ἀρχῆς, καὶ μὴ ἀναμένειν τὸν τῆς ἐπιμιξίας τοῦ γένους καιρόν, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν τῆς ἑνώσεως καὶ ὁμολογίαν ὡς τελεωτάτην συμφυΐαν λογίσασθαι, καὶ ὥσπερ ἀρραβῶνας ἀλλήλοις ποιήσασθαι φιλίας καὶ ὁμονοίας. Μὴ οὖν οἴει ἀθεεὶ τὴν τοιαύτην προβήσεσθαι πρὸς ἀλλήλους συμφυΐαν καὶ σύμπνοιαν, ἀλλ' ἄνωθεν καὶ παρὰ θεοῦ ταύτην ἡμῖν ἐμπεσεῖν τὴν ἐνθύμησιν· ὁ γὰρ βραβευτὴς τῆς ἀποστολικῆς καὶ καθολικῆς ἐν ἀμφοτέροις ἡμῖν εὐσεβείας ἢ πίστεως, ὁ αὐτὸς δὴ καὶ τὴν θαυμασιωτάτην ποιήσεται ἕνωσιν, ἵνα ὥσπερ μία καὶ ἡ τοῦ γένους ἀρχή, μία δὲ καὶ ἡ τῆς εὐσεβείας μορφὴ ἀμφοτέροις τετύπωται, οὕτω δὴ καὶ ὁ τῆς συναφείας δεσμὸς εἷς καὶ αὐτὸς ᾖ δι' ὁμοίας τῆς ἀντιδόσεως. Ἔδει μὲν γάρ ποτε τοῦτο γενέσθαι, καὶ τὴν ἀπομερισθεῖσαν ἀρχὴν εἰς τὴν αὐτὴν αὖθις ἀναρυῆναι πηγήν· τὸ γοῦν πάλαι οἰκονομούμενον τῷ θεῷ, φαίνεται νῦν παρ' ἡμῶν περατούμενον.

Δέξαι οὖν τὴν ἐπαγγελίαν ἀληθείας ὁμολογίαν, οὐ γὰρ παρὰ τυραννικωτάτης ψυχῆς τὸ ἐπάγγελμα, ἀλλὰ παρὰ βασιλικωτάτης γνώμης τὸ ὁμολόγημα. Ἐρρίζωται δέ σοι καὶ τὸ θυγάτριον, ἢ οὕτως εἰπεῖν ἐγκεντρίζεται εἰς πιοτάτην ῥίζαν καὶ καλλιέλαιον, ἀλλ' οὐκ εἰς αὐχμηράν τε καὶ ἀγριέλαιον· καὶ ῥίζα μὲν τοῦ τοιούτου βασιλικοῦ δένδρου καὶ τῆς καλῆς ταύτης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πιότητος ὁ ἐμὸς πατὴρ ἐχρημάτισεν, εἶτα ἐνεκεντρίσθη παραφυὰς ἀγριέλαιος, εἶτα τῆς δίκης μὴ ἀνασχομένης τὴν τοιαύτην παραφυάδα μετασχεῖν τῆς καλλιελαίου ποιότητος, ἐκεῖνο μὲν ἀπέσπασται καὶ διέρρηκται, ὁ δὲ βλαστὸς ἐγὼ τῆς πρώτης ῥίζης ἀνέθαλλον, συνανεφύησαν δέ μοι καὶ οἱ ἀδελφοί· τούτων γοῦν ἑνὶ τῷ καλλίστῳ καὶ τὸ σὸν θυγάτριον συναφθήσεται ἵν' ἐξ ἐννόμου ῥίζης καὶ τῷ ὄντι βασιλικῆς πάλιν ἕτεροι κλάδοι ἀναβλαστήσουσι. Ταύτην δὴ τὴν ἐπαγγελίαν, καθὼς καὶ προείρηται, ἀληθεστάτην παντάπασι λογισάμενος, γνώρισον ἡμῖν καὶ τὰ τῆς σῆς γνώμης, καὶ ὅπως ἂν βούλοιο τὸ πρᾶγμα προβῆναι καὶ τὴν ἀρίστην λαβεῖν τελείωσιν.

## 145. [Πρὸς Ἀνδρόνικον τὸν Δούκαν ἐπὶ τὸν βασιλέα Ῥωμανὸν τὸν Διογένην στρατευόμενον].

Οὐ θαυμάζω τοσοῦτον ὅτι νενίκηκας καὶ τῶν πολεμίων ἐκ περιουσίας κεκράτηκας, γενναιότατε καὶ στρατηγικώτατε, καὶ ἐμοὶ φιλτάτη καὶ χρυσῆ κεφαλή, ἀλλ' ὅτι καὶ οὕτως καὶ μετὰ τοσούτου τοῦ ἀξιώματος, καὶ τῆς στρατηγικῆς ἀγχινοίας καὶ τῆς πρὸς τοὺς πολέμους δεινότητος. Ἐπαινῶ σου τὰς ἐφόδους, καὶ τὰς προόδους, καὶ τὰ κλέμματα, καὶ τὰ πλάσματα, καὶ τὸ ἐγκάρδιον ἐνθύμημα, καὶ τὴν ἐσχηματισμένην ῥοπήν, καὶ θαυμάζω σου τοὺς ἀγῶνας, καὶ τὸν συνασπισμόν, καὶ τὴν φάλαγγα, καὶ τὰ πρὸ τῶν τροπαίων σχήματα, τὴν πύκνωσιν, τὴν διαίρεσιν ἑκατέρω τὼ κέρα . . . . . καὶ τῶν ἐναντίων, ἢ ἐναλλάξ, ἢ ἑκατέρωθεν, ὧν τὸ μέν, κέρασιν, τὸ δέ, κύκλωσιν ὀνομάζουσιν οἱ περὶ ταῦτα δεινοί· οὐ γὰρ συμβὰν οὕτω, ἢ περι-
φ. 222. πτωτικῶς, ἢ ἀπὸ τοῦ πρώτου παρα|στάντος, καλλίνικος καὶ τροπαιοφόρος ἀνεδείχθης ἡμῖν, ἀλλ' ἀπὸ στρατηγικῶν βουλευμάτων, ἀπὸ τακτικῶν κινημάτων, ἀπὸ τάξεων καὶ διαιρέσεων,

καὶ γενναίων ἀγώνων, καὶ οἵοις στρατηγικὴ καταστέφεται κεφαλή.

Τέως δὲ ἐν μετεώρῳ πάντες ἑστήκαμεν, ἐπ᾽ ἀμφότερον τὰς γνώμας διῃρημένοι καὶ πρὸς τὴν αὐτόθεν περιχαίροντες ἀγγελίαν· οἱ δὲ πλείους ἡμῶν καὶ φωνῶν θειοτέρων ἀκούειν ἔδοξαν, ναὶ νὴ τὴν τριπόθητόν σου καὶ μεγαλοπρεπεστάτην ψυχήν, τὸ σὸν ἐπαγγελλομένων ὀνομαστὶ τρόπαιον καὶ κατόρθωμα. Οὕτως ἐν τοῖς ἄνω βιβλίοις ἐγγέγραψαι, ἢ μᾶλλον ἄνωθεν τῶν ἀριστείων εἴληφας τὰ ἐνδόσιμα.

Καὶ σὺ μέν, οὔπω ὅτι καὶ ἡ τοῦ ὄφεως συντέτριπται κεφαλὴ καὶ τὸ εὐάγγελον τοῦτο κατήγγειλας κήρυγμα· τὸ δέ, ἤδη ἐκ τῶν ἄνωθεν ἡμῖν ἐξεχύθη πηγῶν· οὐ γὰρ ἦν τοῦ δρακοντείου διασπαρέντος ὁλκοῦ, μὴ καὶ τὴν ἀρχέκακον κεφαλὴν ἐντετρίφθαι, ἵν᾽ ὅλος ᾖ ὁ θὴρ κατηνθρακωμένος τῷ σῷ κεραυνῷ, καὶ ταῦτα, οὐδὲ βαθύν, οὐδ᾽ ἀόρατον, ἀλλ᾽ ὑψηλὸν καὶ προὖπτον βραχὺ εἰσελθὼν φωλεόν, ὅλην μὲν τὴν λεβηρίδα περιδεδυμένος, βραχὺν δὲ τοῖς ὀδοῦσι κατεσπαρμένον ἔχων ἰόν.

Σὺ μὲν οὖν, ὁ χρυσοῦς τὴν χεῖρα, μᾶλλον δὲ ὁ σιδηροῦς τοὺς βραχίονας καὶ τὸ στῆθος χαλκοῦς, ὁπότε σοι βουλητὸν τὴν τελευταίαν ἀγγελίαν ἡμῖν ἐκφωνήσειας· ἐγὼ δὲ ἤδη σοι καὶ τὴν ἀπὸ τῶν λόγων εὐφημίαν πλέκω ὡς ἐπὶ τελείῳ τῷ κατορθώματι, καί σοι ἀκήρατον στέφανον ἐξ Ἀττικῶν συνηρμοσμένον λειμώνων ἐπιθήσω τῇ κεφαλῇ.

Ἀλλά μοι τὸν βασιλίσκον! τίνα τοῦτον φημί; τὸν ποικιλώτατον Χατατούριον, ἀλλά μοι τοῦτον, ἵνα μὴ λάθοι διαδρὰς καὶ τῶν ὑμετέρων ἀπολισθήσῃ χειρῶν· ὅλαις οὖν ἀπρὶξ ταῖν χεροῖν ἁλώσιμος ἔστω ὁ θήρ· οὐ γὰρ ὁλκοῦ μέρος τοῦ ὄφεως, ἀλλ᾽ ἰσοστάσιος τῇ τοῦ δράκοντος κεφαλῇ.

Ἐπὶ πᾶσι τούτοις, πότε σου περιχυθῶ τῷ αὐχένι, καί σου ᾑμαγμένην δικαίῳ αἵματι καταφιλήσω τὴν δεξιάν, καὶ ὀφθαλμοῖς ἴδω τὸ κάλλιστον θέαμα, καὶ ἐν μέσῃ τῇ Πόλει κηρύξω

σε εἰς ὑψηλοτάτην περιωπὴν ἀναβάς, ὥς τέ μοι τὴν φωνὴν ἐπὶ πάντα τῆς γῆς, εἴ περ ἐνῆν, διηχηθῆναι τὰ πέρατα;

Τί δέ μοι τὸ μεμνῆσθαί σου, ὦ πάντων ἀνδρῶν συνετώτατε; οὐδὲ γάρ, εἰ τὸ ἐναντίον προσέταξας φύσιν ἔχει γενέσθαι, ὅτι μὴ δὲ ἐξεπίτηδες ἡ μνήμη, μὴ δὲ ὥς περ ἀπὸ κελεύσματος, ἀλλὰ βλύζουσα κάτωθεν, καὶ γενναίῳ φυσήματι ὑπερβλύζουσα· μεμνήσομαί σου καὶ εἰν ἀΐδῃ, εἴ πέρ τι κἀκεῖ ταῖς ψυχαῖς μνημοσύνης μέρος ἐγκαταλέλειπται.

Σὺ μὲν οὖν περὶ σαυτοῦ μηδένα ποίκιλλε λόγον, ἀρκεῖ γάρ σοι τὸ γεγονὸς ἀντὶ πάσης φωνῆς, τὸ δέ γε παρ' ἐμοῦ τοσοῦτον εἰ καὶ βραχέως εἰρήσεται, ὅτι τὴν βασιλείαν Ῥωμαίων θανοῦσαν ἐψύχωσας.

## 146. [Ἀνωνύμῳ μαγίστρῳ καὶ κριτῇ].

Θαυμάζεις, ὑπέρτιμε ἀδελφέ, ὅτι διὰ τιμῆς ἄγω τὰ σά, καὶ τὴν προσήκουσαν εἰς σὲ φυλάττω διάθεσιν, καὶ τί τοῦτο καινόν; εἰ γὰρ καὶ πρὸς τοὺς τυχόντας τῶν ἀνθρώπων καὶ τοὺς ἅπαξ ἡμῖν ὁμιλήσαντας τὸν τῆς φιλίας ἀπαραποίητον χαρακτῆρα φυλάττομεν, πῶς οὐ χρὴ μᾶλλον εἰς σὲ τὴν τοιαύτην ἰδέαν διατηρεῖν, ὃν τὰ μὲν πρῶτα ἐν τοῖς πρώτοις τῶν φίλων ἐτίθεμεν, εἶτα δὴ καὶ κατὰ πνευματικὴν κοινωνίαν εἰσεποιήσαμεν ἑαυτοῖς, καὶ μετοχῇ γένους ἐτιμήσαμεν, εἰπεῖν δὲ καὶ ἀντετιμήθημεν; Οὐ γὰρ ψευδόμεθα οὔτε τὰς πρὸς τοὺς φίλους ἐπαγγελίας, οὔτε τὴν τοῦ γένους κοινωνίαν, οὐ τοῦ σωματικοῦ, οὐ τοῦ πνευματικοῦ, καὶ εἴ μοι κατὰ τὴν πρόθεσιν τῆς ψυχῆς, καὶ δύναμις ἀναλογοῦσα παρῆν, ἔδειξα ἄν σοι ὁποῖος ἐγώ, καὶ φίλος καὶ συγγενής· ἀλλ' ὁ καιρὸς οὐ δίδωσιν ἡμῖν ἐγκαυχήσασθαι, οὐ δέ τι καταπράξασθαι ἐπαίνου καὶ διηγήσεως ἄξιον.

Τὸ γοῦν ἐφ' ἡμῖν, καὶ ἠγαπήσαμεν καθαρῶς, καὶ εἰλικρινέστερον ἔτι φιλήσομεν, καὶ σοῦ καὶ τῶν σῶν ἀντιποιησόμεθα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὰ μέν, ἐπισκεπτόμενοι, τὰ δὲ παραμυθούμενοι, καὶ οὐδενὸς ἀμελοῦντες τῶν φερόντων εἰς ὄνησιν. Ἔστι γάρ, νὴ τὴν καλλίστην σου ψυχήν, καὶ ἡ μαγίστρισσα ἀξία τοῦ παρ' ἡμῶν καὶ παραμυθεῖσθαι καὶ ἐπισκέπτεσθαι, καὶ εἰκὼν ἀκριβὴς τῆς σῆς εὐγενεστάτης ψυχῆς· κατ' ἶσον γάρ σοι καὶ τιμᾷ ἡμᾶς, καὶ οὕτως εἰπεῖν σέβεται.

Πλὴν καὶ τοῦτο ἴσθι, ὅτι δύο πληγὰς ἡ θαυμασία αὕτη γυνὴ ἐδέξατο· μίαν μὲν ἀρρωστίᾳ περιπεσοῦσα δεινῇ καὶ τὴν πλευρὰν ὀδυνηθεῖσα σφοδρῶς, εἶθ' ὕστερον τρωθεῖσα δεινότερον ἐπὶ τῇ πλασθείσῃ περὶ σοῦ φήμῃ· καὶ εἰ μὴ παρῆν αὐτός, τὰ μέν, παραμυθούμενος, τὰ δὲ πλαττόμενος, παρῴκησεν ἂν τῷ ᾅδῃ ἡ ψυχὴ αὐτῆς. Νῦν δὲ βραχύ τι ἀνένευσε.

Σοὶ δὲ περὶ τῶν κατὰ σὲ πραγμάτων τοσοῦτον παραινῶ· μήτ' ἀφειδέστερον ἐμβίβαζε σαυτὸν ταῖς κρίσεσι, μήτε τοὺς ἐγκαλοῦντας παντάπασι παραιτοῦ· τὸ μὲν γάρ, ὀχληρόν, τὸ δέ, παρὰ τὸ δικαστικὸν ἀξίωμα· τῶν δὲ ὑποθέσεων ἐκείνας ἑλοῦ δικάζειν ὅσαι λυσιτελεῖς τοῖς χωρίταις γενήσονται.

Σὺ μὲν οὖν ὅπως ἂν διαπράττῃς, οὐκ οἶδα ἐς τὸ ἀκριβές, ἐγὼ δὲ τοιούτων διηγημάτων περὶ σοῦ τὰς βασιλικὰς καταπληρῶ ἀκοάς. Περὶ δὲ διαδοχῆς ἀποσαφῆσαί σοι τὸ ἀληθὲς οὐ δεδύνημαι |· ὁρῶ μὲν γὰρ τὸν βασιλέα πρὸς τὸ πρᾶγμα ἑτοι- φ. 222ʳ.
μαζόμενον ἐπὶ πάντων ὁμοίως θεματικῶν δικαστῶν, αὖθις δὲ ἐπεχόμενον ὁπόταν τις αὐτὸν εὐκαίρως ἀνείρξῃ τοῦ ἐγχειρήματος.

## 147. Ἀνεπίγραφος.

Ὥς πέρ εἰσιν ἔνιοι τῶν Μακεδόνων, κατὰ τὸν δημώδη λόγον κακότυχοι, καὶ οὐ πάντες Φιλιππίζοντες ἢ Ἀλεξανδρίζοντες, οὕτως εἰσί τινες καὶ τῶν Κατωτικῶν ἁπλούστατοι καὶ ἀγαθώτατοι ἄνθρωποι, μήτε φαίνοντες, μήτε ἐνδεικνύμενοι, μήτε προσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

βαλλόμενοι ἐν δικαστηρίοις, μήτε δεδιότες τὴν ἐπωβελίαν, μήτε τὴν ἐξ οὔλης γυμνάζοντες.

Τούτων εἷς ἐστι καὶ ὁ θαυμάσιος οὗτος Προκόπιος, ὥς γέ μοι δοκεῖ ἄνθρωπος καὶ εὐπορώτατος καὶ δικαιότατος, καὶ φρονιμώτατος, καὶ ἀγαθώτατος, καὶ τὴν ἐμὴν φιλίαν διὰ ταῦτα κτησάμενος. Ἔδει γοῦν σε, εἰ καὶ μὴ τοιοῦτος ἦν, ἀλλ᾽ ἔν γε τούτῳ τῷ πρὸς ἐμὲ ᾠκειῶσθαι, ἀντίρροπον τοῦτο μόνον ἡγεῖσθαι τῶν λοιπῶν ἀντιθέσεων· ἐπεὶ δὲ καὶ τοῦτό ἐστι, καὶ τἆλλα συνδεδραμήκασι, δι᾽ ἀμφότερα, ἢ διὰ πάντα, τὰ πρῶτα τῆς οἰκειώσεως ἐχέτω παρὰ σοὶ ὁ ἀνήρ, ὡς ἂν γνώσηται ὁπόσα ἐγὼ καὶ πόρρω τῶν φίλων δεδύνημαι.

## 148. [Τῷ ἐπισκόπῳ? Μαδύτου].

Σὺ μὲν ἡγιασμένη ψυχή, ἀπέτισάς μοι τὸ χρέος, μᾶλλον δέ, εἰ δεῖ μὴ ληρεῖν, τὴν χάριν τελεωτάτην ἀπέδωκας· ἦν γὰρ ἐπὶ σοὶ κείμενον τὸ ἀποφλῆσαι τὸ χρέος, ἢ καταθεῖναι τὴν χάριν, ἐγὼ δέ, εἰς ἔργον μὲν οὐκ ἤνεγκα τὸ ἐπίταγμα, οὐ ῥαθυμήσας περὶ τοῦτο, ἀλλὰ τὸν καιρὸν εὐλαβούμενος· ὁποῖος δὲ οὗτος νῦν, ἀκοῇ ἂν εἰδείης, καὶ φήμαις πολλαῖς· πολλάκις δέ σου μνήμην ποιούμενος πρὸς τὸν αὐτοκράτορα, καὶ πόρρωθεν προοιμιαζόμενος τὴν παράκλησιν, αὐτὸ τοῦτο ἀπητούμην, τίς ὁ ἀνήρ, καὶ πῶς μὴ εἰσεληλύθει τανῦν κοινῇ μετὰ τῶν ἄλλων ἀρχιερέων συμμεθέξων ἐμοὶ τῶν τῆς βασιλείας καλῶν.

Δεῖ γοῦν ἡμῖν τῆς σῆς ἐν τῇ Πόλει παρουσίας, δεῖ πάντως διὰ πολλά, ὧν τὸ καιριώτατον, προσκυνῆσαί σε τὸ πάνδημον καὶ κοινωφελὲς ἀγαθόν, φημὶ δὴ τὸν βασιλέα, ᾧ μηδεὶς τῶν πάντων ὅμοιος οὔτε τὴν ἀρετήν, οὔτ᾽ ἄλλό τι τῶν τῆς ψυχῆς ἀγαθῶν· πολλῶν γοῦν ἀνθ᾽ ἑνὸς τύχης, ἅμα δὲ καὶ τὸ εἰκὸς ἐκπληροῖς. Τί δέ σε οὕτως εἷλεν ἡ Μάδυτος, ὥστ᾽ ἐπὶ τοσοῦτον χρόνον ἀφαρπᾶσαι τῆς Πόλεως; Ἐλθέ ποτε καὶ ἡμῖν, καὶ θέασαι

μὲν τὸν ἡγεμόνα τῶν πόλεων, κοινώνησον δὲ καὶ λόγων τοῖς φίλοις, τοὺς δέ, καὶ τὸ εἰωθὸς προσαγόρευσον.

Εἰ μὲν οὖν οὕτω γένοιτο, ῥᾷστόν σοι καὶ τὸ αἴτημα καὶ εἴ τι ἕτερον βούλοιο, εἰ δὲ παντάπασιν ἀπέγνως τὴν εἰς τὴν Πόλιν εἴσοδον, γνώρισον τοῦτο γράμματί σου ἑνί· καὶ βραχὺν μέν τινα χρόνον καρτέρησον, ἔπειτα ἔγγραφον δέησιν ἔκθου τῷ βασιλεῖ, δῶρόν τε αὐτῷ στεῖλον τὸ τοῦ παρ' ὑμῖν ἐπισήμου ἁγίου εὐῶδες μῦρον ἢ ἔλαιον, καὶ γενήσεταί σοι τοῦ χρυσοβούλλου ἡ ἐπικύρωσις.

Τέως δὲ νῦν ἀντέστραπται ὡς ἐκέλευσας· εἰς δὲ τὸ τῆς γραφῆς σου ἀκροτελεύτιον, παρῃνίξω τι περὶ τοῦ βασιλικοῦ, εἶτα δὴ καὶ μηδὲν δέον κατὰ σεαυτοῦ ἐξεφώνησας. Πρὸς μὲν οὖν τοὺς σοὺς λόγους, καὶ ἵν' οὕτως εἴπω ἀποτροπιασμούς, πλέον αὐτὸς παρ' ἐμαυτοῦ πέπεισμαι, ἢ σὺ λέγειν ἐπεχείρησας· μὴ γὰρ τοσοῦτον μανείην, εἰ μὴ τὸν πρόεδρον Μαδύτου γινώσκοιμι, τὸ δέ γε ἐμὸν βούλημα, μὴ ἑτερότροπον γένοιτο ἢ ὡς ἔχει νῦν, ἔχει δέ, μηδένα ἐθέλειν ἀδικεῖν, μήτε τὸ πλέον ἔχειν τοῦ δεδομένου, μήτε τὸ ἔλαττον· ἀλλ' οὐκ ἄν τις γένοιτο τῶν ἐμῶν κατ' ἐμέ.

## 149. Ἀνεπίγραφος.

Ολος ὁ Γάνος τὸ ὄρος ἐμοὶ μὲν πρεσβείαν πεποίηται διὰ τοῦ Πρώτου αὐτῶν τοῦ θαυμασίου καὶ τιμίου γέροντος, ἐγὼ δέ σε ἀμεσιτεύτως ἀξιῶ, πρῶτα μὲν ἵνα δὴ αὐτὸν τὸν γέροντα τὸν τοῦ ὄρους Πρῶτον διὰ πάσης ἕξεις τιμῆς· εἰ γὰρ εἰς ὀφθαλμόν σου ἔλθοι ὁ ἄνθρωπος, καὶ ὁμιλήσεις αὐτῷ, θαυμάσεις αὐτοῦ τὴν φύσιν· ἔπειτα καὶ εἴ τις τῷ γέροντι χρεία τῆς σῆς βοηθείας ἐστίν, ἐν οἷς πεπίστευται πράγμασι, τὸν δυνατὸν τρόπον ἀνθέξῃ αὐτοῦ. Εἰ δὲ καὶ ἑτέρων τῶν τοῦ ὄρους μοναστῶν ὑπερασπίζειν δεδύνησαι, κοινωφελὲς ἀγαθὸν σαυτὸν πᾶσι κατάστησον·

εἰ δὲ τοῖς πράγμασιν ἐξαπορεῖς, ἀλλὰ τῇ γε ἐπιεικείᾳ καὶ τῷ χρηστῷ ἤθει εὐμενῶς τούτοις διάλεξαι· καὶ εἰ μὲν δύνῃ πᾶσι τρόποις, εἰ δ' οὖν, ἑνί γε θεράπευσον.

## 150. [Τοῖς ἐν Γάνῳ? μονασταῖς].

Τιμιώτατοι πατέρες, πλείων ἐστὶν ἡ ὑμετέρα ὑπόληψις περὶ ἐμὲ τῆς ἐμῆς περὶ τὸν βίον δυνάμεως· ἔδει μὲν γὰρ πάλαι τοῖς πράγμασι χαίρειν εἰπόντα διὰ τοῦ μοναδικοῦ σχήματος, μηκέτι τούτων ἔχεσθαι καὶ ἀντέχεσθαι· πλὴν ἀπὸ τῶν λιμένων εἰς θάλασσαν αὖθις ἐπαναστρέφων, οὐχ ὅλον ἐμαυτὸν τοῖς κύμασιν ἐπιδέδωκα, ἀλλ' οὖν ἐπὶ κούφης καὶ ἄνωθεν ἐπινήχομαι. Ὅθεν οὐδὲ πε[ρίεστί] μοι τοσαύτη παρὰ τῶν βασιλέων ἰσχύς, ὥς τε βοηθεῖν δύνασθαι καὶ χεῖρα ὀρέγειν τοῖς κινδυνεύουσιν, ἢ ἵνα τἀληθέστερον ἐρῶ, οἱ μέν, ἐφέλκονταί με καὶ πρὸς ἑαυτοὺς ἐπισπῶνται, ἐγὼ δὲ φεύγω, ἵνα μὴ ἁλώσιμος τοῖς πράγμασι γένωμαι· καὶ ὥσπερ ὁ θαλαττουργὸς πόρρω τῆς θαλάσσης γενόμενος, οὐδένα ἂν δυνηθείη τῶν ἐν ταύτῃ κινδυνευόντων διασώσασθαι, οὕτω δὴ κἀγὼ τῶν πραγμάτων ὑπερκαθήμενος, οὐκ ἂν ἰσχύσαιμι τοῖς ἐν πράγμασι γενέσθαι ἐπίκουρος.

Προστῆναι μὲν οὖν με ὑμῶν καὶ τῆς καθ' ὑμᾶς μονῆς οὐ πάνυ
φ. 223. τι ἐπαγγέλλομαι, δεδιὼς μὴ ἐλάττων φανείην τῆς | ἐπηγγελμένης ὑμῖν προστασίας· ὄμνυμι δὲ καὶ τὰς ὑμετέρας ἁγίας εὐχὰς ὡς οὐδέποτε προεθυμήθην ἄρξαι τινὸς ἢ κοσμικοῦ, ἢ μοναδικοῦ πληρώματος· βοηθεῖν δὲ ὑμῖν ἐν οἷς ἂν δυναίμην καιροῖς καὶ ὑπηρετεῖν ταῖς ὑμετέραις δεήσεσι καὶ βούλομαι καὶ προτεθύμημαι, εἰ μή μοι ἀντιπέσοι τὰ πράγματα καταρρέοντα ὁσημέραι καὶ μεταπίπτοντα.

Τοσοῦτον γοῦν ὑμῖν παρ' ἐμοῦ ἐπήγγελται, ἅψασθαι δὲ τῆς τελεωτέρας ὑμῶν προστασίας παντάπασιν εἰμὶ ἀθαρσής.

Ὁ δὲ πεμφθεὶς ἰχθὺς ὡς μὲν παρὰ μοναχῶν σταλείς, οὐ πάνυ

τι ἔχει τὸ εὔλογον, ὡς δὲ παρὰ ὀγδοήκοντα, καὶ πάνυ τοῖς πέμψασι τοῦτον κατάλληλος.

## 151. [Πρὸς Δούκαν τὸν Καίσαρα].

Μὴ θαυμάσῃς, μέγιστε καῖσαρ, εἰ τοσοῦτον μετόν μοι τῆς πρὸς σὲ παρρησίας, ὅτι καὶ γράμμασι μόνοις ἐπιχειρῶ ἑλεῖν σε πρὸς ὅπερ βούλομαι τὸν πάντα ἀνάλωτον· ἐπεὶ καὶ Ἐλισσαῖος ὁ θαυμάσιος ἐκεῖνος προφήτης, τὸ παιδίον Γιεζῆ ἀποχρῶν ἡγεῖτο πρὸς τὰς ὑπερφυεῖς θεραπείας καὶ τῇ ῥάβδῳ μόνῃ ἐπίστευε τὰ θαυμάσια· οὐδ' ὁ ἐμὸς τοίνυν λόγος ἐλάττων ἢ τοῦ θεράποντος, ἢ τῆς προφητικῆς βακτηρίας, καὶ ταῦτα παρὰ σοὶ κριτῇ τὰ κατὰ πάντων δεδωκότι μοι νικητήρια. Νικῶ δὲ παρὰ σοὶ λέγων, οὐ τῇ τοῦ λόγου δυνάμει, ἀλλὰ τῷ δεκτικῷ τῆς σῆς φύσεως, καὶ τῷ βούλεσθαι ὃν πολλάκις ἐπὶ τοῖς λόγοις ἐπήνεσας, τοῦτον διὰ τοὺς λόγους ἐπὶ πᾶσι τιμᾶν.

Εἰ μὲν οὖν αὐτὸς θαμίζων πρὸς σέ, πολλάκις σου κατεδεόμην περὶ τοῦ παρόντος κριτοῦ, εἶτα καὶ ἐπηνάγκαζον, κἀντεῦθεν αὐτὸς ἐπιτελῆ μου ἐποίεις τὴν δέησιν, οὐ τοσοῦτον ἂν ἦν τὸ πρᾶγμα καινόν· εἰ δὲ διὰ μόνης ἐπιστολῆς ἐκπληρώσειάς μου τὴν περὶ τοῦ ἀνθρώπου ἀξίωσιν, καὶ γένοιτο τούτῳ τὰ πρὸς βασιλέα ὁπόσα δὴ αὐτός τε βεβούληται κἀγὼ ἀξιῶ, τοῦτο δή σοι ἐστὶ τὸ λαμπρὸν καὶ φιλότιμον καὶ τὴν πρὸς ἐμέ σου δηλοῦν μεγίστην καὶ θαυμασιωτάτην διάθεσιν.

Ὅτι μὲν οὖν δικαστικὴν ἔχων ψυχὴν ὁ ἀνήρ, ἔτι καὶ τοῖς περὶ τὴν κουρατωρείαν πράγμασι μετὰ τῆς ἀκριβοῦς δικαιοσύνης ἐχρήσατο, αὐτὸς προλαμβάνεις καὶ μαρτυρεῖς· ὅτι δὲ καὶ οὕτως ἔχων, καὶ γνώμῃ ἀρίστῃ χρησάμενος, δυσκόλοις πολλοῖς ἐντετύχηκε, καὶ τῶν οἰκείων παντάπασιν ἠλλοτρίωται, ἀτυχεῖ τε πολλὰ καὶ ὅσα ἀνθρώπους ἀτυχῆσαι δύναται, αὐτὸς ἂν πρὸ πάντων εἰδείης.

Εἰ δὲ βούλοιο καὶ παρ' ἐμοῦ τινὰ μαρτυρίαν λαβεῖν, οὐ τῆς σήμερον μόνον τροφῆς ἀμοιρεῖ, ἀλλὰ καὶ τῆς χθὲς καὶ προτρίτης ἐστέρηται· καὶ ἦν ἂν ἀνεκτὸν αὐτῷ τὸ λιμώττειν, εἰ μόνῳ αὐτῷ τοῦτο δὴ ἐκινδύνευε, νῦν δὲ μετὰ γυναικὸς καὶ παίδων ὑφίσταται τὸ δεινόν· ἄνθρωπος, νὴ τὴν ὑγείαν σου, καὶ τὰ πρῶτα λογίων, καὶ εἰδήμων πολλῶν, καὶ τοῖς νῦν πρώτοις ἐπὶ τοῖς πρώτοις ἐφάμιλλος.

Ποῖ τοιγαροῦν καταφεύξεται, ποίας δὲ ἀγκύρας ἑτέρας ἕξεται εἰ μὴ τῆς σῆς; ἔχεται τοιγαροῦν ταύτης ἰσχυρῶς, καὶ συνεπιδεσμῶ τοῦτον καὶ αὐτὸς ἐγὼ τῇ ταύτης ἰσχυρᾷ κραταιότητι· καὶ ἤν γε βούλοιο, τάχα καὶ δύνῃ περὶ τὸν ἄνδρα σοφῶς· οἶδα γάρ σου τὸ παντοδαπὸν τῆς γνώμης καὶ εὔπορον, καὶ τὸ πρὸς τὸν ἀδελφὸν καὶ βασιλέα εὔκαιρόν τε καὶ ἐπιτήδειον. Γενοῦ οὖν ἐλέου βωμὸς καὶ νῦν μᾶλλον ὅτε τούτου καιρός, καὶ μνήστευσον αὐτῷ ἐπαρχίαν θεματικήν· κἂν ἐγγύας ἀπαιτηθῇς, θαρρούντως ἐγγύησαι· οὐ γὰρ μόνον δικαίως τῷ λαχόντι τοῦτον θέματι διαπρέψειεν, ἀλλὰ καὶ εἴ τις πρόφασις δι' ἣν ἂν αὐξηθείη θησαυρὸς βασιλέως, ταύτην τε ἐπαυξήσειε καὶ προσποριεῖται τῷ ταμιείῳ· δύο γοῦν τὰ κάλλιστα περανεῖς, τοῦτόν τε τῶν ἀτυχημάτων ἀπαλλάττων, κἀμὲ τούτου ἐλευθερῶν· ἀκλητὶ γάρ μοι ἐπιπεφόρτισται, καὶ οὐκ ἔχω ὅπως αὐτὸν ἀποσείσομαι· ἀλλὰ πρόφασιν μέν μοι ποιεῖται Πάτροκλον, μαθημάτων ἕνεκεν πρός με παραγινόμενος, εἶτα δή μου ἀπρὶξ ἔχεται ταῖν χεροῖν ὥςπερ βάτραχος, εἰ μὴ πού τι καὶ τῷ ζώῳ παρόμοιος.

## 152. [Πρὸς τὸν αὐτόν].

Τί με περικυκλοῖς, ἀτίμητε καῖσαρ καὶ κρείττων παντὸς ὀνόματος κρείττονος; τί με πολιορκεῖν ἐπιχειρεῖς, καί μου πειρᾷ τῆς ψυχῆς, εἴ που εὕροις ἀνεῳγυῖαν πυλίδα, ὡς ἂν λάθῃς εἰσεληλυθώς, καὶ τυραννήσῃς μου τῶν ἠθῶν ἐπ' ἀκροπόλει καθίσας

τοῦ νοῦ; ἤδη σοι ἑαλώκειν, καὶ ἐκπεπολιόρκημαί σοι ὡς ἥδιστα, αὐτὸς ἑαυτῷ τὸν ἐμόν σε ὑπαγόμενος τύραννον, καὶ προδιδοὺς σοι τὴν ἐμὴν ψυχὴν ὥς τε διασπαράττειν καὶ διασπᾷν. Τέως δὲ ᾤμην ἀήττητος εἶναι· μᾶλλον δὲ τί μοι πρότερον διηγοῦμαί σοι τὰς ἀφορμὰς τοῦ θυμοῦ καὶ ὀνειδίζω σοι τὴν ὑπεροψίαν ἡμῶν, ὦ τάχιστα διαιρούμενε τῶν ἐμῶν ὀφθαλμῶν καὶ τῆς ἐμῆς ψυχῆς ἀποδημῶν ἀνηδύντως;

Ἔδει γάρ με καὶ ταύτην ὑποστῆναι τὴν συμφοράν, καὶ μήτε ποσὶ προπέμψαι σε τῶν ἐνταῦθα ἀπαίροντα, μήτε μὴν ὀφθαλμοῖς· ἀλλ' ἐπειδή σοι ὁ τῆς ἀποδημίας ἔρως ἀπέσβη, καὶ σοι ἐπανῆλθον οἱ καθήκοντες λογισμοί, αὐτὸ δή σοι τὸ ἐμὸν ἔθραξεν, ὅτι | παρεώρακας, ὅτι κατωλιγώρηκας, εἴπω τἀληθές, ὅτι φ. 223ᵛ. καταπεφρόνηκας· καί με θηρᾶσαι βουλόμενος τὸν ἀπὸ σοῦ πτερυξάμενον, καινόν τινα ἐπεχείρησας τρόπον, κατεπᾴσας τοῖς γράμμασιν, ὥσπου τοὺς δράκοντας οἱ Ἰνδοὶ τοῖς ἐπᾴσμασιν.

Οἱ μὲν οὖν τῶν Ἀσσυρίων τελεσταὶ κακοποιὸν ἐκφοβῆσαι βουλόμενοι δύναμιν, ψοφοδεὲς δὲ τοῦτο τὸ γένος καὶ ταῖς ἀπειλαῖς κραδαινόμενον, ἀνακυκῆσαι τούτοις ἐπαπειλοῦσι τὴν θάλασσαν, καὶ τὰ τοῦ Ἴσιδος δεῖξαι ἀπόρρητα, καὶ μελιζόμενον τὸν Διόνυσον, κἀντεῦθεν δεδίασιν ἐκεῖνοι, καὶ τοῖς κλήτορσιν αὐτίκα ὑπείκουσι. Σὺ δέ με ἑλεῖν πειρώμενος, τοὐναντίον ποιεῖς, καλλίστοις πρός με χρώμενος τοῖς ὀνόμασι τῷ ἀδελφῷ, τῷ φίλῳ, τῷ ἰσοψύχῳ. Ἀπηώρησάς με, καῖσαρ, λαβὼν τοῦ ὠτός, καί σου τὸ γλυκύτατον καταπέπωκα δέλεαρ, καὶ τὸ ἄγκιστρον ἔχω περιπαρὲν τῇ ψυχῇ· καὶ ὁ πρὸ τοῦ πῦρ ἀτεχνῶς πνέων, καὶ τῇ γλώττῃ βροντῶν ἐπὶ σέ, καὶ μέγα κεκραγώς, ὅτι μοι τῆς φιλίας παραρρήγνυνται οἱ δεσμοί, νῦν ἀθρόον ἥμερόν σοι βλέπω, καὶ γαλήνην ἐκ κυμάτων ὁρῶ, καὶ ἁλώσιμος γίνομαι τῇ τυραννούσῃ ψυχῇ.

Οἱ δὲ γέρανοι ἔτι, καὶ ἀκμὴν ἀρκοῦσιν οἱ ἔλαφοι· ἀθρόον γάρ με ὁ δαπανῶν ὑφείλετο λογισμός· τί δέ σοι καὶ τῇ μετα-

βολῇ; οὐχ ὁ ἀδελφὸς ἀρκεῖ ἀντὶ πάσης ἡδύτητος; οὐχ αἱ τῆς νύμφης ὧραι εἰς ἡδονὴν ἀποχρῶσί σοι; Ἐγὼ δέ σοι ψελλίζων καὶ στωμυλλόμενος, πόσων γερανῶν ἀντάξιος; Εἰ δέ με βούλει θηρᾶν, ὑπὲρ κεφαλήν σοι πτερύξομαι, καὶ νέφει σοι καλυφθήσομαι· καὶ θηράσεις μέν, ἤν γε βούλωμαι, ἐλεύθερον γὰρ κἀγὼ ζῶον καὶ ἄνετον, φωνῆς φορολόγου μὴ κατακούων, ἔστι σοι κἀνταῦθα θήρα παντοδαπὴ καὶ λαμπρότερα τρυφητήρια, καὶ τοῖς παισὶν ἡδητήρια· καὶ τοῦτο παρ' ἡμῖν περιττόν, ὡς ὁπότε ἀτυχήσεις θηρίων, ἀνθρώπους ἔσῃ ζωγρῶν.

## 153. Ἀνεπίγραφος.

Ἐβούλετο μὲν ὁ μοναχὸς οὗτος Ἠλίας, μηδὲν περίγειον ἢ ἔχειν ἢ ἐννοεῖν κατὰ τὸν ὁμώνυμον αὐτῷ καὶ ἀκτήμονα, ἀλλ' ἀφεῖναι μὲν ἀπὸ τῶν πρακτικῶν ἀρετῶν, καὶ πᾶσαν τὴν νοερὰν διαπεράσαντα διακόσμησιν, αἰθεροδρομῆσαι πρὸς τὸν θεὸν καὶ εἰς τοὺς ἀπορρήτους λιμένας ἐγκαθορμίσασθαι· ἐβούλετο μὲν οὕτως καὶ λίαν ἐσφάδαζεν, ἀλλὰ τὸ σύνοικον σῶμα, ἀλλὰ τὸ βαρὺ φορτίον, ἀλλὰ τὸ γεῶδες σκῆνος, ἀλλὰ τὸ βρίθον ἐφόλκιον, πολλάκις ἀφορμηθέντα, κατέσχε, καὶ ἀναπτάντα κατήνεγκε, καὶ κατέσυρεν ἐφαλλόμενον, καὶ δὶς ἀποπειραθέντα τοῦ πράγματος καὶ πολλάκις, αἱ αὐταὶ ἀνάγκαι κατέσπασαν, καὶ οὔτε ἡ πρὸς οὐρανὸν αὐτῷ ῥᾴστη ἀνάβασις, οὔτε ἡ ἐπὶ γῆς αὐτάρκης διατριβή. Ζῇ δὲ οὐχ ἑαυτῷ μόνον, κοῦφον γὰρ ἂν ἦν αὐτῷ τὸ κακόν, ἀλλὰ καὶ μητρὶ ἐπ' αὐτὸν τὰς ἐλπίδας ἐχούσῃ καὶ φατρίᾳ τινὶ συγγενικῇ.

Διὰ ταῦτα στέλλεται ἀποδημίας μακράς, νῦν μὲν πρὸς ἄρκτον ἀναβαίνων, νῦν δὲ καταίρων πρὸς νότον· μερίζεται δὲ καὶ ἀνατολαῖς ἡλίου καὶ δύσεσιν, οὐχ ἵνα γνοίη πόσον ἀφέστηκε τῶν Βρεττανίων ἡ Θούλη, οὐδ' ὅπως ὁ πολυύμνητος ὠκεανὸς

περιελίσσει τὴν γῆν, οὐδὲ τίνες μὲν οἱ πρὸς ἀνατολάς, τίνες δὲ οἱ πρὸς ἑσπέραν Αἰθίοπες, ἀλλ' ὅπως ἂν τοῖς ὑμετέροις κόλποις ἐγκαθορμίσηται, καί τι σχοίη ἐκεῖθεν ἀγώγιμον· πλανήτης γάρ ὁ βίος αὐτῷ, ἵν' εἴπω τι καὶ φιλόσοφον· ἐπεὶ καὶ Πλάτων τρὶς ἀναμετρῆσαι τὴν Χάρυβδιν λέγεται, καὶ τοσαυτάκις τὸν στενὸν αὐλῶνα διεληλυθέναι τῆς Σικελίας· ἀλλ' ἐκεῖνος μὲν τοῖς Διονυσίοις ἐντετυχηκώς, οὐ μόνον οὐδὲν τῆς φιλοσοφίας ἀπώνατο, ἀλλὰ μικροῦ δεῖν καὶ ἐπέπρατο, καὶ ἐξωνεῖται αὐτὸν ὁ Αἰγινήτης Ἀννίκερις· οὗτος δὲ μὴ τοιούτων τύχοι ξενίων, ἀλλ' οἵων παρὰ τοῖς Φαίαξι τετύχηκεν Ὀδυσσεύς, καὶ ἐπανέλθοι τῶν σῶν ἐν χερσὶ τὰ σύμβολα φέρων χειρῶν, ὅπως ἂν ἥ τε μήτηρ αὐτῷ ἀναβιῴη καὶ ὁ τῶν συγγενῶν συγχορεύσειεν ὅμιλος.

## 154. Ἀνεπίγραφος.

Ἀλλ' ὁ Ἠλίας οὗτος, οὔτε ἐξ αἰθέρος, οὔτε εἰς αἰθέρα, οὔτε μὴν ἀπὸ τοῦ Καρμήλου ὄρους, ἀλλ' ἀπὸ μηχανῆς σοι καὶ αὐτοσχέδιος· ἥκει δὲ μετὰ τῆς ἐπωμίδος ἢ ἐξωμίδος, εἰ μέν τινα Ἰεζάβελ ἀποδιδράσκων, αὐτὸς ἂν εἰδείη· τέως γοῦν ἔοικε δεινήν τινα φεύγων Ἐριννὺν καὶ πρὸς ἐσχατιὰς γῆς ἀφικνούμενος. Ἐμοὶ δὲ συμβούλῳ χρησάμενος παρὰ τίνας πρώτως ἀφίξεται καὶ τίσιν ὁδηγοῖς ἐπὶ τὰ τῆς γῆς πέρατα χρήσαιτο, παρὰ σὲ ἥκει, ὁμοῦ μὲν τὴν Κοίλην Συρίαν ὀψόμενος, νὴ τὴν σὴν ἱερὰν κεφαλὴν ἐκ ποι . . . . . ἡγεμονεύουσαν. Οἶσθ' οὖν ὃ ποιήσεις· τέως μὲν δὴ παρὰ σεαυτῷ τὸν ἄνδρα κατασχὼν ἔχε, ὥςπερ ὁ Αἴολος τὸν Ἰθακήσιον, εἶτα δὴ ἐς ἀσκὸν τοὺς ἐπιζεφυρίους ἀνέμους συρράψας καὶ παρασχών, ἐπὶ Λιβύην ἢ Ἀσίαν ἀπόπεμψον.

Δεῖ γάρ σοι πονοῦντι περὶ τὰ μεγάλα καὶ ἀναπαύσεως, ὁποίαν οὗτος παρέχεται· καὶ ἵνα σοι φιλοσοφώτερον περὶ τοῦ ἀνδρὸς διαλέξωμαι, δυοῖν ὄντοιν ἄκροιν ἀρετῆς καὶ κακίας, καὶ τῆς μέν,

φ. 224. τῇ μοναδικῇ χαρακτηριζομένης ζωῇ, λέγω δὲ μοναδικὴν ζωὴν τὴν ἐπὶ τὰ κρείττω μονότροπον, τῆς δέ, ἀλλὰ μή μοι κακίσῃς τὴν γλῶτταν, τῇ καπηλικῇ βιοτῇ, αὐτός, ἵνα μηδεμίαν χώραν τῶν ἄκρων ἀφήσει κενήν, τὴν μέσην ἐβάδισε, καὶ ἐξ ἀμφοῖν μεμόρφωται ἀκριβῶς, καὶ ὁπότερον βούλει τοιοῦτός ἐστι· συνεπορθρίσει γάρ σοι καὶ ᾄσεται τὰ ἱερὰ ᾄσματα, εἶτα δὴ μεταβαλών, συνεξορχήσεται, καὶ τὴν γλῶτταν ἀπὸ τοῦ δωρίου μέλους μεταμείψει ἐπὶ τὸ φρύγιον· κἂν ἐπιβριμήσαιο τούτῳ . . . . τῆς μεταποιήσεως, ἐπὶ τὸ πρῶτον ἀθρόον σχῆμα μεταβαλεῖται· καὶ ἀτρεμήσει μὲν αὐτῷ τὰ ὄμματα, αἱ δὲ χεῖρες ἠρέμα τὸ στῆθος ἐπικαλύψουσι, καὶ τὼ πόδε ὄψει οὐ παραλλάξ, ἀλλ' ἡρμοσμένω· καὶ αὖθις ὡς αἱ τοῦ Εὐρίπου μεταβολαὶ ἐπὶ τὸ ἄναντες χωρήσει τοῦ ῥεύματος. Καὶ βούλεται μὲν πολύμορφός τις εἶναι, ὡς ὁ μυθευόμενος ἐκεῖνος Πρωτεύς, ἁλίσκεται δὲ μᾶλλον τοῖς χείροσι· καὶ εἰσὶν αὐτῷ τὰ μὲν λεόντεια βρυχήματα, οἷον μιμήματα, τὰ δὲ πιθήκεια οὕτως εἰπεῖν πηδήματα, οἰκεῖα γεννήματα καὶ τῆς φύσεως.

Ἐπεὶ οὖν ἡ φύσις ἡμῖν δεῖταί τινος κατιοῦσα γλυκοθυμίας, ὑποδέξεταί σε ὁ τούτου λιμὴν ἐκ τοῦ σχεδὸν καταβαίνοντα, ἄκλυστος μὲν οὐδαμῶς, οὐ περιθραύων μέντοι τὴν ναῦν· εἰ δὲ . . . . . ἡ σανὶς καὶ . . . . . . ἀσφαλῶς ἀραρυῖα, οὐδὲ βραχύ τι παρα . . . . . . . ὁποῖος αὐτὸς πεπυκνωμένος τοῖς λογισμοῖς καὶ πόρρωθεν παρεσκευασμένος ταῖς ἐμβολαῖς, καὶ πᾶσιν ἀτίνακτος, ἐγὼ μὲν ἠρέμα σοι τὸν ἄνδρα προσάγω, τά τε σπουδαῖα τούτου παραδεικνύς, καὶ τὰ ἀσπούδαστα παραγγέλλων εἰ δὲ προσωτέρω οὗτος χωροίη, σὸν ἂν εἴη ἀντιχωρῆσαι ἐνδότερον.

Λέγω γοῦν αἰνιττόμενος ὅτι αὐτὸς γεγράφηκε τὴν ἐπιστολήν· ἔστω οὖν τὸ εἰρημένον κατὰ τὸν Ἀριστοτελικὸν λόγον, ἐκδεδομένον, καὶ οὐκ ἐκδεδομένον. Πολλὰ δ' οὖν καὶ οὗτος καινὰ ὥσπερ ὁ Αἰσχύλος δραματουργήσειε, καὶ σὺ ἀντεξεύροις καινότερα.

155. Πρὸς νεοφώτιστον ὡς ἐκ τοῦ βασιλέως τοῦ Μονομάχου· ἔοικε δὲ οὗτος εἶναι σοφώτατος ὡς καὶ ἡ ἐπιστολὴ δηλοῖ.

Ἀνέγνων τὸ γράμμα σου, λογιώτατε καὶ σοφώτατε, καὶ τῷ ἀμυθήτῳ κάλλει, τῇ τε τῶν νοημάτων πυκνότητι, καὶ τῷ πολυειδεῖ τῶν σχημάτων καὶ ῥητορικῷ ἡσθεὶς τὴν ψυχήν, ὅλος τοῦ περὶ σὲ γέγονα ἔρωτος, καί μοι τοῖς μέλεσι θεία τις περιεχύθη ἡδονή, καὶ τὴν ἀνεκλάλητον, ὡς τὰ θεῖα φασὶ λόγια, χαίρω χαράν, ὅτι σε τοιαύτην θυσίαν προσάγω θεῷ, οὐ λογικὴν μόνον, ἀλλὰ καὶ τὰς τῆς σοφίας χάριτας ἔχουσαν· σεμνύνομαι οὖν ἐπὶ τῇ σῇ σωτηριώδει ἀνακαινίσει, καὶ οἰκείαν τὴν εὐεργεσίαν λογίζομαι· ὥσπερ δὲ αὐτὸς ὢν ὁ μέλλων ἀναγεννηθῆναι τῷ θεῷ καὶ τὴν χάριν τοῦ πνεύματος δέξασθαι, καὶ ταφῆναι μὲν τῷ ὕδατι, ζωοποιηθῆναι δὲ τῷ πνεύματι, οὐκέτι καθεκτός εἰμι, οὐδὲ τὴν τῆς εὐφροσύνης φέρω ἀναβολήν, ἀλλά με ὠδῖνες ἄρρητοι πυκνότερον διεγείρουσι· καὶ πότε ὄψομαι τὸ ἐμὸν θῦμα; πότε σε λογικὸν προσάξω τῷ θεῷ σφάγιον; πότε σε ταῖς χερσὶν ἀναδέξομαί τε καὶ ὑποδέξομαι, καὶ τῇ σῇ λαμπρότητι λαμπρυνθήσομαι; καὶ φθέγγομαι, καὶ φαντάζομαι, κἂν τοῖς ὀνείρασι δὲ ἐπὶ τῆς αὐτῆς πέφυκα διαθέσεως· ὅθεν τὰς βασιλείους ἀμείβων αὐλάς, ταχέως ἀφ' ἑκάστης τούτων ἀφίσταμαι, ἐπιθυμῶν εἴ πως αἱ ἐν μέσῳ ἡμέραι αὗται τῆς σῆς τελεώσεως, βραχεῖαί τινες ὧραι γένοιντο, ὡς ἂν ἴδοιμι τάχιστα τὸ ποθούμενον.

Διὰ ταῦτα οὐδὲ συνεχεῖς τὰς ἀποστολὰς ποιοῦμαι πρὸς σέ, ὁμοῦ τε μὴ ἀνακόπτειν ἐθέλων τὴν πρὸς θεόν σου συνεχῆ καὶ ἀνατατικὴν ἔννοιαν· ἀφιστῶν δὲ καὶ τῆς πρὸς σὲ φροντίδος τὴν ἐμὴν ψυχὴν καὶ διάνοιαν· αἱ γὰρ περὶ σοῦ ἀποκρίσεις μοι κομιζόμεναι ἐμπιπρῶσί μου τὴν ψυχὴν τῷ περὶ σὲ θείῳ ἔρωτι, κἂν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τεῦθεν φροντίζων οὐ λήγω καὶ ταῖς περὶ σοῦ φροντίσι καταδαπανῶν τὴν ψυχήν. Οἶδα καὶ τὸν μέγαν ἀρχιερέα τὰ ἡμῶν ἀναπληροῦντα ἐλλείμματα καὶ πᾶν ὅσον δέοι συνεισφέροντά σοι λαμπρότατα. Τελεσθήσεται δέ σοι καὶ ἡ ἀξίωσις, καὶ πᾶν ὅσον ἐν βασιλείοις φιλόσοφον ἀναστρέφεται συνέσται τῇ πανηγύρει σου καὶ θεάσεταί σου τὴν ἀναγέννησιν, καὶ τῇ παλιγγενεσίᾳ ἐφησθήσεται καὶ προπορεύσεταί σοι λαμπαδηφοροῦν καὶ τῷ φαινομένῳ τούτῳ φωτί, τὸ ἐναυγάσον σοι τοῦ θείου πνεύματος φῶς συμβολικῶς αἰνιττόμενον.

Ἡμέρα δέ σοι τῆς τελειώσεως ἀφώρισται ἡ μετὰ τὴν πανήγυριν τῶν κορυφαίων ἀποστόλων Κυριακή· δεῖ γάρ σοι καὶ τῆς τοιαύτης ἡμέρας, ἐν ταύτῃ γὰρ ὁ Κύριος ἡμῶν ἐκ νεκρῶν ἀναστὰς πάντας ἡμᾶς ἀνεζώωσε καὶ συνήγειρεν ἑαυτῷ, ὃς δὴ καὶ σὲ ἐγερεῖ ἐνθάψας σε πρότερον τῷ θείῳ τούτῳ βαπτίσματι, ὃ δὴ δευτέραν γέννησιν οἴδασι τὰ θεῖα λόγια πολὺ τῆς προτέρας τιμιωτέραν· ἐκείνη μὲν γὰρ σωμάτων ἐστὶ πρόοδος, αὕτη δὲ ψυχῶν ἀναγέννησις.

Ἀλλ' οὐδὲ ὁ πρόεδρος ἀποστήσεταί σου τῆς νοερᾶς ταύτης λαμπρότητος, ἀλλὰ καὶ αὐτὸς τοῖς ἐπὶ σοὶ λαμπαδηφόροις συναριθμηθήσεται, σύμβολον ἔχων τῆς πρὸς σὲ διαθέσεως ἣν ἔφησεν ἐξ ἀγριελαίου ἐγκεντρισθῆναι εἰς τὴν καλλιέλαιον· διατί γὰρ ἀπαξιώσεταί σου τὴν τελετήν, θεὸν ὁρῶν ἐπιδημοῦντά σου τῷ βαπτίσματι καὶ ἀγγέλους ἀγαλλιωμένους καὶ χαίροντας εἰπεῖν δὲ καὶ τὴν βασιλείαν μου χερσὶν αὐταῖς ἐνεργοῦσαν τὴν πλή-
φ. 224ᵛ. ρωσιν; Ἔτι οὖν μοι τὰς ὀλίγας ταύτας ἡμέρας καρτέρησον, | ἵνα καὶ μᾶλλον ἀξίως τῆς τοῦ πνεύματος ὑποδοχῆς προετοιμασθῇς.

## 156. [Πρὸς Καίσαρα τὸν Δούκαν?]

Ἐγώ σοι τὴν ἐμὴν γλῶτταν ἀπέκλεισα, δεσποτικὴ κεφαλὴ καὶ ἶσά μοι τετιμημένη θεῷ, ὃς δὴ ταύτην ἐν καιροῖς εὐθέτοις

καὶ ἐκίνησα καὶ κινῶ; ἐγώ σοι τοὺς κρατῆρας ὑπέσχον τῶν ἐμῶν λογικῶν ναμάτων, ὅς δὴ πάσας σοι τὰς ἀβύσσους τῶν ἐμῶν λόγων ἀνέρρηξα, τὰς μέν, ἐν ἐπιστολαῖς, τὰς δέ, ἐν διαλόγοις καὶ ὁμιλίαις ἐμψύχοις; Μὴ ὀναίμην, ὑπερφυέστατε ἄνθρωπε, μήτε φιλοσοφίας, μήτε φιλίας αὐτῆς, εἰ βραχύ τί σοι τοῦ ἐμοῦ ἤθους παρήλλαξα· εἰ πρῶτον μὲν ἐντός σε τῶν τῆς ψυχῆς εἶχον ἀδύτων, νῦν δὲ ἑτέραν περὶ σὲ ἔχω διάθεσιν.

Τί ποτ' οὖν τὸ αἴτιον τῆς σιωπῆς καὶ τῆς ἐποχῆς τῶν ἐπιστολῶν; ἀλλ' ἔνεγκαί μοι τὴν παρρησίαν, καὶ γενναίως τὸν λόγον ὑπόμεινον. Οὐκ ἐρᾷς τῆς ἐμῆς ὁμιλίας κατὰ τὸν πρότερον τρόπον, οὐδέ μου τὴν πηγὴν τῶν λόγων ζητεῖς· οὐ περιχαίνεις τῷ ῥεύματι, οὐδ' ἀπαρρύῃ τοῦ νάματος· διὰ ταῦτα ἐγὼ μὲν πηγάζω ἀεί, σὺ δὲ ἵστασαι ξηρὸς καὶ διακεκομμένος καὶ ἀμέτοχος τῆς ἐπιρροῆς· οὐδὲ γὰρ ἡ πηγὴ λέγει τῷ ἐφεστηκότι, ἄνθρωπε πίε μου τῶν ναμάτων, οὐδὲ ἡ ὀπώρα τῷ προσεγγίσαντι, δρέπου θαρρούντως καὶ ἀπόλαυέ μου τῆς ἡδονῆς· ἀλλ' ὁ μὲν διψῶν ταῖς πηγαῖς ἐγκύψας κορέννυται, καὶ ὁ πεινῶν δρέπεται τῆς ὀπώρας καὶ τῶν χαρίτων καταπολαύει. Ἀλλ' ἵνα τί σοι καὶ προσονειδίσω, τοὺς μὲν μουσικοὺς ἀφῆκας λειμῶνας, ἔτρεψας δὲ σαυτὸν ἐπὶ θήρας ἀλόγων καὶ κυνηγέσια, καὶ ἀφῆκας μὲν ἐκ τῶν χειρῶν τὰ βιβλία, ἐπιθωΰζεις δὲ ταῖς κυσίν, αὐτὸ δὴ τὸ τραγῳδοῦ θαμὰ ἐπιφθεγγόμενος « πρὸς θεῶν ἔραμαι κυσὶ θωΰξαι, καὶ βαλίαις ἐγχρίπτειν ἐλάφοις », καί σοι τὸ φροντιζόμενον, ἀντὶ πάσης ἐφέσεως λογικῆς τε καὶ νοερᾶς, ἢ χαυλιόδοντα κάπρον ἐξ ὕλης ἐξαγαγεῖν καὶ κατὰ τῆς κλειδὸς ἀκοντίσαι, ἢ γέρανόν τινα ὑπερνεφοῦσαν κατενεγκεῖν, καὶ γλυκὺ γελᾶσαι ἐξορχούμενον ὁρῶντα τὸν ἑαυτοῦ θάνατον.

Ἀλλ' οἶδα ὅτι σου τῆς ψυχῆς καθικόμην· αὐτῆς γάρ σε ἀφαιρεῖται ὁ ἀπείργων τοῦ κυνηγετεῖν· καὶ ἔχου τῶν φιλτάτων καὶ περιέχου τούτων, ἤγουν τῆς θήρας, καὶ μὴ ἀποκάμοις, μήτε τοῦ λαγῶ διερευνώμενος τὰς ὀπάς, μήτε τὰς τῶν θηρῶν κοί-

τας, ἀλλὰ καὶ βάλοις τοῦτον καὶ εὐστοχώτατα, καὶ πῶς γὰρ ἂν ἀφήσεις τὰ σὰ παιδικά; κἀμὲ γὰρ εἴ τις ἐξαγάγοι τῆς φίλης ἀκαδημίας, καὶ χειριδωτὸν θείη μοι τῇ χειρί, εἶτα δὴ ἐπιθείη θηρατὴν ὄρνιθα, ἡδέως ἂν ἴδοιμι καὶ πολλὰ τὸ τοῦ ἀνθρώπου στῆθος καταφιλήσαιμι, καὶ ταῦτα φιλόσοφος ὢν καὶ τῶν βιβλίων κρεμαννύμενος. Πλὴν μὴ ὅλος γίνου τοῦ πράγματος, ἀλλὰ θήρα κἀμέ, μήτε ὡς βρυχώμενον λέοντα, μήτε ὡς ἄρκτον ἀπορουμένην, μήτε ὡς πάρδαλιν ἀπαντῶσαν κατὰ τὴν ὁδὸν Ἀσσυρίων, ἀλλ' ὡς κίτταν, ὡς ψιττακόν, ὡς εὐκέλαδον τέττιγα, ὡς ἄλλό τι τῶν μουσικῶν· καταφωνῶ γὰρ κἀγὼ τὰ λογικὰ ἄλση, καὶ ὑπερίπταμαι τῶν λειμώνων καὶ τερετίζειν ἡδέως ἐπίσταμαι. Ἔστι δέ μοι καὶ μουσικὸν ἐν τῷ στήθει μαγάδιον, καὶ μέλος παντοδαπόν, οὐ σύντονον μόνον, ἀλλὰ καὶ ἐναρμόνιον· εἰ δέ σοι ἔρως καὶ Σειρήνων ᾠδῆς, οὐδὲ τὴν τούτων μοῦσαν ἠγνόηκα, καὶ ἐπὶ πᾶσιν οὐ βασκαίνω τινὶ οὔτε λύρας, οὔτε κιθάρας, οὔτε Ὀρφικῶν κρουμάτων καὶ σειρηνείων ᾠδῶν.

Ἐν μὲν οὖν ταῖς ἐπιστολαῖς τὸ ἥδιστον μέλος καὶ τὴν σὴν ψυχὴν καταμελιτοῦν εἰπεῖν οὕτως, ἀφίημι ἐνταῦθα, ποδαπόν, σύντονον καὶ βασιλικαῖς ἀκοαῖς εὔηχον καὶ μᾶλλον τῇ καλλίστῃ ψυχῇ τῆς δεσπότιδος· ἴστω γὰρ ὁ ἐμὸς δεσπότης καὶ διάπυρος ἐραστής, ὡς οὐδὲ αὐτῇ τοσοῦτον ἄλλό τι διὰ φροντίδος ἐστίν, ἢ ἄλυπόν σοι πανταχόθεν ποιεῖν τὴν ζωήν, καὶ ὅταν ἐγὼ τὴν ἐμὴν γλῶσσαν εἰς τοὺς σοὺς ἀνακινήσω ἐπαίνους, ποιῶ δὲ τοῦτο πολλάκις, ὅτι κἀκείνη βούλεται τῶν περὶ σοῦ λόγων ἀκούειν, ἡδέως δή μοι τὴν ἀκοὴν ὑποτίθεται, καὶ ἐπιμαρτύρεταί μοι λόγοις καὶ τοῖς οἰκείοις ἐπισφραγίζεται ῥήμασιν· οὐ ψεῦδος ταῦτα, νὴ τὴν ἱεράν σου ψυχήν, οὐδὲ λόγος παραμυθητικός, ἀλλ' ἀληθὴς καὶ οὐκ ἔχων παραγωγήν.

Ἀδίστακτον οὖν ἔχε χαρὰν ἐν τῇ ψυχῇ· καὶ αὐτὸς γὰρ ὁ κάλλιστος ἡμῶν βασιλεὺς πολλάκις περὶ σοῦ ἐπιτραπέζια φθέγγεται ῥήματα, καὶ ἐπὶ καλλίστοις ἀεὶ τὴν σὴν μνήμην ποιεῖται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καὶ ἰδοὺ ἔχεις τὴν ἐράσμιον ἐκείνην ζωὴν ἧς πάλαι ἐτύγχανες ἐραστής· μέμνημαι γάρ σου πολλάκις ἐπομνυμένου ὅτι ἀντὶ πάσης ἀρχῆς καὶ εὐδαιμονίας, ἡδέως ἂν τὸν ἄλυπον βίον ἀλλάξαιο καὶ ἀπράγμονα· ἔχεις οὖν ὅπερ ἐπόθεις, καὶ ζῆθι οὕτω μέχρι παντός· πόσον γὰρ καὶ βιώσομεν χρόνον; εἰ γὰρ καὶ ὠμογέροντες, καὶ ἀναμὶξ τὰς πολιὰς ἔχοντες, καὶ οὐδὲ ταύτας πάνυ λευκάς, ἀλλ' οὐδὲ ἡμῶν ὁ θεριστὴς φείδεται· ὡς οὖν αὔριον τεθνηξόμενος, εἰρηνικῶς τῆς ἐνεστώσης ἡμέρας ἀπόλαυε.

## 157. [Τῷ ἐπὶ τῶν κρίσεων].

Ἄρρεν τὸ ἀρτίτοκον βρεφύλλιον, ἄρρεν, ὦ γῆ καὶ ἥλιε· ἆρ' οὖν αὐτίκα διολισθῆσαν τεθέασαι, ὥσπερ ἐκ πολέμου καὶ μάχης αἱμάτων πλῆρες καὶ λύθρῳ μεμολυσμένον, ἢ τοσοῦτον διεκαρτέρησας ὡς προλαβεῖν σε τὴν ὀμφαλοτόμον, καὶ προκαθήρασθαι τοῦτο καὶ τοῖς σπαργάνοις καταδεσμῆσαι; Ἐγὼ μὲν οὖν ἄμφω φιλῶν, νὴ τὸν φίλιον, καὶ τὸν πατέρα καὶ τὴν μητέρα, εἰ καὶ θῆλυ τὸ γεγεννημένον ἦν, ἡδέως ἂν τὴν εὐάγγελον ἐδεξάμην φωνήν· τί γὰρ ἢ οὕτως, ἢ ἐκείνως διατετύπωται, θηλυκώτερον, ἢ ἀρρενικώτερον; πάντως γὰρ ἐξ ἀμφοῖν τοῖν γονέοιν οὐσίωται· ἀλλά με τὸ ἄρρεν εἰς ἡδονὴν μᾶλλον | ἐκίνησεν· εἴη φ. 225.
δὲ καὶ μητρῷζον, μάλιστα μὲν τὴν ψυχήν, εἰ καὶ τὸ σῶμα οὐδὲν ἔλαττον, καὶ ἔχοι ἂν κἀνταῦθα τὸ τέλειον, εἰ μὴ τὸ τῆς μητρὸς εἶδος ἀντιπίπτον ἐστί. Καὶ βούλομαι μὲν ἐπὶ πᾶσι φιλοσοφεῖν καὶ λόγοις καὶ πράγμασιν, ἐλέγχει δέ με τὸ ἦθος ἀφιλοσόφως ἐπὶ τοῖς φυσικοῖς διακείμενον πάθεσιν, ἢ καὶ τοῦτο ἴσως φιλόσοφον· θάτερον δὲ μέρος Σκυθικόν· σκιρτῶ γοῦν πῶς ἂν εἴπῃς ἐπὶ τοῖς νεογενέσι βρέφεσι, καὶ μάλιστα εἰ φίλτατα εἴη καὶ φιλτάτων τοκέων καὶ ἄντικρυς ἀγαλμάτων ἢ χαρίτων αὐτῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καὶ πάλαι μὲν οἱ Περσῶν βασιλεῖς οὐκ εὐθὺς ὑπ' ὄψιν ἐτίθεσαν τὰ νεογιλὰ τῶν βρεφῶν, οὐδ' αὐτίκα τὰ γεννήματα τῶν σπλάγχνων διηγκαλίζοντο, ἀλλ' ἦν αὐτοῖς ὡρισμένος καιρὸς καθ' ὃν ἔδει τὸν τόκον ἰδεῖν· τί δὲ τοῦτο ἦν; ἐδεδίεσαν περὶ τοῖς βρέφεσιν ὡς ἁπαλωτέροις, μὴ πρὸς (*) τῆς στερρότητος τῶν μελῶν ὑφέλῃ ταῦτα ὁ θάνατος, καὶ διὰ ταῦτα εἰς ἀναβολὴν τὴν θέαν ἐτίθεντο, ἵνα μὴ ἁλώσιμοι τῷ τῆς ἡδονῆς πάθει γεγονότες, τοῖς ὀφθαλμοῖς τῶν βρεφῶν τελευτώντων ἐποδύροιντο ἐμπαθέστατα· ἐλάνθανον δὲ ἄρα τὸ πᾶν τῶν χαρίτων ἑαυτοὺς ἀφαιρούμενοι.

Ἔγωγ' οὖν οὐκ ἀφιστάμην τῶν τοῦ βεστάρχου παιδίων, οὔτε λουομένων, οὔτε σπαργανουμένων, ἀλλ' ἦν μοι ἥδιστον θέαμα τὸ βρέφος ἠρέμα ἐπὶ τοῦ ἀριστεροῦ τῆς μαίας κείμενον πήχεος, καὶ θατέρᾳ χειρὶ διαντλούμενον, νῦν μὲν πρηνές, νῦν δὲ ὕπτιον· καί μοι μετέωρος ἦν ἡ ψυχὴ καὶ μάλιστα παθαινομένη, εἰ θερμότερον ἦν τὸ ὑδάτιον, ὥςτε καὶ διελοιδορούμην τῇ βαλανευτρίᾳ· εἰρήσθω γὰρ οὕτως ὁπηνίκα τὸ νεογνὸν ἐ . . . . . κλαυθμυριζόμενον· τὰ δέ γε τῆς μαίας ἐπᾴσματα μᾶλλον ᾕρει καὶ ἔθελγεν, ἢ τὰ Ὀρφικὰ μέλη καὶ τὰ σειρήνεια. Ὅτε δ' ἔμελλε τοῦτο διασπαργανοῦν καὶ διαδεσμεῖν, καὶ τὰς μὲν χεῖρας κατησφαλίζετο, τὴν δὲ κεφαλὴν ἠρέμα διέπλαττε, καὶ τὸ σύμπαν σῶμα συνεῖχε καὶ συνεκάλυπτεν, ὥςπερ αὐτὸς ὁ δεσμούμενος ὤν, ἐταραττόμην, καὶ μικροῦ δεῖν τῷ βρέφει συνέπασχον. Καὶ εἰ μὲν θηλείας τοῦτο ψυχῆς, οὐ πάνυ τι οἶδα, ἐμοὶ γοῦν τὸ ἦθος τέως οὕτω διατετύπωται, καὶ ἡ φύσις, ὥςπέρ τις κηρὸς ἁπαλὸς καὶ εὐτύπωτος, καὶ τῶν μαθημάτων συνέσχε τὰ κάλλιστα, καὶ τὰς τῶν φιλτάτων χάριτας ἀναμάττεται· καὶ τοὺς λεγομένους ἀδαμαντίνους οὐ πάνυ ζηλῶ, εἴτε ὄρειοί τινες εἶεν, εἴτε μετεωρότεροι· ἀλλ' εἰ μὲν ἐπὶ τὸ θειότερον τὴν φύσιν

(*) γραπτέον, πρό?

ἠλλοίωσαν διά τινος ἀγωγῆς κρείττονος, καὶ γεγόνασιν ἀντὶ ἀνθρώπων θεοί, τοῦτο εὐχῆς ἔργον, ἢ κρεῖττον εὐχῆς, εἰ δὲ ἀπεσκληκότως τοῦ ἤθους ἐκ πρώτης γενέσεως ἔχουσι, καὶ γενομένων εὐθὺς ἡ γνώμη ἀντίτυπος ἦν, τούτοις οὔτε ἐπιτετήδευται τὸ φιλόσοφον, οὔτε ἐσχεδίασται, ἀλλ' οὔτε φιλόσοφοι ἂν λέγοιντο, ἀλλὰ λιθώδεις τε καὶ ἀπόκροτοι.

Ἐγὼ δὲ καὶ εὐξαίμην ἂν δεῆσαν καὶ πρὸς θεὸν ἀναβαίην ὁπόσον τὸ κρεῖττον καὶ ὁ καιρὸς δίδωσι, καὶ συνδιασκέψομαι φροντίδα φιλόσοφον, καὶ φίλοις συντεύξομαι ἱλαρᾷ τῇ γνώμῃ, καὶ τῇ γλώττῃ εἰς παιδιὰς ἐφήσω καὶ χάριτας ἐμμελεῖς· καὶ οὐδὲ τὴν γυναικωνῖτιν ἀπαξιώσω, εἴ γε καὶ ταύτῃ χαρίσαι βούλομαι, καὶ τὰ ἑτέροις φίλτατα, ἐμὰ δι' ἐκείνους λογίσομαι· καὶ τοῖς μέν, ὑπὸ τοῦ κρείττονος ὁμιλήσω, τοῖς δέ, ἀπὸ τοῦ ἴσου, τοῖς δέ, ἀπὸ τοῦ ἐλάττονος, τά τε ἔκγονα ἡδέως ἀγκαλίσομαι καὶ ὅλοις τοῖς χείλεσι κατασπάσομαι· καὶ τὰ μέν, πρὸς τὴν μαίαν ἐρῶ, ὅτι τάδε ποιητέον αὐτῷ καὶ οὕτω τῶν βρεφῶν ἐπιμελητέον, τὰ δέ, πρὸς τὴν θηλάζουσαν, ὅτι οὕτως αὐτῷ τὸ γάλα δοκιμαστέον, καὶ τάδε μὲν βρωτέον, ἐκείνων δὲ ἀφετέον· καὶ τὰ μέν, γελάσω, τὰ δέ, ἀνιάσομαι, τὰ δέ, φιλοσοφήσω, τὰ δέ, ἀποδύρομαι, καὶ τῶν φιλτάτων τοῖς μὲν συγκλαύσομαι κλαίουσι, τοῖς δέ, συγχαρήσομαι χαίρουσι. Καί, νὴ τὸν φίλτατόν μοι ἐπὶ τῶν κρίσεων, ἀρῶ σοι πολλάκις ἐπὶ τῶν ἀγκαλῶν τὸ παιδίον, καὶ μετεωρίσω συμπαλαμησάμενος ἀκριβῶς ταῖς χερσί, καὶ συνδιατεθήσομαι παιδικοῖς σχήμασι καὶ μορφώμασι· διαπέπλασταί μοι γὰρ ἡ ψυχὴ πρὸς πᾶσαν ἰδέαν καὶ μουσῶν καὶ χαρίτων, καὶ οὐχ ὥσπερ αἱ χορδαὶ ἢ σύντονός εἰμι μόνον ἢ ἐναρμόνιος, ἀλλὰ παντοδαπὸν ἔχω τὸ μέλος, νῦν μὲν λιγυρὸν καὶ ἡδύφωνον, νῦν δὲ συντεταμένον τε καὶ γενναῖον.

Καὶ τὸ μὲν ἐμὸν τοιοῦτον, σὺ δὲ εἴης πρῶτα μέν, ἐρρωμένως ἔχων τοῦ σώματος, ἔπειτα ἐφ' ἧς ἔχεις διαθέσεως, ἤτοι ἐρασμίως καὶ τῶν παίδων, καὶ τῷ νεογιλῷ συναττάλεις ἀττάλοντι

νῦν καὶ συνσκιρτῴης, ἔχοις δὲ ἀσφαλῶς ἀπρὶξ ταῖν χεροῖν ὁπότε μετεωρίζεις αὐτό, ὥςπερ γὰρ δέδια περὶ τοῦτο.

## 158. Τῷ κριτῇ Καππαδοκίας.

Καππαδόκαι οὗτοι καὶ μοναχοί, ὡς ὁρᾷς, καὶ φίλοι ἐμοί, ὅπερ ἀγνοεῖν ἔοικας· τί ποτ' οὖν ἀπηριθμησάμην ταῦτα; ἵνα καὶ ὡς ἐπαρχεώτας, καὶ ὡς θεῷ καθωσιωμένους, καὶ ὡς ἐμοὶ διὰ φιλίαν προσήκοντας, τὸ μέν, περιποιῇ, τὸ δέ, σέβῃ, τὸ δέ, ἀγαπᾷς. Τὸ μὲν γὰρ πάλαι τοῖς ἀνδράσι κεχρεώστηκας, τὸ δέ, ὡς ἀναγκαῖον ἀπαιτῇ, τὸ δέ σοι κατὰ συλλογισμὸν πρόεισιν· εἰ γὰρ σὺ μὲν φίλος ἐμός, ἐγὼ δὲ τῶν ἀνδρῶν, τὸ λοιπὸν αὐτὸς σύναξον· σὺ γὰρ καὶ συμπερανεῖς τὴν ὑπόθεσιν συναφθεὶς αὐτοῖς διὰ μέσων ἡμῶν.

φ. 225ᵛ. Ἀρκεῖ ταῦτα πρὸς ἄνδρα σο|φόν· τὸ γάρ τοι κεφάλαιον τὴν πρὸς τοὺς μοναχούς σε φιλίαν ἀπητήσαμεν, τοὐντεῦθεν δὲ δι' ἃ φιλεῖν ἐθέλουσιν, αὐτὸς ἀποδώσεις.

## 159. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ.

Ἀπεστέρησάς με, θεοτίμητε δέσποτα, μετὰ τοῦ πρωτοτύπου καὶ τῶν συμβόλων· ἢ μᾶλλον σοὶ μὲν τὸ ἀρχέτυπον καὶ τὸ σύμβολον ὁ ἰχθὺς εἰς τοὐμφανὲς τὸ κατάλληλον κάλλος παραδεικνύεται, ἐγὼ δὲ ἐν ἀμφοῖν εὐτυχήσας πάλαι, νῦν κατ' ἄμφω ἠτύχηκα, καὶ σὲ μὲν ζητῶν οὐχ ὁρῶ ὅσον ἐρῶ, ὁ δέ με μεταδιώξας, δεῖ γὰρ οὕτως εἰπεῖν, παρὰ πόδας κατόπιν ἐλήλυθε, καὶ ὁ μὴ θηραθεὶς ἠτύχηκα, καὶ ὅτι μὴ ἐντὸς ἐγενόμην τῆς ἄγρας παρευδοκίμημαι· καὶ πᾶσα νῦν ἡ σκηνὴ τῆς τύχης μεταπεποίηται, καὶ κατ' ὀλίγον μοι συμπαγεῖσα, ἀθρόον καὶ παρ' ἐλπίδας μοι καταβέβληται· τί τοσοῦτον ἠδικηκότι, τί δὲ τῶν μὴ

καθηκόντων πεποιηκότι; Ἀλλ' ὅμως ἀτυχεῖν ἔδει με, καὶ ἠτύχηκα, καὶ πάντα μοι εἰς ἐναντίας ὑπολήψεις παραπεποίηται· ὅτι μὲν γὰρ τῶν πολλῶν ὁρῶν τι πλέον μετὰ τῶν περιέργων ἠρίθμημαι, ἁπλοῦς δὲ ὢν τὴν ψυχήν, ποικίλος ὑπείλημμαι, καὶ ὁ λόγος κακοτεχνία δοκεῖ, καὶ τὸ σοφῶς γράφειν εἰς ὑποψίαν κινεῖ, καὶ τὸ ἐρᾷν τῆς σῆς ὁμιλίας, πολυπραγμοσύνης δίδωσιν ἔμφασιν· ἂν μεγαλοψύχως ἐνέγκω τὸ πρᾶγμα, καταπεφρόνηκα· ἂν ἀλγήσας μικροψυχήσω, ἐξύβρικα· ἂν πεῖσαι προθυμηθῶ, ἠσέβηκα, ὅτι κατὰ τῶν κρειττόνων ὀμώμοκα. Ἆρ' οὖν οὐ πολλὰ ταῦτα δοκεῖ καὶ ὑπερφυῶς σχέτλια;

Ἀλλὰ λύσις τούτων ἁπάντων μία καὶ ῥάστη· ἂν γὰρ ἠρεμεῖν ἐθέλω, ὁ σύνδεσμος τῶν κακῶν διαλέλυται. Καὶ πολλάκις μὲν ἐπεχείρησα τοῦτο ποιεῖν, ἀλλ' ὑπὸ τῶν ἐνθυμημάτων ἀπόλλυμαι, ἅ με πρὸς σὲ ὅλοις κέντροις ὠθοῦσι, καὶ τῆς ἐπιχειρήσεως ῥᾷστα μετατιθέασι· σὺ δέ μοι τέχνην ποιεῖς καὶ τὴν δοκοῦσαν ἀποστροφήν· ἐξ ἡμισείας γάρ μοι ἀποκρυπτόμενος, ᾧ μὲν ἐμφανίζῃ, ἕλκεις, ᾧ δὲ κρύπτῃ, κατέχεις· εἰ δ' ἅπαξ μοι τὰς θύρας ἐπιζυγώσας ἀπήλασας, τάχ' ἂν τὴν πρὸς σὲ φέρουσαν ἀπογνούς, ἐτραπόμην ἑτέραν. Καὶ σὺ μὲν ἴσως, ἵν' οὕτως εἴπω, θρύπτῃ καὶ ἀκκίζῃ, τὸ μέν τι τοῦ ποθουμένου παραδεικνύς, τὸ δέ, ἔχων ἀθέατον.

Ἐγὼ δὲ μικροῦ δεῖν ἐξεπεπνεύκειν βραχεῖ τινι μορίῳ ἀναπνέων τοῦ πνεύματος· τἄλλα μὲν γὰρ καρτερῶς ἔχω, καὶ τῶν τεχνῶν, καὶ τῶν ἐπιστημῶν, καὶ τῶν τῆς ἀρετῆς ἕξεων, τὸ μέν, προσλαμβάνων, τὸ δέ, προσμένων, ὥς τε προσλείψεσθαι παρὰ βραχὺ τῆς σῆς θέας ἐλθών· ὡς τοῦ παντὸς ἐστερημένος βοῶ. Καὶ τὸν ἥλιον πολλάκις νέφεσι καλυπτόμενον ἐκαρτέρησα, καὶ τὴν σελήνην οὐκ ἀποδυσπετῶ ἀφώτιστον πολλάκις ὁρῶν, σὲ δέ, εἰ μὴ πλησιφαῆ θεάσομαι, εἰ μὴ ὅλῳ τῷ κύκλῳ πεφωτισμένον. ὡς τὰ ἔσχατα περιυβρισμένος ἀσχάλλω καὶ δυσφορῶ. Ὅτι με γὰρ καὶ οὕτως ἔχων, τῶν πολλῶν προτιμᾷς, οὐ δέομαι τοῦ

δικάζοντος· ἀλλ' ὅτι μὴ ὅλον, πῶς ἂν εἴποιμι ἐπισπῶμαί σε καὶ ὅλαις περικυκλῶ ταῖς χερσίν, ἀτιμίαν τὴν κόλασιν τῆς ἀπληστίας λογίζομαι· καίτοι πόσοις ἐμαυτὸν κατεπᾴδω τοῖς λογισμοῖς, πόσοις ἐμαυτὸν παραμυθοῦμαι τοῖς παραδείγμασι, παλαιοῖς, νέοις, τοῖς παρ' Ἑλλήνων, τοῖς παρὰ βαρβάρων, φυσικοῖς, θεολογικοῖς; οὔτε γὰρ τὸ θεῖον πᾶν ὅσον ἐστὶν ἐφικτόν, οὔθ' ἡ φύσις πᾶσα νενόηται.

Ἀλλὰ Μωσῆς μὲν τὰ τοῦ θεοῦ τεθεαμένος ὀπίσθια, ὡς τὸ πᾶν λαβὼν τῆς ἐφέσεως εὐγνωμόνησεν, Ἀβραὰμ δὲ ἐν συμβόλοις ξενίσας τὸ θεῖον, οὐ πόρρω τῆς εἰκόνος ἐχώρησεν, οἱ δέ γε πλείους τῶν εὐδοκιμηκότων καὶ πρὸς τὰς φωτεινοτέρας λαμπηδόνας ἀπέμυσαν, ἐμοὶ δὲ κάθηται ἡ καρδία ὥς πέρ τις ἐν ἀκροπόλει τύραννος, ὅλον σε βιαζομένη καταπιεῖν, ἀπλήστως περιλαβεῖν· ἂν μὲν οὖν ἀντιβιάσωμαι, κατατρύχομαι, ἂν ἡττηθεὶς ἴδω σε τὸν ποθούμενον, ἔτι μᾶλλον ἡττῶμαι τυραννηθεὶς καὶ τοὺς ὀφθαλμούς.

Τί μοι τὸν ἰχθῦν; σαυτὸν δίδου ὡς τὸ πρὶν μετὰ τῆς συνήθους ἁπλότητος.

## 160. Τῷ αὐτῷ.

Ὄντως πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον· εἰ δὲ βούλει, τὸν λόγον γυμνάσωμεν οὑτωσί· καὶ σὺ μὲν ἔσο θεὸς ἐμοί, καὶ οὐδεὶς ἡμᾶς αἰτιάσαιτο λέγοντας, τοῦτο γὰρ δίδωσί σοι ἡ τελειότης τοῦ χρίσματος, ὁ δ' ἀνεψιός, οὐ γὰρ ἔχω τούτου κρείττων ἐγκώμιον, ἐγγύτερος ἐμοῦ τὰ πρὸς σέ· δίδωσι μὲν οὖν κἀκεῖνος διαβιβάζων τὰ σά, ἀλλ' ἀτελέστερα διὰ τὴν μεσότητα· τὰ δὲ παρὰ τῆς σῆς δεξιᾶς, ὑπερτελῆ καὶ ἐξαίρετα· ὅ τε γὰρ κύκλος μείζων καὶ περιεκτικώτερος, τὸ δὲ βάθος, οἷον τὸ γεωμετρικὸν σῶμα ἀκριβῶς στερεόν. Ἔχω τοίνυν τὴν ὅλην εὐδαιμονίαν, τὸ μέν, παρὰ σοῦ, τὸ δέ, διὰ σοῦ· καὶ μή μοι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸν λόγον κακίσῃς, σκόπει γὰρ ὡς ἀληθῶς εἴρηκα. Οὐκέτι τῶν τῆς σκιᾶς ἐδεσμάτων ὁ ἰχθὺς ἀτελέστερος, ἀλλ' ἄρτος ἀγγέλων ἐκεῖνα τῷ Ἰσραὴλ ὀνομάζεται, οὗ τί ἄν τις μεῖζον ἐρεῖ; εἰ δὲ τῷ ἐλάττονι τὸ ἑπόμενον τηλικοῦτον, ποταπὸν ἂν εἴη τὸ ἐμὸν ἀγαθόν;

Ἀλλά μέ τις λέγοντα λογισμὸς μεταξὺ ἔθραυσε, καὶ ἀποδειλιάσω πρὸς σὲ εἰπεῖν τὸ μυστήριον· οὐ πάνυ μοι νενόμισται ἡ δωρεὰ ἄμεσος, οὐ γὰρ ἀπὸ τῆς σῆς λαμβάνω ταύτην χειρός, ἀλλ' ἕτεραί μοι χεῖρες τὸ δεδομένον διακομίζουσιν· ὢ τῆς βασκάνου μοι τύχης. Ἐπειδὴ γὰρ οὐχ ὅλης με τῆς εὐδαιμονίας τειχίζειν δεδύνηται, ἀχλύν τινα ἐπιχεῖ τῷ φωτί, καὶ νέφει, εἰ καὶ βραχεῖ καλύπτει τὸν ἥλιον· ἀλλ' ὢ πόσοι μίσθιοι τῷ κοινῷ συνευωχοῦνται πατρί, ἐγὼ δὲ λιμῷ μὲν οὐκ ἀπόλλυμαι, ζήλῳ δὲ ὑπερκαίομαι, καὶ ταῦτα οὔτε τὴν πατρῴαν οὐσίαν ἐδηδοκώς, οὔτε εἰς χώραν ἀποφοιτήσας μακράν, | ἀλλὰ καὶ τηρήσας φ. 226.
τὸν κλῆρον ἀμείωτον, ἵνα μὴ λέγω ὅτι καὶ τάλαντα τραπεζιτεύσας προστέθεικα, ἐγγύς που σκηνώσας τῆς πατρῴας αὐλῆς; κἀκεῖνο μὲν οὐκ ἂν ἐγκαλέσαιμι, ὡς οὐδέποτέ μοι ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ, ἀλλ' ὅτι με τῆς κοινῆς τραπέζης καὶ τῶν συντρόφων ἀλῶν· ἐκεῖνα μὲν οὐκ ἂν ἀπαιτήσαιμί σε, τὴν πρώτην στολὴν καὶ τὸν ἐπὶ τῇ χειρὶ δακτύλιον, τοῦ γὰρ σιτευτοῦ μόσχου πολλοῦ δέω συγκοινωνεῖν σοι, τῶν δὲ ἀπὸ τῆς τραπέζης σου πιπτόντων ψιχίων, διατί μὴ ἀπολαύω κἂν ὡς κυνάριον;

Ἐγὼ μὲν οὐδὲν ἐμαυτῷ τοιοῦτον κατασεσυκοφάντημαι, ἢ συνεπίσταμαι, καὶ ὅρκον οὐκ ἂν προσθείην, ἵνα μὴ καὶ πάλιν ἡμῖν τὸν λόγον οἱ ἰχνηλάται θηράσωσιν· εἰ δὲ βούλει, ἀναπεπλάσθω μοι ὅσα ἂν ἐνδοίης τοῖς πονηροῖς τε καὶ κακοήθεσι· τί οὖν παρὰ ταῦτα κεκλείσεταί μοι ἡ αὔλειος; ἢ τὴν παράθυρον ὑπερβὰς καὶ κλέψας τὴν εἴσοδον, ὕποπτος δόξω; καὶ στρέψεις δι' ἐμὲ τὸ πρόσωπον ἐπὶ θάτερον; ὁ δὴ πεπονθὼς ἅπαξ ὡς

ἔδοξα, ὥςπερ οἱ κατακώχιμοι τοῖς αὐλήμασι σκιάν τινα τῆς ὕβρεως ἕλκω, καὶ ὁρᾶν δοκῶ τὸ ἅπαξ γενόμενον.

Μέχρι τίνος ῥεύσουσιν ἡμῖν οἱ ποταμοὶ τὸν ἰχθῦν; ἡ μεγάλη ἀνεωχθήτω μοι θάλασσα, τὸ μέγα τῆς φιλανθρωπίας πέλαγος, καὶ δός ποτε συγγνώμην μὴ ἁμαρτήσαντι, ἀλλ' οὐδ' αὖθις ὁμοῦμαι, τί λέγω μὴ ἁμαρτήσαντι; μᾶλλον μὲν οὖν σφοδρῶς τῶν ἡμαρτηκότων κατηγορήσαντι· κἂν εἰ τἄλλά μοι ἀφεὶς ὁ ἀδέκαστος δικαστὴς ἐλαττώματα, ἐπὶ τοῖς σοῖς ταλάντοις δικάσῃς, οὐκ ἐκ δεξιῶν μόνον, ἀλλὰ καὶ ἐγγὺς στήσεις τοῦ βήματος· καί μοι βραχὺ τοῦ ἤθους δέξαι μαρτύριον· τίνι τῶν πάντων ἀνθρώπων ἠγνωμονήσαμεν, ἢ προσεπταίκαμεν; ἄτοπον δέ, εἰ παρὰ τοῖς ἄλλοις, ἐλάττοσιν ἴσως οὖσι τοῖς πλείοσι, τὴν γνώμην βεβαιωσάμενοι, παρὰ σοὶ τῷ καὶ τιμήσαντι, καὶ υἱοθετήσαντι εἰπεῖν, ἠλλοιώσαμεν;

## 161. Πρὸς τὸν βασιλέα [Ἰσαάκιον] τὸν Κομνηνόν.

Τολμήσας καὶ αὖθις ὁ ἀνάξιός σου δοῦλος ἐγὼ καὶ πάντων ἀνθρώπων εὐτελέστατος καὶ οἰκτρότατος, μᾶλλον δὲ θαρρήσας ἐπὶ τῷ πρός με ἀφάτῳ ἐλέει σου, καὶ ταύτην τὴν γραφὴν χαράττω τῷ κράτει σου, ἀλγῶν μὲν καὶ ὀδυνώμενος ὅτι τῆς κατὰ πρόσωπον ὁμιλίας ἐστέρημαι καὶ τῆς συνήθους ἀπελήλαμαι σωτηρίας, χρώμενος δὲ ὅμως, ἀντὶ λόγου ζῶντος, τῷ γράμματι καὶ παραμυθούμενος ἐμαυτόν.

Πρῶτα μὲν οὖν θειότατε βασιλεῦ, τὴν δυνατὴν εἰσῆγον συμβουλίαν τῷ κράτει σου, καὶ γνώμην ἀπέραινον περὶ τῶν πραγμάτων τὴν δόξασαν, οὐχ ὡς πλέον τῆς σῆς ὑπερφυοῦς καὶ ἀνικήτου ψυχῆς, ἀλλ' ὡς σοῦ μετριοφρονοῦντος καὶ πρὸς τοῦτό με παροτρύνοντος, ὅπερ ἀεὶ ποιεῖν εἴωθας· νῦν δὲ οὐ συμβουλῆς ὁ καιρός, ἀλλ' ἐπαίνων καὶ ἀριστείων καὶ τῆς ἐφ' οἷς κατώρθωκας εὐφημίας. Εἰ γὰρ καὶ μήπω τὸ τέλος τῶν πολλῶν σου

καὶ μεγάλων ἀγώνων ἀκήκοα, μὴ δὲ τὸ μέγα τῆς σῆς στρατηγίας κεφάλαιον ἔγνωκα, ἀλλ' ὡς ἤδη νενικηκότα καὶ κατωρθωκότα τὸ πᾶν λογίζομαι· καὶ ἔτι καθ' ὑπερβολὴν ἐρῶ ὡς, εἰ καὶ μηδὲν πέρας αἴσιον τοῖς σοῖς ἀπήντηκεν ἀγωνίσμασιν, ἀλλ' ἕνεκά γε τῆς προθυμίας καὶ τοῦ καταθαρρῆσαι τοσοῦτον κίνδυνον, πάντων ἀποτρεπόντων τὴν ἀπὸ τῆς Πόλεως ἔξοδον, στρατόπεδόν τε τοσοῦτον ἀθροῖσαι καὶ οἰκονομῆσαι, βουλὰς τὰς τοσαύτας ἐνθυμηθῆναι, καὶ τέχνας στρατηγικὰς μηχανήσασθαι, κατὰ τάξιν τε προϊέναι καὶ συντεταγμένως βαδίζειν, καὶ μόνῳ νεύματι τοσοῦτον λαὸν ἐξαρτᾶν, καὶ ἐπὶ τῇ τῆς σῆς κεφαλῆς στροφῇ καὶ μεταστροφῇ ἱστᾶν τε τὰς φάλαγγας καὶ αὖθις κινεῖν, καὶ δεδιότας θαρσύνειν, καὶ θρασυνομένους ἀναστέλλειν, τάς τε ἀναγκαίας αὐτοῖς τροφὰς πάντοθεν συμπορίζειν, καὶ τὰ τούτων κρείττω καὶ ὑψηλότερα, κατατεμεῖν τὴν βάρβαρον στρατιάν, καὶ τοὺς προσδοκωμένους συμμάχους ἐπισχεῖν καὶ πρὸς ἑαυτὸν μεταστήσασθαι, καὶ αὐτὸν δὲ τὸν πολέμιον εἰς βάραθρόν τι συνωθῆσαι ἀδιεξόδευτον· καὶ ἵνα μὴ τὰ πλείω καθεξῆς ἐρῶ, ταῦτα δὴ καὶ μόνα ἀρκοῦσιν εἰς μέγα στρατηγίας ἐγκώμιον, καὶ μεῖζον τῆς σῆς μεγαλοψυχίας ὑπόδειγμα, ὅτι ἑτέρων ἡμαρτηκότων αὐτοκρατόρων, προκινδυνεύεις αὐτός· κἀκείνοις μὲν οὐκ ἐμέλησεν ὧν δεδράκασι, σὺ δὲ τούτοις ἀπεκρύψω τὰ ἐλαττώματα, καὶ τῇ βασιλείᾳ περιέτρεψας τὴν αἰσχύνην εἰς εὐδοξίαν.

Ταῦτα μὲν οὖν, κἂν μηδείς τις ὑπὲρ τούτων ἐρεῖ, οἱ λίθοι κεκράξονται, καὶ φωνὴν ἄνωθεν ἀφήσει ὁ οὐρανός, καὶ αὐτὰ δὴ τὰ ἄψυχα τὴν σὴν ἀποσαλπίσουσιν ἀρετήν. Ἐγὼ δέ, ὃν μετὰ τῶν ἐλλογίμων αὐτὸς ἠρίθμηκας, καὶ ὃν διατελεῖς ἐπαινῶν, καὶ οὗ τὴν γλῶτταν θαυμάζεις φιλοσοφοῦσαν ἢ ῥητορεύουσαν, μετὰ πάντων καὶ τοῦτο προστίθημι· εἰ μὲν ἤδη τὸ πᾶν ἤνυσας, ὦ βασιλεῦ, καὶ κατώρθωκας, οὐκέτι λόγος οὐδείς, εἰ δὲ ἔτι τὸ τοῦ πολέμου τέλος ᾐώρηται, τρεῖς σεαυτῷ τάξεις τῶν κατορθωμάτων ἀνάπλασον, μείζονα, καὶ μέσην, καὶ τελευταίαν· καὶ

ἔστω μείζων μέν, ὁ παντελὴς τῶν βαρβάρων ἀφανισμός, μέση, ἡ πρὸς ἕτερον τόπον μετασκήνωσις αὐτῶν καὶ μετάθεσις, ἣν ἐγὼ καὶ πρώτην καλῶ, τρίτη καὶ τελευταία, ἡ τούτων ὑποταγή, ἀληθεύουσα καὶ τοῖς σχήμασι καὶ τοῖς πράγμασι, καὶ μέχρι παντὸς τὸν φόβον καὶ τὴν ὑπόκλισιν ἔχουσα· ἵνα, εἰ μὲν τοῦ μείζονος τύχῃς, μεγίστην χάριν ἕξεις θεῷ τῷ πάντα μεταποιοῦντι πρὸς τὸ συμφέρον καὶ μεταβάλλοντι, εἰ δὲ καὶ τῆς δευτέρας, ἢ καὶ τρίτης, καὶ οὕτως ἐπασμενίσῃς τῷ πράγματι, καὶ ἀποχρῶν ἡγήσῃ τὸ πεπραγμένον κατόρθωμα.

Περὶ μὲν τούτων, οὕτως ἔχει· νενικηκὼς δὲ σὺν θεῷ φᾶναι θειότατε βασιλεῦ, τότε μοι ὡς ἀληθῶς φιλοσόφησον, καὶ μὴ ἐπαρθῇς τῷ κατορθώματι, μὴ δὲ μέγα φρονήσῃς ἐπὶ τῷ τροπαίῳ, ἀλλὰ τηνικαῦτα μᾶλλον καὶ περὶ σεαυτοῦ ἀσφαλέστερος γενοῦ καὶ περὶ τὸ σὸν στρατόπεδον· εἰώθαμεν γάρ πως οἱ ἄνθρωποι ἐν μὲν ταῖς ἀδήλοις ἐκβάσεσι τοῦ σκοποῦ σωφρονεῖν τε καὶ καταστέλλεσθαι, εὐτυχήσαντες δὲ πρὸς ἀλαζονείαν ἐπαίρεσθαι· λέγω δὲ οὐ περὶ σοῦ ταῦτα, μὴ τοσοῦτον μανείην, ὃν οἶδα κανόνα μεγαλοφροσύνης ἅμα καὶ μετριότητος, ἀλλὰ καὶ περὶ τῶν στρατευομένων ἐν τοῖς τάγμασι, καὶ οὐδὲ περὶ τῶν ἡγεμόνων τῆς στρατιᾶς, ἀλλὰ περὶ τῶν ὑποτεταγμένων αὐτοῖς.

φ. 226ᵛ. Ἀγησίλαος οὖν ὁ μέγας ἐκεῖνος καὶ ὀνο|μαστότατος βασιλεὺς τὴν μετὰ πόλεμον εἰρήνην ἐδεδίει μᾶλλον, ἢ τὸν πρὸ τῆς εἰρήνης πόλεμον· ὅθεν μαχόμενος μέν, εὐθαρσὴς τοῖς πᾶσι καὶ ἀνειμένος ἐφαίνετο, τροπαιοφόρος δὲ γεγονώς, ἐσκυθρώπαζε τὰ πολλὰ καὶ περιεβλέπετο τὸ στρατόπεδον, καὶ τὸ θράσος αὐτοῖς κατέστελλε, καὶ τὴν ἀπὸ τῆς εἰρήνης διάχυσιν εἰς εὐφροσύνην μετέστελλεν.

Ἀλλὰ τί μάτην ληρῶ; πρὸς τίνα δὲ αὐτοκράτορα τοὺς λόγους ποιοῦμαι, οὗ τὰ μὲν στρατηγήματα οὐδὲν ἐλάττονα τῶν Μακεδόνων καθέστηκεν, αἱ δὲ γνῶμαι καὶ τὰ βουλεύματα ἀσύγκριτα πάντα καὶ ἀπαράμιλλα, ἡ δὲ αἰδώς, τὸ ἥμερον βλέμ-

μα, ἡ δὲ παιδιᾶς ἀνάμεστος γλῶσσα, καὶ τὸ ἐπὶ τοῖς λόγοις μέτρον, καὶ τὸ μέχρι καὶ τῶν ὀφρύων ἐγκαθήμενον φρόνημα, καὶ τἆλλα ἡρωϊκῆς πάντα καὶ γενναίας ψυχῆς; Ἀλλ' ἀνέχου τῆς ἐμῆς ἀδολεσχίας, σὺ γάρ μοι τὸ λέγειν προτρέπεις καὶ τὴν γραφὴν ἐπιτρέπεις, οὐκ οἶδ' ὅπως τῆς ἐμῆς ἡττημένος γλώττης, καὶ τῆς ἐμῆς ἀγαπῶν ἀκούειν φωνῆς.

Ἀλλ' ἐπανέλθοις ἡμῖν τάχιον, θειότατε αὐτοκράτορ, ποθοῦσι ποθούμενος· ἕστηκεν ἡ σὴ πόλις ἐπὶ τῇ σῇ ἀνατολῇ καὶ τῇ πρὸς αὐτὴν ἀφίξει μετέωρος, πάλαι μὲν δακρύουσα ἀπολιπόντος αὐτήν, νῦν δὲ γηθομένη λαμπρότερον ταύτῃ ἐπανατέλλοντος.

Πλὴν μὴ οἴου, θειότατε βασιλεῦ, μόνος κατορθωκέναι τὸν πόλεμον· συνηγωνίσατο γάρ σοι τοῦτον καὶ ἡ βασιλίς, τὸ μέγα τοῦ γυναικείου γένους ἄγαλμα καὶ καλλώπισμα· καὶ οὐ θωπεύων λέγω, ἐπὶ θεῷ μάρτυρι, ἀλλὰ μὴ δὲ αὐτὴν καθαρὰν τὴν ἀλήθειαν παραδεικνῦναι δυνάμενος· αὕτη γάρ σοι τὴν Θεομήτορα συνεξέπεμψε, πρεσβεύουσα, ἱκετεύουσα, τίνα οὐκ ἀφιεῖσα δάκρυα, ἢ πόσον μέρος ἀποκαθεύδουσα τῆς νυκτὸς μετά γε τῆς θυγατρός; Κοινὸς οὖν ἀμφοῖν ὁ ἀγών, κοινὸν καὶ τὸ τρόπαιον.

Καὶ περὶ μὲν ὑμῶν λόγος πολύς, κἀγὼ τὸ μέγα ὑμῖν ἀναγράψω ἐγκώμιον, οὐ μακρὰν δὲ τῶν ἀξίων ἐπαίνων καὶ οἱ ἐφεστηκότες σύνδουλοί μου τοῖς πράγμασιν, ἡμέρως καὶ προσηνῶς, δικαίως τε καὶ ἐπιεικῶς τὰ κοινὰ διεξάγοντες καὶ ὡς οὐκ ἄν τις ᾠήθη καὶ προσεδόκησεν. Εὖ οὖν ἴσθι, φιλανθρωπότατε βασιλεῦ, ὅτι τὴν εὐτυχίαν καὶ τὴν εὐδοξίαν ἐν πᾶσι τοῖς σοῖς ἀπεκλήρωσεν ὁ θεός, ἐν πατράσιν, ἐν γυναικί, ἐν θυγατρί, ἐν ἀνεψιοῖς, ἐν φίλοις, ἐν ὑποχειρίοις αὐτοῖς.

162. Ἐπιστολὴ δοθεῖσα παρὰ τοῦ τηνικαῦτα μαίστωρος τῶν Διακονίσσης πρὸς τὸν πατριάρχην, αἰτοῦντος τὴν σχολὴν τοῦ ἁγίου Πέτρου.

Τολμηρὸν τὸ γράμμα, ἀλλ' ἀναγκαῖον ἐμοί, ἁγιώτατε καὶ θεοειδέστατε δέσποτά μου, καὶ πάντοθεν ἄπορον· σιωπῶν μὲν γὰρ τοῖς τῆς ἀθυμίας κατατιτρώσκομαι βέλεσι, λέγων δὲ θρασύτητος οὐκ ἐκφεύγω γραφήν, οὐ παρὰ σοὶ δικαστῇ εὐμενεῖ τε καὶ ἱλέῳ καὶ ἀκροατῇ τῶν ἐμῶν ὀδυνῶν, καὶ ὕπεχέ μοι καὶ νῦν τὴν κριτικωτάτην σου καὶ διακριτικὴν ἀκοήν.

Τὸν πάντα μοι τῆς ζωῆς χρόνον βιβλίοις καὶ λόγοις καταναλώσας, οὐδὲν ὅτι μὴ λεληθότως πρὸς αὐτὸ τὸ γῆρας κατήντησα, οὕτως ἀκλεές, οὕτως ἀνιαρόν, ὡς τοῖς πᾶσι κεῖσθαί με κοινὴν ὕβριν καὶ καταπάτημα· παρεώραμαι γὰρ πάντη καὶ καταπεφρόνημαι, καὶ ὡς σκεῦος λελόγισμαι ἄχρηστον. Τῆς δὲ παιδείας ἀπωνάμην οὐδέν, ὅτι μὴ καὶ πλατὺν γέλωτα· σὺ μὲν γὰρ ὁ θειότατός μοι δεσπότης τῆς παιδεύσεως μισθοὺς ὥσπερ ἀποδιδούς, τοῦ τηνικαῦτα ἀργοῦντος παιδευτηρίου προέστησας, ἵνα καὶ οὓς ἐνεπορευσάμην λόγους πρὸς τοὺς βουλομένους διαβιβάσαιμι, καὶ τὰ παρ' ἐκείνων ἀγώγιμα ἀντιλάβοιμι· τὸ δέ μοι γέγονεν εἰς βραχύ, ἢ οὐδὲν ὄφελος. Λογοπραγεῖν γὰρ μὴ μεμαθηκώς, κενὴν τὴν ἐμπορίαν ποιοῦμαι· τὸ δέ μοι βαρύτατον, ὅτι μοι καὶ τὸ πατρῷον ἔδαφος πόρρω ποι κείμενον τῆς σχολῆς, τῆς καθημέραν ταλαιπωρίας αἴτιον γίνεται· ἀνάγκη γάρ με βαδίζειν ὁσημέραι χαλεπὴν ὁδόν, ἀργαλέην τε, συντρίβειν τε καὶ συντρίβεσθαι, καὶ τὴν ἀγορὰν κατατρίβειν, εἰθισμένον ἐν οἰκίσκῳ πάλαι καθῆσθαι καὶ προσέχειν βιβλίοις.

Εἶτα ἠρώτησας ὁ ἐμὸς δεσπότης καὶ κηδεμών, οὗ τινος ἕνεκα ἐσκυθρώπακά τε καὶ κατωχρίακα; ἐρῶ οὖν νῦν, τότε μὴ τολμήσας ποιήσασθαι τὴν ἀπόκρισιν, ὅτι μηδέν μοι θυμῆρες προσ-

γίνεται, ὅτι μοι πᾶσα θύρα προνοίας ἀποκέκλεισται, καὶ στενά μοι πάντα τὰ τοῦ βίου προσγέγονεν. Ἀλλ' οἴκτειρον, ἀλλ' ἐλέησον, ἀλλ' ἰάτρευσον, ἀλλ' ἀνακάλεσαι ὁ μόνος εἰδὼς τοῖς πάσχουσι συναλγεῖν, καὶ χεῖρα ὀρέγειν, καὶ τὰς τῆς καρδίας ἀλγηδόνας ἰᾶσθαι· ἔστί τις καὶ παιδευτῶν εἰς μείζονα παιδευτήρια προκοπή, ἔστι κἂν τούτοις πρόοδος καὶ προτίμησις, καὶ τὴν τοῦ λείποντος χώραν ὁ μετ' ἐκεῖνον ἀναπληροῖ· ἀπάλλαξόν με τῆς ἐσχάτης διακονίας, τῷ μείζονι βαθμῷ με προσβίβασον· στῆσον ἐπὶ πέτρας πολλοῖς πειρατηρίοις κλονούμενον· μυσταγωγόν με τοῦ κορυφαίου δεῖξον χοροῦ, ἵν' ἐντεῦθεν ῥᾳδία μοι καὶ ἡ πρὸς τὰ κρείττω ἄνοδος γένηται, καὶ τῆς πρὸς τὰ κρείττω φερούσης ὁδοῦ ἐπιτυχὴς ἔσομαι.

## 163. Τῷ ἐπὶ τῶν οἰκειακῶν.

Ἐγώ σε τὸν τηλικοῦτον ἐν φρονήσει καὶ γνώσει καὶ τῇ πρός με φιλίᾳ, καὶ ᾧ μηδεὶς ἂν παρεικασθείη, τανῦν περὶ νομίσματος ἀξιῶ, ὥς περ ἂν εἴ τις μικρολόγος ἀνὴρ αἰτοίη θεὸν ἄλσος βραχύ, διδόντα παράδεισον, ἢ ψεκάδας ὀλίγας, πηγὰς ἀφιέντα. Καὶ τό γε μεῖζον οὐκ ἀξιῶ, ἀλλὰ δικαιολογῶ, καὶ μάρτυς αὐτὸς ὁ ἀνατιθέμενος, ᾧ καὶ μαρτυρῶ προσώπῳ, φαύλῳ μέν, ἀλλὰ συγγενοῦς· συγγενῶν δὲ τίς ἂν ἀποκρούσαιτο τυραννίδα; εἰδότι λέγω, δι' οὓς καὶ σὺ τετυράννησαι· μήποτε δὲ οὐκ ἀπᾴδουσα ἡμῖν ἡ ἀξίωσις, φιλόσοφος γὰρ καὶ συμβεβηκυῖα, εἰ καὶ μὴ τῷ πράγματι, ἀλλὰ τῷ ὀνόματι. Τὸ γὰρ γένος τοῦτο, φίλτατε ἀδελφέ, ὅταν μὲν πρὸς τὴν νοητὴν ἰδέαν ἐπιστραφῇ, ὅλην ἕλκει τὴν οὐσίαν τοῦ ὄντος, καὶ οὐ κορέννυται κορεννύμενον· ὅταν δὲ καταχθῇ πρὸς τὴν αἴσθησιν, τὸν πλοῦτον μεταποιεῖ τῆς ὀρέξεως, ὀβολοῖς καὶ στατῆρσι περιορίζον τὴν ἔφεσιν.

Ὁρᾷς οἷον ἡμῖν ὄλβον νοήματος ἡ πενία τῆς αἰτήσεως ἀπεγέν|νησεν; Μὴ οὖν ἀτιμάσῃς ὅτι πένησσα ἡ γεννησαμένη, ἀλ- φ. 227

λ' ὅτι παῖδας εὐδαίμονας ἀποτίκτειν οἶδε, τίμησον καὶ σεβάσθητι, τὸ τοῦ λόγου κεφάλαιον, ἵν' οὕτως ἀφελῶς εἴπω, ἐπίδος τῇ γυναικὶ τὸ ἐπιλαγχάνον αὐτῇ νόμισμα, αὐτὴ ἐστί, νὴ τὴν τριπόθητόν σου ψυχήν.

## 164. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ.

Συνεκεφαλαίωσας ἡμῖν τῶν εὐεργεσιῶν τὰς χάριτας, ἀποπέμψας τῶν ἀγαθῶν τὸ κεφάλαιον, μᾶλλον δὲ μετὰ τὸν ποταμὸν τὴν πηγήν· οἵαν δὲ καὶ ἰδὼν ἐφθεγξάμην φωνήν· τί ὡραιώθησαν αἱ σιαγόνες σου ὡς τρυγόνος, τράχηλοί σοι ὡς ὁρμίσκοι, ὡς σπαρτίον κόκκινον χείλη σου; ὅλη καλὴ εἶ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί· εἰ γὰρ ἐκ μέρους καλή, ὅλη ποταπή· εἰ μετ' αὐχένα περικαλλής, μετὰ τοῦ αὐχένος ὑπερφυής· εἰ τὸ βραχύτατον πολυτίμητον, τὸ ὅλον ὑπέρτιμον. Εἶδον, εἶδον τὸ χρυσοῦν θέαμα, τὸ γλυκὺ ὅραμα, τὸ παμπόθητον ἄγαλμα· νοῦ ὄντως ἡ κεφαλὴ αὕτη οἰκητήριον, πρὸς γὰρ τὸν ὄφιν ἀπείκασται, ὃν μιμεῖσθαι δεδιδάγμεθα· καὶ τὸ καινότατον ἄκουσμα, ἡδὺς ὄφις καὶ τρόφιμος· οὗτος ἄρα τοὺς γενάρχας ἠπάτησε τέρψας τοῖς ῥήμασι, θέλξας τοῖς σχήμασιν· οἵα γὰρ αὐτῆς ἡ μορφή!

Ἀλλὰ πῶς ἂν ἐν ὀλίγῳ τὸ πολὺ παραστήσαιμι; ἀλλ' ἐρωτᾷς, οὕτως ἅπασαι, ἢ μόνη αὕτη χρυσῆ ὡς δεσποτική; ἐμμελής, ὑγροφυής, νύμφη ἀτεχνῶς. Τοιαῦτα τὰ ἐμὰ παιδικά· σὺ δέ μοι λέγε τὰς ἐκ Θηβῶν βουνιάδας καὶ ἐκ Λιπάρας μαινίδας, καὶ τὴν γογγυλίδα τὴν Μαντινειακήν, καὶ τὰς ἐν Μιτούρναις ἀφύας, τὰ καινὰ ταῦτα καὶ περιττά, καὶ λαμπρὰ μέχρις ὀνόματος· σὲ μὲν ἐκεῖνα τερπέτω, καὶ τὸ σεμνὸν ἅλις, ἐμὲ δὲ εὐωχείτω ὁ καλὸς οὗτος ὄφις, καὶ πληρούτω μοι λαμπρῶς τὴν τράπεζαν· ἀλλὰ βάλλ' οὕτως λαμπρῶς καὶ δεσποτικῶς· ἀπορῶν δὲ τῆς ὁλότητος, δεξιοῦμαι τοῖς μέρεσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 165. Τῷ μαγίστρῳ καὶ στρατηγῷ Ἀβύδου.

Ἰδού σε, λαμπρότατε κύριέ μου καὶ εὐγενῶν εὐγενέστατε, ὁ φίλτατος, εἰ μὲν βούλει Ψελλός, ἢν δὲ μή, πρόεδρος, εἰ δ' οὖν, ὅπως ἂν ἐθέλοις, καὶ προσαγορεύω διὰ τοῦ παρόντος γράμματος, καὶ περὶ τοῦ παρόντος βασιλικοῦ ἀξιῶ, μᾶλλον δὲ περὶ ἐμαυτοῦ· ὁ μὲν γὰρ μακαρίτης βασιλεὺς κῦρ Κωνσταντῖνος ὁ Μονομάχος διὰ χρυσοβούλλου γραφῆς μοι τοῦτον δεδώρηται εἰς ἀναφαίρετον ἐξουσίαν, ἐγὼ δὲ τὸν ἄνδρα τοῦτον τῶν ἄλλων μᾶλλον προελόμενος διὰ τὴν τοῦ ἤθους ἁπλότητα, κατ' ἐνιαυτὸν εἰς τὴν τοιαύτην προχειρίζομαι λειτουργίαν· ὃν ἡμῶν χάριν οὐδεὶς τῶν αὐτόθι ἀδικεῖν ἐπεχείρησεν, εἰ μὴ ὁ πρὸ βραχέος τὴν τοῦρμαν ἀρρημένος Ἁπλοκονήσου, ὃς καὶ τὰ τῆς πονηρίας ἐπίχειρα παραυτίκα εὕρετο.

Εἰ μὲν οὖν ὁ ἐκεῖνον διαδεξάμενος περαιτέρω τῶν ἰδίων προνομίων χωροίη, μὴ δὲ κρίνειν ἐθέλοι ὧν μόνος τὰς κρίσεις ὁ βασιλεὺς ἔχει, ἀγαθός τέ ἐστι καὶ παρ' ἡμῶν τῶν ἀξίων ἐπαίνων τεύξεται· εἰ δὲ καὶ οὗτος τὸν τῆς τούρμας παραμείβει κανόνα, καὶ τὰ τῷ βασιλικῷ δεδομένα ἑαυτῷ εἰσποιεῖται, τηνικαῦτα γενοῦ αὐτὸς ἀνθ' ἡμῶν καὶ τῷ βασιλικῷ καὶ τῷ τουρμάρχῃ, τῷ μέν, ἐπικουρῶν, τὸν δέ, ἀνείργων τοῦ ἀδικεῖν.

Πλὴν τοῦτο ἴσθι, ὡς πᾶσαν ἂν δύναμιν ἐκ βασιλέως ἐπ' αὐτὸν ἐκινήσαμεν, ἐλεούμενοι ὡς εἴσθα παρὰ τοῦ κράτους αὐτοῦ, καὶ μηδενὸς ἀποτυγχάνοντες ὧν δεόμεθα· ἀλλ' εἰδότες ὅτι σὺ τὸ πᾶν ἀρκέσεις, τῇ σῇ φιλίᾳ περιεγράψαμεν τὴν τοιαύτην ὑπόθεσιν. Δεῖξον οὖν ὡς ἐκεῖνος εἶ ὁ πολλάκις ἐπαγγειλάμενος τρὶς τῆς ἑβδομάδος πρὸς ἡμᾶς ἀφικνεῖσθαι καὶ ἐπισκέπτεσθαι· ἀλλὰ τούτου μὲν τοῦ λόγου μὴ περυλαγμένου, ἀφίημί σε, εἰ δὲ νῦν ψεύσῃ τὴν πρὸς ἡμᾶς φιλίαν, τότε σε γράψομαι ἀδικοῦντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἵν' οὖν τὴν κατηγορίαν ἐκφύγῃς, τοῖς οἰκειοτάτοις τὸν βασιλικὸν καταρίθμησον, ἥμερον ἄνθρωπον καὶ εὐθῆ καὶ ἀπόνηρον.

## 166. Μοναχῷ Ὀλυμπίτῃ.

Σχλὲ ἡγούμενε, κατέβης ἀναβάς· εἶτα οὐ φρίσσεις ὅτι με ἄγειν ἐπετράπης τὸν μέγαν γίγαντα ὡς δοκεῖ τοῖς πολλοῖς, ὁ ποιμὴν ὁ μικρός; τοῦτο γάρ σοι χαρίζομαι· μόνον μοι τὴν σφενδόνην συστείλας, χρῶ τῇ ποιμαντικῇ ῥάβδῳ· καλὸν μὲν γὰρ ἄμφω μεταχειρίζεσθαι, ἀλλ' ὅ γε καιρὸς θάτερον ἀνάρμοστον δέδειχε τοῖς πολλοῖς, ἠθῶν γὰρ μαλακωτάτων τυγχάνοντες, οὐ φέρουσι τὴν πληγήν.

Διὰ ταῦτα ἐν οἷς ἂν παρήκοι μεθάρμοζέ μοι τὸ ἦθος πρὸς ἐπιείκειαν, καὶ συμφέρου τὰ πολλὰ τοῖς πολλοῖς, ἵν' ἑνωθεὶς ἐκείνοις διὰ τῆς ὁμοιότητος, πρὸς τὴν σὴν ἀνομοιότητα μεταστήσῃς, κλέψας τὴν ἐπιχείρησιν. Δέδιθι δὲ καὶ τὸν θρόνον καὶ τὸν σκίμποδα· κἂν γὰρ ἐξ ὕλης τῆς φαυλοτάτης τυγχάνωσιν, ἀλλὰ κατά γε τὸ σχῆμα τῶν μεγάλων βημάτων οὐκ ἀποδέουσιν. Ἀλλ' ἐρωτῶ σε τὸν καθηγούμενον, ἔφριξας τὴν ἄνοδον, ἢ ἠγάπησας τὴν προτίμησιν; Εἴθε σοι τὸ πρῶτον περιγέγονεν· οὕτω γὰρ ποιμὴν ἔσῃ καὶ ποιμανθήσῃ τῷ καλλίστῳ φόβῳ, πρὸς τὴν κρείττονα ποιμαινόμενος ἀρετήν.

## 167. Τῷ μοναχῷ Φερεβίῳ.

Ἔδει μέν, ἀδελφὲ Φερέβιε, μήτε ἀναγνῶναι τὸ φλύαρόν σου γραμμάτιον καὶ πάντῃ ἀνοητότατον, μήτε πρὸς τοῦτο ἀπολογήσασθαι· ἀλλ' ἐκεῖνο μὲν ἠπατήθην, ᾤμην γὰρ μετριοφρονῆσαί σε, καὶ παρακαλεῖν ὥς τε καθόδου τυχεῖν· ἀντιγραφῆς δὲ ἐμῆς σε ἀξιῶ, οὐ δι' ἄλλο τι, οὐδὲ βουλόμενος πρὸς τὴν σὴν ἐπιστολὴν ἀντιφλυαρεῖν, μὴ γὰρ τοσοῦτον τῶν φρενῶν ἐκσταίην, μὴ

δὲ τῶν βιβλίων ὀναίμην ἐφ' οἷς ὁ σύμπας ἐμοὶ βίος ἐστί, μὴ δὲ τῆς πνευματικῆς φιλοσοφίας, ἧς τὸ μέν τι τετύχηκα, τὸ δέ, βουλοίμην ἄν, τὸ δέ, ἐν προθύροις εἰμί, τὸ δέ, ψιλὰς ἐκείνης εἰσδέδεγμαι τὰς φωνάς, ἀλλ' ἵνα μὴ δοκῇς εἶναί τις ἀπὸ τῆς ἀναισχυντίας καὶ ἰταμότητος.

Ἑταῖρε Φερέβιε, πολλὰ δοκεῖ καμεῖν τὸν εὐθυδρομοῦντα πρὸς ἀρετήν, ὥςτε ἐς τὸ τῆς παρρησίας εἶδος ἀναδραμεῖν· οὐ γάρ ἐστι τοῦ παντός, οὐδὲ τῶν προχείρων καὶ ἐν μέσῳ κειμένων, καὶ βασιλεῖς ἐλέγχειν βούλεσθαι, καὶ ἀρχιερέων καθάπτεσθαι, καὶ νομοθέτην ἅπασι γίνεσθαι, καὶ φυλοκρινεῖν ἑκάστῳ τό τε λεγόμενον καὶ πραττόμενον, ἀλλ' ἢ θεοῦ μόνου τοῦ καὶ καρδίας εμβα|τεύοντος καὶ νεφροὺς δοκιμάζοντος, καὶ τὸ τῆς φ. 227ʳ. ψυχῆς βάθος ὅσον ἐστὶν ἄνωθεν ἐποπτεύοντος, ἢ τοῦ θεῷ προσανέχοντος καὶ θεωροῦντος τὰ ἄδυτα καὶ ἐντὸς τοῦ καταπετάσματος ἱσταμένου, καὶ ἀπὸ τῶν ἐν τῷ ἱλαστηρίῳ σημαινομένων τοῦ μέλλοντος λαβόντος τὴν πρόγνωσιν, καὶ ἄνωθεν ἕλκοντος τοῦ λόγου τὴν δύναμιν.

Εἰ δέ τις πόρρωθεν τῶν θείων σεβασμάτων ἑστήκοι, καὶ οὐδ' ὅσον ἐν προτεμενίσμασιν, ἀλλ' οὐδὲ περιρραντηρίων ἢ καθαρσίων ἠξίωται, οὐδὲ τὸν νοῦν τῷ πνεύματι προεκάθηρεν, οὗτος εἴ τι λέγοι νομοθετῶν, ἢ διαταττόμενος, ληρεῖν ἄντικρυς ἔοικε· καὶ ἐπὶ τοῦτον Ἕλληνες μὲν τὴν κύλικα τοῦ φαρμάκου πληροῦσι, βασιλεῖς δὲ Ῥωμαίων τοὺς δημίους ὁπλίζουσιν. Ὥςπερ γὰρ οὔτε τῷ μὴ γεωμέτρῃ ἀνεῖται τὰ σχήματα, οὔτε τῷ μὴ ἀριθμητικῷ οἱ τῶν ἀριθμῶν γνώμονες, οὔτε τῷ μὴ ἀποδεικτικῷ τὰ προλαμβανόμενα τοῦ συλλογισμοῦ ἀξιώματα, καὶ καθεξῆς ἐπὶ πάντων, ἵνα μὴ ἐπὶ τοῖς τοιούτοις δοκῶ σεμνύνεσθαι, οὕτως οὐδὲ τῷ μὴ πνευματικῷ ἀνδρὶ τὰ τῆς πνευματικῆς τελειότητος. Τῷ γὰρ ἁμαρτωλῷ εἶπεν ὁ θεὸς «ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνῃς τὴν διαθήκην μου ἐπὶ στόματός σου;» πνευματικὸς δέ ἐστιν ἄνθρωπος, ὁ πνευματικοῖς

συγκρίνων πνευματικά, ὁ πάντας μὲν ἀνακρίνων, αὐτὸς δὲ μηδενὸς ἀνακρινόμενος, κατὰ τὸν θεῖον φάναι ἀπόστολον. Πνευματικός ἐστιν, ᾧ πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις μυστικῶς ἐγκαινίζεται, ᾧ καρδία κτίζεται παρὰ θεοῦ καθαρά· πνευματικός ἐστιν, ὁ διαταγὴν παρὰ τοῦ κρείττονος τῆς ἐνταῦθα νομοθεσίας δεξάμενος, ὁ καρδίαν συντετριμμένην κτησάμενος, ὁ τοὺς ἀπορρήτους τῆς θείας σοφίας εὑρηκὼς θησαυρούς, καὶ ἐν ἀρρήτοις καὶ ἀπορρήτοις ἀναγνοὺς γράμμασιν, ὁ τὴν ψυχὴν οἷον ἱστίον ἐξαπλώσας τῷ λόγῳ, καὶ πρὸς τοὺς ἄνω οὐριοδρομήσας πυρσοὺς καὶ εἰς τοὺς ἀκλύστους κατάρας λιμένας· πνευματικός ἐστιν ὁ τῷ πνεύματι πτερωθείς, καὶ τοσοῦτον ἀναβὰς ἐς τὰ τῆς γνώσεως ἄπειρα πέρατα, ὅσον καταβέβηκεν ἐς τὰς ἀβύσσους τῆς ἱερᾶς ταπεινώσεως, καὶ παρὰ μέρος τὸν τοιοῦτον σταδιοδρομῶν δίαυλον, ὥς τε τὸν αὐτὸν καὶ ὑπερκεῖσθαι πᾶσι παντάπασι, καὶ πάντων εἶναι ἐπέκεινα. Εἰ δέ τις, ἢ ἀπὸ τῶν ἄστρων προλέγοι τὰ μέλλοντα, ἢ ἀπό τινων ἐνηχημάτων ἐνύλων πνευμάτων, ἢ ἀπὸ εἰσκρίσεών τινων δαιμονίων φύσεων, ἢ πυθόχρηστος εἴη, ἢ χρηστηριάζοι, ἢ αὐτὸς πλάττοι τὰ δοκοῦντα τοῖς πολλοῖς ἀδιάγνωστα, οὗτος, κἂν μυριάκις ἀληθεύῃ καὶ ὡς ἑστῶτα ὁρῴη τὰ μέλλοντα, πόρρω τῆς θείας προγνώσεως ἕστηκε.

Σοὶ δέ, κάλλιστέ μοι Φερέβιε, οὐδέν ἐστι σημεῖόν τι ἐμφαῖνον ἐποπτείαν, ἢ θεοφάνειαν· οὐ βλέμμα πεπληρωμένον αἰδοῦς, οὐ λόγος τῷ θείῳ ἠρτυμένος ἅλατι, οὐκ ἦθος συνεσταλμένον, οὐ προσώπου σύννοια, οὐ σχῆμα αὐτόθεν φιλόσοφον ἰδέαν ἐπιδεικνύμενον. Ἐῶ λέγειν ὁπόσα σοι παρὰ πάντων ἐπιφημίζεται, ὅτι κύβοις καὶ κοττάβοις ἐκδέδωκας σεαυτόν, καὶ αὐλητρίδας νομίζεις, καὶ γαστρὸς ἥττησαι, καὶ ἐπαγγέλλῃ τοῖς συμπόταις συσσίτια, λυρῶν τε κτύποις περιτυγχάνεις, καὶ ἡδέως ἂν ἐπὶ τῆς ὀρχήστρας αὐτὸς ἐξορχήσαιο· οὐκ ἔστι τὸ θεῖον καὶ ἱερὸν πνεῦμα οὕτως ἕτοιμον εἰς περίληψιν, ἵν' ὥσπερ τὰ πτηνὰ ἁλώσιμον γίνηται καὶ τῷ τυχόντι τῶν θηρατῶν. Σὲ δὲ τίς ἄρα

καὶ τῷ καθ' ἡμᾶς βίῳ κατέπεμψεν ἄνωθεν, ἐπὶ ποῖον δὲ καὶ ἀναβέβηκας ὄρος Σίναιον, ὥς τε ἀφεῖναι μὲν κατόπιν τοὺς ἑβδομήκοντα, ἐντὸς δὲ τοῦ γνόφου γενέσθαι καὶ πλάκας θεοχαράκτους δέξασθαι; ἀπὸ δὲ ποίας ἀγγέλων διαταγῆς τὴν περὶ ἡμᾶς νομοθεσίαν εἰσδέδεξαι; ποῖος δέ σοι τῶν Χερουβὶμ τῇ λαβίδι τὸν ἄνθρακα ἐνεχείρισεν, ὃς χθές που καὶ πρώην, ἵνα μὴ τήμερον λέγω, διὰ τῆς ἀγορᾶς ἐσόβεις, ἐν τηλίοις καὶ καπηλείοις κατηναλακὼς τὴν ζωήν; οὐ βρύει σοι ἡ ἄθεσμος γλῶττα τὰ ἀγυρτικὰ καὶ ἐρωτικὰ ῥήματα;

Εἶτα δὴ ἐπὶ τούτοις καὶ βούλει φιλοσοφεῖν, κἀμοὶ παρεξετάζειν τὸν βίον, ὅτι ἐντὸς ἀνακτόρων γίνομαι, καὶ βασιλεῦσι συγγίνομαι; εἰ μὲν ὡς χρησμοὺς δώσων, ἢ τὸ ἐσόμενον μαντευσόμενος, ἢ ἐμαυτὸν εἰσωθῶν εἰς τὰ ἄδυτα, μὴ βουλομένων τῶν βασιλέων, θῆγε τὴν γλῶτταν ἐπὶ τὴν κωμῳδίαν· εἰ δ' ὥς τε κατανουθετήσων, ἢ πείσων ἐπὶ τὰ κρείττονα, ἢ γνώμην εἰσάξων λυσιτελοῦσαν ἐπὶ τοῖς πράγμασι, μεμπτέος παρὰ τοῦτο, ἢ παντάπασιν ἐπαινετέος, ὦ πάντα σὺ τολμῶν τε καὶ φλυαρῶν, καὶ πᾶσαν ἐξεμῶν ἀκαθαρσίαν, ὥς τε τῶν Ἀττικῶν ῥαφανίδων δεῖσθαι εἰς κάθαρσιν;

Τοῦτο δέ σου πάντων θαυμάζω, ὅτι καὶ παιδεύσεως ἀντιποιῇ, καὶ λογίους ἐπιστολὰς βούλει δημιουργεῖν· ἐμοὶ δέ σου τὸ γράμμα ἀντὶ πάσης ἤρκεσε παιδιᾶς τε καὶ χάριτος· οὐ γὰρ οἶδα εἴ τις ἕτερος ἐν τοσούτοις στίχοις τοσούτους σολοικισμοὺς περιέπλεξεν· ἐπαινῶ σου τό, κατὰ ἀνθρώποις, καὶ τὴν ἀνάρετον σοφίαν, τὰς καινὰς ταύτας συντάξεις καὶ τὴν καινοτέραν ὀνομασίαν, καὶ τὴν ἡρμοσμένην συνθήκην, καὶ τὸ τῆς λέξεως εὔκροτον, καὶ τὴν ἄφατον καλλιρρημοσύνην, καὶ τὴν ἀττικὴν γλῶσσαν, ἢ τὴν πνευματικὴν χάριν. Οὐ σκότον που ὑποδύσεαι; ἢ τὴν ᾄϊδος κυνέην σαυτῷ περιθέμενος τοῖς ὑπὸ τὸν Τάρταρον δαίμοσι συναριθμήσειας σεαυτόν; Εἰ δὲ σεμνύνοιο τῇ ἐπιγραφῇ, τῷ μὴ θεοῦ ὁ θεοῦ, ἀντάκουε καὶ τῆς

ἐμῆς· « ὁ ὑπέρτιμος, κἂν βούλοιο, κἂν μὴ βούλοιο, τῷ ἀπαιδεύτῳ, τῷ ἀναισχύντῳ, τῷ ἀνεπερυθριάστῳ, τῷ ἰταμῷ, τῷ χρησμολόγῳ, τῷ πυθοχρήστῳ, τῷ φλυάρῳ, τῷ ἀμαθεῖ, τῷ ἀναισθήτῳ, τῷ ἀκολάστῳ, τῷ τε πεπλανημένῳ ἀπὸ θεοῦ, τῷ κατὰ βασιλέων φλυαροῦντι, τῷ κατὰ ἀρχιερέων ἀναισχυντοῦντι, τῷ μὴ εἰδότι μηδὲν μήτε τῶν θείων, μήτε τῶν ἀνθρωπίνων ». Εἰ δὲ δεῖ κἀμέ ποτε προειπεῖν τι ἐσόμενον, ὃ μηδέποτε ἐπετήδευσα, ἀποφανοῦμαί σοι νῦν, ὅτι δαρήσῃ πολλὰς ἐνταῦθά τε
φ. 228. καὶ κατὰ τὸν αἰῶνα τὸν | μέλλοντα, καὶ ξανθήσῃ τοῖς ὄνυξι, καὶ τὴν γλῶτταν ἀποτμηθήσῃ ἐφ' οἷς οὕτως κατὰ πάσης ἀπηναισχύντηκας κεφαλῆς.

Μῶν, φίλε Φερέβιε, οἶδα καὶ αὐτὸς ἀντεπιστέλλειν καὶ ἀντεπιγράφειν, ἢ οὔ;

## 168. Τῷ μαΐστωρι τῶν Χαλκοπρατίων, ὅταν ἀπεστάλησαν αὐτῷ τὰ ἀργυρᾶ τοῦ κλητωρίου καὶ οὐ παρέλαβεν αὐτά, διὰ τὸ ζητεῖν πλείονα.

Οὐκ οἶδα πότερον αὐτὸς ἐφιλοσόφησας, λογιώτατε ἀδελφέ, χρημάτων καταφρονήσας, ἢ ἐγὼ μεταδοὺς ὧν ἔχω τοῖς πλείοσιν· ἀλλὰ τὸ μὲν ἐμὸν ἀκριβῶς εἰλικρινὲς καὶ φιλόσοφον, οὐ γὰρ ἔχει τις εἰπεῖν ὅτι δι' ἄλλό τι τὴν κοινωνίαν πεποίημαι, ἢ δι' ὃ πεποίηκα· τὸ δὲ σὸν οὐ πάντη λευκόν, ἀλλ' ἀχλὺν ἕλκον καὶ ἐπιμεμιγμένον τῷ μέλανι. Εἴποι γὰρ ἄν τις ὡς οὐ καταπεφρόνηκας, ἀλλ' ὅτι ἱμείρῃ τοῦ πλείονος· μᾶλλον δὲ αὐτὸς καὶ τὴν ὑποψίαν διέλυσας, καὶ τὸν συλλογισμὸν προὔλαβες, αὐτὸ τοῦτο σαυτοῦ κατηγορήσας, ὃ ἔδει, εἰ παρ' ἑτέρου τὴν γραφὴν ἔφυγες, ἐν αἰσχύνῃ τίθεσθαι.

Οὐ γὰρ ἐκδεδανεισμένον, ὡς οἶσθα, ἀπώφληκά σοι ἀργύριον, οὐδ' ὡς ἐκτετισμένον, εἰ μὴ τὸ κεχαρισμένον, ἀλλὰ πρῶτος κα-

ταβαλὼν καὶ προφάσεις εὐγνωμοσύνης ποιούμενος· σὺ δέ, δέον εὐχαριστεῖν, ἀλλοτρίᾳ γνώμῃ τὴν χάριν ἠμείψω. Καὶ εἰ μὲν λόγους διδούς, διπλασίους ἀπήτουν ὧν δίδωμι, φιλοσόφως ἂν τὴν εἴσπραξιν ἤνεγκα· ἐπεὶ δὲ χρημάτων ἐστὶν ἡ χάρις μετάδοσις, ὁ τὸ πλέον αἰτῶν, αὐτός τε φιλοχρηματίας ἁλίσκεται ἐγκλήματι, καὶ τὸν διδόντα διερεθίζει πρὸς ἄμυναν· καὶ τοῦ μὲν λόγου ὡς ἀπὸ πηγῆς ῥέοντος, οὔτε τὸ τριτημόριον δέχῃ τοῦ ῥεύματος, οὔτε τὸ ἥμισυ, ἀλλ' οὐδὲ πρὸς τὴν πηγὴν παραγίνῃ ποτέ, ὥσπερ οἱ τὰς ἐμπόρους ζητοῦντες ἀγνῶσι τὰς ἀρχὰς τῆς ὀχετηγίας· ἀργυρίου δὲ ἀπαριθμουμένου, οὔτε τὸ μέτρον λαβὼν ἀγαπᾷς, ἀλλ' ὡς τοῦ παντὸς ἀπεστηρημένος βοᾷς, οὐ τῷ δεδομένῳ τὴν φιλόσοφον γνώμην ἐπιδεικνύς, ἀλλὰ τῷ λειπομένῳ ὡς ἂν αὐτὸς εἴποις, τὴν φιλόπλουτον φύσιν ἀνακαλύπτων.

Καὶ εἰ μὲν τῆς δόσεως ἡ περίοδος τὴν ἀνακύκλησιν εἶχε συνεχῆ τε καὶ ἀδιάκοπον, ἔδει σε δυσχεραίνειν πρὸς τὸ ἐλλελειμμένον τῆς ἀποκαταστάσεως· ἐπεὶ δὲ τυχαία μᾶλλον ἡ χάρις, οὐ περιοδική, διατὶ μὴ τὸ αὐτόματον ἀγαπᾷς, ἀλλὰ τὴν ἀρχαίαν ζητεῖς φορὰν καὶ ἐγκύκλιον; διατὶ δὲ μὴ τἄλλα προσαπαιτεῖς τῇ ἀρχαιότητι, τὸ φιλόσοφον βῆμα, τοὺς κρατῆρας, τὴν τράπεζαν, τοὺς λόγους, τὴν εὐφημίαν; ἓν δὲ τῶν πάντων αἰτεῖς, καὶ οὐδὲ τοῦτο ἁπλοῦν, ἀλλὰ ποικίλον καὶ τὸ ὅλον διπλάσιον, καὶ ταῦτα ὁρῶν, ὅτι οἱ ταῖς τῶν λόγων πηγαῖς προσκαθήμενοι, τοῦ μὲν τοιούτου νάματος χανδὸν σπῶσι, τοῦ δ' ἑτέρου μέτρον ἕκαστος ὡρισμένον λαβὼν ἄπεισιν· εἰ δὲ μὴ ἀπεμέτρησά σοί τι τῶν ἐμῶν, οὐκ ἂν ἐκαρτέρησας; πῶς οὖν μηδὲν μὲν εἰληφώς, οὐκ ἔχεις βοᾶν, λαβὼν δέ, ὡς ἀπεστερημένος ἐπεγκαλεῖς;

Οὐκ οἶσθα ὅτι χειμῶνος μὲν ὕσαντος τοῦ θεοῦ, ἂν μὴ ῥαγδαῖος γένηται ὁ ὑετός, δυσχεραίνομεν, καὶ παρὰ τὸν καιρὸν τὰς ψεκάδας τιθέμεθα, καὶ σημειούμεθα τὰς νεφέλας, θέρους δὲ καὶ τὰς σταγόνας ἀποδεχόμεθα καὶ τὴν τοῦ ἀέρος ὑγρότητα ἐν τῇ μεγίστῃ τίθεμεν ἡδονῇ; ἢ περὶ μὲν τοὺς καιροὺς οὕτω

χρὴ διατίθεσθαι, ἄλλως δὲ περὶ τὰ πράγματα στρέφεσθαι; Τὸ κεχηνὸς ἐκείνου τοῦ κρατῆρος ἀκριβῶς νῦν ἐπιπέφρακται· οὐκ ἔστιν ἄλογος ἡ φορά, ἀλλὰ γεωμετρικὴ καὶ ῥητή, καὶ ὡς φιλοσόφοις ἡμῖν, βραχὺ μὲν τὸ ἐκ τῶν χρημάτων μέτρον, πλεῖον δὲ τὸ ἐκ τῶν λόγων ἐποχετεύεται· οὐκ ἔστιν ἡ χάρις ὥςπερ διάττουσα ἀστραπή, ἀλλ' ὥςπερ σεληνιακὴ φύσις ἐπὶ πλεῖστον χρόνον τῷ σχήματι παραμένουσα.

Εἰ μὲν οὖν φιλόσοφος εἶ, δεῦρο παρ' ἡμᾶς καὶ μυοῦ τὰ τῆς φιλοσοφίας ἀπόρρητα· εἰ δὲ φιλοχρήματος, ἴθι παρὰ τοὺς Αἴτνης κρατῆρας· εἰ γὰρ καὶ τὸ χρυσοῦν πνεῦμα ἐκεῖθεν ἐπέλιπεν, ἀλλὰ σήραγγάς τινας τῆς γῆς διελθὸν ἀφ' ἑτέρου αὐλῶνος τὸ χρυσοῦν ἀπερεύγεται ῥεῖθρον. Ἀλλ' ἡ σελευκὶς τὸν ἀττάκην ἐσθίουσα μὲν οὐ κορέννυται, οὐ λιμώττει δὲ μὴ ἐσθίουσα· τοιοῦτόν τι καὶ αὐτὸς πέπονθας, καὶ μηδὲν μὲν λαβὼν ἐπλούτεις, λαβὼν δὲ ὡς τοῦ παντὸς ἐλλελειμμένος, τὰ ἄνω κάτω ποιεῖς, ὥςπερ αἱ βραχύτεραι τῶν ὀπῶν· ἐκεῖναι γὰρ ἢ οὐδόλως τὸ ἐπιρρέον προσδέχονται, ἢ ἅπαξ δεξάμεναι, καὶ τοῦ στομίου παρανοίξασαι, τὸ πᾶν ἐπισπῶνται. Ἀλλ' ἔστιν ἕτερον ἄγγος αὐλῶνα μέσον ἀνέχον καμπύλῳ ἐπικεκαλυμμένον σίφωνι, πλῆρες ὕδατος, μᾶλλον δὲ βραχεῖ τινι μέρει λειπόμενον ὅσον πλησίον που παραχεῖσθαι τὸ ὕδωρ τοῦ περὶ τὸν αὐλῶνα στόματος· τοῦτο ἂν ὑπερβλύσαν τὸν αὐλῶνα ἔκχυσιν δέξηται, τὸ πᾶν ἀποχεῖται, καὶ κενὸν παρὰ δόξαν τὸ ἄγγος δείκνυται· ὅρα μὴ καὶ σοὶ τῷ μέρει τὸ πᾶν ἐκχυθῇ τῆς οὐσίας, καὶ τηνικαῦτα τὸν φιλόσοφον ἡμῖν δείξῃς οὐκ ἐν τοῖς λόγοις, ἀλλ' ἐν τοῖς πράγμασιν.

## 169. Ἐπιφανίῳ πρωτοασηκρῆτις τῷ Φιλαρέτῳ.

Καὶ τίνι τῶν λόγων ταμιεύσῃ τὰς προχοάς, ἀδελφὲ φίλτατε, εἰ μὴ πρὸς ἡμᾶς τὰς φλέβας τῶν σῶν ἀναστομώσεις πηγῶν; καὶ εἴ γε βούλει καὶ τοσοῦτον δίδως ἡμῖν, τὸ σὸν ῥεῖθρον ἐμ-

βαλεῖς εἰς τὴν θάλασσαν· μέχρι δὲ τίνος ἡμεῖς οἰχομένοις μὲν σοφοῖς συνεσόμεθα καὶ ταῖς σκιαῖς ἐκείνων συνομιλήσομεν, ἐμψύχων δὲ γλωσσῶν ἀφεξόμεθα;

Ἠτυχήκαμεν γάρ, ὥςπερ δὴ τἆλλα, καὶ δὴ καὶ τὰ Παναθήναια, ἢ Πανελλήνια, καὶ οὐδεὶς παρ' ἡμῖν οὔτε Περικλῆς, οὔτε Θεμιστοκλῆς, ἀλλ' ἀτυχοῦσα ἡ βάρβαρος εὐτυχεῖ, ὥς πέρ τινος Πεινειοῦ μεταποιοῦντος αὐτῆς τὴν ἅλμην καὶ μεταβάλλοντος· ἡ δὲ Ἀρέθουσα τέως ἕστηκεν ἄνυμφος, οὔπω περιελισσομένου καὶ περὶ ταύτην τοῦ ῥεύματος. Ἐχρῆν δὲ οὐχ οὕτως, ἀλλὰ τῷ δεδομένῳ φαρμάκῳ χρῆσθαι παρὰ τῆς φύσεως, καὶ ποιεῖν | ἀποστολιμαίους ἡμῖν τὰς Ἑλληνίους φωνάς· ἴσως γάρ τί σοι φ. 228ʳ. καὶ περὶ τοῦ ἐμοῦ ἠχείου ἀπήχησε, καὶ ἦν ἄν σοι τοῦτο λύσις τῶν δεσμῶν τῆς ψυχῆς· οὐ γὰρ ἀγνοῶ τὸν ἐμὸν Ἐπιφάνιον, ὅτι νεοτελής ἐστι τὰ τῆς τοῦ βασιλέως αὐλῆς ἄδυτα καὶ μυστήρια, καὶ δεῖται τῶν περιαθρούντων καὶ κατεπᾳδόντων καὶ πρὸς τὴν μίμησιν εἰσαγόντων κατὰ καιρόν.

Ἔγωγ' οὖν σοι πολλάκις ταῖς ἐπῳδαῖς κατεφάρμαξα τὴν ψυχήν, καὶ κατέστειλα μὲν οἰδοῦσαν, ἀνήγειρα δὲ πεπτωκυῖαν καὶ ἀπὸ τῶν ἀκροτήτων εἰς τὴν μεσότητα περιήγαγον· εἴ τι γοῦν σοι καὶ τῶν ἐμῶν ἐπιστολῶν ὄφελος, μὴ πάνυ τι μεταβάλλου τοῖς πράγμασι, μὴ δὲ ταχείας λάμβανε τὰς ῥοπάς, ἀλλὰ πεφύλαξο μὲν μὴ πολλῶν ἀκούειν, εἰ δὲ μὴ τοῦτο, μὴ πᾶσιν εἶναι ἐνδόσιμον· μὴ ἐνδύου τοῖς λογισμοῖς, ἀλλ' ὥς πέρ τις πέτρα παράλιος, εἰς ἀφρὸν τὰς προσβολὰς τῶν κυμάτων παράλυε· κἂν ἅπαξ μεγαλοψυχήσῃς, οὔτε τί τοι τῶν ἀηδῶν ἔτι προσβάλῃ; κἂν προσβάλῃ δέ, οὐδὲν δράσει δεινόν.

## 170. Τῷ ἀνεψιῷ τοῦ βασιλέως [Ἰσαακίου τοῦ Κομνηνοῦ].

Ἐγώ, κάλλιστε πάντων ἀνδρῶν καὶ μεγαλοπρεπέστατε, εἰ δὲ βούλει, καὶ ἀδελφὲ περιπόθητε, καὶ πρότερον ἐπεχείρουν γράμμασι φιλικοῖς τὴν σὴν φιλτάτην μοι κεφαλὴν κατασπάζεσθαι, ἐπεῖχον δὲ τὴν ἐπιχείρησιν, ἵνα μὴ φορτικὸς ἴσως δόξω, παρὰ τὸ σὸν ἦθος ποιῶν· ἀλλ' ὅ γε βέλτιστος οὗτος ἀνὴρ ὁ λογιώτατος Ἰωσήφ, ὁ πάλαι μοι συνήθης καὶ οἰκειότατος, καὶ τῶν σῶν ἀρετῶν μεγαλοφωνότατος ἐπαινέτης, παρεσκεύασέ με θαρρεῖν, καὶ περὶ τὸ γράφειν καὶ ἐπιστέλλειν πρὸς σὲ λόγοις πολλοῖς ἀνεπτέρωσε, κατάλογον ποιούμενος τῶν χαρίτων τοῦ ἤθους σου, καὶ ὡς ἀνὰ στόμα φέρεις ἡμᾶς, καὶ ἐν πολλοῖς καὶ μεγάλοις συνεδρίοις τὴν ἡμετέραν κηρύττεις γλῶσσαν, καὶ τελευταῖον, ὡς βούλει καὶ γράμματα ἡμέτερα δέχεσθαι, καὶ ἡδέως ἔχεις τὸν ἐπιστολιμαῖον τοῦτον προσίεσθαι ἀσπασμόν.

Διὰ ταῦτα θαρρούντως γράφω πρὸς σὲ τὸν εὐγενέστατον ἐμοὶ καὶ λαμπρότατον, πρᾳότατον δὲ τῷ ἤθει καὶ μετριώτατον, πρακτικώτατον δὲ ἐν τοῖς ἀνὰ χεῖρα πράγμασι καὶ ἀκριβέστατον· ὁσάκις γάρ σου ἐντύχω γράμμασιν ἀναγινωσκομένοις παρὰ τοῦ μεγάλου ἡμῶν αὐτοκράτορος, θαυμάζω σου τὸ ὀξὺ τῆς φρονήσεως καὶ τῆς συνέσεως τὴν ἀγχίνοιαν, καὶ τὸ διεσπουδασμένον καὶ ἄγρυπνον τοῦ φρονήματος, καὶ μακαρίζω τὸ γένος ὅλον ὑμῶν, ὅτι ἀπὸ μιᾶς ὁρμηθέντες πηγῆς, καλλίστης καὶ ποτιμωτάτης, τῆς τοῦ βασιλέως φημὶ ψυχῆς, ὅμοιοι κατὰ τὴν φύσιν ἀπεμερίσθητε ποταμοί, πάντες γλυκεῖς, πάντες διειδεῖς, πάντες πότιμοι. Ἐγὼ μέν, λαμπρότατε κύριέ μου, καὶ ἀπὸ ψιλῆς θέας, ὕστερον δὲ καὶ ἀπὸ βραχείας τῆς ὁμιλίας ἐχαρακτήρισά σου τὸ φρόνημα, καὶ πολλάκις πρός τινας εἶπον ὡς, οἷον ἄνθος ἡ Ρωμαίων ἐβλάστησε γῆ· νῦν δὲ μᾶλλον ἔγνων

τε καὶ κατείληφα, καὶ ἠκρίβωσά σου τὴν ἕξιν τῆς φύσεως, καὶ ἄγαμαί σε καὶ τοῦ ἤθους καὶ τοῦ φρονήματος, καὶ τῆς ἀκριβείας τοῦ νοῦ καὶ τῆς τοῦ λογισμοῦ σταθηρότητος.

Καὶ ὅτι μὲν πάντες ὑμεῖς τοῦ βασιλικοῦ φρονήματος ἥττησθε καὶ κάτω ποι φέρεσθε, καὶ ὑμεῖς ἂν ὁμολογήσητε καὶ τὴν ἧτταν ἡδέως ἂν ἀποδέξησθε· ὅτι δὲ καὶ οὕτως ἔχοντες, ἐμφέρειάν τινα πρὸς τὸ πρωτότυπον ἔχετε καὶ ὁμοίωσιν, δῆλον ἐξ ὧν ποιεῖτε καὶ λέγετε, σύ τε ὁ λαμπρότατος μάγιστρος καὶ μέγιστος δούξ, καὶ ὁ τὴν τύχην ἴσος καὶ τὴν φρόνησιν ὅμοιος· οἶδ' ὅτι ἔγνωκας ὡς τὸν θαυμασιώτατον Δοκειανὸν εἴρηκα· καὶ χαίρω ὅτι τοιαῦτα προπύργια τῷ θείῳ ἡμῶν κατεσκευάσθητε αὐτοκράτορι, ὁ μέν, ἐγγὺς ἱστάμενος καὶ οἷον προασπίζων, σὺ δέ, πόρρωθεν ἀναστέλλων τὰς τῶν ἐναντίων ὁρμάς· διὰ ταῦτα γέγηθέ τε καὶ ἐπιγάννυται τοῖς προμάχοις ὑμῖν, καὶ μετὰ θεὸν ἐπὶ ταῖς συμμαχίαις ὑμῶν τεθάρρηκε. Πλὴν καὶ ὑμῶν προπολεμούντων αὐτοῦ, ἄγρυπνον οὗτος τὸ ὄμμα τηρεῖ καὶ οὐδεὶς τῶν πάντων ὑμῶν ἐθεάσατο τοῦτον ἐν ὅλῳ τῷ χρόνῳ τῆς βασιλείας κατατρυφήσαντα, ἢ λαμπρῶς ἑστιασάμενον, ἢ φαιδρῶς πανηγυρίσαντα, ἢ ἐν ὕπνοις ἀναπαυσάμενον, ἢ ἐν πόνοις τοῦ οἰκείου φεισάμενον σώματος· ἀλλ' ὥσπερ στρατιωτικὸν αὖθις διαζῶν βίον, ἐν φροντίσιν αὐτὸν καταδαπανᾷ, ὅπως ἂν εὕρῃ τῶν κακῶν λύσιν, καὶ ἀναστήσῃ κείμενον τὸ Ῥωμαίων ἀξίωμα.

Καὶ μή γε νομίσῃς, ἀδελφὲ περιπόθητε, ὅτι ἐξ ἐπίτηδες ταῦτα φθέγγομαι· αὐτὸς γάρ μοι μαρτυρεῖ ὁ Θεός, ὡς παρὰ πάσας τὰς ἡμέρας συνδιάγων αὐτῷ, οὐδέποτε ἀπῆλθον μὴ θαυμάσας τὸν ἄνδρα καὶ ἐκπλαγεὶς τὴν ἐκείνου ψυχήν· βούλεται γὰρ μυριάκις ἀποθανεῖν ὑπὲρ τοῦ μεγεθῦναι τὴν τῶν Ῥωμαίων ἀρχήν, καὶ τό γε θαυμασιώτερον, ὅτι στρατηγικώτατος γεγονὼς ὑπὲρ πάντας τοὺς ᾀδομένους ἐν στρατηγήμασι, καὶ τὰ πολιτικὰ ἄκρως μεταχειρίζεται πράγματα, καὶ οὐδενὸς ἡμῶν δεῖται, οὔτε ἐν διαλύσεσιν ἀμφισβητήσεων, οὔτε ἐν τῷ ἀκριβεῖ τῆς τῶν

φόρων εἰσπράξεως, οὔτε ἐν τῇ καταστάσει τῆς πολιτικῆς διαθέσεως, ἀλλὰ δι' ὑπερβάλλουσαν εὐφυΐαν πάντα ἀθρόον καὶ συνέγνωκε καὶ μεταχειρίζεται εὐφυῶς.

Τοιοῦτόν σου τὸν θεῖον ἐπίστασο καὶ τοιούτοις λόγοις ἁπανταχῇ κήρυττε· ἡμεῖς δέ σοι τὸ γράμμα τοῦτο νῦν πρῶτον διδόαμεν, καὶ ἀπαιτοῦμεν τὸ χρέος, τὴν ἴσην ἀντίδοσιν. Γράφε οὖν ἐμφύτως, ἀφελῶς καὶ στρατιωτικῶς, ἵνα σου τὸν χαρακτῆρα γινώσκω καὶ ὡς παρόντι προσομιλῶ.

Ἀλλὰ τίνος ἂν εἴη ἄξιος ὁ συναλλάξας ἡμᾶς ταῖς ἐπιστολαῖς, καὶ τοὺς διεστηκότας συνάψας τοῖς γράμμασιν; οὐ προσπαθείας τῆς παρὰ σοῦ; οὐ τῆς πρὸς σὲ οἰκειώσεως; τοῦτο οὖν αὐτὸ καὶ ἐγὼ ἀξιῶ· ὀφείλεις δὲ αὐτῷ πᾶν χαρίζεσθαι, ὅτι τε τὰ σὰ ἐπαίρει καὶ μεγαλύνει, καὶ ὅτι τῆς ἡμετέρας φυτείας περὶ τοὺς λόγους ἐστίν. Εἰ οὖν ἐμὲ ἀγαπᾷς, ὥσπερ δὴ εὐφήμῳ στόματι ἐν πᾶσι τοῦτο βοᾷς, χρεών ἐστι καὶ τὸν ἐμὲ ἀγαπῶντα οἰκειοῦσθαί τε καὶ ἀσπάζεσθαι, ἢ μᾶλλον ἀντιποιεῖσθαι καὶ ἐλεεῖν· ἔστι γὰρ καὶ τὴν γλῶτταν πολύς, καὶ τὸ ἦθος ἄριστος, καὶ τὴν ψυχὴν φρονιμώτατος. Διὰ ταῦτα οὖν πάντα, καὶ τὸ ὑπὲρ ταῦτα δι' ἐμέ, ἐν μερίδι σοι τῶν οἰκειοτάτων ἔστω, καὶ ὅσα δεῖ ποιεῖν ἄνδρα, οἷος σύ, περὶ τοιοῦτον ἄνδρα λογιώτατον καὶ συνετώ-
φ. 229. τατον, μηδε|νὸς φείσῃ· κεκράξεται μὲν γὰρ καὶ οὗτος εὐεργεσίας ἴσως τυχὼν καὶ ἀπολαμπρυνεῖ τὰ σά, κἀγὼ δέ σοι χάριτας ὁμολογήσω ἀνθ' ὧν εὖ πεποίηκας περὶ ὃν ἐγὼ οἰκειότατα διατίθεμαι.

## 171. Τῷ Ἰασίτῃ.

Ἄλογον ὡς ἀληθῶς, σεβασμιωτάτη μοι κεφαλὴ Ἰασίτα, εἰ λόγου βουλοίμην ἀνταλλάττεσθαι ἄλογον, ὥσπερ μελίνην ἀντὶ πυροῦ, ἢ ψίανθον ἀντὶ ξυστίδος, ἢ βύρσαν ἀντὶ χρυσοπάστου στολῆς· εἰ δὲ καὶ φιλόσοφός τις θείη τὸ χρῆμα, ἀλλ' ὅμως ἐμ-

πορικόν· καὶ πολλοί γε χείρονα μὲν κρειττόνων κατά γε τὸ ποιὸν ἀνταλλάττονται, τῷ δὲ ὑπερβάλλοντι τῆς ποσότητος κερδαλεώτερόν πως αὐτοῖς τὸ τῆς ἀνταμείψεως γίνεται· ἐγὼ δέ, εἰ μὲν αὐτὴν τὴν τοῦ λόγου στέρησιν τῆς λογικῆς ἀντηλλαττόμην ἕξεως καὶ δυνάμεως, ἄτοπός τις ἂν εἴην καὶ οὐ φιλόσοφος. Νῦν δὲ οὐ στέρησις ὃ ἀντιλαμβάνω τὸν λόγον διδούς, ἀλλ' οὐσία τις ὑποστατική, χεῖρον μὲν καὶ οὕτω τῆς ἐν ἐπιστολαῖς λογιότητος, αὐθύπαρκτον δὲ ὅμως πρᾶγμα καὶ οὐ στέρησις ἕξεως. Εἶτα, εἰ μὲν παντὸς τοῦ ἐν ἐμοὶ λόγου ἠλαττόμην τὸ ἀντικείμενον, εἶχέ τινά μοι μέμψιν ἢ ἄμειψις· ἐπεὶ δέ, ὥςπερ πηγῆς τὸ ἀποχετευόμενον οὐκ ἐλαττοῖ τὴν ἀρχὴν ἀφ' ἧς τὸ ῥεῖθρον, οὕτω δὴ κἀμοὶ τὸ γραμμάτιον· καὶ ἐὰν ἐλάττω τὸν λόγον ποιῇ, οὐ παρὰ τοῦτο μεμπτέος ἐγώ, ἢ ἐπαινετέος προσκτώμενος τῷ οἰκείῳ καὶ τὸ ἀλλότριον, ἵν' ἔχω τὸ μέν, ὄχημα τῆς ψυχῆς, τὸ δέ, τοῦ σώματος· καὶ ἵνα σοι μέγα ποιήσωμαι τὸ μικρόν, καὶ εἰς ταὐτὸν συναγάγω τὼ πράγματε, φιλοσοφίαν ὁμοῦ καὶ ῥητορικήν, τὸ βραχὺ μεγεθύνων, καὶ τὸ σχεδὸν ἀνυπόστατον εἰς οὐσίαν στερρὰν τιθέμενος, οὔτε παρὰ σοὶ μόνον τὸ ἄλογον, οὔτε παρ' ἐμοὶ θάτερον μόνον τὸ λογικόν· μᾶλλον δέ, τὸ μὲν λογικόν, ἴσον παρ' ἀμφοτέροις καὶ ὅμοιον, τὸ δέ γε λόγιον παρ' ἑκατέρῳ μέν, ἀλλ' οὐ κατ' ἴσην μοῖραν, ἀλλ' ὥςπερ ἐν ζυγοῖς τρυτάνης ἡ ἐμὴ πλάστιγξ βαρυτέρα τῆς σῆς, ἐπειδὴ καὶ αὐτὸς ἄνθεσι λόγου σεμνύνῃ καὶ ζηλοῖς τὴν ὥραν τῶν λέξεων, ἣν μὴ ἀποτίκτῃς οὕτως, ἀλλὰ τοὺς ἀλλοτρίους μέν, γενναίους δὲ τόκους ὡς οἰκείους ἀσπάζῃ· οὔτε οὖν αὐτὸς ἄλογόν τι χρῆμα διδοὺς καὶ λογικὰς λαμβάνων χάριτας, ἐκτὸς τῆς ἀλογίας καθίστασαι, καὶ μόνον τὸν λόγον ἐνδέδυσαι, οὔτε δὲ ἐγώ, οὕτω διδοὺς καὶ λαμβάνων ἀλογώτατος μόνον γίνομαι· ἀλλ' ἔστιν αὖθις παρ' ἀμφοτέροις ἀμφότερα.

Οὕτω γὰρ καὶ ἡ φύσις ἡμῶν συμπέπλασται· τοῦ γὰρ συντεθέντος καθ' ἡμᾶς κράματος, τὸ μέν τι λόγος ἐστί, τὸ δέ,

ἀλογία, καὶ πλείω τοῦ λόγου τὰ ἄλογα· ἐκεῖ μὲν γὰρ διάνοια μόνον καθ' ἣν οὐσιούμεθα, ὁ γὰρ νοῦς ἑτέρας μερίδος, ἐνταῦθα δὲ αἴσθησις, καὶ φαντασία, καὶ τῆς δόξης τὸ πλέον. Ἀπὸ γοῦν τοιούτων δυνάμεων λογικῶν καὶ ἀλόγων κεκράμεθα, καὶ τῶν πάντων ἡμῶν οὐδεὶς οὔτε λογικώτατος μόνον, οὔτε ἀλογώτατος· δεῖ γὰρ τῷ λόγῳ ὥςπερ δεσπότῃ καὶ βασιλεῖ ὑπηρεσίας τῆς χείρονος, ἐφ' ἧς ὀχήσεται καὶ ἱππάσεται· καὶ αὐτίκα γοῦν διακονεῖται τούτῳ τὰ αἰσθητήρια, ἡ κοινὴ αἴσθησις, ὁ τύπος τῶν αἰσθητῶν, ἡ τοὺς λόγους τούτων ἔχουσα δόξα, ἡ τῶν ἐκτὸς ὄρεξις, ὁ γενναῖος καὶ στρατιώτης θυμός, ἡ ἐπιθυμία, τὰ λοιπὰ τῶν δυνάμεων ἐνεργήματα· καὶ οὔτε κατιὼν ὁ λόγος μέχρι τῆς ὕλης αὐτῆς εἰς ἀλογίαν ἀμείβεται, οὔτε τὸ ἄλογον τῷ λόγῳ κοσμούμενον εἰς οὐσίαν λογικὴν μεταπίπτει, ἀλλ' ὥςπερ ἵππος τιθασσευόμενος καὶ χρυσοῖς φαλάροις καλλωπιζόμενος, οὐκ εἰς κρείττω ὕπαρξιν μετατίθεται, οὔτε μὴν εἰς τὴν χείρω ὁ ἐποχούμενος τούτῳ ὀλισθαίνων τῆς ἕδρας καὶ συμπατούμενος, οὕτως οὔτε τὸ ἐν ἡμῖν ἄλογον, λόγος ἀκριβὴς γένοιτ' ἄν ποτε, οὐθ' ὁ λόγος τῆς πρώτης ἐκσταίη ὑπάρξεως καὶ τοῦ φυσικοῦ ἀξιώματος.

Τί ποτ' οὖν ταῦτα συνηγήοχα; ἵν' ἐνδείξωμαί σοι ὅτι οὔτ' αὐτὸς τὸν ἐμὸν οἰκειούμενος λόγον, τῆς ἀντικειμένης στερηθήσῃ στερήσεως, οὔτ' ἐγὼ ἀντιλαμβάνων τὸ ἄλογον, κενός ποτε γενοίμην τῆς ἕξεως· Δεῖ δὲ ἀμφοτέροις θατέρου μέρους· ἐμοὶ μέν, τῷ λογίῳ εἴποι τις ἂν ἴσως καὶ φιλοσόφῳ, τῆς ὑπερειδούσης ἀλόγου δυνάμεως, καὶ σοὶ τῷ ἧττονα τὴν λογιότητα ἔχοντι, τῆς λογικωτέρας ὑπάρξεως· ὥςπερ γὰρ ὁ καθ' ἡμᾶς λόγος τὸ ἄσχετον ἔχει τῆς λογικῆς ἐργασίας, τῶν ἀλόγων δυνάμεων ὑπηρετουσῶν αὐτῷ τὰ σωματικά, οὕτω δὴ κἀμοὶ δεῖ νοερᾶς φορτίδος ἑλίσσοντι σωματικωτέραν ὑπηρεσίαν, ἵνα δὴ ἀμετάστροφος πρὸς τὰ τῇδε εἴην. Καὶ ὥςπερ χαλιναγωγούμενον τῷ λόγῳ τὸ ἄλογον τιθασσεύεται, οὕτω δὴ καὶ τῇ σῇ φύσει γενναίᾳ τυγχανούσῃ, δεῖ τοῦ λογικοῦ χαλινοῦ, οὐχ ὅτι μὴ καὶ

λόγον ἔχεις τὸν ἐν τῇ φύσει, ἔχεις γὰρ τοῦτον ὡς ἀληθῶς ὡς πολλῶν γε καλλίονα, ἀλλὰ καὶ ὁ διὰ τῶν ὤτων εἰσρέων τῇ ψυχῇ λόγος συνεργὸς τῷ τῆς φύσεως γίνεται, καὶ μάλα γε λυσιτελεῖ τῇ ψυχῇ εἰς κατανόησιν τοῦ βελτίονος, καὶ πολλοί γε μάλιστα τούτῳ πρὸς τὰ κρείττω μετήχθησαν, ἢ τῷ φυσικῷ. Ὁ μὲν γὰρ βλοσυρός τις δοκεῖ εἶναι, καὶ οὐκ ἀφίησι κάλλη, οὐδὲ ἀκτινοβολεῖ χάριτας, ἀλλ' ἔστι δυσπαράδεκτός τε καὶ δυσοιώνιστος· ὁ δέ, ὥς περ ἄνθος ἐστὶν ὥρας ἐαρινῆς, καὶ ὑπάγεται τὸν ἀκροατήν, εἰκότως ἑλκόμενον τῷ θελκτηρίῳ τῆς χάριτος.

Εἰ δὲ πολλοὶ πρὸς τὴν ἠχῶ τοῦ λόγου κωφεύουσιν, ἀλλά σοί γε πρὸς ταύτην τὰ ὦτα ἀνεῴγασι καὶ ἑστήκασι, καὶ οὐδέν σε τῶν πάντων οὕτως ἡδύνει ὡς λέξις χαρίεσσα καὶ συνθήκη λόγου ἐμμελεστάτην ἁρμονίαν κληρωσαμένη. Τοπάζω δέ σου τὴν φύσιν ἔγωγε λίαν φιλόσοφον, ἀτυχήσασαν ἀγωγὴν ἐκκαλουμένην τὸν ἀποκείμενον ἐν τῇ ψυχῇ τοῦ λόγου πυρσόν, εἶτα δὴ θαυμάζω, πῶς δὴ οὔ; πυνθάνῃ μου διατί, πολλῶν ὄντων ἀλόγων, ὧν πλήρης καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ, ἐξαίρετον τὴν κλῆσιν ταύτην ἀπεκληρώσατο τὰ παρ' ἡμῖν ἄλογα; διατὶ μὴ καὶ τοὺς λέοντας προηγουμένως ἀλόγους φαμέν; | μὴ τὰ κήτη, φ. 229ᵛ. μὴ τοὺς ἀετούς, μὴ ἄλλό τι τῶν παρὰ τὰ λογικὰ ζώων; Ἀλλ' ἐγὼ φθάνω σου τὴν ἐρώτησιν, διδοὺς τὴν ἀπόκρισιν· ὅτι, ὦ βέλτιστε, λόγον ἔχει τοῦτο δὴ τὸ ἄλογον πρὸς τὸ παρ' ἡμῖν τῆς φύσεως ἄλογον, φημὶ δὴ τὴν κοινὴν αἴσθησιν, τὴν φανταστικὴν δύναμιν, τὴν δοξαστικὴν οὐσίαν, αἷς πρῶτον δυνάμεσιν ὁ παρ' ἡμῖν ἐποχούμενος λόγος, καταστέλλει ταύτας καὶ θρασυνομένας ἀνακρούει τῷ λογισμῷ· ὥς περ γοῦν ἡ καθ' ἡμᾶς διάνοια, λογικωτάτη τις οὖσα, ὡς ἄλογον ἄγει τὴν θυμικὴν γενναιότητα καὶ τὴν τῆς ἐπιθυμίας ἰσχὺν οἷς ἐπισυμβέβηκεν, οὕτω δὴ δεύτερόν ἐστι ἄλογον τὸ παρ' ἡμῖν καὶ ἐκτὸς ἄλογον τῆς ὅλης ἡμῶν συγκράτου φύσεως.

Ὃ γοῦν πρώτως χαλιναγωγοῦμεν καὶ ἀνασειράζομεν, τῷ χα-

λινῷ ἀναστέλλοντες καὶ τὸ ἔμφυτον αὐτοῦ θράσος συστέλλοντες, τοῦτο δὴ πρώτως ὀνομάζομεν ἄλογον· οὐ γὰρ λέουσιν ἐποχούμεθα, οὐδὲ κήτεσιν ἐπικαθήμεθα ὥςπερ οἱ Τρίτωνες, οὐδὲ παρδάλεις ἑαυτοῖς ὑποζεύγνυμεν, ἵνα ἐποχούμενοι τούτοις κατὰ μίμησιν τῆς ἐν ἡμῖν φύσεως ἰδιαίτερον ἄλογα ταῦτα προσαγορεύοιμεν· ἀλλὰ τοῖς ἵπποις μόνον τὴν ὀνομασίαν ταύτην διδόαμεν. Καὶ κοινῇ μὲν ἄλογα ξύμπαντα, οὐδένα γὰρ λόγον ἔχει τὸν φυσικόν, οὐδέ τι τούτων ἀναμιμνήσκεται, ἢ συλλογίζεται, οὐδὲ ζητεῖται τοῦ ἀφανοῦς τὴν οὐσίαν, οὐδὲ θηρᾶται τὸ κεκρυμμένον δι' ἀποδείξεως, οὐδὲ ψυχὴν ἔχει τὴν λογικήν, ἀλλ' ὑπὸ φύσεως ἄγεται, καὶ θυμοῖς ἀγριαίνεται, καὶ ἐπιθυμίαις μαλάττεται, καὶ μέχρις ὀνομάτων ἡμῖν ἐπικοινωνεῖ· τὸ δέ γε ἰδιαίτερον ὀνομαζόμενον ἄλογον, ὥςπερ ἐπαναδιπλοῦται τὴν τοῦ κοινοῦ προσηγορίαν, ἀλλ' ἄλογόν ἐστιν ἡμῖν ὡς ὑποπίπτον ταῖς ἡμετέραις χερσί, καὶ παρ' ἡμῶν ἀγόμενόν τε καὶ εὐθηνούμενον.

Ἆρ' οὐχὶ μυρίων ἀλόγων ἀντάξιος ἡ ἐπιστολή, ἀδελφὲ φίλτατε; ἀλλ' ἡμεῖς ἑνὸς ταύτην ἀνταλλαττόμεθα, ἔστω δὲ τοῦτο μήτ' ὄνος, μήθ' ἵππος ἄρρην, ἀλλ' ὥςπερ ὁ παρὰ τοῖς ἰατροῖς ἡμιτριταῖος σύνθετός ἐστιν ἐξ ἀφημερινοῦ συνεχοῦς τριταίου διαλείποντος, οὕτω δὴ καὶ τοῦτο ἡμίονος εἴη, μήτε λειπόσαρκος τὴν ὀσφύν, μήτε πίων καὶ καταπίμελος· καὶ περὶ μὲν τῆς χρόας οὐ διαφέρομαι, εἰ δὲ ἡμερωτέρα εἴη καὶ οὐ πάνυ γε διασείουσα, τοῦτο κρεῖττον εὐχῆς, ὡς ἐμέ γε πολλαί γε τῆς ἀστράβης ἐξέσεισαν καὶ συμπεπατήκασι, κἂν εἰ μετρίων ἐτῶν εἴη, μὴ μέντοι πολλῶν, οὐδὲ τοῦτό μοι ἀλυσιτελές, ἧττον γὰρ οὕτως ἕξει τὸ ἄλογον. Ἐγὼ γὰρ μετρίως ἄλογον ὑποτάξαι δύναμαι ταῖς χερσίν, ἀλογώτατον δὲ καὶ θρασύτατον οὔ μοι δύναμις τῷ χαλινῷ ἀντισπᾶν.

## 172. Πρὸς τὸν βεστάρχην καὶ κριτὴν Μακεδονίας τὸν Χασάνην.

Οὐκ οἶδα, πότερον ὠνοῦμαι τὰς παρ' ὑμῶν χάριτας, ἢ πιπράσκω τοὺς λόγους; ὅτι μὲν γὰρ ἀλλακτικῆς ἐστιν εἶδος τὸ καθ' ἡμᾶς πρᾶγμα, τῶν ὁμολογουμένων ἐστίν· ὑμεῖς μὲν γὰρ λόγους παρ' ἐμοῦ, πράγματα δ' ἐγὼ παρ' ὑμῶν ἐμπορεύομαι· ἀλλ' ἀγνοῶ, πότερον ὠνοῦμαι, ἢ πωλῶ, ἢ μηδέτερον; ἀλλὰ τὸ ὅλον ἀντάμειψις. Καὶ πάλιν ἀμφισβητῶ, τίς ὁ τὰ πλείω διδούς, τίς μὲν χάλκεια χρυσείων, τίς δὲ χρύσεια χαλκείων ἀλλάττεται; Σὺ μὲν ἴσως ἐρεῖς ὅτι σᾶ τὰ χρυσᾶ, ἐγὼ δὲ ἀμφισβητήσω, μᾶλλον δὲ ὁ ἁπλοῦν τι εἰπὼν τοῖς ὅλοις αἱρήσω· εἰ γὰρ μηδέν τι τῷ λόγῳ ἀντισταθμᾶται, πόσης ἂν εἶεν ὁλκῆς αἱ παρ' ἡμῶν χάριτες; πλὴν ἀλλὰ νικᾶτε τῷ ῥήματι· τὸ γὰρ ἀντιδιδόμενον ἀφ' ὑμῶν χρυσὸς ἄντικρυς, ὥςπερ νῦν παρὰ σοῦ ἡ λαμπροτάτη φορολογία· ὡς σοὶ χαλκοῦν τὸ ἐμόν. Ἀλλ' οὐχ ὃ μὴ χρυσοῦν, τοῦτο χαλκοῦν· οὔτε γὰρ ἀντίθετα τὰ ὀνόματα, οὔτε εἴ τις συγχωροίη, ἄτερ μεσότητος· ὥς τε οὐκ ἐξ ἀνάγκης ὁ λόγος χαλκοῦς, ἀλλ' ἴσως χρυσοῦ τιμιώτερος· καὶ πάλιν αὐτὸς τῷ λόγῳ κρατῶ, ἢν δὲ βούλῃ καὶ αὖθις τὸ σόν. Ἐρεῖς γὰρ ὡς τὰ τῶν παρ' ἡμῖν κάλλιστα ἢ χρυσᾶ, ἢ εἰκασμένα χρυσῷ· χρυσοειδῆ μὲν αὐτὰ καὶ ἡλιώδη· ὥςτε καὶ τὸν λόγον, ἢ χρυσοῦν φήσομεν ἢ χρυσοειδῆ· ἀλλὰ χρυσὸς μὲν ἄντικρυς οὐδαμῶς, χρυσοειδὴς ἄρα· ὃ δὲ χρυσῷ ἀπείκασται, τοῦτο χρυσοῦ ἔλαττον· ὡς οὕτω τῶν παρ' ἐμοῦ τὰ παρὰ σοῦ κρείττονα.

Ἀλλ' ἄκουσον ὦ λογιώτατέ μοι τῶν ὁμιλητῶν· ὁ γὰρ περισσὸς οὕτως χρυσός, φόρος, καὶ τέλος, καὶ λειτουργία, καὶ ὄφλημα, καὶ τἆλλα τῶν ἀτιμοτάτων κατονομάζεται, ὁ δὲ λόγος, νοῦ μὲν γέννημα, φῶς δὲ νοήματος, λογικῆς δὲ ἄνθος ζωῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀλλ' οὕτω μὲν ταῦτα· τῷ δέ γε φορολόγῳ τούτῳ, πατρίς μὲν ὁ Εὔξεινος πόντος, οἶκος δὲ βαθύς, καὶ πλοῦτος πολύς, ἀμφιέννυται δὲ πτωχικῶς οὐκ οἶδ' ὅ,τι βουλόμενος· δέον γὰρ ἄλλως, ὁ δέ, τῶν πατρῴων ἐθῶν οὐκ ἀφίσταται· ἔστι δ' οὕτω φιλόπατρις, ὥςτε αὐτοῦ τε βούλεσθαι καὶ κατοικεῖν καὶ φορολογεῖν. Εἰ μὲν οὖν αὐτῷ ταῦτα οὕτω συμβαίη, δεξιωτέραν εὑρήσει τὴν τύχην· εἰ δ' ἄλλως, ἀλλ' ἡμῖν τὸ χρέος ἀπώφληται· ἐγώ τε γὰρ ἠξίωκα, καὶ σὺ προτεθύμησαι.

Ἀλλ' ἐμεμψάμην ὡς καὶ πολλὰ ἀπεσταλκότα καὶ τὸν φιλόσοφον ἀγνοήσαντα, ἀλλ' ἐμεμψάμην; μὴ οὕτω μανείην· ἐπήνεσα μὲν οὖν ὡς καὶ φίλτατον τοσούτοις δεξιωσάμενον, καὶ ὡς ἀπηντηκότα κατὰ λόγον πρὸς ἄμφω, πρὸς μὲν τὸν φιλόσοφον τῇ ποιότητι, πρὸς δὲ τὸν πρόεδρον τῇ ποσότητι, ἀμφοῖν δὲ πρὸς τὸν ποθούμενον. Ἀξιῶ οὖν καὶ αὐτός, μὴ μεμφθῆναι, εἰ μή τι ἀξίως τῶν ἀπεσταλμένων καὶ τῆς σῆς γνώμης εἰρήκαμεν.

## 173. Τῷ μητροπολίτῃ Εὐχαΐτων.

Ἐδεξάμην τοῦ παρόντος γέροντος τὴν παράκλησιν, πάντων ἐμοὶ ἀνδρῶν λογιώτατε καὶ ἀρχιερέων ἁγιώτατε, οὐχ ὡς αὐτῷ τι συμβαλούμενος, ἀξιῶν σε περὶ αὐτοῦ, ἀλλ' ὡς ἀφορμὴν εἰληφὼς τοῦ ἀποστεῖλαι πρὸς σέ· ὁ μὲν γὰρ αἰτούμενος τῆς σῆς
φ. 230. εὐμε|νείας τυχεῖν, τεύξεται πάντως, τῆς τε ἡμετέρας αὐτὸ τοῦτο κατορθούσης βουλήσεως, καὶ τῆς σῆς ὑπερκάλου καὶ ἀγαθῆς βραβευούσης φύσεως· τί γὰρ δεῖ πρὸς σὲ περί τινος ἀξιοῦντα πολλοὺς περὶ τῶν αὐτῶν ποιεῖσθαι λόγους, ἀλλὰ μὴ ἅπαξ ἐνδειξάμενον τὸ πᾶν δοκεῖν ἔχειν ἀπηρτισμένον;

Οὗτος μὲν οὖν ἕξει ὃ δὴ καὶ βεβούληται· ἐγὼ δέ σοι τοσοῦτον ἐρῶ περὶ ἐμαυτοῦ καὶ σοῦ· σὺ μὲν δυστυχεῖς, ἀλλὰ καὶ εὐτυχεῖς, ἐγὼ δὲ εὐτυχῶ, ἀλλὰ καὶ δυστυχῶ· ἔστι δὲ ὁ λόγος χρησμῷ μὲν ἐοικώς, οὐδαμῇ δὲ λοξός· δυστυχῶν γὰρ αὐτὸς

τῶν ὧν ἴσμεν ὑπερορίαν καὶ περιφρόνησιν, εὐτυχεῖς τὴν τῆς λαχούσης σε προεδρίαν τε ἅμα καὶ προσεδρείαν· εὐτυχῶν δ᾽ ἐγὼ τὸ τὴν ἐνεγκοῦσαν ἔχειν, ἀτυχῶ τὸ ἐν τῇ πατρίδι, κατὰ τὸν ἡμέτερον λόγον τὴν ἀτιμίαν ὑφίστασθαι.

## 174. Τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου.

Εἶτα βούλει με κρείττονα εἶναι τοῦ Πυθίου θεοῦ, ἢ Ἄμμωνος, ἢ Ἀμφιάρεω, ἢ τῶν ὅσοι ἀπ᾽ αὐτομάτου ἀνέπνευσαν τοὺς χρησμούς; καὶ μὴν ἐκεῖνοι ἀξύνετα τοῖς πολλοῖς ἔδοξαν φθέγγεσθαι, καὶ Λοξίας ἐκεῖθεν ὁ Πυθοῖ χρησμῳδὸς ἔφησέ τις φιλόσοφος. Εἰ δὲ μὴ αὐτὸς κατειλήφεις τὸ ἐμὸν μάντευμα, κοινόν σοι πρὸς τοὺς Ἀθηναίους γέγονε τὸ ἀτύχημα, κἀκείνοις γὰρ τὸ ξύλινον τεῖχος πρὸς ὃ φέρει τὴν διάνοιαν ἀμφισβητήσιμον ἔδοξε· ναρθηκοφόροι γὰρ πολλοί, φίλτατε, βάκχοι δέ τοι παῦροι· καὶ ἄφθονος μὲν ἡ νευρίς, καὶ πολὺς ὁ κιττός, συγκορυβαντιῶσι δὲ ὅσοι τὸ φρονεῖν ἐπὶ τὸ κρεῖττον ἠλλάξαντο.

Τί δὲ μὴ καταιτιᾷ καὶ τὸν Πλάτωνα; ἐκεῖνος γὰρ τὴν τῆς ψυχῆς οὐσίαν ἑρμηνεῦσαι βουλόμενος, διφρείας τινὰς τῷ λόγῳ ἀνέπλασε, καὶ ἵππους τινὰς ὥσπερ ἐπὶ σκηνῆς δραματουργῆσαι οὐκ ὤκνησε· τῶν δὲ ἵππων, ὁ μὲν αὐτῶν, ἑτερόγναθός τε καὶ λασιόκωφος, καὶ οὐ πάνυ θαρρῶν τὴν ἄνοδον, ὁ δέ, μετεωρίζων τὸν ἀναβάτην καὶ ὕψοῦ μάλα φερόμενος· καὶ Φαῖδρος ὁ καλὸς οὐκ ἐδυσχέραινε τὴν ἐξήγησιν, ἀλλ᾽ ἐδέχετο πρᾴως τὸν λόγον, καὶ τὰς ὁμοιώσεις ταῖς ἀληθείαις προσείκαζε. Τοιοῦτον γὰρ τὸ φιλόσοφον χρῆμα, ἢ ἐχέμυθον πάντη καὶ μυστηριῶδες, ἢ συμβολικὸν καὶ ὑπὸ φαύλοις παραπετάσμασί τε καὶ σχήμασι τὰ τῆς σοφίας κρύπτον ἀπόρρητα. Διὰ ταῦτα τοῖς ἀρχαίοις φιλοσόφοις θεολογοῦσι, πατέρες, καὶ δυνάμεις, καὶ νοῖ, τριαδικαί τε ἴυγγες, καὶ τελετάρχαι καὶ κοσμαγοὶ τῷ λόγῳ παρελαμβάνοντο.

Ἀριστοτέλης δὲ ἄρα παρηνόμησεν ἐς τὴν ἐπιστήμην, καὶ τῶν σχημάτων ἀφέμενος, προὐστήσατο τὴν ἀσάφειαν.

Οὐχ ὁρᾷς δὲ οἵα καὶ ἡ καθ' ἡμᾶς φιλοσοφία ἐστίν, εἴτε τὴν Ἑβραίων ἂν εἴποι τις, εἴτε τὴν παντελῶς ἡμετέραν; ἐκεῖ μὲν γὰρ νεομηνίαι καὶ σάββατα, καὶ ὁ ἑπτὰ ἀριθμὸς πληθυνόμενος, σποδός τε δαμάλεως καὶ πολὺ τοῦ αἵματος τῇ βάσει τοῦ θυσιαστηρίου ἐπιχεόμενον, χίμαρός τε ἀποπομπαῖος καὶ θυόμενος ἅτερος, κίδαρίς τε καὶ ταινία καὶ δήλωσις, καὶ τἄλλα ὅσα τὸν ἱερέα κοσμοῦσιν· ἐνταῦθά τε λουτρά, καὶ καινὰ θύματα, προσαγωγαί τε κατὰ λόγον καὶ τακτοὶ πρόοδοι· αἱ δὲ τῶν ἀοράτων εἰκόνες, ἀλλὰ τούτων οἷα τὰ σύμβολα; μίτρα, καὶ σφαῖρα, καὶ πτέρωσις. Εἶτα ἑτεροδοξεῖν αὐτὸς ἔμελλον καὶ ἐναντιοῦσθαι τοῖς ὑποδείγμασι, καὶ ταῖς Ἑρμογενείαις τέχναις ὑπάγεσθαι;

Σὺ μὲν οὖν ἴσως φιλοσοφίαν ἐπίστασαι καὶ ῥητορικήν, τὸ δ' ἐξ ἀμφοῖν σύνθετον ἀγνοεῖς· ἔστι δὲ ὦ λῷστε, καὶ φιλοσοφίας ῥητορική, καὶ ῥητορεία φιλόσοφος, θάτερον δὲ μέρος πολιτικόν φασιν οἱ πολλοί. Καὶ πάλαι μὲν οὕτως εἶχεν ἡ μίξις, ὥςπερ δὴ καὶ τὸ βασίλειον ἱεράτευμα, καὶ εὐδαίμονες οἱ τότε καιροί· ὄλοιντο δὲ Λυσίαι καὶ Πῶλοι καὶ Καλλικλεῖς· ἐκεῖθεν γὰρ διῳκίσθη τὰ γένη τῶν λόγων, καὶ τὸ μέν, περὶ νοῦν, τὸ δέ, περὶ γλῶτταν εὐδοκιμεῖ. Ἐγὼ δὲ οὐκ οἶδα μὲν ὅς τίς εἰμι, εἴτε φιλόσοφος, εἴτέ τι ἄλλο ζῶον ἴσως Τυφῶνος πολυπλοκώτερον, ἐργάζομαι δὲ οὐ τὴν πάνδημον ῥητορικήν, οὐδὲ τὴν θεατρικὴν καὶ ἀκόλαστον, μὴ δὲ γὰρ ἐξορχησαίμην ποτὲ ταύτῃ τὰ τῆς φιλοσοφίας ἀπόρρητα, ἀλλὰ τὴν οἰκουρόν τε καὶ σώφρονα, ἥ τις, ἐπειδάν τι λάβῃ παρὰ τοῦ νοῦ, καταστέλλει τοῦτο πῶς ἂν εἴποις, κοσμίως ταῖς λέξεσι, τὰς μὲν προκαταστάσεις καὶ προδιοικήσεις τοῦ λόγου, ἰδέας καλοῦσα, τὴν ἔκθεσιν δὲ δημιούργημα, καὶ ὃ μὴ θαρρεῖ, ἐποχήν.

Ἀλλ' ὁρᾷς ὅπως μοι πέπεικας ἀναπετάσαί σοι τὸ καταπέτασμα καὶ κοινωνῆσαι τῆς τελετῆς; ἀλλὰ μήπω τοῦτο, ἵνα σε

μᾶλλον μυωπισω πρὸς τὸ ποθούμενον· ἐπικεκαλύφθω γὰρ καὶ αὖθις ὁ πόθος, ἵνα μὴ καὶ ἡ ἐλπὶς οἴχηται· οὐδὲ οἱ μάντεις τοὺς χρησμοὺς ἑρμηνεύουσιν, οὐδὲ τὸ μέτρον τῶν σφαιρῶν οἱ φωστῆρες· οὐχ ὁρᾷς καὶ τὸ πρῶτον αἰθέριον σῶμα κύκλος ἐστί, τί δηλοῦντος τοῦ σχήματος; ἵνα μένῃ ὁ τοῦ παντὸς λόγος τοῖς πολλοῖς ἀνεκφοίτητος. Ἀπολλοφάνης δὲ ὁ φιλόσοφος ἐς Ἄμμωνος γεγονώς, κατὰ γῆς ἔδυ, ἵν' εὕρῃ ὁποῖον τὸ τοῦ Σωκράτους δαιμόνιον· σοὶ δ' οὐδέν τι τοιοῦτον πέπρακται· ἀλλ' οὔπω τοι τὰ προσκήνια, οὐδὲ δᾳσὶ καὶ θείῳ τῶν καθαρσίων τετύχηκας· εἶτα τοὺς τῆς σελήνης ἀναμετρεῖς φωτισμούς; Ἁγνεύθητι πρότερον, εἶτα μυήθητι, περιρραντίσθητι, καὶ οὕτως ἐντὸς τοῦ ἀδύτου γενοῦ. Τί δέ σοι καὶ ἡ λεγομένη περίοδος, καὶ τὸ πολυειδὲς τῶν σχημάτων, καὶ τὸ κυκλικὸν τοῦ ἐνθυμήματος; ὀρχήματα ταῦτα καὶ ὑπερορχήματα, ἐπὶ πανδήμου ὀρχήστρας δεικνύμενα· ἀσπούδαστα πάντα καὶ παίγνια, καὶ γλώττης τρυφώσης χλιδαί.

Καὶ ταῦτα μὲν ἐς τοσοῦτον, ὃν δὲ εἰργασάμην λόγον, εἰ μέν τι καινὸν ἔχει καὶ τῷ ὄντι φιλόσοφον, ἀθέατον τοῦτο τοῖς πολλοῖς ἐφυλάξατο, ὃ δὲ προβάλλεται σχῆμα, κατάλληλόν ἐστι τοῖς ἀκουσομένοις· εἰ δέ που καὶ γλαφυ|ρὰν ποιεῖται διήγησιν, φ. 230ʳ. καὶ διανοίας ἅπτεται μείζονος, ἀλλὰ καὶ τοῦτο μετρίως παρανομεῖ· εἰ δέ τίς ἐστι παρὰ τοῖς μονασταῖς κριτικὴ ἀκοὴ καὶ ἐλλόγιμος, βούλει δὲ καὶ αὐτός, μετεωρήσομεν τὸν λόγον εἰς ὅσον εἰκός· τοῦτο μὲν γὰρ ἴσως ἡμέτερον, ὃ δὲ γεγράφαμεν τέως, ἀλλότριον.

## 175. Τῷ μοναχῷ κῦρ Ἰωάννῃ καὶ γεγονότι πατριάρχῃ τῷ Ξιφιλίνῳ.

Ἐμὸς ὁ Πλάτων, ἁγιώτατε καὶ σοφώτατε, ἐμός, ὦ γῆ καὶ ἥλιε, ἵνα τι καὶ αὐτὸς ἐπιτραγῳδήσω τῇ τοῦ λόγου σκηνῇ; Εἰ μὲν γὰρ προσονειδίζεις, ὅτι θαμά ποτε προσωμίλουν τῷ ἀνδρὶ ἐν τοῖς διαλόγοις αὐτοῦ, καὶ τοῦ τε χαρακτῆρος τῆς ἑρμηνείας ἐθαύμαζον καὶ τὴν ἐν ταῖς ἀποδείξεσιν ἐθείαζον δύναμιν, τί μὴ καὶ τοῖς μεγάλοις τοῦτο πατράσιν ἐπιρριπτεῖς, ἀφ' ὧν ἐκεῖνοι τοῖς Εὐνομίοις καὶ Ἀπολιναρίοις τὰς αἱρέσεις ἀνέτρεψαν, βάλλοντες ἀκριβείαις συλλογισμῶν; Εἰ δ' ὅτι τοῖς δόγμασιν ἕπομαι, ἢ τοῖς ἐκείνου νόμοις ἐπιστηρίζομαι, οὐ καλῶς οἴει περὶ ἡμῶν, ἀδελφέ.

Ἐγὼ γὰρ πολλὰς μὲν φιλοσόφους βίβλους ἀνέπτυξα, πολλοῖς δὲ ῥητορικοῖς λόγοις ὡμίλησα, καὶ οὔτέ με τὰ Πλάτωνος ἔλαθεν, οὐ γὰρ ἂν ἀρνηθείην, οὔτε τὴν Ἀριστοτέλους παρεῖδον φιλοσοφίαν· οἶδα δὲ καὶ ὅσα Χαλδαῖοι καὶ Αἰγύπτιοι πεπρεσβεύκασι, ναὶ νὴ τὴν τιμίαν σου κεφαλήν· περὶ γάρ τοι τῶν ἀπορρήτων βιβλίων τί δεῖ καὶ λέγειν; Ἀλλὰ πάντα πρὸς τὴν θεόληπτον ἡμῶν συγκρίνας Γραφήν, τὴν καθαράν τε καὶ στίλβουσαν, καὶ τῷ ὄντι δόκιμον, ὑπόχαλκα καὶ κιβδηλείας εὗρον μεστά.

Ἐμὸς ὁ Πλάτων! οὐ γὰρ οἶδα πῶς ἐνέγκω τὴν τοῦ λόγου βαρύτητα· οὐ πάλαι μὲν τὸν θεῖον σταυρόν, νυνὶ δὲ καὶ τὸν πνευματικὸν ζυγὸν προτετίμηκα; Δέδοικα μὴ μᾶλλον σός, ἵνα σε τῷ ῥήματί σου διώξω, ὃς οὐδεμίαν ἐκείνου δόξαν ἀνήρηκας, ἐγὼ δὲ μικροῦ δεῖν ἁπάσας, ἐπεὶ μὴ δὲ πᾶσαι φαῦλαι· οἱ γὰρ περὶ δικαιοσύνης λόγοι καὶ περὶ ἀθανασίας ψυχῶν, ἀρχαὶ καὶ

τοῖς ἡμετέροις τῶν ὁμοίων δογμάτων ἐγένοντο. Οὐ τοίνυν ὥσπέρ τινος ὀφθαλμίας ἐκεῖθεν ἔσπασα, ἀλλὰ τὸ διαυγάζον ἴσως ἀγαπήσας τοῦ νάματος, τὴν ἅλμην ἀπεκλυσάμην.

Ἀλλὰ τοῦτον μέν σου τὸν ἀκροβολισμὸν ἐνέγκοιμι ἂν μετριώτερον, τὸ δέ, ἂν ἐμοὶ πείθῃ, καὶ τοὺς Χρυσίππους, καὶ τοὺς ἐμοὺς συλλογισμούς, καὶ τὰς οὐκ οὔσας γραμμάς, καὶ τἄλλα τῶν σῶν, ἀδαμαντίνης ἢ ἀναισθήτου δεῖται ψυχῆς. Τί δὲ μὴ τὰ ἑξῆς τοῦ λόγου προστέθεικας, ταῦτα δὴ τὰ τῆς ὁμοίας γλώττης, « εἰ δὲ μή, πειραθήσῃ βασανιστηρίων ὀργάνων, ὧν οὐδέ ποτε ἤκουσας »;

Ἐγὼ δὲ τοῖς πᾶσιν ἐξαπορήσας οἷς γέγραφας, καὶ πολλοὺς λογισμοὺς ἀνελίξας, τέλος δυοῖν θάτερον εἴκασα· ἢ τὴν ἐμὴν μὴ ἐπεγνωκέναι σ' ἐπιστολήν, ἢ πρὸς Εὐνόμιόν τινα γεγραφέναι, ἢ τοὺς περὶ Κλεάνθην καὶ Ζήνωνα, οἳ πάντα δόντες συλλογισμοῖς, οὐδὲν ἀσυλλόγιστον ᾠήθησαν καὶ ὑπὲρ ἀπόδειξιν. Πλάτων δὲ καὶ τοῦτο ἐφεῦρεν, εἰς νοῦν ἀναβάς, καὶ τὸ ὑπὲρ νοῦν εἶδεν εἰς τὸ ἓν καταπαύσας, οὗ πάντα κατηγορεῖς, ὦ μισοπλάτων καὶ μισολόγε, ἵνα μὴ λέγω μισοφιλόσοφε.

Χρυσίππῳ δὲ ἢ τῇ νέᾳ ἀκαδημίᾳ, πότε με προστεθειμένον ἑώρακας; ἆρα οὐχὶ καὶ προτοῦ, ὅτε ἡμῖν οὐχὶ ξυλόφρακτος ἡ σκηνή, ἀλλ' ἀργυρόδετος ἢ χρυσόσημος, τὸ δέρας ἐνενοούμην Χριστοῦ, καὶ τοὺς τρίβωνας, περὶ ὧν πολλὰ συγκεκύφαμεν, εἶτα δὴ καὶ εἰς ἔργον τὴν γνώμην ἐξεβιβάσαμεν, καὶ νῦν ἔνδον τῆς τοῦ Κυρίου καθεστήκαμεν μάνδρας; ἀλλ' οὐχὶ τῷ Χρυσίππῳ προσκεκολλήμεθα· θαυμάζεις ὅτι μοι ζεῖ ἀτεχνῶς ἡ χολή, καὶ βράττει ἀκριβῶς ὁ θυμός; μή, γὰρ ἐμοὶ μόνῳ τὸ σῶμα ἄνευ τοῦ μέσου σπλάγχνου ἀφ' οὗ τὸ θυμῶδες πνεῦμα συμπέπλασται, ὥστε καὶ τοιαύτην ἐνεγκεῖν ὕβριν; Νὴ τὴν ἱεράν σου ψυχήν, εἴ με κατὰ κόρρης ἐρράπισας, εἰ τὰς καταλελειμμένας τρίχας διέξανας, εἴ με ταῖς ἄλλαις ἀτιμίαις κατέπλυνας, ἤνεγκα ἄν σου τὴν καταφορὰν γενναιότερον· τὸ δὲ πάντα ὑπὲρ Χριστοῦ

πραγματεύσασθαι, ἔπειτα φιλίας τῆς πρὸς Χρύσιππον γράφεσθαι, καὶ οἴεσθαί με παρὰ σοὶ καὶ φίλῳ καὶ δικαστῇ ἀφεστηκέναι μὲν τοῦ θεοῦ, Πλάτωνι δὲ καὶ Ἀκαδημίᾳ προστετηκέναι, οὐκ οἶδ' ὅπως τὸν ἅπαντα χρόνον ἐνέγκω!

Γραμμῶν δὲ μνησθείς, ὦ πάντων ὑπεριδὼν σύ, τί κἀκείναις προσετρίψω τὸ ἀνυπόστατον; ὁ γὰρ πρῶτος περὶ τούτων εἰπών, τὰς οὐδαμοῦ κειμένας προστέθεικε φιλοσόφως ἄγαν καὶ ὑψηλῶς· ἄλλο τὸ μὴ εἶναι, καὶ ἄλλο τὸ μηδαμοῦ κεῖσθαι· οὐ γὰρ οὐκ εἰσὶν αἱ γραμμαί, ἀλλὰ τὸ νοερὸν μῆκος ἴσως, κατὰ τὸν σοφὸν οὐδαμοῦ. Ἀλλ' ἐγὼ καὶ περὶ τῶν μὴ οὐσῶν τούτων γραμμῶν, καὶ περὶ τῶν παρεωραμένων σοι συλλογισμῶν, οὐκ ἔστιν ὅσον εἰπεῖν ἐμπόρευμα ταῖς περὶ τῶν κρειττόνων συναγήοχα δόξαις· αἱ μὴ οὖσαι αὗται γραμμαί, μισολογώτατε σύ, ἀρχαὶ τῆς συμπάσης φυσικῆς θεωρίας εἰσί. Τὴν δέ γε φυσικὴν θεωρίαν καὶ ὁ κοινὸς Μάξιμος, ἢ μᾶλλον ἐμός, φιλόσοφος γάρ, δευτέραν μετὰ τὴν πρᾶξιν τίθησιν ἀρετήν, τὴν μαθηματικὴν οὐσίαν μὴ προσποιούμενος. Ὁ δὲ τὰς ἀρχὰς τῶν ὑποκειμένων μὴ προσιέμενος, ἐν μὲν συλλογισμοῖς ἀναιρεῖ τὸ συμπέρασμα, ἐν δὲ φυσικοῖς λόγοις ἀθετεῖ τὴν ὁλότητα· τούτων δὲ τῶν δυοῖν ἀνῃρημένων, οὔτε τὸ πᾶν ὅλον, καὶ τέλος ἡμῖν οὐδαμοῦ ὁδοιποροῦσιν, οὐδὲ συμπέρασμα. Ὁρᾷς, οἷον τὸ ἄγαν καὶ ὑπὲρ τὸν λόγον, καὶ τὸ μὴ ἑαυτοὺς εἰδέναι, ὅπερ ἐστὶ τὸ μὴ ἐπεστράφθαι καὶ συλλογίζεσθαι, ἀλλ' ἀσυλλογίστως καὶ χωρὶς λεπτύνσεως τεχνικῆς τοὺς ὄχθους κατα . . . . νειν τῶν ὑποθέσεων;

Εἴ τι οὖν ἐμοὶ πείθῃ, ἵνα προσείπω σε κατὰ σὲ μέχρι τούτου, μὴ μέγα οἴου τὴν ἐπὶ τοῦ ὄρους ἀναστροφήν, μὴ δὲ τρυφᾷς ἐπὶ τῷ μὴ τῶν λόγων κατατρυφᾶν· ἀλλ' εἴ πού τις πεδιάς, ἢ βαθυτάτη κοιλάς, ἢ φάραγξ διερρωγυῖα, ἢ μυχὸς γῆς ἄρρητος καὶ ἀπόρρητος, ἐκεῖσε καταβὰς ἐνδομύχησον, πᾶσιν ἐγκύπτων βιβλίοις ἡμετέροις τε καὶ τοῖς θύραθεν, καὶ τοῖς συλ-
φ. 231. λογισμοῖς γυμνασθεὶς τὰ πρῶτα, οὕτως | ἐπὶ τὰς ἀσυλλογίστους

γνώσεις ἀνάβηθι· πᾶσα γὰρ ἀρετή, μεθ' ὑπερηφανίας, ἀδελφὲ φίλτατε, καὶ οἰήσεως, ἐσχάτη κακία καθέστηκε, καὶ ἔκγονός ἐστι τῆς κατὰ διάθεσιν ἀγνοίας, ἣν διπλῆ ὁ ἐμός, ὡς οἴει, βάλλει φιλόσοφος.

Ἀλλ' ἐπειδή με πάλιν δάκνει τὸ ῥῆμα, βραχύ τι ἀναπετάσας τὴν ἀκοήν, ἄκουσον οἷά σοι Πλατωνικὸς φιλόσοφος φθέγγεται· ἐγώ, φίλτατε ἀδελφέ, ἄνωθεν ἐκ πατέρων τῆς θείας χριστωνυμίας ἠξίωμαι, καὶ τοῦ ἐσταυρωμένου, εἰ μή μοί τις κακίζοι τὸ ῥῆμα ὡς τολμηρόν; καθέστηκα μαθητής, παίδευμά τε τῶν ἱερῶν ἀποστόλων, καὶ τῆς μεγάλης καὶ ἀπορρήτου περὶ τὸ θεῖον δόξης δοχεῖον θαρρούντως εἴποιμι ἀκριβέστατον. Πλάτωνας δὲ οὓς λέγεις καὶ Χρυσίππους, ἠγάπησα μέν, πῶς γὰρ οὔ; ἀλλ' ἄχρι τοῦ τέλους καὶ τῆς ἐπιφαινομένης λειότητος· τῶν δὲ παρ' ἐκείνοις δογμάτων, ἃ μὲν εὐθὺς παρεώρακα, τινὰ δὲ ὡς πρὸς τὰς ἡμεδαπὰς συνεργὰ ὑποθέσεις, εὖ μάλα λαβὼν τοῖς ἱεροῖς λόγοις συνέμιξα, ὥς που δὴ καὶ Γρηγόριος καὶ Βασίλειος οἱ μεγάλοι τῆς ἐκκλησίας φωστῆρες πεπράχασι· τὰ δὲ τῶν συλλογισμῶν, εἴδους νῦν μὲν οὔπω καταπεφρόνηκα, γένοιτο δέ μοι καταφρονῆσαι, ὥς τε ἐν εἴδει ὁρᾶν, ἀλλὰ μὴ δι' αἰνιγμάτων τὸν Κύριον· τὸ γὰρ συλλογίζεσθαι, ἀδελφέ, οὔτε δόγμα ἐστὶ τῆς ἐκκλησίας ἀλλότριον, οὔτε θέσις τις τῶν κατὰ φιλοσοφίαν παράδοξος, ἀλλ' ἢ μόνον ὄργανον ἀληθείας καὶ ζητουμένου πράγματος εὕρεσις· εἰ δέ τις μὴ βούλοιτο λογικώτερον τῷ ὀρθοτόμῳ προσιέναι λόγῳ, μὴ δὲ τροφὴν ἐσθίειν στεῤῥάν, ἀλλ' ἢ μόνον γαλακτοποτεῖν οἷα Κορίνθιος, διὰ ταῦτα ἐν γραφαῖς ἡμεῖς οἱ ταλαιπωροῦντες ἐν τοῖς ἠκριβωμένοις λόγοις ἐσόμεθα;

Ἐπεί τοι σὺ μὲν γηλόφῳ τε καὶ γηπέδῳ τὴν ἀρετὴν διορίζεις καὶ τὴν κακίαν, ἐγὼ δὲ οὐχ οὕτως, ἀλλ' ἀφίημι ἐκ κοινοῦ ὁρμητηρίου τῆς προαιρέσεως καὶ καθ' ἑτέρου πελάγους· ὄρη δὲ καὶ πόλεις οὔτ' ἀπάγουσι τῶν ἀντικειμένων ἕξεων, οὔτε ταύτας ἐπάγουσιν. Ὅρα δέ, ἐγὼ μὲν ὁ ἀστικός, τῆς ἀρετῆς σοι τῶν

πρωτείων παραχωρήσας καὶ τὸν λόγον προστέθεικα, ἐμαυτῷ τοῦτον ἀφορίσας καὶ μόνον, καὶ τῆς ἐμῆς ψυχῆς κατηγόρηκα, ὡς πρὸς ἀρετὴν ἀδοκίμου· σοὶ δὲ πάντα τὰ κεφάλαια τῶν καλῶν μεμαρτύρηκα, προσθεὶς καὶ χάριν τινὰ λογικὴν ὅσην ὁ τῆς φιλίας νόμος οὐκ ἀθετεῖ. Αὐτὸς δὲ ὁ ὀρειφοίτης οὐχ οὕτως· ἀλλ' εὐθὺς κατεπήρθης ἡμῶν, καὶ ἣν ὤφειλες ἐπαινεῖν μετριοφροσύνην, ταύτην ἡμῖν προσωνείδισας· ὅτι δὲ λάχος τι τοῦ λόγου καὶ ἑαυτοῖς προσενείμαμεν, ὕβρισιν ἡγήσω τὸ πρᾶγμα, καὶ ὥςπερ ἡμῖν τὸ τοῦ ὕψους σε ἐν ἅπασι κεῖσθαι προσαινιττόμενος, ἐβρόντησας ἀτεχνῶς τὴν ἐν τῷ γράμματι μεγαληγορίαν· καὶ ὁ τοὺς συλλογισμοὺς βάλλων, ἐπὶ τὴν διὰ μαρτύρων ἦλθες ἀπόδειξιν, ἔνθεν μὲν προβεβλημένος τὸν Στέφανον, ἐκεῖθεν δὲ τὸν Γρηγόριον, ὡς ἐν τούτοις μόνοις ἱσταμένης τῆς ἀποδείξεως. Εἶτα δὴ καὶ γεωγραφικαῖς ἐπεβάλου ἰδέαις· πλὴν βραχύ τι ἠγνόηκας, ὡς τῇ ἄρκτῳ ὁ νότος, ἀλλ' οὐχ ἡ Ἀσία ἀντίκειται, καὶ πρὸς τοὺς ἀρκτῴους τοὺς Εὐρωπαίους φαμὲν ἢ τοὺς Λίβυας· εἰ δέ σοι καὶ κατὰ ταυτηνὶ τὴν παιδείαν τὴν γεωγραφικὴν διαβέβλημαι, ἔστω σοι ὅπως ἂν βούλῃ διῃρημένα τὰ κλίματα· πλὴν ἐγὼ οὐ γεωγραφῆσαι βουλόμενος, ἢ κατὰ μέρη τὴν σύμπασαν διελεῖν, τὴν προτέραν ἐποιησάμην ἐπιστολήν, ἀλλά σοι προσμαρτυρήσας τὸ πρὸς πᾶν ὁ,τιοῦν τῶν θηλυνόντων ἀνένδοτον, ἐκ περιουσίας καὶ ἀπὸ πατέρων σοι τοῦτο ἐκληροδότησα, καὶ ἐκ τῆς πατρίδος ἐγενεαλόγησα, ἐμαυτῷ δὲ ἑκατέρωθεν προσέτριψα τὸ ἐνδόσιμον, οὐκ ἀληθεύων ἴσως, φίλτατε ἀδελφέ, ἀλλ' ἐξεικονίζων τὸν μοναχόν, καὶ τὸν τῆς φιλίας θεσμὸν ἐκπληρῶν.

Ὅτι δὲ καὶ τὰ διάφορα μέρη τῆς οἰκουμένης διαφόρων ἠθῶν ἀποτελεστικὰ πέφυκε, τῆς ἀπορρήτου φιλοσοφίας πυνθάνου· εἰ δὲ παρὰ μέρος βραχὺ διαλλάττουσι, τοῦτο ταῖς καθόλου ἠθολογίαις οὐκ ἀντικείσεται· ἁπανταχοῦ γὰρ ἡ ὕλη ταῖς οὐρανίαις περιφοραῖς ἀντιπίπτουσα, καὶ ταῖς τοῦ περιέχοντος κράσεσι τὸ

κατὰ μέρος παραλλάττον ποιεῖ· καὶ εἴ γε μὴ τὰ Χαλδαίων ἠγνόεις, ἃ μὴ εἰδὼς ὅ, τι ποτέ εἰσι, βάλλεις τοῖς σκώμμασιν, ἐκεῖθεν ἂν ᾔδεις τίς μὲν ἡ ἔμμικτος ἀπόφασις καὶ ἀνόθευτος, τίς δὲ ἡ ὡς ἐπὶ πολὺ ἀληθεύουσα. Ἀλλ' ἐκ περιττοῦ σοι ταῦτα πρὸς τὸν προκείμενον δρόμον· εἰ δέ τις καὶ τὴν αὐτὴν ὁδεύει, καὶ ταῦτα εἰδείη, οὐ παρὰ πολὺ καλλίων τοῦ μίαν μερίδα λαχόντος; λέγω δὲ οὐκ ἐμαυτὸν λέγων, ἀλλ' εἴ τις ἕτερος οὕτως ἔχειν δοκεῖ.

Τὸ δὲ Σίναιον, ἵνα σοι καὶ περὶ τούτου φιλοσοφήσω, οὐχ ὡς αἰσθητὸν ὄρος ἀνάγει Μωσέα καὶ κατάγει θεόν, ἀλλ' ὡς συμβολικὸν τῆς κατὰ ψυχὴν ἀπὸ τῆς ὕλης ἐπάρσεως· ἁρπάζεται δὲ τοῦτο τὸ γένος, οὐχ ὅταν ταῖς σκοπιαῖς προσβάλωμεν καὶ τοῖς νάπεσιν, ἀλλ' ὅταν ἐκ μετριοπαθείας καὶ τῶν καθάρσεων, δευτέρα γὰρ αὕτη καὶ νεωτέρα ζωή, ἐπὶ τὸν θεωρητικὸν προβιβασθῶμεν σκοπόν, ἢ μᾶλλον καὶ ὑπὲρ νοῦν γεγονότες, ἐπὶ τὴν ὑπερτέραν ἀναχθῶμεν ἁψῖδα, φημὶ δὴ τῆς ἐλλάμψεως· αὕτη ὄρος ἐστὶ καὶ γνόφος, καὶ σιγὴ ἄντικρυς μετὰ τὴν πολλὴν κίνησιν, καὶ κατάπαυσις πάσης νοήσεως· ἐκεῖσε γὰρ γεγονότες ὁρῶμεν, οὐχὶ νοοῦμεν, ἢ μᾶλλον οὐ νοοῦμεν ὅτι νοοῦμεν· κατάβασις γὰρ τοῦτο γνώσεως καὶ μερικῆς οὐσίας ἀντίληψις· ὁ γὰρ εἰδὼς ὅτι εἶδε, δυσὶ μερίζεται γνώσεσιν, ὁ δὲ μερισμός, ἀποστροφή τις ἐστὶ τοῦ κρείττονος καὶ ὑπόβασις.

Ταῦτα παρὰ τῶν Χαλδαίων εἰληφὼς τοῖς | ἡμετέροις λογίοις φ. 231r. ὑπέταξα· καί μοι τοι[αῦτα] βιβλία συντέτακται πάμπολλα, τῆς ἐμῆς ψυχῆς ἔκγονα, καὶ πολλοῖς ταῦτα διὰ χειρῶν καὶ διὰ γλώττης ἐστί, καὶ οὐκ ἀπέγνωσταί μοι μὴ ὄψεσθαι τὸν θεὸν καὶ ἐν τῇ κοιλάδι ταύτῃ τοῦ ἐν τῇ πόλει κλαυθμῶνος· τὸ γὰρ ὄρος περὶ οὗ λέγειν ἐπαυσάμην, ἁπανταχῇ τῶν μερῶν τῆς γῆς ὑπερίδρυται. Εἰ δὲ διαμεμελέτηται καὶ πρὸς τὸ καθ' ὑμᾶς ὄρος ποτὲ ἀνελθεῖν, ἐπὶ τούτῳ ἐσπούδασται, ἵνα ταλαιπωρούμενος παύσωμαι· ποία γὰρ οὐχὶ ῥᾳστώνη παρὰ τοῖς τὸ θεῖον



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοῦτο ὄρος οἰκοῦσιν ἐστί, καὶ μᾶλλον εἴ τις ἅπαξ ἐμβιοὺς καὶ ἀποκαρτερήσας ἀπογνῷ τὴν ὑποστροφήν;

Οὕτως ἐγώ, φίλτατε, τοῖς ὄρεσι διαιτῶ καὶ ταῖς πόλεσι, τῷ ἐμῷ θεῷ καὶ δεσπότῃ ἑπόμενος, δι' ὃν καὶ τὸν ἐκείνου ἠράμην ζυγὸν καὶ τουτὶ τὸ τρύχινον πεφόρηκα ἔσθημα, ὃς πολλάκις μὲν ταῖς ἀγοραῖς, σπανίως δὲ προσῄει τοῖς ὄρεσι· καὶ οἱ περὶ Γρηγόριον δὲ τὸν πάνυ, ὥσπερ καὶ αὐτὸς οἶσθα, ἀπὸ τῶν πληθουσῶν ἀγορῶν ἐπὶ τὴν ἀγγελικὴν ζωὴν μετετάξαντο. Εἰ γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι, ποῖον ἔνδον ὄρος οὐκ ἀπολέλειπται; ἐσχάτη μὲν γὰρ αὕτη σφαῖρα συμπάντων μὲν ὀρῶν, συμπάσης δὲ ἀναβάσεως. Σὺ δὲ μὴ ἀπορήσῃς, τί ποτε πεπονθὼς οὕτω τοσάδε καὶ τοιάδε παρεφθεγξάμην· τὸ γάρ με κινῆσαν ἐπὶ τοὺς λόγους, πολυπετεῖς μοι τὰς ἀφορμὰς τῆς κινήσεως δέδωκεν.

Ἐμὸς ὁ Πλάτων, ἀδελφέ, καὶ ὁ Χρύσιππος! ὁ δὲ Χριστὸς ᾧ συνεσταύρωμαι, τίνος; δι' ὃν ὅσον ἐν συμβόλοις τὴν ὑλικὴν ἀπέκειρα περιττότητα, δι' ὃν ἀφ' ἑτέρας πρὸς ἑτέραν μετετέθην ζωήν; οὐ μήν, εἰ καθαρῶς εἰμι τοῦ Χριστοῦ, τοὺς σοφωτέρους τῶν λόγων ἀρνήσομαι, καὶ τὴν γνῶσιν τῶν ὄντων, ὅσα τε νοητὰ καὶ ὅσα αἰσθητὰ πέφυκεν, ἀποδύσομαι· ἀλλ' ἐντεύξομαι μὲν θεῷ δι' εὐχῆς ὁπόσα δυνήσομαι, καὶ ἁρπασθήσομαι, εἴ γε δοθείη μοι, καταβὰς δὲ ἐκεῖθεν, διὰ τὸ τῆς φύσεως πολυκίνητον, ἐπὶ τοὺς λειμῶνας βαδιοῦμαι τῶν λόγων· καὶ νῦν μὲν τό, εἶπε γέρων, ὥσπερ ἄνθος ὡραῖον κερῶ, νῦν δὲ ἄλλο τι τῶν ὑμετέρων ἀπανθίσας τῇ ψυχῇ συλλέξω, αὖθις δὲ μεταβὰς ἐκεῖθεν, καὶ συλλογιοῦμαι, καὶ φυσικοῖς ὁμιλήσω δόγμασι, καὶ τοὺς λόγους τῶν γιγνομένων ζητήσω, καὶ τὸν νοῦν πολυπραγμονήσω καὶ τὸ ἐπέκεινα τούτου, ἴσως δὲ καὶ περὶ σχήματος ζητήσω. Σὺ μὲν οἴει ὥσπερ τὸ πρὶν ἐποιοῦμεν, ἀλλ' ἦν ἐκεῖνα πάντα τῆς ἀληθείας σκιαί, νῦν δὲ οὐχ οὕτως ἐγὼ περὶ τῶν σχημάτων φιλοσοφῶ, ἀλλ' εὕρηταί μοί τις ἐντεῦθεν θύρα πρὸς τὰ κρείττονα

καὶ ἀνάβασις. Οὕτω μὲν οὖν ἀνακαθαίρω τὸν νοῦν παντοδαπῶς τῆς ὕλης ἀνάγων ὅποι δυναίμην, τίνι γὰρ τὸ σύμπαν πεφιλοσόφηται; λεαίνω δὲ καὶ τοὺς τῆς γλώττης ὄχθους καλλιρημοσύναις καὶ εὐπετείαις τισί, συνθήκαις τε καὶ ἁρμονίαις καὶ ταῖς λεγομέναις περιόδοις ἢ περιοδικοῖς σχήμασι, καὶ πέπεικα ἐμαυτόν, μή τοι πρὸς ἀρετὴν πεφυκέναι ταῦτα ἐμπόδια· καὶ σταίην ἄχρι ταύτης τῆς καταβάσεως, ἀφ' ἧς θᾶττον πρὸς τὰς ὑπερτέρας νοήσεις ἀφίσταμαι.

Ἀλλὰ μὴ οἴου, ἀδελφὲ φίλτατε, φίλτατος γὰρ εἶ, εἰ καὶ μετὰ τοῦ Πλάτωνος ἡμᾶς ἠρίθμηκας ἀποστήσας Χριστοῦ, ὅτι πρὸς ἀπέχθειάν σοι ταῦτα γέγραπται παρ' ἡμῶν, οὔ, μὰ τὸν ἐμόν τε καὶ σὸν Ἰησοῦν, ἀλλ' ἀθρόον πληγεὶς τῷ περὶ τοῦ Πλάτωνος ῥήματι, οὐκ εἶχον ὅπως διαβαστάσω τὸ ἄχθος. Διὰ ταῦτα γοῦν εὐθὺς ἐπὶ ταύτην ἐλήλυθα τὴν γραφήν, ἀπολογούμενος πρὸς τὴν ὕβριν, καὶ ἀποδεικνὺς ὡς οἷόν τε, ὅτι πᾶσαν Ἑλληνικὴν σοφίαν ὅσην ὁ πάλαι χρόνος ἐπρέσβευσε, συναρίθμει ταύτῃ καὶ τὴν Χαλδαίων καὶ τὴν Αἰγυπτίων καὶ εἴ τις ἑτέρα γνῶσις ἀπόρρητος, ἐλάττονα ξύμπαντα τοῦ εἶναι γέρων λελόγισμαι. Ἐπὶ τούτῳ βάλλω σοι πόρρω μετάνοιαν, ὡς σύνηθες τοῦτο τῆς ὑμετέρας παιδαγωγίας, καὶ συγγνώμην αἰτῶ ὅτι μὴ κατέσχον τοὺς λογισμούς, μὴ δὲ τὴν γλῶτταν ἐπέσχον τὸ μετὰ Πλάτωνος ἀριθμεῖσθαι, χωρισμὸν τῶν ἰσοθέων ἀνδρῶν ὑμῶν ἡγησάμενος.

## 176. [Τῷ πρωτοασηκρῆτις, τῷ λιβελλισίῳ, καὶ τῷ ἐπὶ τῶν δεήσεων].

Μίαν τοῖς τρισὶ ποιοῦμαι ἐπιστολήν, φίλτατοι καὶ λογιώτατοι ἀδελφοί, τῷ πρωτοασηκρῆτις, τῷ λιβελλισίῳ, καὶ τῷ ἐπὶ τῶν δεήσεων, ἢ οὐκ οἶδα ὅπως ἂν χρησαίμην τῇ τάξει τῶν ἀξιωμάτων ὑμῶν· ὁ μὲν γὰρ ἐνδιάθετος λόγος, ἀσυντάκτως ὑμᾶς οἶδε χωρεῖν· ἀμερὴς γὰρ ὢν οὐ διΐσταται, οὔτε τοῖς ὀνόμασιν,

οὔτε τοῖς ἀξιώμασι· τῷ δέ γε προφορικῷ, οὐκ ἂν ὁμοῦ ἀγγελθείητε· διὰ ταῦτα κατὰ τὸ ἐπιτυχόν, ὁ μέν, πρῶτος, ὁ δέ, δεύτερος, ὁ δέ, τρίτος διήρησθε· συνάπτω δὲ πάντας ἐν ἑνὶ γράμματι, οὐχ ὡς μὴ δυνάμενος καὶ καθ' ἕνα ἐπιστολὴν δημιουργῆσαι καλήν, ἀλλ' ὁμοῦ μὲν ὑμῖν συντιθέμενος δι' ἑνὸς γράμματος τοῖς διὰ μιᾶς γνώμης ἑνίσασιν ἑαυτούς, ὁμοῦ δὲ γυμνασίαν τῆς ἐμῆς περὶ τοὺς λόγους ἕξεως ποιούμενος, εἰ δυναίμην ἐν τῷ αὐτῷ γράμματι πολλοῖς προσφωνῶν, ἑκάστῳ τὸ οἰκεῖον ἀποδιδόναι ἦθός τε καὶ ἰδίωμα· οὐ γὰρ τοῦ παντός, οὐδὲ ῥᾴδιον ἀνομοίοις ἤθεσι μίαν ἐξομοιῶσαι ἐπιστολήν· εἰ γὰρ καὶ μὴ διήρησθε κατὰ τὴν τῆς φιλίας ἑνότητα, ἀλλ' ἑκάστῳ τὸ σχῆμα τοῦ ἤθους ἴδιον καὶ πρὸς τοὺς ἄλλους ἀσύναπτον· ἐπεὶ καὶ ὁ παρὰ Πλάτωνι δημιουργὸς τῆς ψυχῆς, πράγματα ἔχει τὸν τοῦ θεάτρου ἵππον συνάπτων τῷ τοῦ αὐτοῦ, διὰ τὸ δυσανάγωγον ἐκείνου καὶ τὸ χαίρειν μάλιστα ἑτερότητι.

Καὶ ὑμεῖς γοῦν ἐν μὲν τῷ αὐτῷ κρατῆρι συγκεκέρασθε, οὗ δὴ καὶ σοφὸς τὰς ψυχὰς κίρνησιν, ἔχοιτε δὲ ἑτερότητα ἐν ταὐτότητι· καὶ μία μὲν ὑμῖν ἡ πρὸς τὸ καλὸν σύμπνοια καὶ ὁμόνοια, καὶ τὸ ἀκριβῶς ἔχειν περὶ πᾶσαν σοφίαν καὶ σύνεσιν· ἀλλὰ τῷ μέν, ἐμβριθεστέρα πως ἡ φύσις καὶ παγιωτέρα περὶ τὴν ἕξιν τοῦ κρείττονος, καὶ ἡ σύννοια μετὰ φιλοσόφου ἕξεως, τῷ δέ, ἑτοιμοτέρα ἡ γνώμη καὶ πρὸς πᾶσαν ἰδέαν καλοῦ εὐπερίστροφος, εὐγλωττία τε οὐ κωμική, ἀλλὰ χαρίεσσα, καὶ τὸ ἦθος οἷον εὐθὺς τὸν θεατὴν ὀφθαλμὸν λογικῶν ἀκτίνων καταπληρῶσαι· ὁ δέ τις ὑμῶν αὐτόθεν μὲν τὴν γνώμην, βαθὺς δὲ καὶ ἐπεστραμμένος πρὸς ἑαυτόν· εἰ δέ τις ἀναχωννύειν τὸ ἦθος
φ. 232. βούλοιτο, οἷον ἀπὸ κρατῆρος στρυφνοῦ πόμα ἀρύσαιτο δεισιδέστατον. Ἆρ' οὖν ἐγνώκειτε ἕκαστος ὑμῶν τὸ ἴδιον, καὶ ἐς ἀνάμνησιν ἐληλύθατε ὧν ἔχετε ἐν τῇ ψυχῇ ἕξεων ἀπὸ τῆς ἐν λόγοις μαθήσεως, ἣ δεῖ ἑκάστῳ τὴν οἰκείαν διερμηνεύειν ψυχήν, ὃ δὴ περιττὸν ἐστι πάντως τῷ γράμματι;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐγὼ δὲ οὐδέν τι σεμνολογήσομαι πρὸς ὑμᾶς, οὐδὲ παραπολαύσω τι τῆς ἐπιστολῆς, μᾶλλον δὲ τῆς ὑμετέρας φιλίας διὰ τὴν ἐπιστολήν, ὅτι ἑκάστῳ ὑμῶν οὕτω διῃρημένων ξυνηρμοσμένος εἰμί, ὡς μήτε χάριτος ἀμοιρεῖν, μήτε τοῦ ἐπεστράφθαι πρὸς ἑαυτόν, μήτε τοῦ φιλοσόφως ἔχειν τοῦ ἤθους. Ὥςπερ γὰρ ἔνια τῶν πολιτικῶν ζητημάτων, ἔχει μέν τι τῆς ἀντιθέσεως ἴδιον, ἐκ πασῶν δὲ συγκέκραται τῶν ἀντιρρήσεων, μᾶλλον δὲ πρὸς πάντα ἐφήρμοσται, οὕτω δὴ κἀκεῖ ἡτοίμασται ἡ ψυχή, ὡς κατὰ μίαν μὲν συντετᾶσθαι ἰδέαν, πολλαῖς δὲ συνηρῆσθαι, εἴη δὲ οὕτως εἰπεῖν ταῖς κρείττοσιν· οὐ γάρ εἰμι τὸ κυρίως ἕν, ἵνα μοι ἀδιαίρετος ἡ φύσις ὑπάρχῃ, ἀλλὰ τὸ ἐκ πλειόνων συγκεκροτημένον· οὕτω τοιγαροῦν καὶ πᾶσα ψυχή, καὶ πᾶσα φύσις, καὶ οἱ νοητοὶ λόγοι διάφοροι μέν, πρὸς μίαν δὲ ἰδέαν συνηρημένοι τυγχάνουσι· καὶ τὰ μυστικὰ τῶν κρειττόνων συνθήματα, ἐκ διαφόρων πρὸς τὸ αὐτὸ ξυντετάχαται· ἢ πόθεν ἐπὶ τῆς ὅλης οἱ τῶν τεράτων λόγοι, καὶ αἱ διημαρτημέναι τῶν ἰδεῶν, ἵνα δή τι ἐξ ἄλλου θεωρήματος, ἕτερόν τι γεωμετρικῶς ὑμῖν συμπορίσωμαι;

Καὶ τοῦτο δέ μου εἰκότως ἂν θαυμάσαισθε· ὅτι ἐπίσης ὑμῖν ξυγκέκραμαι, καὶ οὔτε τὴν τοῦ λιβελλισίου χάριν τεθαυμακώς, τῆς βαθυγνώμονος τοῦ ἐπὶ τῶν δεήσεων ἐπιστολῆς διῄρημαι, οὔτε ὑμῖν συνημμένος οὕτως ὤν, ἀπεσκληκότως πρὸς τὴν τοῦ πρωτοασηκρῆτις ἔχω ἐμβρίθειαν· ἀλλ' οὕτω δὴ πρὸς ὑμᾶς ἀπεικόνισμαι, ὥςπερ ἂν εἰ πρὸς ἕνα τις ἕτερος, καὶ οὐ βούλομαι θατέρου εἶναι, ἀλλὰ πάντων ὁμοῦ· καὶ οὔθ' ὑμεῖς ἀτελεῖς τῷ ἕκαστος εἶναι παρὰ τὸν ἕτερον, κἀγὼ τελεώτατος τῷ ὁμοίως ἔχειν πρὸς ἅπαντας, ὥςπερ εἴ τι μίγμα εἴη τοῦ παντός. Ἀλλ' οὐδὲ τὰ μέρη ἐπιδεῶς ἔχει τῆς ἑκάστου φύσεως, ὥςτε τὸ μὲν ὑμέτερον, ἐνεπιδεές, τὸ δέ γ' ἐμὸν ἐκ πάντων πεπλήρωται· ἀλλ' ὥςπερ ἐστὶν ἐν τοῖς μέρεσι τοῦ παντὸς ξύμπαντα, εἴ τις αὐτὰ καθ' ἓν προχειρίσαιτο· ἔστι δὲ καὶ ἕκαστον, ὅπερ λέγεται

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

παρὰ θάτερον· οὕτω δὴ καὶ παρ' ὑμῖν καθ' ἕκαστον φημὶ τὰ ἀλλήλων, καὶ ἕκαστος παρὰ τοὺς λοιπούς· παρὰ τὸ πλεονάζον ἡ διαφορά, οὐ παρὰ τὴν ἐναντίωσιν.

Ἐγὼ δὲ ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην· βούλομαι γὰρ συναφθῆναι τοῖς τρισὶν ὑμῖν καθ' ἕν, διήρημαι δὲ καθ' ἕκαστον· ἀλλὰ πειράσομαι εἴ πως ἐν ταὐτῷ Δωρίους καὶ Φρυγίους καὶ Ἰαστίους ῥυθμοὺς ἁρμόσομαι, ἢ κατὰ ταὐτὸν καὶ χρῶμα ἁρμονίαν καὶ σύντονον μέλος συνάψω, ὥς τε ὁμοῦ καὶ μεγαλομερέστερά τε εἰσποιεῖν τὰ τμήματα, οἷα δὴ τὰ συντονικά, καὶ ἐλάχιστα, ὁποῖα τὰ ἁρμονικά, καὶ ξύμμετρα, ὁποῖα τὰ χρωματικά, ὥς τε ἡρμόσθαι μοι τὴν λέξιν καὶ τόνοις καὶ ἡμιτονίοις καὶ διαιρέσεσιν.

Ἐγὼ γάρ τοι καὶ τῆς ἁπαλῆς μούσης λιγαίνειν τι μέλος ἐπίσταμαι, εὖ δέ μοι ἡ φύσις ἔχει καὶ πρὸς τὸ σύντονον, καὶ τῆς ἀπ' ἀμφοῖν κράσεως οὐκ ἐστέρημαι. Ἆρ' οὖν ἔλαθον εἰρηκὼς ὅπερ βεβούλημαι, ἢ ἀκριβῶς ὑμῖν περώρακμαι; ἡ γὰρ δή μοι λέξις τοῖς τρισὶν ἐνήρμοσται εἴδεσιν, ἀπὸ τῆς ἁρμονίας ἀρξαμένη καὶ εἰς τὸ χρῶμα συγκαταλήξασα. Ὑμεῖς μὲν οὖν ἐντεῦθεν εἰκάζοιτε ἄν με ἐρρωμένως ἔχειν καὶ τῆς ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος, ὅτι δὴ καὶ βαθυτέρων ἡψάμην θεωρημάτων, καὶ τῷ τῆς γλώττης ἐφῆκα ῥεύματι· δέδοικα δὲ μὴ τὸ κύκνειον ᾄδω μέλος, ἐξόδιον ὑμῖν ᾠδὴν ἁρμοζόμενος. Τῶν μὲν οὖν κύκνων ὁ Πλάτων, ὡς ἐγῷμαι, καταψεύδεται, ὅτι τοῦ Ἀπόλλωνος ὄντες θεράποντες, ἴσασιν ἐν τῷ τελευτᾷν οἷ ἀφίξονται, καὶ διὰ ταῦτα ὑφ' ἡδονῆς μέλος ᾄδουσιν ἐναρμόνιον· ἐγὼ δὲ οὐ διὰ ταῦτα, ἐπεὶ τἀναντία ἐμαυτῷ συνεπίσταμαι· ἀλλ' ὅπερ πεπόνθασιν οἱ στρουθοί, τοῖς ὁμογενέσιν ᾄδειν προαναβάλλονται συνᾴδοντες, τοῦτο δὴ κἀγὼ ὑμῖν συμπέπονθα· καὶ ἐπειδὴ μουσικοῖς ἀνδράσιν ὁμιλεῖν προῆγμαι, συμμουσουργῶ τι καὶ αὐτὸς ἀπὸ τῆς ὁμοίας ἐπιστήμης ἢ ἕξεως.

Ὑμῖν μὲν οὖν τὰ σώματα καὶ ἤρκεσε καὶ πρὸς τοὺς στρα-

τιωτικούς, καὶ μέχρι παντὸς ἐμοῦ γε ἕνεκα διαρκέσειαν, ἐμοὶ δὲ ὅσῳ ἐμβριθὴς ἡ φύσις τοῦ σώματος, τοσούτῳ καὶ ἀσθενής· τὸ γὰρ εἰς ὄγκον προεληλυθός, ἐλαττοῦσθαι κατὰ τὴν δύναμιν φιλοσοφία φησί· διὰ ταῦτα νοῦς μὲν εὐσθενὴς ὅτι ἄογκος, σῶμα δὲ ἀσθενὲς ὅτι εὐμέγεθες· ἐμοὶ δὲ τοιοῦτόν ἐστι τὸ σῶμα πρὸς ἕτερα σώματα, οἷα ἐκεῖνα πρὸς φύσιν νοεράν· διὰ ταῦτα ἐμοὶ μὲν καμπτῆρος ἡ τοῦ δρόμου γέγονε ξύντασις· οὕτω γὰρ ἐγὼ καλῶ τὴν Καισάρειαν, ἔνθεν αὐτὸς τὸν δρόμον ἀνέλυσα. Εἰ δὲ ὑμεῖς, μετὰ τοῦ περαιτέρω ἀπιέναι, καὶ δρόμον ἀγωνιστικὸν δράμοιτε, ἀλλὰ μὴ τηνάλως ἐμματαιάζοιτε οὐκ εὐθεῖαν τέμνοντες, ἀλλὰ κύκλῳ πρὸς τὸ αὐτὸ τέρμα συνθέοντες· διττὸς γὰρ καὶ παρὰ τοῖς φιλοσόφοις ὁ δρόμος τοῦ καταλύματος· τοῦτο ἐμοὶ μὲν τὸ ἥδιστον, ὑμῖν δὲ τὸ νικητικώτατον.

Εἰ δὲ μὴ τὸν Χοιροσφάκτην ὑμῖν συγκατέλεξα, οὐ παρὰ τοῦτο κρείττους ἐκείνου ὑμεῖς, ἀλλ' οὕτως ἐκεῖνος ὑμῶν· ἐξχίρω γάρ τοι τοῦ λόγου τὸν ῥήτορα, ὅτι με κἀκεῖνος ἐξαίρετον τῶν ἄλλων ἔχει σοφῶν.

## 177. [Τῷ πρωτοβεστιαρίῳ . . . . .]

Αὐθέντα μου πρωτοβεστιάριε, συνήλγησα μὲν τῷ καλῷ Ἡσαΐᾳ ἐξερχομένῳ τῆς Πόλεως, ὡς μέλλοντι κακοπαθήσειν πολλά, συνήσθην δὲ ἀφικνουμένῳ πρὸς σὲ ὑφ' οὗ σκεπασθήσεται. Οὗτος μὲν οὖν, τὰ μέν, ἀνιαθήσεται, τὰ δέ, παραμυθίας τῆς παρὰ σοῦ τεύξεται. Ἐμοὶ δὲ ἐλπίζοντι εὐροήσειν ἐνταῦθα, πρῶτον μὲν ἡ ἀπὸ σοῦ διάστασις, μέγα τι κακὸν δοκεῖ, ἔπειτα καὶ ἄλλα δεινὰ συμβεβηκότα, νοσεῖ γάρ μοι τὰ φίλτατα, καὶ τὸ μέν, παντάπασιν ἀπέγνωσται, τὸ δέ, ἐγγύς ἐστιν ἀπογνώσεως· ἐγὼ δὲ σοφὸς μὲν ἴσως ἢ φιλόσοφος ὀνομάζομαι, ἐν δέ γε τοῖς προσπίπτουσιν ἀβουλήτοις, οὔτε φιλοσοφεῖν δεδύνημαι, οὔτε μεγαλοψυχεῖν.

Πρὸς τίνα δὲ καὶ ἐξαγορεύσω μετὰ σὲ τὰ ἐν τῇ ψυχῇ πάθη;

τίνι θαρρούντως τὰς ἐμὰς ἀποδύρωμαι συμφοράς, εἰ μή που λέγοις τὸν παρακοιμώμενον, τὸν χαρακτῆρα τῆς ἱερᾶς σου ψυχῆς, πρὸς ὃν δὴ καὶ ἀφικνοῦμαι καὶ ἐφ' ᾧ ἐπαναπαύομαι, παρ' οὗ
φ. 232ᵛ. μυρίας παραμυθίας κομίζομαι; Σκο|πῶ δὲ ἀμφότερα, τῆς πρὸς ἀλλήλους ὁμιλίας σοι τὸ μέγα τῆς ἀρετῆς ὄνομα, καὶ ὅπως ἂν εὐδοξήσῃς καὶ εὐροήσῃς καὶ προϊὼν καὶ ἐπανιών.

Οἴδαμεν δὲ οὐδὲν τῶν αὐτόθι, εἰ μὴ ὅσον φήμαις ἄλλων ἄλλαις ἑπόμενοι, καὶ εἴη νικᾶν τε καλλίονας, καὶ ἡμᾶς ἐπὶ χρηστοτέραις ἐλπίσι προϊέναι πορρωτέρω ὑμῶν καί μοι ὑγιαίνοις τὸ μέγα Ῥωμαίων ὄφελος, ἡ ἐμὴ παραμυθία, καὶ πνοή, καὶ ζωή. Καὶ προσειρήσθωσάν σοι πάντες παρ' ἐμοῦ, καὶ μάλιστα οἷς μέλει τὸ παρὰ τῆς ἐμῆς γλώττης προσαγορεύεσθαι.

## 178. Τῷ μητροπολίτῃ Κυζίκου τῷ συγκέλλῳ κῦρ Ῥωμανῷ.

Τῆς συνδεδεμένης ἀνδρί, ἡ τοῦ ὁμοζύγου χηρεύσασα εὐχερεστέρα πρὸς τὴν συνάφειαν, τιμιώτατε καὶ σεβασμιώτατε δέσποτα, κἂν ἡ μέν, καλλίων καὶ τὴν μορφὴν καὶ ἀφηλικεστέρα ἐστίν, ἡ δέ, καὶ εἰδεχθὴς καὶ ῥυτίδων ἐγγύς· πρῶτον μὲν γὰρ οὐδὲ θεατὴ τοῖς πολλοῖς, ἐκείνη [δὲ] εἰς τὸν ἐσώτερον κοιτωνίσκον ὑποτρέχουσα, καὶ προστρέχουσα τῷ ἀνδρί· ἔπειτα εἰσὶ καὶ νόμοι κατὰ τῶν ἐρώντων ἐκείνης πικρὰ καὶ μεγάλα τὰ ἐπιτίμια ἔχοντες.

Τὴν μὲν οὖν τοῦ Ἀρτιγενοῦς μονὴν ὁ παλαιγενέτης ἐχέτω ἀνήρ, ὁ ἐκτομίας καὶ ἐπαφρόδιτος, καὶ τῆς ἐρωμένης ἀπρὶξ καὶ ἐν ἀγκάλαις ἐχόμενος, ἡ δὲ τῶν Μουντανίων χθές που καὶ πρῴην δυοῖν συζύγων χηρεύσασα, νυμφευθήτω ἐμοί· κρείττων γὰρ ἐγὼ τῶν προτέρων αὐτῆς ἀνδρῶν καὶ τὸ εἶδος καὶ τὴν φύσιν, καὶ συναγκαλίσομαι μᾶλλον αὐτὴν ἤπερ ἐκεῖνοι· καὶ ἐπειδὴ οὐκ

ἀστική τις ἐστίν, ἀλλ' ἀγροικική, οὐ περιδερραίοις καὶ ἐλλοβίοις κατακοσμήσω, οὐδὲ ἠλεκτρίνην αὐτῇ τὴν στηθοδέσμιδα ποιήσομαι, οὐ στρεπτῷ τὸν τράχηλον καλλυνῶ, ἀλλὰ βόας αὐτῇ καὶ ἀγέλας προβάτων χαρίσομαι, ἵνα τοῖς συνήθεσι παιδικοῖς ἐπαγάλληται. Ἢν δέ που δεήσῃ αὐτῇ καὶ ᾠδῆς καὶ χαρίτων, αἰπόλον αὐτῇ ἐπιστήσω, αὐχμοῦ μὲν πλήρη, εἰδότα δὲ πλαγίοις αὐλήμασι καταθέλγειν αὐτῇ τὴν ἀκοήν.

Ἀλλὰ τί με λέγοντα μεταξὺ διετάραξεν; οὐ πάνυ τί ἐστι φίλανδρος ὡς ἄν τις εἰκάσειεν· οὔπω γὰρ τὸν πρότερον αὐτῆς ἄνδρα τετελευτηκότα θρηνήσασα, εὐθύς τε ἑτέρῳ συνήφθη καὶ αὐτίκα διώλεσεν, ὡς ἡ τοῦ Τωβία γυνή. Μὴ τοίνυν ἐμοὶ μόνῳ συνάψαις τὴν ἄστοργον, ἀλλὰ καὶ ᾧ ἂν αὐτὴν ἐγὼ συνοικίσαι βουλήσομαι, ἵν' εἰδυῖα, ὡς κἂν ἐμὲ διακρούσηται αὐτίκα καὶ ἐφ' ἑτέρῳ συζύγῳ γενήσεται, ἐμοῦ μᾶλλον τοῦ συνήθους ἀντέχηται.

Καὶ μὴ θαυμάσῃς, εἰ τῆς μὲν κατεγγυηθείσης μοι παρὰ σοῦ, ἀφθονωτέρας οὔσης καὶ πᾶσιν ἀγαθοῖς βρυούσης καταπεφρόνηκα, τῆς δὲ ἀγεννοῦς ταύτης ἠράσθην καὶ πένητος· ἐκείνη μὲν γάρ, εἰ καὶ πολὺ ταύτης εὐδαιμονεστέρα, ἀλλὰ καθυπερηφανεύεται τοῦ ἔρωτος, καί τι γερόντιον εἰδεχθέστατον ἐμοῦ μᾶλλον τοῦ μεγεννάδος ἀσπάζεται, καὶ μικροῦ δεῖν εἰς ἀθανασίαν αὐτὸν μετέστησεν, εἰ μὴ ἡ φύσις ἀντίσχυσεν· ἡ δέ, οὕτω μου ἐρωτικῶς ἔχεται, ὥς τε, ἐπειδὴ πόρρωθεν ἐνένευσά τε ταύτῃ καί τι προσεμειδίασα ἁπαλόν, τοὺς συνήθεις εὐθὺς ἀποστέρξασα ἀπέκλινε πρὸς ἐμέ. Πῆξον οὖν μοι ταχέως τὴν νυμφικὴν παστάδα, καί μοι ἑτοίμασον τὸν δεσμόν, δυσὶν ὁμοζύγοις ὡς εἴρηται, ἐμοί τε γνωρίμῳ καὶ ἀγνώστῳ ἑτέρῳ τὴν ἐρωμένην κάλλιστα νυμφευόμενος, καὶ μὴ ἄλλως ποίει· ἐγὼ γὰρ ὁ νυμφίος οὐκ ἐφ' ἑτέροις συντίθεμαι τῷ μεγάλῳ βουλήμασι, καὶ ἐπὶ πᾶσι μέμνησό σου τῶν συνθηκῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 179. Τῷ μητροπολίτῃ Ἐφέσου.

Εἰ μὲν ᾔδεις, τιμιώτατε πάντων ἀνδρῶν, ἀποστρεφόμενόν με τὴν σὴν ὁμιλίαν, ἢ μὴ καθάπερ ἀπὸ πηγῆς τοῦ στόματος τοὺς σοὺς ἀρυόμενον λόγους, εἰκός τι δοκεῖς ποιεῖν, ἣν ἐμίσουν προσλαλιὰν ταύτην μὴ διδοὺς ἐν τοῖς γράμμασιν· εἰ δ' ἀκούων ὅτι μοι παραγέγονας, εὐθὺς τῶν ἄλλων διαλόγων ἀφέμενος τῆς σῆς ἐξηρτώμην γλώττης, τί μὴ τὴν ποθουμένην ἡμῖν καὶ πόρρωθεν ἐπιχέεις πηγήν; Οὐκ οἶσθ' ὅτι τοῦτο μόνον τοῖς διεστῶσι τῶν φίλων ἀποχρῶν εἰς παραμυθίαν ἐστίν, ὁ ἐπιστολιμαῖος λόγος καὶ ἡ διὰ μέσου τοῦ γράμματος ἕνωσις; εἰ γὰρ ἀφέλῃ τις τὸν δεσμόν, τρόπον τινὰ τὴν φιλίαν διέλυσεν· οὐ γάρ με πείθουσιν οἱ περιττοὶ τὴν σοφίαν, ὡς ἡ νοερὰ ὁμιλία καὶ τὸ ἐν φαντασίαις αὔταρκες ποιοῦσι τοὺς διεστηκότας συνεῖναι. Ἐμοὶ γοῦν τοῦτο ἀνάμνησίς ἐστι διαστάσεως καὶ ἔρωτος ἔξαμμα, καὶ πῦρ ἐγκάρδιον, ἀλλ' οὐ παρηγορίας ἕνωσις, καὶ ὅσοι γοῦν τὴν φιλίαν ἐξησθενήκασιν εἰς μέρος ἀπολογίας τὸ τοιοῦτον ἀνάπλασμα τίθενται· εἰ δὲ καὶ ἡ φαντασία τὴν τοῦ φιλοῦντος ὄψιν ἀντιτυποῖ, ἀλλὰ λόγους οὔτε ἀφίησιν, οὔτε δέχεται· ὁ δὲ τῆς ἐπιστολῆς λόγος, ἔμψυχον τὸ χρῆμα καὶ τὴν καρδίαν ἀναμαξάμενον.

Ὥς περ δὲ καταμαντευόμενός σου τὰς ἀντιθέσεις, προλαμβάνω τὰς λύσεις· δυνάμεώς τε γὰρ οὐκ ἀπορεῖς πρὸς τὰς ἐπιστολάς, τέχνῃ τε καὶ σοφίᾳ κεκόσμησαι· ἐμοὶ δὲ τὸ ἦθος ἐπιεικέστερον μᾶλλον ἢ περιττότερον, καὶ οὐ περιεργάζομαι ὥς περ χρησμοὺς τὰς τῶν φίλων φωνάς, ἀλλά με μᾶλλον ὁ ἁπλούστερος θέλγει λόγος τοῦ παντοδαποῦς καὶ ποικίλου· ὁ μὲν γὰρ ἀπὸ τῆς ψυχῆς ἔξεισι, τὸν δέ, ἵν' οὕτως εἴπω, ἐπιπολαίως προχέει τὸ ἀκροστόμιον. Ἀλλὰ σοὶ τὸ ῥεῦμα χρυσοῦν ἀφ' ἑκατέρων ἀπορρεῖται πηγῶν, καὶ ἀπὸ μὲν τῆς πηγῆς ἐψύχωται, ἀπὸ δὲ τῆς γλώσσης

τετράνωται, καὶ παρ' ἐκείνης μὲν τὰς ἐννοίας οὐσίωται, παρὰ δὲ ταύτης τὴν λέξιν ἀμπίσχεται, καὶ πρόεισι καθάπερ ἀπὸ παστάδος, εἰ μή τι τῆς σῆς ἐγὼ γονῆς ἐπιλέλησμαι.

Καὶ τούτου μὲν ἅλις· κατώρθωται γάρ μοι ἤδη ὅπερ βεϐούλημαι· τῶν δὲ σῶν τί μὴ καί ...... ἀλλ' ἀρεῖταί σοι ὁ Ἀνδρέας καὶ τοῖς πολλοῖς ἀπωσμένος λελόγισται· θρηνεῖ γοῦν καὶ τὴν ὑποψίαν, πῶς ἂν εἴπῃς | σφοδρῶς, καὶ οὐ χαίρει ὅτι μὴ φ. 233. προκεχώρηκεν, ἀλλ' ἄχθεται ὅτι σοῦ κεχωρίσθαι ὑπείληπται. Εἰ μὲν οὖν ἀπ' ἀλλήλων ἡμεῖς διῃρήμεθα, ἔστω τῆς σῆς μερίδος ὡς κρείττονος ὁ διάκονος, εἰ δὲ σὺν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἐσμέν, ἀμφοῖν ἤτω κοινός, μᾶλλον δὲ ὅλος παρὰ θατέρῳ, καὶ τοσοῦτον ἐμὸς ὅτι ὅλος σός, τοσοῦτον δὲ σός, ὅτι ὅλος ἐμός.

## 180. [Τῷ κριτῇ Φιλαδελφείας].

Αἰδοῖ τοῦ τῆς φιλαδελφείας ὀνόματος, φιλαδελφότατε ἀδελφέ, φιλῶ τὸ χωρίον τὴν Φιλαδέλφειαν, μᾶλλον δέ, ἵνα τὸ ἀληθέστερον ἐρῶ, ὀφειλέτης εἰμὶ τοῖς χωρίταις ἀρχαίας ὑποδοχῆς καὶ ἀποδοχῆς· ἐξενοδοχήθην γὰρ παρ' αὐτοῖς ὁπότε τῷ κατὰ Φλῶρον ἐκείνῳ εἱλώτευον, ἄρτι ἀφήϐης γενόμενος καὶ τὴν εὐθὺ Μεσοποταμίας μετ' αὐτοῦ διώκων. Ἦν δὲ τηνικαῦτα, ἵνα παλιλλογήσω, καθὼς καὶ αὐτὸς οἶσθα, μειράκιον οὔπω γενειάσκον· εἶτα δὴ καὶ τὰς κρίσεις τοῦ θέματος πιστευθείς, παρ' αὐτοῖς αὖθις κατήχθην· καί με φιλοφρονέστερον οἱ ἄνδρες ὑποδεξάμενοι, τῆς προσηκούσης ἐμοὶ ὥσπερ εἰκὸς ἀντιφιλοφροσύνης τετυχήκασι. Τανῦν δὲ αὖθις ἐν βαθείᾳ ἰδόντες τῇ πολιᾷ, ἐγνώρισαν ἀκριβῶς, καὶ ἀνιστόρησάν μοι καὶ τὴν πρώτην καὶ τὴν δευτέραν καταγωγήν, καὶ φιλαδελφότατα οἰκείως ἐρεῖν διετέθησαν πρὸς ἐμέ, ἄλλος ἄλλό τί μου μέρος καταφιλοῦντες καὶ

ξύμπαντες τοῖς ἐμοῖς ποσὶ προσκυνζόμενοι, καὶ προσμειδιῶντες ἡδὺ καὶ θαυμάζοντες, ὅτι μοι ἀντὶ τῆς ὑποξάνθου ποτὲ τριχός, ὑπαργυρίζουσα ἀκριβῶς ἐγεγόνει ἡ κεφαλή, μικροῦ δεῖν εἰς δάκρυά με κατήγαγον· ἐπειδὴ καὶ τοιοῦτος ἐγὼ τὴν ψυχήν, θῆλυς ἀτεχνῶς καὶ εὐσυμπάθητος.

Ἠλέησα οὖν, νὴ τὴν ἱεράν σου ψυχήν, τοὺς τοῦ χωρίου οἰκήτορας, ὡς ἀρχαίους ὑποδοχέας ἐμοὶ γεγονότας, καὶ πολλάκις μοι τὴν φιλοφροσύνην ἐπιδειξαμένους, εἶτα δὴ καὶ ἠρώτησα, πῶς ὑμῖν τὰ περὶ τοῦ δικαστοῦ; καὶ πάντες δι' εὐφήμου σε φωνῆς ἀνεκρότησαν, ἄλλος ἄλλό τι τῶν σῶν ἀρετῶν συνείροντες, ἀγροίκῳ μὲν τῇ γλώττῃ, εὐστόχῳ δὲ τῇ γνώμῃ. Ὡς δὲ καὶ τὴν ἐμὴν πρὸς σὲ φιλίαν τούτοις ἐγνώρισα, πρὸς δὲ καὶ ὅτι με διὰ πάσης ἔχεις αἰδοῦς, γονυπετεῖς αὖθίς μοι γεγονότες πολλά μου κατεδεήθησαν δι' ἐμοῦ μεσίτου, χρηστοτέρου σου καὶ φιλανθρωποτέρου τυχεῖν. Ἔστι δέ τις αὐτοῖς ἀμφιβαλλόμενος ὑποτελεσμός, μᾶλλον δὲ ἀναντίρρητος· αὐτοὶ γὰρ ἔφασαν παρ' ἑτέρων ὑποτελεῖσθαι, οὐκ αὐτοὺς ἑτέροις ὑποτελεῖν.

Οἶδα μὲν οὖν ὅτι πᾶν ὃ ἂν γνῷς σύ, τοῦτο δίκαιον, καὶ τῷ νόμῳ κἀμοὶ συνδοκεῖ· εἰ δέ τι καὶ παρὰ τὴν ἐμὴν φιλίαν διακινδυνεύσεις, τοῦτο οὐχ ἧττον δίκαιον ἢ φιλάνθρωπον, μὴ δὲ τοῦτο δὴ παραγνοίης· ἀλλὰ τῇ διαίτῃ τῆς ὑποθέσεως τὴν ἐμὴν ἐγκαταμίξας φιλίαν, ἴσως ἕτερόν τι γνοίης παρὰ τὰ ἐγνωσμένα ἐννομώτερόν τε καὶ δικαιότερον· αἱ γὰρ δεύτεραι καὶ τρίται τῶν πραγμάτων ἐπιβολαὶ ἀλλοιοῦσι τὰς προτέρας διαγνώσεις, ὡς ἐπιπολαιοτέρας τυχόν, οὐκ εἰς βάθος ἀφικομένας τοῦ πράγματος. Οὕτω δὴ καὶ Ἀριστοτέλης καὶ Πλάτων ἕτερα ἐδόξασαν προϊόντες, καὶ οὐκ ᾐσχύνθησαν τὰς τῶν νοημάτων μεταβολάς· ὅμως οὐ λανθάνω σε πολλῷ τῷ σοφίσματι χρώμενος καὶ ἐνάγων σε τῇ συμπαθείᾳ τῶν χωριτῶν.

Οἶσθ' οὖν ὃ ποιήσεις; ζυγοστάτησον τὴν ἐμὴν φιλίαν καὶ τὸ ἀκριβὲς δίκαιον, καὶ δὸς ὅτῳ βούλει τὴν ῥοπήν. Ἀλλὰ πάλιν

σοι ἐπαφῆκα τὸν χαλινὸν καὶ νεύσεις περὶ τοὺς σοὺς νόμους τούς τε ἀρχαίους καὶ τοὺς νεαροπρεπεῖς· ἀλλ' ἐγὼ οὐ τοῦτο βούλομαι, ἀλλ' ἵνα τι δι' ἐμὲ ἀγαθὸν τοῖς χωρίταις ἐπινοήσῃς. Αἰδέσθητι δὲ καὶ τὴν ἐπιστολὴν ὅτι, εἰ καὶ μὴ ἀνθοῦσα, ἀγροικικὴ γὰρ τοῖς ὀνόμασιν, ἀλλὰ πολύστιχος, σοὶ δὲ ἀρκέσει καὶ νεῦμα φιλάνθρωπον πρὸς αὐτοὺς ἀντίρροπον τῇ ἐμῇ ταύτῃ ἐπιστολῇ.

## 181. Τῷ πατριάρχῃ Ἀντιοχείας.

Ὡς ἥδομαι, θεοτίμητε δέσποτα, ὅτι σου τὸ ὑπερέχον τῆς ἀρετῆς διὰ πάσης τῆς οἰκουμένης κηρύττεται, καὶ οἱ κήρυκες οὐκ αὐτόπται μόνον καὶ αὐτήκοοι τῶν σῶν ἀγαθῶν, ἀλλὰ καὶ δεκτικοὶ κατὰ πολλὴν φιλοτιμίας περιουσίαν· διὰ ταῦτα καὶ σύντονος ὁ λόγος αὐτῶν, καὶ ὁ ἔπαινος ζήλου καὶ θερμότητος πνεῖ.

Τούτων ἐστὶ καὶ ὁ δεῖνα ὁ Ἀντιοχεύς, ἀνήρ, ὥς γέ μοι δοκεῖ, οὐδενὸς δεύτερος ἐν εὐγνωμοσύνῃ τρόπων προσγεγενημένην εὐεργεσίαν ἀμείψασθαι. Τοῦτον τοίνυν ἐγὼ οὐκ ἐκ παρέργου ἀκήκοα, οὐδὲ κατὰ πάροδον περιηχήθη μοι τοῖς ὠσὶ τὰ σὰ παρὰ τούτου ἐγκώμια, ἀλλ' ἄνωθεν ἀφορμῆς δικαίας μεσιτευσάσης μοι τοῦτον· πολλάκις γὰρ πρός με φοιτᾶν εἴωθεν, ἢ ἀμειψόμενος εἴ πέρ τι πέπονθε παρ' ἡμῶν ἀγαθόν, ἢ ληψόμενος ἕτερον.

Τὸν μὲν οὖν ἄλλον χρόνον περὶ ταῦτα ἐπραγματεύετο, πολλάκις δὲ καὶ τὴν Ἀντιόχου ἱστόρει μοι, τοῖς ἀρχαίοις τῆς πατρίδος ἐπιγαννύμενος διηγήμασι· νῦν δὲ πάντων ἐκείνων ἐπιλαθόμενος, τὴν σὴν μόνην ἀρχιερατικὴν τελειότητα, ἀφορμὴν ποιεῖται τῆς διαλέξεως· κἀπειδὰν ἄρξηται τῶν εὐφημιῶν, κατατείνει μέχρι πολλοῦ, ἐπ' ἄλλοις προστιθεὶς ἕτερα. Κἀγώ, ἐπειδὴ ἐρῶντά σου τῶν ἀρετῶν ᾔσθημαι, ἀντεπιδείκνυμι τούτῳ καὶ τοὺς ἐμοὺς περὶ σὲ ἔρωτας, οὓς αἱ τῆς ψυχῆς ὠδῖνες ἀπο-

τίκτειν εἰώθασι, καὶ ἀντιφιλοτιμοῦμαι τῷ λόγῳ· καὶ μὴ θαυμάσῃς, εἰ νικῶ πολλῷ τὴν ἐκείνου πρόκλησιν.

Ἐγὼ μὲν οὖν τὴν ἀντιμισθίαν τῶν ἐπαίνων ἀπείληφα· τοιαύτη γάρ ἡ περὶ σοῦ φήμη, ὅτι με διόλου εὐφήμῳ τιμᾷς στόματι, καὶ τοὺς ἐμοὺς λόγους ἐξαίρων καὶ λαμπροτέρῳ κάλλει σεμνύνων. Δεῖ οὖν καὶ τοῦτον τῆς ἀναλογούσης τυχεῖν ἀντιδόσεως, καὶ πλέον τῶν ἄλλων τῆς σῆς ἀπολαύειν φιλοτιμοτάτης ψυχῆς· εἰ δὲ δεῖ προσθεῖναι καὶ τὸ ἡμέτερον, μὴ δεύτερος ἡμῖν φανῇς
φ. 233ᵛ. ἐν ταῖς χάρισιν, οὗ διεδέ|ξω τὸν θρόνον· ἀλλ' ἐπειδὴ κἀκεῖνος ἅπαξ ἡμῶν ἀξιωσάντων, τὸν ἄνδρα τετίμηκε, βεβαίωσον αὐτῷ τὴν τιμήν, καὶ γενοῦ καλοῦ καλλίων, καὶ φιλοτίμου φιλοτιμότερος, πατρόθεν τε τὴν τοιαύτην γνώμην κληρονομήσας, καὶ παρὰ σεαυτοῦ προσθεὶς καὶ αὐξήσας εἰς δύναμιν.

## 182. Τῷ μητροπολίτῃ Εὐχαΐτων.

Πολλῶν με πολλάκις ἐπὶ λόγοις μακαριζόντων καὶ τὸ τῆς φιλοσοφίας κράτος προσμαρτυρούντων, ὁ αὐτός εἰμι καὶ τοῖς ἐπαίνοις οὐ μεταβάλλομαι· ἀλλὰ τοῦτο μέν, πρὸς τὸ τῆς φύσεως βλέπων ἐπίκηρον, τοῦτο δέ, πρὸς τοὺς θεσπεσίους ἐκείνους φιλοσόφους καὶ ῥήτορας, ὧν κλέος οἷον ἀκούομεν, ἕνα τῶν πολλῶν ἐμαυτὸν ἥγημαι καὶ τοῖς ἄλλοις ἐπίσης τῆς τῶν λόγων ἀπολελειμμένον ἀκρότητος· ὅταν δὲ ταῖς σαῖς μαρτυρίαις περὶ τῆς ἐμῆς ἐντύχω παιδεύσεως, τὸ κατὰ πάντων κράτος ἔχειν δοκῶ, καὶ τοῦτο μόνον εἰδέναι ὃ παρὰ τῶν πολλῶν λέγομαι.

Καὶ πῶς γὰρ οὐ σοφώτερος τῶν ἄλλων ἐγὼ καὶ τῶν ἀπ' αἰῶνος ἐπὶ λόγοις εὐδοκιμησάντων ἐλλογιμώτερος; Πλάτωνα μὲν γὰρ Ἀριστοτέλης ἐπήνεσε, καὶ τοῦτον Θεόφραστος, καὶ τοῦτον Ἀρχύτας ὁ Ταραντῖνος, ἄνδρες φιλόσοφοι μέν, καὶ γενναῖοι τὴν γλῶτταν, οὐκ ἐν πάσαις δὲ ταῖς ἀρεταῖς ἀκριβῆ τὴν πεῖραν παρεσχηκότες. Σὺ δέ, τῆς μὲν παρ' ἐκείνοις παιδεύσεως, ἴσως

ἔχεις τὰ δεύτερα, τῷ δ' ἐν πάσαις πραγμάτων ἰδέαις ὑπερτερεῖν καταλλήλως, πλείονι μέτρῳ ἐκείνων ὑπέρκεισαι· εἰ δέ, οἷς ἐκεῖνοι τὴν παίδευσιν ἐμαρτύρησαν διὰ τὴν ἐκείνων γλῶτταν μακάριοι, πῶς οὐχὶ μᾶλλον αὐτὸς ζηλωτότερος, τῶν σῶν εὐφημιῶν ὁσημέραι καταπολαύων, οὐχὶ ἁπλῶς οὕτω καὶ διὰ τῆς γλώττης, ἀλλὰ καὶ ἐν στήλαις χαλκαῖς, τοῖς σοῖς φημι γράμμασι;

Καὶ Φωκίων μέν· ἦν δὲ οὗτος Ἀθηναῖος ἀνὴρ καὶ τὸν τρόπον θαυμάσιος, καὶ μέγα τῆς Ἀττικῆς ὄφελος, καὶ τῆς Δημοσθένους γλώττης, ὡς ἐκεῖνος ἔφη, κοπίς· οὗτος τοιγαροῦν τὰς Ἀλεξάνδρου τοῦ Μακεδόνος προσρήσεις δεχόμενος, ἀντὶ θείου τινὸς μαρτυρίου, καινότερόν τι ἐφρόνει ταῖς προσφωνήσεσιν. Ὁ γὰρ Μακεδὼν ἐκεῖνος Ἀλέξανδρος, ἐπειδὴ τὸν Πῶρον ἐνίκησε τὸν Ἰνδόν, ἐν οὐδεμιᾷ τῶν ἐπιστολῶν τό, χαῖρε, προσέγραφεν, ἢ ὁπότε ἐπέστελλε πρὸς Φωκίωνα. Εἰ δὲ Ἀττικὸς ἀνήρ, τὴν περὶ τὰ πράγματα στεῤῥότητα μαρτυρούμενος, διὰ τοῦ Ἀλεξάνδρου προσφώνησιν ἠλλοιοῦτο καὶ μετεβέβλητο, πῶς οὐκ ἂν αὐτός, σοῦ μοι θαμὰ προσομιλοῦντος τοῖς γράμμασι, παρὰ τοὺς πολλοὺς ὀφθείην; καὶ ἐπ' ἄκρων μὲν βαδίσω δακτύλων, σοβαρὰν δὲ τὴν ὀφρὺν ἐπιτοξεύσω τοῖς ὀφθαλμοῖς, καὶ τὸν μὲν αὐχένα μετεωρίσω ἐπὶ τὸ ἄναντες, τοῖς δὲ πολλοῖς δόξω θεσπιῳδεῖν ὥς περ ἀπὸ χρηστηρίου φθεγγόμενος, ἢ ἀπὸ σκήπτρου ἱεροῦ θεμιστεύων, καὶ τοῖς προσιοῦσιν ἐν συμβόλοις προσομιλῶν;

Εἶτά με τὴν ἴσην ἀπαιτεῖς ὁμολογίαν ἐν γράμμασιν, ὥςπερ ἂν εἰ καὶ θεὸς ἀπαιτοίη καταβροντῶν τὸν ἴσον ἦχον ἀντιφωνεῖν τὸν ἐμβρόντητον· τί γὰρ ἂν καὶ φθεγξαίμην πρὸς σέ, ὅς γε, μετὰ τὸ πᾶσαν τὴν ἐπιστολὴν διελθεῖν, ἐπὶ πολλαῖς ἡμέραις ἔνηχον ἔχω τὸ οὖς, ὡς ὑπό τινος ἤχου κατάκροτος γεγονὼς καὶ μὴ ἐφιστάνων τοῖς λογισμοῖς; Ἀλλ οὐδὲ χρηστηριάζων ὁ Φοῖβος, τοὺς ἴσους χρησμοὺς παρὰ τῶν οἷς ἐχρᾶτο ἀπῄτει· οὔτε μὴν τῷ Μωϋσῇ χρηματίζων ὁ τῶν ὅλων θεὸς μετὰ νεφῶν τε καὶ λαίλαπος, τὴν αὐτὴν ἐζήτει παρ' ἐκείνου ἠχώ, ἀλλὰ καὶ σιω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πῶντι τῷ θεράποντι, ὡς ὁμιλοῦντι προσεῖχε, καί, τί βοᾷς; ἔφασκε τῷ σιγῶντι· τὴν γὰρ ἀλάλητον ἠχὼ τῆς ψυχῆς μεγαλοφωνοτέραν ἡγεῖτο γλώσσης βροντώσης.

Σιγῶ τοιγαροῦν καὶ αὐτός, καὶ τὴν ἴσην οὐκ ἀποδίδωμί σοι φωνήν, ὅτι σοι ὡς κρείττονι φύσει προσέχω· καὶ ὅταν σου τοῖς ἐν τῷ γράμματι λόγοις προσομιλήσω, ὥς περ δέλτοις προσκείμενος ἱεροῖς, ἢ πετάλοις ἱερατικοῖς, αἰδοῖ καὶ φόβῳ συστέλλομαι, καὶ τό τε πνεῦμα ἐπέχω καὶ τὴν γλῶσσαν καταδεσμῶ, καὶ ὥς περ ἐν θείοις μυστηρίοις τελούμενος, ἄφωνος τὰ πολλὰ γίνομαι· καὶ βροντώσης οἷον ἠχοῦς αἰσθανόμενος, οὐκ ἔχω ὅ τι γένωμαι, ἢ ποῖ τράπωμαι, ἢ ὅπως ἂν ἐμαυτὸν ἀνακινήσω πρὸς τὸ θαρραλεώτερον καὶ ἀποστήσω τοῦ δέους. Τοῖς μὲν γὰρ ἄλλοις, θειοτάτη ψυχή, βραχύ τι δοκεῖς τῶν πολλῶν διαφέρειν, ἐγὼ δὲ φιλόσοφος, ὡς οἶσθα τυγχάνων καὶ τὴν κρίσιν ἀπαραλόγιστος, ἐκ κεφαλῆς ὅ φασιν, ἐς πόδας κατανενόηκα. Μεμάθηκα δέ σοι καὶ τὰ τῶν στέρνων ἐντός, καὶ τὸ χρῶμά σοι τῆς ψυχῆς οὐκ ἠγνόηκα· τοιοῦτόν ἐστι φιλόσοφος ὀφθαλμός, οὐ τοῖς σχήμασι καὶ ταῖς ἐπιφανείαις προσέχει, ἀλλ' ἐμβαθύνει τοῖς βάθεσι. Διὰ ταῦτα καὶ πέφρικα καὶ ἀσπάζομαι, τὸ μέν, διὰ τὸ ὑπερέχον τῆς φύσεως, τὸ δέ, διὰ τὴν ἄρρητον τοῦ ἤθους καλλονήν· καὶ ὅταν μὲν ἐπιστρέψω πρὸς σὲ τὴν ψυχήν, ἄφωνός εἰμι καὶ ψοφοδεής· ὅταν δὲ πρὸς τοὺς ἄλλους τὸν ὑπὲρ σοῦ λόγον ἐθελήσω ποιεῖν, πεπαρρησιασμένῃ φθέγγομαι τῇ φωνῇ, καὶ σύντονον ᾠδὴν ἐπὶ τῆς γλώττης ἁρμόζομαι, καὶ πληρῶ πᾶσαν ἀκοήν, ἐλλόγιμόν τε δῆμον καὶ ἄσοφον, θέατρά τε καὶ πανηγύρεις τῶν σῶν ἐγκωμίων, μὴ δὲ τὰ βασιλέως ὦτα ἀνήκοα τῶν σῶν ἐπαίνων ποιούμενος. Τότε γὰρ καὶ ἐμαυτὸν ἐπιγινώσκω ὅτι καὶ τὴν ῥητορικὴν εἰς ἄκρον ἤσκησα τέχνην, σχεδίων λόγων πηγὰς ὑπερβλύζων τῆς γλώττης, καὶ σχήμασι μετρικοῖς τὴν εὐφημίαν κατακοσμῶν, καὶ μὴ δὲ τῆς τοῦ Γοργίου μεγαλοφωνίας φθεγγόμενος ἔλαττον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐγὼ μὲν οὕτως, καὶ καινὸν οὐδέν· σὺ δέ, ὥςπερ κρείττονι φύσει ἐξ οὐρανοῦ ὁμιλῶν, οὐκ ἀνεκτὸν ἡγῇ, εἰ μὴ καί τι προσθήσεις ταῖς θεοφανείαις, ἀλλὰ καὶ τὰ μείζω διδούς, ἐλάττω οἴει διδόναι· εἶτα, σὺ μὲν ἴσως ἀγνοεῖς, ἐγὼ δέ σοι τὸ τοῦ ἐμοῦ δόγματος ἀνακαλύψω ἀπόρρητον, τὴν Πυθαγόρειον φιλοσοφίαν ἐζήλωκα, καὶ τὸν τέσσαρα τετίμηκα ἀριθμόν, τοῦτο μέν, ὡς πηγὴν ἀεννάου φύσεως, τοῦτο δέ, ὅτι καὶ τὸ πᾶν τούτῳ τῷ ἀριθμῷ συμπεπλήρωται. Διὰ ταῦτα τοιγαροῦν |, ὡς τὸ πᾶν φ. 234.
εἰληφέναι παρὰ σοῦ δόξας, διὰ τοῦδε τοῦ ἀριθμοῦ φιλοσόφως σεμνύνομαι καὶ τῷ Πυθαγορείῳ περισκιρτῶ δόγματι· καὶ εἴης οὕτως συμβολικῶς τὴν ἡμετέραν φιλοσοφίαν πιστούμενος, καὶ διδοὺς τοσαῦτα ὁπόσα βουλόμεθα.

## 183. Τῷ αὐτῷ.

Εἰ μὲν ὡς ἀληθῶς τοῖς γράμμασιν ἡμῶν μόνοις προσέχων τὸν νοῦν, οὐκ ἀπεστοχάζου τῆς διαθέσεως ἀφ' ἧς ταῦτα ἐγράφετο, κἂν πολλάκις ἐπὶ τούτοις σχετλιάζῃς, εἰκότως ἂν δόξῃς ποιεῖν· εἰ δὲ τὸ ἦθος ἡμῶν εἰδώς, εἰρωνεύῃ ἐφ' οἷς χαλεπαίνων φαίνῃ, διδάσκεις ἡμᾶς, ὅπως ἐπεγκαλεῖν δεῖ τοῖς φίλοις ἐν οἷς οὐ διαμαρτάνουσιν. Ἐγὼ γάρ, ἄριστε πάντων φίλων καὶ φιλοσόφων, οὔτε ἰδιάζων, οὔτε ἐν ταῖς τῶν φίλων συνουσίαις, οὔτε μὴν πρὸς βασιλέα διαλεγόμενος, οὔτ' ἄλλο τι δρῶν, τῆς σῆς φιλίας καὶ ἀρετῆς ἐπιλέλησμαι· ἀλλὰ κἂν λόγος τοῦ λόγου πρόφασις γένηται, κἂν εἶδος φιλίας, κἂν γλώττης χάρις, κἂν ἦθος ἀστεῖον, κἂν ἀρετῆς ὕψος, αὐτόν σε μόνον, οὐχ ὥςπερ ἐκ μηχανῆς, ἵνα μὴ καταπλήττειν δόξω, ἀλλ' εὐφυῶς τε [καὶ] προσφυῶς ἐπεισάγω τῷ διηγήματι· καὶ λόγους δὲ συντιθείς, οἷς ἡ πρόφασις πόρρω τοῦ μεμνῆσθαι τῆς σῆς ἀρετῆς, ἀλλ' ὅμως ἐγὼ τὰς ἐννοίας βιάζομαι καὶ τυραννῶν τὸν λόγον ἀπάγω πρός σέ· τοῦτο δέ, οὐ τέχνης μόνον, ἀλλὰ καὶ γνώμης αὐτὸς εἰπὲ θαρ-

ρούντως χρηστῆς· εἶτα, ἐν τούτοις τὰ φιλίας ἀπακριβούμενος, καὶ κατορθῶν ὡς οὐκ ἄλλος, ὅτι μὴ πρὸς χάριν, μὴ δ' ἵν' ἀκούοι ἐπαινούμενος, τοὺς λόγους ποιοῦμαι, ἐν οἷς ἐπιστέλλω πρὸς σὲ ἠλλοίωμαι καὶ ἀντέστραμμαι καὶ τὰ δόξαντά μοι περὶ σοῦ ἀθετῶ; πολλοῦ γε καὶ δεῖ.

Εἶτα ἐρεῖς, καὶ τί δήποτε οὕτως ποιῶ; καὶ τὰς προφάσεις σοι τοῦ ἀλγεῖν δίδωμι, ἐξὸν κατὰ τὰς ἐγκειμένας ἐννοίας γράφειν, ἀλλὰ μὴ τὴν γλῶτταν ἐᾶν φθέγγεσθαι, ὅπερ ἂν μὴ διδοῖ ἡ ψυχή; ὅτι ὡς παρόντι σοι διαλέγομαι, καὶ τοῦ οἰκείου ἤθους οὐκ ἐπιλέλησμαι.

Οἶδα δὲ ὅτι σε ταῖς τοιαύταις ἀεὶ κατέπληττον χάρισι, νῦν μὲν τὰς ὀφρῦς συνάγων ἐπὶ σέ, νῦν δὲ λόγους πλάττων, οὓς τέως δυσχεραίνων, αὐτίκα ἐπαινεῖν ἔμελλες· τί οὖν καινόν, εἰ καὶ τὰς ἐπιστολὰς τοῖς διαλόγοις ἀφομοιῶ, καὶ τοιοῦτος κἀν ταύταις φαίνομαι, ὁποῖος κἀν ταῖς κοιναῖς ὁμιλίαις; ἀλλά σε ἔδει μὴ ἐκπεπλῆχθαι, μὴ δὲ δοκεῖν ἀλλοιοῦσθαι ἐν οἷς ἡμεῖς τὴν γνώμην οὐκ ἠλλοιώμεθα. Διατί δὲ καὶ τῆς φιλίας τὰς χάριτας οὐκ ἀναιρεῖς, αἳ δὴ τὸ σεμνὸν αὐτῆς μετριάζουσαι, συγκεκραμμένην δεικνύουσι καὶ μουσικῶς ἡρμοσμένην; ἀλλὰ τί ἔδει με ποιεῖν, ἐφ' οἷς αὐτὸς αὐτόθεν βαρυθυμεῖς καὶ οὐ φέρεις τὰ δρώμενα, σκυθρωπάζειν ἐν ταῖς ἐπιστολαῖς καὶ ἀμειδὲς φθέγγεσθαι; Εἶτα τοῦτο φιλοσόφου, ἢ ῥήτορος καιρὸν τῶν πραγμάτων εἰδότος; αὐτὸ γοῦν τοῦτο ἐποίουν ὅπερ ἡ τῶν λόγων ἀπήτει ὑπόθεσις· κἀγὼ μὲν ἅπαξ ποτὲ τὴν τοιαύτην χάριν ἐπιδειξάμενος, οὕτως σοι ἐν αἰτίαις εἰμί· σὺ δὲ καὶ ἐν οἷς αἰτιᾷ, αὐτὸ τοῦτο ποιῶν, ἐκφεύξῃ τὸ σὸν δικαστήριον; ἢ βούλει, σὲ μὲν οὕτως γράφειν, ἐμὲ δ' οὕτως; τοῦτο δὲ νομοθετοῦντος, ἀλλ' οὐ φιλοσοφοῦντος.

Ἀλλ' ἵνα μὴ πάλιν πλήττειν δόξω, ἐπέχω τὸν λόγον, καὶ ὡς βούλει συντίθημι τὰς ἐπιστολάς. Ἴσθι τοιγαροῦν, ὡς σύ μοι μόνος καὶ τῶν ἐν ἐμοὶ λόγων πατήρ, καὶ παιδαγωγὸς εἴ τις

ἐν ἡμῖν ἀρετή, καὶ τῶν θειοτέρων μυσταγωγός, καὶ οὐδέν σοι τούτων ἐπιλήσομαι, οὔτε μὴν ἐλάττων δόξω περὶ τὰς ἀμοιβάς, διδοὺς οὐ χρήματα, ἀλλὰ τοὺς ἐμοὺς λόγους, τοὺς μὲν ἀπὸ γλώττης καὶ σὺν εὐροίᾳ, τοὺς δέ, ἐν γράμμασί τε καὶ κατὰ τέχνην, μόνον ἱλήκοις ἡμῖν καὶ μεταβάλλοις τὴν γνώμην, μετάγων τοῦ ἀπαραιτήτου τε καὶ σφοδροῦ.

Ἡ δὲ καλλίστη ψυχή, ὁ Καλλίψυχος, ἔτι καλλίων ἐφάνη ἡμῖν, τὴν σὴν ἐξεικονίζων ψυχήν, καὶ λόγῳ βραχεῖ τὰ κεφάλαια τῶν σῶν συνείρων ἡμῖν ἀρετῶν.

## 184. Τῷ πρωτοπροέδρῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου κῦρ Μιχαήλ.

Μή ποτε οὐ καλῶς, οὐδὲ ὡς παιδιὰν ἐδέξω τὸν νοῦν τῆς ἐπιστολῆς, φιλτάτη ψυχή; ἐγὼ δὲ μικροῦ δεῖν καὶ ὠρχούμην, ὅτε ταύτην ἐδημιούργουν, καὶ σέ γε ᾤμην συνορχήσασθαί μοι καὶ μετασχεῖν τοῦ θεάτρου. Οὐκ οἶσθα, πρὸς ἐρωτικὸν δὲ τὸν λόγον ποιοῦμαι, ὅτι τὰ τῶν ἐρωμένων κνίσματα μᾶλλον δὴ τοὺς ἐρῶντας ὑποκινοῦσιν, ἢ τὰ φιλήματα; διὰ ταῦτά τοι καὶ ἡ φύσις τὸ ῥόδον μετὰ τῆς ἀκάνθης ἐξήνεγκεν, ἵν' ὑποκνίζοιτό τις ἐνταυτῷ καὶ ὀσφραίνοιτο· οὕτω τοιγαροῦν καὶ τοῖς λόγοις χρηστέον ἡμῖν· ἀνήδυστον γὰρ θάτερον παρὰ θάτερον, καὶ τὸ ἐν εὐτραπελίᾳ καὶ χάριτι, εἰ μὴ καταμεμιγμένον ἔχοι καὶ τὸ δοκοῦν τέως τραχύ, χαῦνον ἄντικρυς καὶ κινοῦν γέλωτα.

Καὶ νὴ τὴν ἱεράν σου ψυχήν, οὐκ ἀσκόπως, οὐδ' ὡς ἐξέπεσεν ἐγράφη τὰ ῥήματα, ἀλλ' ἵν' ἔχοις αὐτὸς μὴ τοῦ κάλυκος μόνον, ἀλλὰ καὶ τῆς ἀκάνθης κατατρυφᾶν. Οὐχὶ δὲ καὶ κατὰ πρόσωπον οὕτως ἀλλήλοις προσομιλοῦμεν, καὶ ἀντιπαίζομεν ἀλλήλοις τὰς ἡλικίας ἡμῶν; ἀλλὰ τοσοῦτον ταῖς ἑκατέρων ἀμετρίαις οὐκ ἐπαισχυνόμεθα, ὅτι καὶ ἀντεπαγγελλόμεθα· ἐγὼ δὲ μὴ

τοσοῦτον μανείην, εἰ ἄλλο τι τοῦ σοῦ θελήματος λέγειν ἢ πράττειν βουληθείην ποτέ.

« Εἶτα, ὦ καταγέλαστε ἔφησεν ὁ Σωκράτης πρὸς τὸν φίλον Θεαίτητον, οὐκ οἶδας ὅτι [ἐγώ] εἰμι [υἱὸς] μάλα βλοσυρᾶς Φαιναρέτης »; Ἀκούεις Σωκράτους, καλλιπρόεδρε, καταγέλαστον τὸν Θεαίτητον εἰρηκότος, ὃν τὰ πρῶτα τῶν φιλτάτων λογίζεται καὶ ᾧ θαμὰ προσομιλεῖν βεβούληται; Τοιοῦτον οὖν καὶ τὸ ἐμὸν ἦθος, ὄμνυμί σου τὴν θαυμασίαν ψυχήν, καὶ ἀναπέφυκά πως ἐκ πρώτης γενέσεως πρὸς τὸν Πλατωνικὸν τοῦτον σοφόν.

Τί δ' ἂν εἴποιεν οἱ τοῦ Χριστοῦ μαθηταί, οὓς εἰς τοὺς Νο-
φ. 234ᵛ. μάδας Σκύθας | ἀπέρριψα; οὐ συνῆκας δέ, ὅτι παίζων πάντα γεγράφηκα, ὁπότε σοι καὶ τὴν ὅλην εἰκόνα διεκωμῴδησα, καίτοι γε τὸ τῆς κειμένης σχῆμα ἀκριβῶς διασώζει τὸν προσήκοντα χαρακτῆρα, ἐν χρώμασιν, ἐν σχήμασιν, ἐν ἤθεσιν, εἴ τινα εἶεν καὶ παρὰ νεκροῖς ἤθη; Ἀλλ' ἐγὼ οὐδὲν τούτων προσεποιησάμην, ἀλλὰ διὰ πάντων ὦσα τὸ ξίφος, ὥςπερ ὁ Βαγώας δι' ἀμφοτέρων, τίνος ἕνεκα; ἵν' ἔχοις αὐτὸς καὶ γελᾶν καὶ τρυφᾶν, καί με τῆς γλώττης ἐγκωμιάζειν.

Εἶτα, εἰ μὲν ἴδοις τινὰ τῶν ἐν τοῖς θεάτροις Περικλέα, ἢ Μιλτιάδην τυχόν, Μίθικον τὸν ἀρτοποιόν, ἢ Θεωρίωνα (sic) τὸν ὀψοποιὸν ὑποκρινόμενον, οὐ καταγελάσεις τῶν προσωπείων, ἀλλὰ καὶ θαυμάσεις τῆς ὑποκρίσεως, καὶ ἀνακαγχάσεις ἡδέως, εἰ δ' ἐγώ, φιλόσοφος ὤν, ὑποκριτὴς γέγονα διὰ σέ, καὶ ἀφεὶς τὸ ἐπισκύνιον, ἐξεγέλασα πλατὺ ἐπὶ τῆς ὀρχήστρας, οὐκ ἀποδέξῃ τὸ πρᾶγμα τῆς ἐξουσίας; ἢ καὶ τοῦτο τραχύ; καὶ πῶς ἑτέρως ἐρῶ; οὐ γὰρ ἂν ἄλλως καταγελάσειας· οὔ μοι βουλητὸν καλὸς εἶναι τὴν ἐπαγγελθεῖσαν εἰκόνα, ἵν' ἔχω ὅτι πρὸς σὲ εἴποιμι, καὶ ἰδών, ὡς ἕρμαιον ἐδεξάμην τὴν ἀτεχνίαν, ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά.

Μή ποτε οὖν τεχνικῶς ὑποκνίζοις με, ἵνα σοι πολλὰς ἀπὸ τῆς ἐμῆς σκηνῆς κόρας νυμφαγωγήσω· μὴ τοίνυν φθονήσῃς μοι ἀτέ-

χνων εἰκόνων, ἵν᾽ αὐτὸς λαμβάνῃς ἐντέχνους ἐπιστολάς, ἀλλ᾽ ἐνθυμοῦ ποίας οὐκ ἄν σοι μορφώσας κόρας ἀποστελῶ.

Ἀλλὰ μή μου πρὸς τὴν δεσπότιν κατείποις, εἰ ἀποστελεῖς τήν, ἀλλὰ πῶς ἄν σοι αὐτὴν γνωριῶ; τὴν τοῦ ἐκυροῦ, τὴν ἐκ διαθήκης, τὴν ἐν ᾗ πολλὰ τὰ μορφώματα τὰ κολοσσιαῖα ἐν ὄνυχι; ἀλλὰ τί ποτε πολλὰ περιπλέκω; ἐρῶ προδήλως τὴν δίθυρον· ὁ σὸς πρωτοπρόεδρος, φίλος, ἀδελφός, δοῦλος, διδάσκαλος.

## 185. Τῷ μοναχῷ καὶ ἀρχιμανδρίτῃ τοῦ Ὀλύμπου.

Τοιοῦτόν ἐστιν ἀνὴρ τῷ ὄντι φιλόσοφος, πρὸς τὰς δικανικὰς τῶν ὑποθέσεων ἀπολογούμενος θεωρητικῶς. Κἀγὼ ᾔδειν μὲν ὡς οὕτως ἀπολογήσῃ, ἐποιούμην δὲ πρὸς τοὺς λόγους τὴν ὑπόθεσιν· ἀλλ᾽ ἐπειδή με σοφιστὴν ἐν τῇ ἐπιστολῇ ἔγνωκας καὶ πόρρω τοῦ τῆς φιλοσοφίας ἤθους, οὐ μᾶλλον ἐπῄνεσας τῆς ἐν τοῖς λόγοις ἁρμονίας, ἢ ἐμίσησας τῆς ἀναρμόστου πρὸς φιλοσοφίαν ἕξεως.

Διὰ ταῦτα τοιγαροῦν, ἀφεὶς προηγουμένως ἀπολογήσασθαι, τὸν ὑπὲρ τῆς ἡμετέρας ψυχῆς ἀνέρριψας κίνδυνον, ἀποσπᾶσαι τῆς ὕλης ζητῶν καὶ μετενεγκεῖν πρὸς θεόν; οὕτω σου τῆς διανοίας καταμαντεύομαι. Ὅσας δὲ τῶν λέξεων πρὸς ἔπαινον ἡμέτερον τέθεικας, σοφιστικῶς προσερρίφθαι οἴομαι, ἵνα μὴ τῇ τοῦ λόγου πληγῇ εἰς βάθος τὸ ξίφος δεξάμενοι, θανατωθείημεν ἢ θεραπευθείημεν· τί γάρ σοι βούλεται τὸ θῦσαι ἡμᾶς τοὺς λόγους θεῷ; ἆρ᾽ οὐχὶ δῆλον, ὡς καταμέμφῃ, μὴ ἐκείνων νῦν ἀποθύοντας, ἀλλὰ πρὸς δόξαν συντιθέντας αὐτούς;

Ἀλλὰ ταῦτα μὲν λόγων ἴσως χάριτες καὶ ἀγχίστροφοι ἔννοιαι, τὸ δὲ ἀληθὲς καὶ φαινόμενον, ὅτι τιμιώτατός μοι δεσπότης σὺ ὑπὲρ τὴν ὕλην γενόμενος, καὶ στὰς ἔξω τοῦ σώματος, ἀποδύρῃ ὑπὲρ τοῦ ἡμετέρου νοῦ, ἐν ταύτῃ βεβαπτισμένου καὶ

ἀνενεγκεῖν πρὸς θεὸν μὴ δεδυνημένου· διὰ ταῦτα, τὸ μέν, τὸ θεῖον ἐκλιπαρῶν, τὰ δέ, ἡμᾶς νουθετῶν, τὰ δέ, καὶ πλήττων ἐπιστημόνως, ἄνω βλέπειν ἀξιοῖς καὶ τὸν τῆς ὕλης φόρτον ἀποθέσθαι· ἡμεῖς δέ, τὰ μέν, συνηθείᾳ διδόντες, τὰ δέ, καὶ τοῖς φαινομένοις δελεαζόμενοι ἀγαθοῖς, πρὸς τὸ ὄντως οὐκ ἀνανεύομεν ἀγαθόν. Ἀλλὰ σύ γε μὴ ἀποκάμῃς ἀναχωννύων τὸν ἡμέτερον νοῦν καὶ πρὸς τὸ συγγενὲς καὶ πρῶτον ἀνάγων καλόν.

Ὁ δὲ μοναχὸς κῦρ Μιχαήλ, εὖ οἶδ' ὅτι σου καὶ δικαιοτέρου καὶ φιλανθρωποτέρου καὶ ἀντιληπτικωτέρου τεύξεται, τὰ μέν, ὅτι καὶ φύσεως οὕτως ἔχεις, τὰ δέ, καὶ ὅτι ἡμεῖς ἠξιώσαμεν.

## 186. Ἀνεπίγραφος.

Ἀμέλει τοι τὸ μὲν πλινθίον παράτασίς ἐστιν ἐκ τεσσάρων πλευρῶν ἰσαρίθμοις φάλαγξι καὶ ἴσαις παρισουμένων, ὡς εἶναι τὸ ἐμπεριεχόμενον χωρίον τετράγωνον· τὸ δὲ πλαίσιον, ὅταν ἐκ τεσσάρων μὲν πλευρῶν γένηται ἡ παράτασις, οὐκ ἐν τετραγώνῳ δέ, ἀλλ' ἐν ἑτερομήκει τῷ σχήματι. Τοῖς δὲ τῶν χελωνῶν ξύλοις ἡμιποδιαῖοι ἐπικαθηλούσθωσαν ἧλοι, καὶ τὸ μηχάνημα συμπεπηγὸς καὶ ὑπὸ τροχῶν προσφέρεσθαι τοῖς τείχεσιν.

Ἀλλ' ὅπῃ τὸν λογισμὸν ἐκκεκύλισμαι, καὶ ταῦτα πρὸς σὲ τὴν τιμιωτάτην ἐμοὶ κεφαλὴν ἐπιστέλλειν ἐπιβαλλόμενος; τοσοῦτόν με τῆς ἐν φιλοσοφίᾳ παιδείας καὶ τῶν καθηκόντων ἠθῶν οἱ στρατιωτικοὶ λόχοι καὶ τὰ πολιορκητικὰ ὑφηρπάκασιν ὄργανα· καὶ τῶν μὲν ἐν φιλοσοφίᾳ θαυμασίων ἀντιστροφῶν ἔν τε ὅροις καὶ συλλογισμοῖς καὶ προτάσεσι, βραχύς μοι τανῦν ὁ λόγος ἐστίν· ἐξελίττω δὲ νῦν καὶ τὸν Μακεδόνος ἐξελιγμόν, τόν τε χορεῖον καὶ τὸν Λάκωνα, ἐπιστρέφω τε καὶ ἀναστρέφω τὴν φάλαγγα, καὶ ἐκ δυοῖν ἐπιστροφῶν περισπῶ, τὸ μέν, ἐπὶ δόρυ, τὸ δ' ἐπ' ἀσπίδα. Ὁρᾷς γοῦν, ὅτι καθάπερ οἱ θεομάντεις,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οὐδὲν ὅτι μὴ μόνον τοὺς στρατιωτικοὺς τούτους ἀναπνέω χρησμούς, ἢ ὥςπερ ἐν Λεβαδείᾳ γενόμενος, μόνης τῆς κατοχῆς γέγονα, μηδενὸς τῶν πρῴην ἐπιστρεφόμενος;

᾿Αλλά, ὄμνυμι δὲ τὴν ἱεράν σου κεφαλήν, ὅτι τούτοις μέν, εἴ γε δεῖ μὴ ληρεῖν, βραχύ τι προσέχω τὸν νοῦν, καὶ τοσοῦτον ἐπίστροφός εἰμι πρὸς αὐτά, ὅσον ἐντείλασθαι κατὰ τοὺς ἀρχιτέκτονας ταῖς ὑποκειμέναις ἐπιστήμαις τὴν τέχνην τῶν γιγνομένων, εἶτα ἐμαυτοῦ γίγνομαι· ὁπηνίκα δέ, ὥςπερ ὁ Ἴκαρος ἐς οὐρανὸν αὐτὸν μετεωρισθῶ, οὐ πτερυσσόμενος |, ἀλλ' ὥς πέρ φ. 235.
μοι ἀνοιδούσης τῆς γῆς, καὶ αὖθις καθάπερ ἐπὶ τοὺς ἀντίποδας ἀποσφαιρισθῶ, οὐ διὰ ῥᾳδίας, ἀλλὰ ποικίλοις μὲν ἑλιγμοῖς, μακροῖς δὲ τοῖς διαστήμασιν, οὐκ ἔχω τίς ἂν γενοίμην, μᾶλλον δὲ τότε δή με ὁ τυφωνικὸς οὗτος ἄνεμος ἀπωθήσει, τότε γοῦν καὶ φιλοσοφίας αὐτῆς καὶ φιλίας ἐπιλανθάνομαι.

Καὶ οὐκ ἐγὼ μόνον ἀπειρήκειν πρὸς τὰς τοσαύτας ἐπαγωγὰς τῶν δεινῶν, ἀλλ' ἀπαξάπαντες· κἀκείνοις [δὲ] αὐτοῖς τοῦτο, ὅσοις ἡ ἀναισθησία τὴν ἀναλγησίαν εἰσῳκίσατο τῇ ψυχῇ.

Διὰ ταῦτά σοι καὶ πλεῖστον γράφειν ἀπεσιώπησα, ὁ μᾶλλόν σοι προσδιαλεγόμενος ἢ τῇ οἰκείᾳ ψυχῇ· πρῶτον μέν, καὶ διὰ τὰς αἰτίας ἃς εἴρηκα, ἔπειτα δέ, οὐδὲ μελιττουργεῖταί μοι παρὰ τῇ γλώττῃ τανῦν, οὔτε λέξεων ἡδονή, οὔτε συνθήκης εὐαρμοστία, ἵνα σε φιλοτίμως ἐφεστιάσω, καί σοι παραθείην ψυχῆς καρύκευμα τρόφιμον· αἱ γάρ μοι μέλισσαι αἱ τῇ γλώττῃ τὰ κηρία συντιθεῖσαι τοῦ λόγου, καὶ ποιητικῶς εἰπεῖν τιθαιβώσσουσαι, ἐπεὶ μηδὲν ἐνταῦθα ἄνθος κηρόχυτον, μὴ δὲ πόα καταμελιτοῦσα ψυχήν, ᾤχοντο ἀποπτάμεναι! Ὁρᾷς γοῦν καὶ τὴν ἐπιστολὴν ταύτην, ὡς βούλεται μὲν ἀναφέρειν εἰς τὸ ἀρχαῖον ἀξίωμα, καὶ ὁρμᾷ μὲν μεγαλοπρεπῶς, ναρκᾷ δὲ τὴν κίνησιν, [καί?] ἴχνη μόνον ἐμφαίνει, καὶ ταῦτα δὴ ἀσαφῆ τε καὶ ἀμαυρὰ τῆς ἀρχαίας διαγραφῆς;

Ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι· τανῦν δὲ καὶ ἡ ἐμὴ περὶ

τοὺς λόγους εὐδαιμονία εἰς ἄζηλον ἕξιν κατέληξε· καὶ πέπονθα ταὐτὸν ταῖς Ἀθήναις· κἀκεῖσε γὰρ ἐν σκιαῖς ἡ ἀκαδημία καὶ ἡ ποικίλη τοῦ Χρυσίππου στοά, καὶ τὸ λύκειον μέχρις ὀνόματος, οὕτω γὰρ κἀμοί, τὰ μὲν ὀνόματα τῶν ἐπιστημῶν ἐμμεμένηκε, καὶ τὸ τῆς φιλοσοφίας ἐξαίρετον, τὰ δ' ἐφ' οἷς ταῦτα, αἱ περιστάσεις ἀφείλοντο.

Καὶ βούλεται μὲν ἡ τοῦ κρατίστου βασιλέως διάθεσις, [πρός ?] ἡμᾶς χρηστοτάτη καὶ ἔμφυτος, ἀντίρροπος εἶναι ὥςπερ ἐπὶ ζυγοῦ τοῖς πολλαχόθεν ἡμῖν δεινοῖς ἐπιρρέουσιν, ἀλλ' ἥ τε ἀντίσταθμος πλάστιγξ λίαν ἰσχυρῶς ἑτεροζυγεῖ, καὶ μόνης ἑαυτῆς τὴν ἐμὴν ποιεῖται . . .

Καὶ ἵνα δὴ τὰ ἐνταῦθα ἐάσω, ποδαπόν μοι εἰς συμφοράν, ὅτι σοῦ καὶ τοῦ ἀδελφοῦ τῆς καλλίστης συζυγίας ἐστέρημαι, ἣν οὐδεμιᾶς εὐδαιμονίας ἡςτινοςοῦν ἀνταλλάττομαι; ποδαπὸν τὸ μὴ ἔχειν ὁμιλεῖν [ἐν] βιβλίῳ Πλατωνικῷ, λέγω δὲ οὕτω φιλοσοφίαν ξύμπασαν, μήτε Δημοσθενικῷ, ἵνα τὴν ἀντίθετον τέχνην ὁμοίως ἐρῶ; ποδαπὸν τὸ μὴ ἔχειν ὁρᾶν τὰ φίλτατα, ἢ οὐκ οἶσθα ὅτι μοι εὐτύπωτος ἡ [ψυχὴ] πρὸς τὰς τοιαύτας ἕξεις καθέστηκε, καί με μᾶλλον αἱ μνῆμαι τούτων οὐ παραμυθοῦνται, ἀλλ' ἀτεχνῶς [βα]σανίζουσι; μὴ γάρ με συγκρίνῃς πρὸς τοὺς ἀδαμαντίνους καὶ ἀτεράμονας· ἐγὼ γάρ, πρὸς μὲν φιλοσοφίαν [ἥρ]μοσα τὴν ψυχήν, τῆς δ' ἐμφύτου ἕξεως οὐ μεθήρμοσα, ἀλλά μοι τὸ πνεῦμα, εἴτε τὸ φανταστικόν, εἴτ' [ἄλλο] τι ᾧ πρώτως ἐποχεῖται ψυχή, λεπτὸν μὲν ἴσως, οὐκ ἀντίτυπον δέ, ἀλλὰ μαλθακόν, ὥς τε καὶ φιλοσοφίᾳ καὶ φιλίᾳ κοιλαίνεσθαι, νὴ τὴν ἱεράν σου καὶ θείαν ψυχήν. Ὥςπερ οἱ τὰς ἀκτῖνας τῶν ὄψεων ἀσθενεῖς δ . . . σί τι πρόσωπον ἔξωθεν ὁρᾶν ἀτενές, ὁρῶσι δὲ οὐκ ἄλλό τι ἢ τὸ οἰκεῖον ἀνακλώμενον, οὕτω δὴ [καὶ σύ ?] ἐνώπιος ἵστασαι μετὰ τῶν ὀφθαλμῶν ἐκείνων, μετὰ τοῦ εὐπρεποῦς γέλωτος, μεθ' ὅσης τῆς χάριτος· τὴν δέ . . . σοι χώραν τῆς ἐμῆς ψυχῆς καὶ ἅτερός μοι κατέχει ἀνεψιός· καί μοι

ἐκκέχυται πρὸς ἀμφοτέρους ὑμᾶς ἡ [ψυχὴ] καὶ τὰς ἀμφοῖν ὥς περ ἀντικεχυμένας εἰσδέχομαι.

Καὶ βουλοίμην μὲν ἀεὶ μιᾷ γε ἐπιστολῇ ἀμφοτέρους ἑνοῦν διὰ τὴν τῆς φύσεως σύμπνοιαν, ἢ δυσὶ διαιρεῖν διὰ τὴν τῶν σωμάτων διάστασιν, ἀντιπεριάγομαι δὲ τ[ῷ] βουλήματι πολλαῖς ταῖς ἐνταῦθα παρατροπαῖς. Διὰ ταῦτά μοι συγγνώμην δοίητε, εἰ μή τε πολλὰς ὑμῖν ἐπιστέλλω ἐπιστολάς, μήτε μίαν μέν, χαρίεσσαν δέ· ὥς περ γὰρ ἡ καθ' Ἡσίοδον δίκη, οὕτω δὴ κἀμοῦ τῆς ψυχῆς αἱ τῶν λ[όγων] ἀπέπτησαν χάριτες· εἰ μὲν οὖν αὖθις τῆς ἀρχαίας ἑστίας μεμνήσονται, κοινωνήσομεν καὶ ὑμῖν τοῖς φιλτάτοις τὸ ἕρμαιον· εἰ δ' οὖν, δυνήσεσθέ μοι καθάπερ αἱ μέλισσαι καὶ ἀπὸ τοῦ θύμου, ὧν ἐργάζομαι νῦν ἐπιστολῶν, μέλιτός τι ἐνστάζειν ταῖς ὑμετέραις ψυχαῖς.

Μέμνησθέ μου τῆς παρακαταθήκης, τίς αὕτη; τὰ φίλτατα.

## 187. Ἀνεπίγραφος.

Ἆρ' οὖν ταῦτα μόνα παράδοξα, φιλτάτη ψυχή, ὁπόσα ἐν ταῖς δυοῖν πρότερον ἀπηριθμησάμην ἐπιστολαῖς, ἢ πλείω τούτων ἥ τε φύσις ἐργάζεται, αἵ τε τέχναι καὶ αἱ ἐπιστῆμαι παραδοξολογοῦσιν; αὐτίκα οὐ θαυμάσιον τοῦτο καὶ ὄντως ἀπόρρητον, ὅτι τῶν χορδῶν τεταμένων ἐν ὁποτερῳοῦν ὀργάνῳ μουσικῷ, εἴτε λύρᾳ, εἴτε κιθάρᾳ, εἴ τέ τινι ἄλλῳ, ὁ τὴν ὑπάτην ψήλας, τῇ κινηθείσῃ καὶ τὴν διῃρημένην ἐκίνησε, μὴ ψαύσας αὐ[τὴν] μήτε τῷ λιχανῷ, μήτε τῷ ἀντίχειρι, καὶ ταῦτα, οὐ τὴν μετὰ τὴν πρώτην εὐθὺς ἴσως, οὐδὲ τὴν μέσην, ἀλλ' ἐνίοτε [τὴν] ὑπερβολαίαν; πρὸ δέ γε τῆς γεωμετρικῆς ἀποδείξεως οὐ θαυμαστόν σοι δοκεῖ, ὅτι ἐπὶ τῶν τετραγώνων σχημάτων ἀσύμμετρος τῇ πλευρᾷ ἡ διάμετρος;

Ἀλλ' ἔα τὰ τῶν ἐπιστημῶν οἷς καὶ λόγοι πολλάκις ἀποδεικτικοὶ προσ[ηρ]μόσθησαν. Αἰγύπτιός δέ τις λόγος μυστικὸς περὶ

τῆς διαμονῆς τῶν ἱερῶν ὑφηγήσατο, ὡς εἴ τις ἐθέλοι μακραίωνα βίον δοῦναι τοῖς ναοῖς, ἕν τι τῶν ἱερῶν ὄφεων γένος ἐν κοίλοις τοῖς θεμελίοις, ἢ ὑπὸ π . . . τὸν ναὸν καθείρξας μετὰ μυελοῦ πλείστου μοσχείου καὶ στέατος, ἕξει τὸν ναὸν ἀθάνατόν τε καὶ
φ. 235ᵛ. ἄ . . . . | Τῶν μὲν γὰρ οὐρανίων ἱερῶν, μεγαλοφυέστατε πάντων ἀνδρῶν, ἀλύτους ὑπέστησε τοὺς δεσμοὺς ὁ γεννήσας πατήρ· [τὰ δὲ ] ἐπὶ γῆς αὐτοὶ δημιουργοῦσιν οἷς ταῦτα μέλει σοφοῖς, ἀπὸ χρόνου τῆς θεώσεως ἀρχόμενοι· ἀπὸ δὲ [τῆς] τελεστικῆς ἐπιστήμης πόσα ἂν παραδοξότατα συμπορίσαιο; ἐκείνη γὰρ τὰ κοῖλα τῶν ἀγαλμάτων ὕλης ἐμπιπλῶσα οἰκείας ταῖς ἐφεστηκυίαις δυνάμεσι, ζώων, φυτῶν, λίθων, βοτανῶν, ῥιζῶν, σφραγίδων ἐγγραμμάτων, ἐνίοτε δὲ καὶ ἀρωμάτων συμπαθῶν, συγκαθιδρύουσα δὲ τούτοις καὶ κρατῆρας, καὶ σπονδεῖα, καὶ [θυ]μιατήρια ?, ἔμπνοα ποιεῖ τὰ εἴδωλα καὶ τῇ ἀπορρήτῳ δυνάμει κινεῖ· καὶ τό γε θαυμασιώτερον, οἱ αὐτοὶ [κα]ιροὶ τοῖς μέν, οἰκεῖοι γίνονται πολλάκις, τοῖς δέ, ἀλλότριοι πρὸς τὰς ἀπορρήτους ἐνεργείας· εἶτα δὴ καὶ ὀνόματά τινα πρὸς τὴν παραδοξοποιΐαν δεδύνηνται, ὥςπερ τὸ τρικάρηνον, καὶ τὸ δρακοντόζωνον, καὶ τὸ ξιφηφόρον, καὶ μαστιγοφόρον, καὶ δᾳδοφόρον, καὶ τρίμορφον· καὶ εἰ μή τις ταῦτα ἐρεῖ καὶ ὑποψέλλῳ τῇ γλώσσῃ, ἢ ἑτέρως [ὡ]ς ἡ τέχνη διατάττεται, οὐκ ἂν τὸ καταβακχευόμενον ἐνεργήσειεν.

Εἶτα, οὐ θαυμάζεις καὶ τοῦτο, ὅτι δεδίττε[ται] ὁ ἀλεκτρυὼν τὸν θῆρα τὸν λέοντα, καὶ ὁ χοιρογρύλλιος τὸν ἐλέφαντα; τὰ δὲ παρ' Αἰγυπτίοις εὑρημένα ἐγχρίσματα [τοῖς] βλεφάροις ἐπιχριόμενα, αὐτοψίας καὶ ἐποπτείας ἀρρήτους χαρίζονται; καὶ ἔστιν ὁ τῆς αὐτοψίας τρόπος, ὁπόταν [ὁ] μὲν νοῦς τοῦ κλήτορος εἰς τὴν θέαν ἀνεγείρεται τῶν ἀσωμάτων καὶ νοητῶν, τὰ δὲ ὄμματα τοῦ προβεβλημένου φωτὸς [αὐτῆς?] ἀντιλαμβάνεται· τὰς δὲ ἐνθεαστικὰς θεαγωγίας, οὕτω γὰρ Ἕλληνες αὐτὰς ὀνομάζουσιν, οὐ πόαι [καὶ] λίθοι, καὶ ζῷα τεμνόμενα, περὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοὺς θεατὰς ἐνεργοῦσι; τὸν δὲ ῥόμβον καὶ τὴν ἴϋγγα οὐχ ἡ διὰ τοῦ σμυρνομέ[νον]ος περιελίττει γραφή;

Μὴ περαιτέρω τούτων, μὴ δὲ πλείω προσθείημεν τὰ παράδοξα, ἵνα μὴ τὸν καθ' ἡ[μᾶς] διαφθείρωμεν λόγον, ὅς γε τούτων μὲν ἀπέχεται καὶ τῆς ψιλῆς ἀκοῆς, ἕπεται δὲ τοῖς συνήθεσι καὶ νενομισμένοις ἧς ἐγὼ δὴ καθέστηκα τάξεως. Τὸ μέντοι γε εἰδέναι, ὡς οὐκ ἐν πᾶσι τοῖς γιγνομένοις, ἀποχρῶσά ἐστιν ἡ Πλατωνικὴ ἀπόδειξις, ἀλλ' εἰσί τινα κρείττονα τῆς λογικωτέρας ἢ νοερωτέρας ἐπιβολῆς, λυσιτελέστερα εἰς τὴν τῶν ὑπερφυῶν πραγματείαν· τῶν μὲν γὰρ τοῦ Πορφυρίου φωνῶν καὶ τῶν Ἀριστοτέλους κατηγοριῶν, οὐ δυσχερῶς ἂν ἀκούοιμεν, ἀλλ' ἀνεώγασιν ἡμῖν πρὸς ταῦτα τὰ ὦτα· τὸ δ' ὑπερφυὲς οὐ ῥαδίως διαστέλλει τὸν πόρον τῆς ἀκοῆς, οὐ[δ' αὐ]τίκα πρὸς τὴν μήνιγγα παραδύεται, ἀλλ' ἐοίκαμεν ἥδιον τῶν συνήθων ἀκούειν αὐλῶν, ἢ τῆς ἠχοῦς τῶν [οὐρα]νίων περιφορῶν· μᾶλλον γὰρ βουλοίμεθα τὰς ἁρμονίας τῶν καθαπτῶν ὀργάνων ἐπίστασθαι, ἢ τὴν ἐμμέλειαν [τῶν] ὑπερφυῶν περιόδων.

Καὶ τὴν λογικὴν δὲ πραγματείαν εἴ τις μεταχειριεῖται φιλοσοφώτερον, πολλὰ ἐκ ταύτης ἀπώσαιτο (*) ἀγαθά, ἀπὸ τῶν σαφεστέρων ἀρξάμενος, ὅτι τῷ μὲν εἴδει διαφέρει ὅσα τῆς οὐσίας τῷ λόγῳ [ἀλλ]ήλων κεχώρισται, τῷ δὲ ἀριθμῷ διέστηκεν ὅσα συνδρομῇ συμβεβηκότων ἰδιότητος τῆς οἰκείας [ἀφ]ώρισται· καὶ ὅτι τὸ λογικὸν οὐκ ἐστὶν ἁπλῶς ποιότης, ἀλλὰ ζωώδης· καὶ ὡς ἡ διαφορά, μέρος τῆς οὐσίας, περὶ γὰρ τὴν οὐσίαν τὴν κεχωρισμένην ἰδιότητος ἀφορίζει· καὶ ὅτι τῶν διαφορῶν αἱ μέν, γενῶν εἰσιν, [αἱ] δέ, εἰδῶν· καὶ τοῦ μὲν γένους αἱ μέν, συστατικαί, ὅσαι κατὰ παντός, αἱ δέ, διαιρετικαί, ὅσαι διῃρη[μέναι] μὲν κατ' αὐτοῦ οὐ λέγονται, ὁμοῦ δὲ πᾶσαι, τοῦ δὲ εἴδους εἰσὶν αἱ εἰδοποιοὶ μόναι, ὧν ἑκάστη κατὰ ἀντιδιῃρημένον πρὸς ἕκαστον τῶν εἰδῶν ἀφορίζεται, ἀλλ' οὐχ ἅμα πᾶσαι.

(*) γραπτέον, ἀπώναιτο.

Σὺ δ' ἀλλ' ἐπὶ τούτοις οὐχ ὡς [πρός?] φόρτον ἐπωμισάμενος, βούλει διασείσασθαι τοῦτον καὶ ἀποτινάξασθαι τῆς ψυχῆς· τοιοῦτόν ἐστιν ἡ φιλοσοφία, μάλιστα ἡ λογικὴ πραγματεία· οὐ γὰρ ἔχει κάλλη τινὰ φυσικά, οὐδὲ οἷον ἄνθη καὶ ὡραϊσμούς, οὔτε ἕξεων, οὔτε θεωριῶν. Διὰ ταῦτα δὴ δύο βιβλία ἐν χερσί μοι ἀεὶ περιφέρεται, τὸ μέν, ἀνθοῦν λέξεσι, τὸ δὲ [γέ]μον νοήσεων· καὶ πολλάκις ἀπὸ τῆς ἑσπέρας, ἵνα συμβολικῶς εἴπω, πρὸς τὴν ἀκτῖνα μετατίθεμαι, καὶ ἡ . . . [αὐτόν?] ἀέρα, πρῶτον ἕσπερον, εἶτα ἑωσφόρον ὁρῶ· ἐνίοτε δέ, ὥσπερ αἱ μέλισσαι τὰ ἄνθη τῆς τέχνης περιπ[τυσσό]μενος καὶ περιβομβῶν ταῦτα, καὶ κείρων τῆς μελιτουργοῦ πόας, οὕτω τοὺς σίμβλους ὑποδύομαι καὶ τὰ ἄνθη [με]λιποιῶ. Ἐρῶ γὰρ καὶ τῆς τοῦ λόγου ψυχῆς, περιέχομαι δὲ καὶ τοῦ σωματικοῦ κάλλους· καὶ ὅταν κατακορὴς τῆς ἐνδελεχείας [γέν]ωμαι, μετατίθεμαι πρὸς τὸ ῥητορικὸν εὐθὺς ζεῦμα, καὶ τὴν ἀνάτασιν, καὶ τὴν διαγραφήν, καὶ τὴν ὑπόστασιν, [καὶ] περὶ τοὺς ἐν λέξει ῥυθμοὺς πραγματεύομαι, καὶ περὶ τὰ μέτρα, καὶ τί τὸ ἐν ἑκάστῳ ἴδιον ἐπισκέπτομαι, καὶ τί [τὸ] κοινόν, καὶ τί τὸ διάφορον· καὶ ὥσπερ ὁ Πλάτων τῇ φυσιολογίᾳ τὴν θεολογίαν μίγνυσι Τιμαιογραφῶν κατὰ τὸν σιλογράφον, οὕτω δὴ κἀγὼ τῇ ῥητορικῇ τὴν φιλοσοφίαν συντίθημι, καὶ πρὸς ἀμφοτέρας δι' ἀμφοτέρων ἁρμόζομαι.

Οὕτω δή μοι καὶ σὺ τὸν παῖδα συμβίβαζε, καὶ τὸ καλὸν ἐν προθύροις τοῦ ἀγαθοῦ [κ]είμενον ἐν ῥήμασι πρῶτον καὶ ὀνόμασι δείκνυε καὶ τῇ τούτων συνθήκῃ, εἶτα δὴ δίδου καὶ τῶν Ἀριστοτελικῶν κρατήρων πιεῖν· καὶ τῇ γλώττῃ μὲν ἐπίσης πρὸς ἀμφοτέρας τὰς μεθόδους ἡρμόσθω, γράφειν δὲ προελόμενος ῥητορικώτερος γενέσθω μᾶλλον, ἢ φιλοσοφώτερος.

## 188. Τῷ αὐτῷ.

[Οὐ]δὲν μὲν τῶν ὄντων ἢ γινομένων ἀναίτιον, φιλτάτη ψυχή· εἰ γὰρ καὶ τῷ Πλάτωνι ἀγέννητος παραπεφιλοσόφηται ἡ ψυχή, [καὶ] τῷ Ἀριστοτέλει ἡ ὕλη, ἀλλ' ἄμφω γεννητὰ καὶ ἀπ' αἰτίας τὴν ἀρχὴν ἔχοντα· ἐψεύσαντο γοῦν οἱ φιλόσο[φ]οι, ἢ φ. 236. ἠγνοήκασι τὰς αἰτίας αὐτῶν; πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὁ μὲν Πλάτων, ἀγέννητον τὴν ψυχὴν κατὰ λόγον τίθεται, ὁ δέ, οὕτω τὴν ὕλην, ὅτι οὐκ ἔστιν ἀναλύοντι ἐξ ἑτέρας ταύτην εὑρεθῆναι διαδοχῆς. Γεννᾷ γοῦν Πλάτων τὴν μὲν ψυχὴν ἐν Τιμαίῳ, τήν τε πηγαίαν ἀρχὴν αὐτῆς ἀνιχνεύων καὶ τὸν δημιουργόν, ἐν δὲ Φι[λοτ]ίμῳ τὴν ὕλην, τὴν ἀπειρίαν ἐκ τοῦ ἑνὸς προῆχθαι ἀποφαινόμενος.

Ἀναίτιον μὲν οὖν τῶν πάντων οὐδέν, οὐ πάντων δὲ τὰς αἰτίας εὑρεῖν ἡμεῖς δεδυνήμεθα, ἀλλὰ διαφεύγει τὰ πλείω τὴν ἡμετέραν διάνοιαν· ἔνθεν ἡ παραδοξοποιΐα ἔχει τὴν γένεσιν. Αὐτίκα οὐκ ἔχει φύσιν τὰ ἐναντία, εἰς ταὐτὸ συγκιρνάμενα, ἔχειν ἕκαστον τὴν οἰκείαν ἀνόθευτον δύναμιν· τὰ δὲ ἁπλᾶ τῶν φαρμάκων τὰς ἐναντιότητας πολλάκις ἐν ἑαυτοῖς ἀρρήτως ἐκτήσαντο, οἷον ἐκκριτικήν τε καὶ στατικήν, ἀραιωτικήν τε καὶ πυκνωτικήν, θερμαντικήν τε καὶ ψυκτικήν, ξηραντικήν τε καὶ ὑγραντικήν. Οὐ παράδοξον οὖν, εἴ τι τῶν πάντων δυνάμεις ἐναντίας ἐν ἑαυτῷ ἔσχηκε καὶ ἐνεργεῖ τὰ διάφορα· ἆρ' οὖν καὶ ἀναίτιον τὸ γινόμενον; πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἡμῖν ἀφανὴς ἡ αἰτία· πάντα γὰρ ἄγεται φυσικαῖς ὁλκαῖς, καὶ τὰ μέν, τοῖς συγγενέσι προσκλίνεται, τὰ δέ, τοῖς ἀλλοτρίοις βιάζεται, διὰ τὴν ἐν τῷ παντὶ συμπάθειαν, καὶ τὸ τοῦ τόπου διάστημα οὐκ ἐμποδίζει ταῖς διῃρημέναις πολλάκις ὕλαις πρὸς τὴν ἐνέργειαν.

Τὸ γοῦν χωρίον τῷ κυουμένῳ βρέφει συνελθόν, εἶτα ὄξει

καταρραινόμενον, σπασμοὺς ἐμποιεῖ ταῖς ἄρτι τεκούσαις τῶν γυναικῶν· εἰκὼν δὲ καὶ τύπος διαβιβάζει τὴν ἐνέργειαν τῆς μαγείας πρὸς τὸ ἀρχέτυπον, καὶ συντελεῖ πρὸς τὸ δρώμενον καὶ σίδηρος σίζων καὶ ἄψυχος ἦχος μελετηθείς· καὶ πρὸς μὲν ἀγώγιμον πρᾶξιν αἴλουρος δύναται, πρὸς δὲ ἄγρυπνον ἡ νυκτερὶς καὶ ὁ νυκτικόραξ· καὶ τοῖς μὲν ἐρωτικοῖς, τὰ τῷ τῆς Ἀφροδίτης ἀστέρι προσήκοντα, λυσιτελέστατα, ἐπὶ δὲ διαιρέσεων, χρησιμώτατα τὰ ἀρεϊκά. Καὶ ἡ ἀρχαιοτέρα δὲ τῆς Ἀσσυρίων σοφίας ἐντεῦθεν ἀγάλματα κατεσκεύαζεν ἀντιπαθῆ πρὸς τὰ ἐξ εἱμαρμένης ῥεύματα, ὡς ἐκείνη τῷ λόγῳ φησίν· ἐξελέγοντο δὲ πρὸς τὴν κατασκευὴν τρίχρωμον γῆν, εἰς δὲ τὴν πλάσιν στέαρ ἀετοῦ καὶ κορώνης· ἐπέπλαστο δὲ τὸ ἄγαλμα, τῇ μὲν δεξιᾷ ἀετὸν ὑπερπετώμενον τῷ σχήματι ἔχον, τῇ δὲ λαιᾷ δράκοντα, εἶτα δὴ ἐδείκνυ τὴν ἀντιπάθειαν.

Ταῦτα δέ, ἀπόρρητα μὲν τοῖς πολλοῖς καὶ παντάπασιν ἄγνωστα, ἐμοὶ δέ, νὴ τὴν ἱεράν σου ψυχήν, οὐδὲν τῶν ἀρρήτων διὰ τὴν τῆς ψυχῆς πολυπραγμοσύνην ἠγνόηται· καὶ τὰς μὲν μεθόδους ἁπάντων συνέλεξα, οὐκ ἐχρησάμην δὲ οὐδεμιᾷ τῶν ἀρρητουργιῶν, ἀλλὰ καὶ τοῖς χρησαμένοις ἐπαρῶμαι, τοσοῦτον ἐκ τούτων συμπορισάμενος, ὥστε εἰδέναι ἔχειν, ὡς ἐστὶ τῶν γινομένων ἔνια, ἀναίτιον τοῖς πολλοῖς τὴν δύναμιν ἔχοντα.

Καὶ ἵνα σοι τὰς τελεστικὰς δυνάμεις ἄρω, ὁ ἐχῖνος τὸ ζῶον, βορείων καὶ νοτίων πνευμάτων πρόγνωσιν ἔχει παρὰ τῆς φύσεως, καὶ μεταβάλλει ἐντεῦθεν τὰς εἰσαγωγὰς τῶν πνευμάτων· ἐν δὲ Κυλήνῃ τῇ πόλει ὁ κόττυφος ἀστρολογεῖ τὴν σελήνην, κἀντεῦθεν τὰς ἐπ' αὐτὸν θήρας διδάσκεται καὶ διαδράσκει τὰ κυνηγέσια· ἡ μέλιττα ἀντιπαθῶς ἔχει πρὸς τὰ ἀρώματα, ὁ δὲ Κύπριος μῦς ἐσθίει τὸν σίδηρον· τὸ δὲ θηρίον ὁ πάνανδρος μεταβάλλει, ὁπόταν βούληται, τὸ χρῶμα τοῦ σώματος· καὶ οὐκ ἂν ἔχοι τις οὐδὲ τῶν ἄγαν σοφῶν τὰς αἰτίας τῶν γινομένων εἰπεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ο μὲν γραμματικὸς ἐφεύροι ἂν τὴν αἰτίαν τῆς τοῦ βῆτα καὶ γάμα καὶ δέλτα μεσότητος, καὶ πῶς τοῦ μὲν βῆτα πέριξ τὸ πῖ καὶ φῖ, τοῦ δὲ γάμα τὸ κάππα καὶ χῖ, τοῦ δὲ δέλτα τὸ θῆτα καὶ ταῦ· συγγενὲς γὰρ τὸ βῆτα τῶν εἰρημένων στοιχείων, ἔκ τε τῆς κλίσεως τῶν ῥημάτων ὁμοίως καὶ τῶν ὀνομάτων· τὰ γάρ τοι ῥήματα διὰ τοῦ βῆτα, ἢ πῖ, ἢ φῖ ἐκφερόμενα, διὰ τοῦ ψῖ ποιοῦσι τὸν μέλλοντα, οἷον λείβω, λείψω, τέρπω, τέρψω, γράφω, γράψω, καὶ αὖθις τὰ εἰς ψῖ τῶν ὀνομάτων λήγοντα, τὴν γενικὴν δι' ἑνὸς τούτων ἐκφέρει, λὶψ γὰρ λιβός, καὶ Πέλοψ, Πέλοπος, καὶ κίνυψ, κίνυφος· οὕτω δὴ κἀπὶ τῶν ἄλλων δυεῖν στοιχείων ἡ συγγενὴς μεσότης εὑρίσκεται. Ὁ μὲν οὖν γραμματικὸς οὕτως ἀποδώσει τὴν αἰτίαν.

Ὡσαύτως δὲ καὶ ὁ γεωμέτρης δι' ἀποδείξεως γνωριεῖ πῶς αἱ τρεῖς τοῦ τριγώνου γωνίαι, δυεῖν ὀρθαῖν ἶσαί εἰσιν. Ὡς δέ, καὶ ὁ ἀστρολόγος εἴποι ἂν τὰς αἰτίας καὶ τῶν στηριζόντων ἀστέρων, καὶ τῶν ὑποστηριζόντων, ἢ προποδιζόντων, καὶ τούτων, τὸ μέν, λήψεται ἐπὶ ταῖς πλαγίαις τῶν ὑποθέσεων, τὸ δέ, ἐπ' ἄλλῳ τῳ πρὸς ὃ τὴν ἐνέργειαν βούλεται. Καὶ ὁ λογικὸς φιλόσοφος, εἰ ἐρωτηθείη, πότερον τὰ γένη καὶ τὰ εἴδη ἐν ὑποστάσει εἰσίν; ἀντεπενέγκοι, ὡς τὰ μὲν ἐν ὑπονοίᾳ κείμενα, οὐκ ἔχει ὑπόστασιν, τὰ δέ, ἀφ' ὧν γινόμενα γίνεται, τὴν τελεωτάτην καὶ πρὸ τῶν πολλῶν γινομένην.

Καὶ Ὅμηρος, ποιητὴς ὢν καὶ ὑπὸ παραπετάσματι περὶ τῶν ἀδήλων φιλοσοφῶν, τὴν γένεσιν τῶν ψυχῶν ὑπὸ τὸ (*) ἐν Ἰθάκῃ ἄντρον ποιεῖται, ἔνθα οἱ περιμήκεις ἱστοί, καὶ τῶν νυμφῶν αἱ τὰ ἁλιπόρφυρα ὑφαίνουσαι φάρεα· αἰνίττεται γὰρ ἐντεῦθεν ὁ ποιητής, τὰς μὲν ψυχὰς τῷ ὀνόματι τῶν Νυμφῶν, τὰ δὲ σώματα τοῖς ἁλιπορφύροις εἵμασιν. Ὁ γάρ τοι Ἑλληνικὸς λόγος, πάντων μὲν τῶν ὄντων καὶ γινομένων αἰτιᾶται τὸν δημιουρ-

(*) χειρόγρ. τῶν.

γόν, πορρώτατον δὲ τοῦτον τιθέμενος (*) αἴτιον, τὰς ἐγγυτέρας αἰτίας ζητεῖ· ὅθεν νοῦν μὲν ἄλλοθεν προσεχῶς γεννᾷ, τοῦτον δὲ ποιητὴν ἐφίστησι τῆς ψυχῆς, καὶ τὴν ψυχὴν δημιουργὸν τῶν σωμάτων. Αὕτη γοῦν ἐστιν ἡ Νύμφη τῷ ποιητῇ ἡ τοὺς πορφυροῦς χιτῶνας ὑφαίνουσα.

Πᾶσα μὲν οὖν, ὥς μοι εἴρηται, καὶ ἐπιστήμη καὶ τέχνη αἰτίας τῶν οἰκείων ὑποθέσεων ἀποδίδωσι, τὰ δὲ τῆς φύσεως ἄρρητα, ἢ καὶ ὅσα τὴν φύσιν ὑπερεφώνησαν, εἰ καὶ αἰτίαν ἔχει τῆς οἰκείας ὑπάρξεως, ἀλλ' ἡμῖν οὐκ ἔγνωσται αὕτη.

Σὺ δέ μοι τέως τὸν παῖδα μὴ τοῖς ἀρρήτοις προβίβαζε, εἰ μὴ ὅσον προσάγειν αὐτὸν ταῦτα, ὥς τε τρανεστέραν αὐτῷ τὴν
φ. 236ᵛ. φύσιν ἐργά|σασθαι καὶ κινῆσαι πρὸς θαῦμα· τὸ γάρ τοι θαυμάζειν, ὡς ὁ Πλάτων φησί, φιλοσοφίαν προὐβίβαζε, καὶ ψυχὴν ἀρίστην ἐντεῦθέν μοι διαγίνωσκε, ὁπόταν τούτοις ἐκπλήττηται καὶ θαμὰ πρὸς τὰ ὑπερφυῆ ἐξανίσταται· ἡ δὲ ζητοῦσα τὰ πρόχειρα μόνον, ἀτεχνῶς τῇ ὕλῃ πεπέδηται. Μέσον δὲ τοῦτον δυεῖν κάθιζε πηγῶν, ἐπιστήμης τε καὶ τέχνης· τέχνη δὲ τῶν λόγων μία ἐστίν, ἡ καλουμένη ῥητορική· καὶ δίδου ἐξ ἑκατέρων κρατήρων παρὰ μέρος ἀρρύεσθαι, ἢν μὴ βούλῃ τοῦτον, ἢ νοῦν ἔχειν ἄγλωττον παρὰ μόνην φιλοσοφίαν, ἢ γλῶτταν ἄνουν παρὰ μόνην ῥητορικήν.

## 189. Ἀνεπίγραφος.

Οὐκ οἶδα, πότερον ἐγὼ τῆς σῆς εὐγνωμοσύνης καθέστηκα αἴτιος, ἢ σὺ τῆς ἐμῆς περὶ σὲ φιλίας καὶ διαθέσεως; ἢ θάτερον θατέρου πέφυκεν αἴτιον, ὡς εἶναι ἄμφω συναίτια; ὁμοῦ τε γὰρ σὺ πρὸς φιλοτιμίαν διερεθίζεις ἐμέ, κἀγὼ σὲ πρὸς εὐχαριστίαν κινῶ· πλὴν ἐγὼ μὲν οὐ δοκῶ τι χαρίζεσθαί σοι, εἴτε ὑπὸ

(*) χειρόγρ. τιθεμένη.

συνηθείας ἁλώσιμος ὢν τῷ τοιούτῳ παθει, εἴτε πρὸς ἀλήθειαν πρὸς τοῦτο κεκινημένος· σὺ δέ, τὸ μηδαμῇ μηδαμῶς ὂν οὕτως ἐξαίρεις τῷ λόγῳ, οὕτως οὐσίαν ποιεῖς τὸ ἀνύπαρκτον, ὡς οἴεσθαί με τέχνῃ σε τοὺς λόγους σοφιστικῇ δημιουργεῖν· καὶ οὐ τοῦτό φημι, ὅτι φείδομαι γλώττης, ὅταν ὑπὲρ σοῦ δέοι ταύτην κινεῖν, ἀλλ' ὅτι πολλοῖς τοῦτο διδούς, οὐχ οὕτω τὴν παρὰ τῶν ἄλλων κομίζομαι χάριν.

Οἶσθ' οὖν ὅπως διαιτῶ τῷ πράγματι· καὶ σὺ λίαν εὐγνωμονέστατος, καὶ ὥσπερ βαθύγεως ἄρουρα βραχεῖάν τινα λαμβάνων τοῦ εὐγνωμονεῖν ἀφορμήν, πλείονα τὸν στάχυν τῆς εὐχαριστίας καρποφορεῖς. Αἱρεῖ δέ σε τῶν ἐμῶν, οὐ τὸ φιλάδελφον μόνον καὶ συμπαθές, ἀλλὰ καὶ ἡ τῶν λόγων ὥρα, καὶ ἡ ἁρμονία τῶν λέξεων, καὶ ὁ ῥητορικὸς νοῦς, καὶ ἡ τῶν μορίων τοῦ λόγου συνθήκη, καὶ ὅσοις ἄλλοις τὸ τεχνικῶς γράφεσθαι χαρακτηρίζεται. Καὶ ὅτι μὲν τὴν γνῶσιν τούτων συνείληφα, οὐκ ἂν ἀρνηθείην· ἦ γὰρ ἂν ἐλέγξῃ με καὶ ὁ σοφιστικὸς θρόνος, καὶ τὰ πολλὰ περὶ τῆς τέχνης συγγράμματα· οὐ μὴν οὕτως θέλγω τὰς τῶν πολλῶν ἀκοάς· θέλγονται μὲν γὰρ ἅπασαι ὅσαι κατήκοοι τῶν ἐμῶν ῥυθμῶν, ἀλλ' οὐχ οὕτως ὡς σύ· καὶ γὰρ ἀτεχνῶς ἔοικάς μοι ἐφ' ἑκάστῃ τῶν ἐμῶν λέξεων ἐνθουσιᾷν καὶ κροτεῖν, καὶ πηδᾷν, ἴσως δὲ καὶ ὀρχεῖσθαι, τοῦτο γὰρ καὶ Σωκράτην ἀνέπειθε δρᾷν ἡ τῆς γεωμετρίας ἀπόδειξις. Καὶ οὐ πρὸς ὕβριν ὁ λόγος, ἐπεὶ καὶ Δαυΐδ ἁλώσιμος τῷ πάθει γέγονεν, ὅταν τὴν κιβωτὸν ἀνεσώσατο, καὶ πρὸς τὴν τοῦ Σαοὺλ θυγατέρα, διαλοιδορησαμένην αὐτῷ τὴν ποιὰν κίνησιν, θείως ἀντεπεχείρησε.

Τοῦτο δὲ οὐ τὴν ἐμὴν ἐλέγχει σοφίαν ἴσως, ἀλλὰ τὴν σὴν ἀνακαλύπτει φιλοσοφίαν· τρεῖς γὰρ τάξεις ταύτας τίθησιν ὁ λόγος, δι' ἃς ὁ τῶν κρειττόνων ἀνάγεται ἐραστής, τὴν ἐρωτικήν, τὴν φιλόμουσον, καὶ τὴν φιλόσοφον· τήν γέ τοι ἁρμονίαν μὴ ἐν μέλεσι μόνον ἡγοῦ, ἀλλὰ καὶ ἐν ἔπεσι καὶ λόγῳ πεζῷ·



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γίνονται δὲ κατακώριμοι, οἱ μέν, τοῖς αὐλήμασι, οἱ δέ, τοῖς ῥυθμοῖς, οἱ δέ, ταῖς ἁρμονίαις τῶν λόγων· ἔστι δὲ διάφορα καὶ τὸ θέλγον καὶ τὸ θελγόμενον.

Ἀλλὰ σὺ τῇ ἐμῇ μούσῃ τεθήρασαι, καὶ πρὸς ταύτην κορυβαντιᾷς ἄντικρυς, καί τοι γε, νὴ τὴν ἱεράν σου ψυχήν, φιλοσοφίαν μὲν τιμῶ, ῥητορικὴν δὲ ἐπαινῶ· ἐπαινῶ δὲ οὕτως, ὥς περ οἱ ἠπειρῶται τὴν θάλασσαν, Χαῖρε γάρ μοι, ὦ θάλαττα, ὁ βοηλάτης φησίν. Ἀλλὰ καὶ ὁ ναυπηγός, τὴν μὲν μικρὰν ἐπαινεῖ ναῦν, ἐπὶ δὲ τῇ μεγάλῃ τὰ φορτία τίθησι. Καὶ βουλοίμην ἂν τῇ φιλοσοφίᾳ παραρριπτεῖσθαι, ἢ ἐν σκηνώμασι τῆς ῥητορικῆς κατοικεῖν, ἀλλ' οὐκ οἶδ' ὅπως θάτερον διώκων, ὑπὸ θατέρου κατείλημμαι, καὶ φιλοσοφίαν κοσμοῦντα ἡ τέχνη κοσμεῖ. Καὶ προκάθημαι μὲν τῶν δυεῖν τούτων μεθόδων, ἀλλὰ πρὸς μὲν τήν, ἀφοσιοῦμαι, τὴν δέ, πρεσβεύω, καὶ βαδίζοντα πρὸς τὴν ἐλαίαν καὶ τὴν συκῆν καὶ τὴν ἄμπελον, ἡ ἐρινεὸς καὶ βάτος μοι περιπέπλεκται, ἅτινα δὴ αἱ τῶν ἐμῶν λόγων εἰσὶν ἀδιήγητοι χάριτες.

Τούτων ἑάλως μετὰ πλειόνων καὶ σύ· καὶ τὸ πρόχειρον ἀγαπᾷς, καὶ τὸ προβεβλημένον τοῦ λόγου ποθεῖς, τὸν δὲ φιλόσοφον ὄγκον οὐκ οἶδ' ὅπως ἀποτροπιάζῃ. Διὰ ταῦτα δὴ καὶ ἡμεῖς διπλῇ τοὺς λόγους μετακεχειρίσμεθα, πῇ μὲν αἱμύλως καὶ πολιτικῶς, πῇ δὲ φιλοσόφως καὶ αὐχμηρῶς, ἵν' εἰ μὴ ἀμφοτέρῳ, θατέρῳ αἱρήσομεν τὸν ὁμιλητήν· οὕτω καὶ Ἡρακλῆς αἱμυλίᾳ γλώττης καὶ λεοντῇ τοὺς ἀνθρώπους κατηγωνίζετο· καὶ πρὸς μὲν φιλοσοφίαν ἡ λεοντῆ λόγον ἔσχηκεν, ἡ δὲ περιβολὴ τῆς γλώττης ἄντικρύς ἐστι ῥητορικὸν ἐπιτήδευμα.

Ἆρ' οὖν σὲ μὲν οὕτως αἱρῶ τοῖς ἐμοῖς λόγοις, ὑπὲρ δὲ σοῦ λέγων ἑτέραν ἠχὴν μεθαρμόσομαι; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ τότε δὴ καὶ τὴν λύραν χορδολογῶ, καὶ παρεσκεύασμαι ὡς ἐμμελέστερον ᾄσω, καὶ μεταβάλλω συχνῶς, ἄλλην ἐπ' ἄλλῃ τὴν ἁρμονίαν ποιούμενος, καὶ τοῖς ἐμοῖς ῥυθμοῖς ἀκοὴ πᾶσα ἁλώσιμος· οὐδέν τι πλέον ἐρῶ, ἵνα μὴ κομπάσω τὸ πρᾶγμα.

Τοὺς δὲ Ροδινώτας οὐκ οἶδα πότερον, σὺ πέφευγας, ἢ ἐκεῖνοί σε πεφεύγασιν, ἐπεὶ καὶ ἀσύμβατά πως θρασύτης καὶ ἐπιείκεια, βάρβαρον ἦθος καὶ τρόπος φιλόσοφος· τὸ δὲ ἀξιωματικὸν τῆς σῆς πρὸς εὐγνωμοσύνην ψυχῆς, ἀγριωπῶν μὴ καταβίβαζε χάρισι, μὴ δὲ τοὺς ἀστέρας ἐπιθόλου ἀχλύϊ, μὴ δὲ συσκίαζε νέφει τὸν ἥλιον, ἀρκετὰ γὰρ ἡμῖν ἐκεῖνα, ὁ ἥλιος, ὁ ἀστήρ, τὸ ἀξίωμα.

## 190. Τῷ κριτῇ τοῦ Ὀψικίου τῷ Ζωμῇ. φ. 237.

Παρενέτυχον, ἀληθῶς κάλλιστε ἀδελφὲ καὶ ἰσόψυχε, ἀναγινωσκομένης σου τῆς γραφῆς παρὰ τοῦ κραταιοῦ ἡμῶν αὐτοκράτορος, καὶ τὰ μέν, ἤκουσα, τὰ δέ, καὶ αὐτὸς εἴρηκα ὁπόσα ἔδει περὶ σοῦ πρὸς τὸν καιρὸν φθέγγεσθαι· καὶ ἦν ἀγὼν τοῦ μὲν λογοθέτου κἀμοῦ περὶ τοῦ διαδεχθῆναί σε, αἰτίας λεγόντων πρὸς τοῦτο καὶ ἀληθεῖς καὶ ἐπιτηδείους πρὸς τὸν σκοπόν, τὸ νοσεῖν ἐκ πολλοῦ, τὸ ἀπειρηκέναι σε καὶ μὴ δὲ πρὸς τὰ πράγματα αὐτὰ δύνασθαι ἐγηγέρθαι, τοῦ δὲ βασιλέως, αὐτόθι σε ἐγκαταμεῖναι καὶ εἰ οἷόν τε ἐστι καὶ καταγηρᾶσαι· αἰτίας δὲ εἶχε καὶ ἡ ἐκείνου ἀντιλογία, τῆς σῆς ψυχῆς τὸ εὐθές, καὶ τὸ μὴ δεῖσθαι πολλῶν, καὶ τὸ πρὸς τὰ συμπίπτοντα δραστικόν, καὶ τὸ περὶ τὰς πράξεις δεξιόν.

Καὶ ἐπεὶ μὴ ἰσοπαλεῖς οἱ ἀγωνιζόμενοι, κρίσιν ἔσχηκεν ἡ πάλη ταχεῖαν, καὶ ὁ μείζων νενίκηκεν· ἀλλὰ τηνικαῦτα μέν, οὔπω δῆλος ἦν οἵαν περὶ σοῦ τὴν ψῆφον ἐνέγκοι, πλὴν ὅσον ἀπὸ τοῦ δυσχερᾶναι τὰς ἀξιώσεις σου, ὑπωπτεύετο τί ἂν εἰκότως ποιήσειε. Μετὰ ταῦτα δὲ καθ' ἑαυτὸν γεγονώς, ἔτι ἐπερρώσθη πρὸς τὸν οἰκεῖον σκοπόν, καὶ σφραγῖδα τὴν ἀπὸ τῆς ἐξουσίας ἐπέθηκε τῷ βουλήματι.

Οἴου τοίνυν, ἀδελφὲ φίλτατε, μάλιστα δὲ πεπληροφόρησο, ὅτι ἐξ ἀρχῆς γενναίας καὶ ἀγαθῆς, εἰς οὐδέν σοι χρηστὸν κατα-

λήγει τὸ τέλος· τί δὲ τοῦτό ἐστιν; Ὁ φιλάγαθος ἡμῶν βασιλεύς, τὰ μέν, παρ' ἄλλων ἀκούων, τὰ δέ, καὶ παρ' ἑαυτοῦ συνειδώς, ἄνδρα σε ἥγηται, ἵνα τὰ πολλὰ συντεμὼν εἴπω, οἷος εἶ καὶ τυγχάνεις ὤν· θηρᾶται δὲ τοιούτους καὶ συλλέγει τῷ βίῳ καὶ ὑφ' ἑαυτὸν ποιεῖται, βουλόμενος διὰ τούτων κατάστασιν πρυτανεῦσαι τοῖς πράγμασι. Διὰ ταῦτα δή σε εὑρηκὼς ἁρμόσαντα τῷ τε καιρῷ καὶ τῷ ἰδίῳ σκοπῷ, βούλεται διὰ σοῦ περιποιῆσαι τῷ θέματι ὁπόσα καὶ βούλεται.

Ἡ μὲν οὖν ἀρχή, τοιαύτη, καὶ οὐδ' αὐτὸς ἐρεῖς ὡς οὐκ ἀγαθή, τὸ δὲ τέλος, ἐπειδή σοι ὁ σκοπὸς πρὸς ἄλλον βίον ὁρᾷ, πάντως ἀσυντελές, ἢ ἐναντίον παντάπασιν. Ἀξιοῖς οὖν ἡμᾶς συντελέσαι σοι ὁπόσα δὴ συντείνει σου τῷ σκοπῷ· καὶ τοῦτο μὲν ἕξεις παρ' ἡμῶν, δυεῖν ἕνεκα, ὅτι σοι καὶ φιλίας ὀφείλω χάριτας, καὶ τὸ μεῖζον, ὡς ἂν καὶ αὐτὸς ἕξω τῆς συντελείας παρὰ θεοῦ τὸν μισθόν.

Τοῦτο μὲν οὖν ἔσται σοι παρ' ἡμῶν· εἰ δέ σοι δεῖ καὶ συμβουλίας ἐμῆς, εἰ μὲν ἀπηγόρευταί σοι τὰ τῆς ζωῆς, πάσης καταφρονήσας καιροῦ χρείας, καὶ τῆς πρὸς αὐτὸν ἐνθυμήσεως καὶ παρασκευῆς, πρόλαβε τὴν τομὴν κατὰ προθεσμίαν ἐνστᾶσαν· εἰ δ' ἀνακεκόμισταί σοι τὸ σῶμα, καὶ ἀοριστταίνει αὖθις ὁ θάνατος, μηδέν τι δράσῃς παράβουλον, μὴ δ' ἀποκλείσῃς σαυτῷ τὰ σπλάγχνα τοῦ αὐτοκράτορος, ἀλλὰ καὶ αὖθις ἀξίωσον καὶ ἐπιεικῶς αὐτῷ τὸν σὸν σκοπὸν πληροφόρησον, καταλέγων τὴν ἀτονίαν τοῦ σώματος, τὴν πρὸς θεὸν ἐπαγγελίαν, τὴν τῶν ἰατρῶν τέχνην ἀπειρηκυῖαν, ἵν' οὕτως ἑλκύσας πρὸς τὸ φιλάνθρωπον, ἕξεις αὖθις παραμυθούμενόν σε καὶ τὸν μοναδικὸν βίον.

Μὴ γὰρ οἰηθῇς, ἀδελφέ, ὅτι ὁμοῦ τε γιγνόμεθα μοναχοί, καὶ μεταλλάττεται ἡ φύσις ἡμῶν εἰς ἕτερον εἶδος πρὸς τὰς ἀναγκαίας χρείας ἀποτομώτερον, ὡς μηδενὸς δεῖσθαι, μήτε τῶν περιττῶν, μήτ' αὐτῶν τῶν ἀναγκαίων· εἰ μὲν γὰρ ἄλλοις τοῦτο προσγίνεται, οὐκ οἶδα τοὺς ἄνδρας ἐκείνους ἐγώ· ἐμοὶ γοῦν καὶ

φιλοσοφήσαντι καὶ φιλοσοφοῦντι, καὶ ἡ φύσις ἐμεμήνει, καὶ ἡ γνώμη κατὰ βραχὺ πρὸς τὸ θειότερον ἄνεισιν· ἀλλ' οὐκ εὐθὺς ἀποτασσομένοις ἡμῖν φιλίαις καὶ συγγενείαις, τὸ μέγα τοῦτο χρῆμα τῆς ἀρετῆς περιγίνεται, ἀλλὰ τότε δὴ καὶ μάλιστα αἵ τε συγγενικαὶ ἀναγκαιότητες, οἵ τε τῆς φιλίας δεσμοὶ προσφύονταί πως ἡμᾶς καὶ περιπλέκονται, ἵνα μὴ τἄλλα ἐρῶ, ὧν κοσμικοὶ τὴν φύσιν οὐκ ᾔδειμεν.

Τὸ μὲν οὖν ἀμεῖψαί σε τὴν ζωήν, καὶ συμβουλεύω καὶ προτρέπω, θεῖος γὰρ καὶ ἀκήρατος ὁ τῶν μοναζόντων βίος ἐστί, τὸ δ' ἀθρόον καὶ ἀπαρασκεύως, οὐκ ἄν ποτέ σοι προτρέψαιμι· εἰ μὲν οὖν ἡ γνώμη κατὰ νοῦν σοι φανείη, ἕπου ταύτῃ, καὶ πράττε κατὰ τὴν εἰσήγησιν· εἰ δὲ γενναιότερον ἔχεις, καί σε ὁ πρὸς θεὸν ἔρως ἐπῆρεν, ἴσθι, ἀδελφέ, ὡς κρείττων ἡμῶν γέγονας, καὶ λεγόντων μὲν ἡμῶν καταφρόνησον, σὺ δὲ τῇ θείᾳ χάριτι, τί γὰρ ἂν ἄλλο εἴποιμι; τὴν κατάλληλον πραγματεύου παρασκευήν.

## 191. Τοῖς νοταρίοις τοῦ βασιλέως τοῦ Κομνηνοῦ.

Ὑμᾶς περὶ ὑμῶν ἐρωτῶ, πῶς ἔχοιτέ μοι οἱ φίλτατοι ἀδελφοὶ καὶ τοῦ κρατίστου βασιλέως νοτάριοι; μᾶλλον δὲ ποῦ διάγετε, καὶ ἐν τίσιν ἐστέ; πότερον, πρὸς τῷ τέρματι τοῦ βορείου πέρατος, ἢ πρὸς τῇ ἀρχῇ τοῦ νοτίου κλίματος; οὐ γὰρ οἶδα, νὴ τὴν ὑμετέραν ἀγάπην, ἢ ὅτι τὰ τῆς γῆς ἀμείβετε τμήματα ταχεῖ καὶ ἐπτερωμένῳ κινήματι. Ἀλλὰ τί δή μοι ποιεῖτε; μάτην δὲ ἄρα καὶ ἐρωτῶ, ὅπερ δὴ ὁρῶ διαυγῶς· ἢ οὐχί, ὁ μὲν κορυφαῖος ὑμῶν τὰ τοῦ χρησμοῦ ἐπισκέπτεται γράμματα, καὶ συμβιβάζει τὸ ἔπος, καὶ τὸ κεχηνὸς ξυγκολλᾷ, τὴν ἱερογλυφικὴν τέχνην τεκμαιρόμενος, εἶτα δὴ ἀπευθύνων τὸ σκολιόν, μέλος δὲ τοῦτο οὕτω καλούμενον, ἑτέρῳ δίδωσιν ᾆσμα; καὶ ὁ μέν, μελουργεῖ, ἕτερος δὲ τὴν μουσουργίαν διασημαίνεται τοῖς γράμμασι; καὶ αὖθις ὁ μέν τις

ὑμῶν μάχην διατυποῖ, καὶ σκιαγραφεῖ πόλεμον, καὶ στρατιώτην ὁπλίζει, ὁ δέ, φρουρὰν φρουρίοις ἐγκατατίθησι, καὶ περὶ πρεσβειῶν διαστέλλεται; καὶ αὖθις ἄλλος δικαστῶν παρανομούντων καθάπτεται; ὁ δ' ἐντρεχέστερός τε καὶ δραστικώτερος φόρους εἰσπράττεται, ἢ τοῖς εἰσπράττουσιν ἐγκελεύεται; Βαβαὶ δὲ καὶ τοῦ τῶν ἐπιστολῶν φακέλλου, καὶ τῶν βασιλικῶν ἐπιτάξεων! ὡς πλεῖστον τὸ ἐπιρρέον τοῦ ἀπορρέοντος· καὶ τὸ μέν τι τοῦ ποταμοῦ εἰς τὴν θάλασσαν ἀπερεύγεται, τὸ δέ, αὐτὸ ἐκ τῶν πηγῶν ἄνωθεν κάτεισι.

Ταῦτα μὲν οὖν καὶ ὁρᾶν δοκῶ, καὶ λεγόντων ὥς περ ἀκούειν ὑμῶν, καὶ ἀντεπιπληττόντων ἀλλήλοις· πότερον δέ, περὶ ταῦτα ὑμεῖς, ἢ περὶ τὸ θηρᾶν, ὡς καὶ τοὺς νόμους εἰδέναι τῆς θήρας, τάξει προϊέναι, μὴ προσοβεῖν, μὴ παρεξελεύνειν ὥς περ ἐν φά-
φ. 237ʳ. λαγγι; ἡδὺ δὲ καὶ τὸ χρῆμα, κλεπτόμενος | τοῖς ἴχνεσιν ὁ λαγώς, εἶτα δὴ καὶ ἀθρόον ἀναθορών, καὶ νῦν μὲν κατευθὺ προϊών, νῦν δὲ περιελιττόμενος καὶ καμπτόμενος, καὶ ἐπασθμαίνων τὸν δρόμον, καὶ διακλῶν τὸν θηρατὴν κύνα· ἐμοὶ δὲ τεθαύμασται μᾶλλον ἡ ἰχνηλάτις λάκαινα, ὅτι φιλοσοφεῖ πως καὶ συλλογίζεται ἐν ὀσφρήσεσιν· ἀμέλει καὶ ἐν τρισὶν ἀπολειφθεῖσα ὁδοῖς, καὶ τὸν ἀέρα τῶν δυεῖν ἀναπνεύσασα, εἶτα δὴ τοῦ φυγάδος μὴ ὀσφρανθεῖσα θηρός, τὸν τρίτον οὐδ' ἀξιοῖ ἀναπνεῖν. Θαυμάσιον δέ τι χρῆμα καὶ ἡ πτερωτὴ θήρα, εἴτε καταφυγῆς τύχοι τὸ διωκόμενον, εἴθ' ἁλώσιμον ἀπὸ πτεροῦ γένοιτο.

Ὑμεῖς δέ μοι, ἀλλὰ μὴ καὶ τὸν σῦν, μὴ δὲ τὸν κάπρον, μὴ δὲ τὸν τίγριν, μὴ δὲ τὴν πάρδαλιν; Ἢ τάχα παίζειν καὶ ὀνειρώττειν δοκῶ, περὶ θηροφονείας ἀνδράσι διαλεγόμενος ἐπικεκυφόσιν ὡς οἱ περὶ Ἐρασίστρατον καὶ Δημόκριτον ἐν ταῖς ἀνατομαῖς τῶν ὑποκειμένων καὶ ταῖς ζητήσεσιν; Ἀλλά μοι κοινῇ συναγάλλοισθε, καταπολαύοντες, εἰ μή τινος ἄλλου, τῆς γε πρὸς ἀλλήλους φιλίας καὶ ὁμονοίας.

## 192. Τῷ κριτῇ Θράκης καὶ Μακεδονίας.

Λαμπρότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε, οἶμαί σου μὴ ἀγνοεῖν τὴν λαμπρότητα, εἰ δὲ ἴσως ἠγνόηκας διδάχθητι παρ' ἐμοῦ, ὅτι τὸ βασιλικάτον Μαδύτου ἀναφαιρέτως ἡμῖν ὁ μακαρίτης βασιλεὺς κῦρ Κωνσταντῖνος ὁ Μονομάχος ἐχαρίσατο, δοὺς ἐν βασιλικοῖς χρυσοβούλλοις γράμμασιν ἐξουσίαν, διδόναι τοῦτο ᾧ ἂν βουλώμεθα· ἡμεῖς δέ, καίτοι γε πολλῶν ἐξαιτουμένων δραστηρίων τὰ πολλὰ καὶ ἱκανῶν πρὸς τὰ πράγματα, τῷ παρόντι γραμματοκομιστῇ τὸ πρᾶγμα κατεπιστεύσαμεν, ἁπλουστάτῳ τε ἀνδρὶ καὶ ἀληθεστάτῳ, καὶ μηδὲν σκολιὸν ἢ ποικίλον εἰδότι.

Ἀλλ' ἐπεὶ διὰ ταῦτα, ἀδικεῖν μὲν οὐ βούλεται, ἀδικεῖσθαι δὲ ἐστιν ἐπιτήδειος, μήτε ἀντεπιχειρῶν τοῖς ἐπηρεάζουσι, μήτε ἀντιγραφόμενος, ἀξιῶ τὴν λαμπρότητά σου ἐπανορθοῦσθαι αὐτῷ τοῦτο δὴ τὸ ἔλλειμμα, καὶ μὴ ἐᾶν ἀφορμὴν εὔκολον κεῖσθαι τοῖς πολλοῖς ἀδίκου ἐπιχειρήσεως.

Ἔστι δὲ ὁ μᾶλλον αὐτῷ ἐκ τοῦ σύνεγγυς ἐναντιούμενος, ὁ τουρμάρχης Ἁπλοκονήσου, οὐχ οὗτος ὁ νῦν πρώτως εἰς τὴν τούρμαν προβεβλημένος, ἀλλὰ πᾶς ὁστισοῦν τὴν ἀρχὴν τῆς τούρμας παρὰ τοῦ βασιλέως λαμβάνων. Ἐπειδὴ γὰρ τῷ μὲν βασιλικῷ δέδοται ἐνίας τῶν δικῶν ἐξετάζειν, ὁ δὲ τουρμάρχης τούτου κεκώλυται, τὸ ἑτέρῳ δεδομένον ἑαυτῷ εἰσποιεῖται ὁ μὴ λαβών.

Εἰ μὲν οὖν οὗτος, τῷ πρὸ αὐτοῦ τουρμάρχῃ μὴ ἑπόμενος, ἡσυχάζειν ἐθέλοι, οὐδὲν δεῖ σε πράγματα ἔχειν ἐπὶ τούτῳ διὰ τὴν παρ' ἡμῶν ἀξίωσιν· εἰ δὲ πᾶς τουρμάρχης Ἁπλοκονήσου κακός, ἀλλὰ πᾶς δικαστὴς ἀγαθός, ὅ γε μὴ διαφθείρων τὸ ὄνομα, καὶ μάλιστα εἰ τοιούτου πατρὸς ᾖ, ὁποίου τυγχάνεις αὐτός·

γενοῦ δὲ καλλίων δι' ἡμᾶς τοσοῦτον, ὅσον συντεμεῖν τὸν χρόνον καὶ ἀναστεῖλαι τὸν ἀδικεῖν ᾑρημένον· τοῦτό τε οὖν ἀπόδος τῷ βασιλικῷ, καὶ τὴν τῆς σῆς ψυχῆς εὐμένειαν. Εἰ γὰρ μὴ καὶ οὗτος παρακολουθήσει τῇ μεγαλογνώμονι μεγαλοπρεπείᾳ σου, ἀφελὴς τὴν γνώμην ἴσως ὤν, ἀλλ' ἡμεῖς γε εἰδήσομεν χάριν, οἳ καὶ τῶν ψυχῶν τὰς ἀρίστας ἀποδεχόμενοι καὶ τῶν ἠθῶν τὰ κάλλιστα κρίνοντες, καὶ τὰς πρωτίστας τῶν ἀρετῶν ἐπιστάμενοι.

## 193. Ἀνεπίγραφος.

Ὡς περὶ συγγενοῦς πολλάκις ἀξιοῦντα μὴ περιττὸν ἡγοῦ, μὴ δὲ φορτικόν· εἰ γὰρ καὶ περιττὰ φθέγγομαι, ἀλλ' ἡ φύσις τῆς περιττολογίας αἰτία, ἣν οὐκ ἔστι μέμψασθαι, οὐδὲ πολυπραγμοσύνης γράψασθαι· ἀξιῶ δὲ προστίθεσθαί σε αὐτῷ καὶ ἐπαυξάνειν τὴν πρὸς αὐτόν σου εὐμένειαν, καὶ τὰ μέν, τιμᾶν, τὰ δέ, καὶ πλουτίζειν. Οἶσθα γὰρ ὡς ἀμφοτέρων αὐτῷ χρεία ἐστί, μᾶλλον δὲ τοῦ δευτέρου· οὐ γὰρ ἑαυτῷ ζῇ, ἀλλὰ καὶ τέκνοις καὶ γυναικί, δι' ἃ τὸν πλοῦτον τῆς τιμῆς ἐναλλάττεται.

## 194. Ἀνεπίγραφος.

Εἰσῆλθε μὲν εἰς τὴν Πόλιν ὁ ἡμέτερος συγγενὴς θεασόμενος τόν τε πατέρα καὶ τοὺς ἄλλους αὐτῷ προσήκοντας, ἐξῆλθε δὲ αὖθις ὡς ὁρᾷς, λειτουργήσων σοι τῷ κυρίῳ αὐτοῦ καὶ τὴν ὀφειλομένην ἀποδώσων τιμήν.

Μὴ θαυμάσῃς οὖν, εἰ πολλάκις περὶ τοῦ αὐτοῦ ἀξιῶ· κήδομαι γὰρ καὶ ὡς συγγενοῦς καὶ ὡς πολλῶν ἐνδεοῦς, καὶ ὡς ἄρτι εἰς βίον ἐμβάντος· διὰ ταῦτα ἀξιώσεις ἐπ' ἀξιώσεσι προσάγω σοι, πρὸς φίλον ἄνδρα διαλεγόμενος, καὶ μηδὲν τῶν ἐμῶν φορτικὸν ἔχοντα. Καὶ οἶδα μὲν ὡς αὔταρκες τὸ τῆς ἀξιώσεως τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τέλος ἀποδίδως αὐτῷ· ἀλλ' ἔστι τι καὶ τοῦ καλοῦ κάλλιον καὶ τοῦ αὐτάρκους αὐταρκέστερον, ἀναβέβηκε δὲ καὶ διάθεσις διάθεσιν, καὶ οἰκειότης οἰκειότητα· διὰ ταῦτα ἀντιλαβοῦ πλέον, καὶ διατίθεσο πρὸς αὐτὸν γνησιώτερον, ἵνα καὶ ἡμεῖς μᾶλλόν σοι εὐγνωμονήσωμεν καὶ ἐπὶ πλέον εὐχαριστήσωμεν.

## 195. Ἀνεπίγραφος.

Ἐπ' ἀδήλοις τοῖς ἐπισυμβησομένοις αὐτῷ κακοῖς τῆς σῆς ὁ πτωχὸς οὗτος δέεται ἀντιλήψεως· ὅθεν οὐδὲ περὶ ὡρισμένου πράγματος ἀξιῶ, ἵνα οὕτως αὐτῷ τὴν δίκην δικάσῃς, ἢ τὸν ἐπηρεάζοντα ἀποσοβήσῃς, ἢ τὸν γείτονα παύσῃς κακῶς πρὸς αὐτὸν διακείμενον, ἀλλ' ἐπικουρῇς καὶ ἀντιλαμβάνῃ, ὅταν τισὶν ἀνιαροῖς οὗτος τύχῃ περιπεσών.

## 196. Ἀνεπίγραφος.

Τὴν τοῦ μοναχοῦ τελευτὴν παρὰ τῆς σῆς ἀναδιδαχθέντες γραφῆς, τιμιώτατε, καὶ ἠλγήσαμεν οἷα εἰκός, φιλτάτου ἡμῖν ἀνδρὸς ἐντεῦθεν ἀποδημήσαντος, καὶ εὐφράνθημεν αὖθις, ὅτι τὴν στενὴν ὁδεύσας ὁδὸν εἰς τὴν πλατεῖαν κατήντησε καὶ εὐρύχωρον, καὶ ταῦτα, σχεδιάσας τὸν ἀσκητικὸν βίον, καὶ πόνον μὲν βραχὺν καταβαλόμενος, ἀπειροπλάσιον δὲ μισθὸν κομισάμενος· ὃ δὴ φιλανθρωπίας ἔργον προδήλως θεοῦ, τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν πονήσασι, τοῖς διημερεύσασι περὶ τὴν νοητὴν ἀμπελουργίαν, τὸν αὐτὸν διδόντος τοῦ καμάτου μισθόν.

Ἀλλ' ἐκεῖνος μὲν τοσοῦτον πονήσας τοιούτων τετύχηκεν ἀγαθῶν· ἡμεῖς δέ, κατὰ τὴν πατρικὴν ἐντολήν, περὶ ἧς ἔγραψας ὑποθέσεως, τῷ ἀνθρώπῳ διειλέχθημεν, μᾶλλον δὲ πλεῖστα τοῦτον παρεκαλέσαμεν, ἵνα τὸν δυνατὸν τρόπον τὰ ὑπὲρ ὑμῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀγωνίσηται. Ἔστω δὲ εἰδυῖα ἡ ἁγιότης σου, ὅτι λίαν ἐστὶ τὸ πρᾶγμα δυσχερές, καὶ διὰ ταῦτα τέως ἀνηρτήθη ἡ ὑπόθεσις.

## 197. Ἀνεπίγραφος.

φ. 238. | Καὶ αὖθις τεθνήκαμεν, ἀδελφὲ περιπόθητε, οὐκ οἶδα δὲ εἰ καὶ ἀνέστημεν, οὕτως ἀκριβῶς τεθάμμεθα, σὺ δέ μοι τὸν ἐπιτάφιον οὐκ ἐποίησας· ἀλλά τι καὶ ξένον ἀκούσῃ· τεθνηκότες γὰρ οὕτως ἐζῶμεν ἐπιπονώτερον, ὥς τ᾽ ἐρᾶν εἴ τις ἀναίσθητος θάνατος εἴη.

Ἐπεὶ οὖν τὸν ἐπιτάφιον λόγον ἐπέλιπες, ἴσως οὐκ ἀκηκοὼς τὸν νεκρόν, τὸν ἀνακλητικὸν ᾆσον ἡμῖν, καὶ σάλπισον εἴ τις ἐστί σοι βιώσιμος φθόγγος, θεῖος ἴσως, τί γὰρ δεῖ παρενείρειν ἡμῖν τὸν στεντόρειον; τοῖς γὰρ ἄλλως ἠχοῦσιν, οὕτως ἀκριβῶς τὰ ὦτα ἐμπεφράγμεθα, ὡς μὴ δ᾽ ὅσον ἄγνου κινουμένου αἰσθάνεσθαι· πυρετῷ γὰρ τὸ πρῶτον ἐκκείμενοι, (οἴμοι, οἷον ἐκεῖνο τὸ πῦρ, τάχα τῆς γεέννης εἰς τὴν ἐμὴν καρδίαν ἀπορριφὲν καὶ πόνοις ἀφορήτοις δαμάσαν ἐφ᾽ ὅλαις ἡμέραις ἕνδεκα), νῦν ἀθρόον καὶ παρ᾽ ἐλπίδας ἐκείνου σβεσθέντος, εἰς τὴν ἐναντίαν ἕξιν μεταπεπτώκαμεν ἐπ᾽ ἴσῃ τῇ πλάστιγγι, καὶ ζῶμεν οὐ ζῶντες, καὶ κινούμεθα μὴ κινούμενοι· ἀπειρήκασι γὰρ ἡμῖν καὶ αἱ αἶγες ἀποδερόμεναι καὶ οἱ τὰ κρείττω ὑφαίνοντες· αὐτὸ γάρ τοι τὸ ἆσθμα ἡμῶν οὕτως ἐστὶν ἀκριβῶς ψυχρόν, ὡς ἀρκεῖν πολλάκις ἀνθ᾽ ὑδάτων τοῖς πυρεταίνουσιν. Ἀπιστεῖς τοῖς λεγομένοις; εἴ τίς σοι δύναμις, καὶ βούλει καὶ προθυμῇ, ἐλθὲ καὶ θέασαι.

## 198. Τῷ Ψηφᾷ.

Πυνθάνῃ παρ᾽ ἡμῶν τὰ περὶ ἡμῶν, ἀδελφέ; οὐκοῦν ἀκούοις· ἄν, τὰ μὲν παρὰ τῆς αὐτοκράτορος βασιλίδος, τῆς θείας ὄντως

ψυχῆς, τῆς φωτοδότιδος καὶ ἀνεκλήπτου τὸ φῶς σελήνης, εἰ δεῖ καὶ τοῦτο εἰπεῖν, λαμπρά, καὶ οὔμενουν ὑπερβολὴν ἔχοντα εὐφημίας, ἐπαγγελίαι, χάριτες, πάντα προσθήκην οὐκ ἔχοντα, τὰ δέ, παρὰ τοῦ καλλίστου δεσπότου, τῆς φιλοσόφου γνώμης, τῆς καθαρᾶς συνειδήσεως, πῶς ἂν εὐφήμως συγκαλυψάμενος εἴποιμι, αὐτὸ τοῦτο φιλόσοφα καὶ πρὸς τὸν τρίβωνα. Ἀφ᾽ οἵων οὖν ἐλπίδων καταβεβήκαμεν, νὴ τὴν τριπόθητόν σου ψυχὴν πρὸς ἣν οὐδὲν ἀπόρρητον ἔχω!

Οὐδένα οὕτως τῶν πάντων ἠγάπησα ἢ ἐπήνεσα, καί τινων ἀπορρήτων πολλάκις συνεκοινώνησα, εἴπω τὸ μεῖζον, πρὸς τὸν ἐκείνου βίον τὸν ἐμὸν ἤλαυνον, καὶ φιλοσοφοῦντι συνεφιλοσόφουν, καὶ πάντα τρόπον τῶν πραγμάτων ἀπεσπώμην, ὡς οἶσθα καταβιαζόμενος· καὶ ἐπειδὴ τῶν ἀρχείων προέστη ὁ ἄνθρωπος, εὐθὺς ἐγὼ τὰς ὀφρῦς ἐσπακώς, ἐφρόνουν τι μεῖζον ὡς τῶν κρειττόνων τευξόμενος. Ὅθεν τὴν πρώτην οὐδὲν ἠνωχληκώς, ἐθαύμαζον, διότι μέλοι, ἔπειτα πλήξας εὐθὺς ἀναστομώσειν ἤλπιζον τὴν πηγήν. Ὡς δ᾽ ἔγνων ὅτι τοῦ Μωσέως ὑστέρημαι, πολλὰς προσεθέμην πληγάς, αἰσχυνόμενος, πῶς ἂν εἴποις, ἀλλ᾽ ὅμως ἔπληττον.

Ἀλλὰ σὺ μὲν ἴσως ποταμοὺς προσδοκήσεις ἀκούσεσθαι, ἴσως δὲ καὶ τὰς ἀκοὰς ἔφραξας διὰ τὸ μὴ καταβεβροντῆσθαι· ἄνες τὴν χεῖρα, οὐδεὶς γάρ σοι προσβαλεῖ ἦχος· πᾶσι γὰρ ἡμεῖς ἀκατάλληλοι, οἰκονομείοις, πτωχοτροφείοις, τοῖς ἐκ τοῦ ταμείου, τοῖς ἐκ τοῦ πρυτανείου, οἱ τὰς πρώτας ἀρχὰς πάλαι παραιτησάμενοι, ὦ γῆ καὶ ἥλιε! τῷ δὲ τοῦ παπᾶ Σαβίνου τριμήνῳ, φεῦ, προσηρμόσαμεν, οἱ τὴν Πόλιν τοῖς λόγοις κοσμήσαντες, οἱ τὴν τῆς παιδεύσεως φήμην τοῖς τῆς οἰκουμένης πέρασι παραπέμψαντες, οἱ μὴ δ᾽ ὁ,τιοῦν εἶδος παραλελοιπότες ἀσκήσεως, οἱ τῇ φύσει μόνῃ διδασκάλῳ πρὸς πᾶσαν χρησάμενοι μάθησιν, οἱ τὰ γένη τῶν φιλοσοφιῶν μόνοι τῶν πάντων, λεγέσθω γὰρ καὶ τιτρωσκέσθωσαν οἱ βασκαίνοντες, ἀκριβώσαντες, τὰ τῶν Ἑλλή-

νων, τὰ τῶν Χαλδαίων τὰ τῶν Αἰγυπτίων, τὰ τῶν Ἑβραίων, οἱ τὰς ἱερὰς βίβλους φιλοσόφως καὶ μετ' ἐπιστασίας ἐξηγησάμενοι μείζονος, οἱ τὰς τέχνας καταστησάμενοι καὶ τὰς μεθόδους λεπτύναντες, οἱ μηδὲν τῆς Ἰταλῶν σοφίας ἀπολειπόμενοι, μὴ δὲ τῆς τῶν πραγμάτων τύρβης, ἣν ἐπιστήμην οἱ πολλοί φασιν, οἱ τὸ σχεδιάζειν ἀνανεωσάμενοι, καὶ πρᾶγμα πάντη τὸν αἰῶνα ἐκλελοιπὸς τῷ βίῳ καινοτομήσαντες, οἱ διδάσκαλοι μόνοι τῶν πάντων ἐπιγραφόμενοι!

Πρὸς τὸν ἀγρόν, φίλτατε, πρὸς τὸν ἀγρόν! ἔστι γάρ μοι πρὸς ἑσπέραν βραχὺ κτησείδιον· ἐκεῖσε οὖν ἀπελθών, καταδύσομαι. Ἐρώτησον οὖν τὸν δεσπότην μου, εἰ μὴ πάνυ προσέχει τὸν νοῦν τοῖς πράγμασιν, εἰ καὶ ταῦτα ἡμῖν ἀκατάλληλα· ἔπαυλις ἔρημος, καὶ βουφορβίων αὔλια, καὶ βοτήρων καταγωγαί· πρόσθες, εἰ βούλει καὶ ταῦτα· σοφοὶ σοφοὺς ἔσωζον, ὡς λόγος, νῦν δ' ἄλλα πάντα, καὶ ἡ πίτυς ὄχνην ἐνέγκοι· ἐπὶ πᾶσι τοῦτο ἐπάγαγε· γένοιτό σοι ὁ τῆς ζωῆς ὅρος ἀνεξάλλακτος, μὴ δεηθείης ἑτέρων μηδέποτε, μὴ δὲ θυροκοπήσαις οὖς λασιόκωφον· ὡς βαρὺ τὸ πρᾶγμα, καὶ μᾶλλον ἐμοὶ καὶ σοὶ τοῖς φιλοσοφοῦσι! μὴ δ' ἐντύχοις δεσπόταις ἀγνώμοσιν, οἷον καὶ τοῦτο· ἀλλὰ μετὰ τοῦ σχήματος πρὸς οὐρανοὺς ἀναχθείης. Ἐμοῦ δέ, ἢ ἐν κρείττοσι φρόντιζε, ἢ μὴ δ' ἐν χείροσι.

Ταῦτά μοι πρὸς τὸν δεσπότην, προσπίπτων αὐτῷ, καὶ μὴ ἀνεὶς κυλινδούμενος, μέχρις ἂν τὰς ὀφρῦς ἐπινεύσῃ σοι πρὸς τὴν αἴτησιν, ἵνα μὴ δυοῖν, ὡς ὁ Θουκυδίδης φησί, διαμάρτωμεν, τοῦ τε ἀπηναισχυντηκέναι, καὶ τοῦ μὴ τετυχηκέναι. Σὺ δὲ χαῖρε τὸ τῆς ἀρχαιοπρεποῦς φύσεως λείψανον, τὸ τῆς καταφυγείσης ἀγάπης ἀκμαιότατον ζώπυρον.

## 199. Τῷ αὐτῷ.

Σπουδάζεις ὑπερβαλέσθαι με ταῖς χάρισι, δικαιοτάτη ψυχὴ καὶ ποθεινοτάτη ἐμοί, τὰ μέν, διδούς, τὰ δ' ὑπισχνούμενος· ἀλλ' ἐγὼ οὐχ ὑπερβληθήσομαι· ἐπειδὴ γὰρ τῶν ἄλλων καταφρονήσας, τοὺς λόγους ἠγάπησας, εὖ γέ σοι ποιῶν, τί γὰρ τοῦ λόγου κρεῖττον; ἐγὼ δὲ τούτων πατήρ, τὰ μέν, ἐν στήθεσιν ὠδίνων, τὰ δ' ἐν κιβωτίοις ἔχων, πῶς ἂν νικηθήσομαι παρὰ σοῦ; ὅσον γὰρ ἐξ ἡμῶν ἀπαρρύσῃ, πολλαπλάσιον αὖθις ἀπογεννήσομεν.

Ἀλλ' ὦ γενναῖε, πόσης ἄν με τιμῆς ἐπρίω, εἰ παρὰ τὸ πωλητήριον εὗρες; ἔχεις οὖν με δοῦλον, μὴ ὠνησάμενος, δοῦλον δέ, ἀλλὰ φίλτατον δοῦλον, ἐλεύθερον, τὸ μεγαλοπρεπὲς κἂν τοῖς προστάγμασιν ἔχοντα, ὑπηρετήσοντα πρὸς ἃ βούλει σπου|δαιότερον καὶ εὐνοϊκώτερον. φ. 238'.

Σύγγνωθι δέ μοι, εἴ τί σε βραχὺ ἐρωτήσας ἐρώτημα, αὖθις ἐπενέγκω βραχύτερον, πόσους ἴσους ἐμοὶ τὸ μέγα τοῦ Βύζαντος χωρίον ἐκτήσατο; ἴσως εὑρεθεὶς εἴποι τις, ὡς οὐδένα· τίνος δὲ ἄλλου οὕτως καταπεφρόνηκε, καὶ ταῦτα καὶ ἀπερυθριάσαντος πρὸς τὴν αἴτησιν, ὦ γῆ καὶ ἥλιε, καὶ τῆς βασιλίδος, τῆς χρυσῆς ὄντως ψυχῆς, εὐμενῶς ἐπινευσάσης μοι τὴν ὑπόσχεσιν; τίς δὲ τῶν πάντων εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν πάντα συνέλεξε τὰ μαθήματα μετὰ τῆς πολιτικῆς ἐπιστήμης, κἂν οἱ πολλοὶ γρύζωσιν; οὐχ ἑκοντὶ δὲ πάλαι πᾶσαν παρῃτησάμην ἀρχήν; Νῦν δέ, ἀντὶ πάντων, ὢ τῆς συμφορᾶς, τὸ τοῦ Σαβίνου μοι δίδοται τρίμηνον, ὢ συμφορᾶς ἀνυποίστου καὶ πάλιν!

Ἀλλὰ σὺ μὴ οὕτω ποιοίης, μή, πρὸς τῶν λόγων αὐτῶν, οὓς ποθεῖν ἤρξω, οἵ σε καὶ στεφανώσουσιν ἐν καιρῷ, μετὰ δικαίας γνώμης τούτους προχειρισάμενον.

## 200. Ἀνεπίγραφος.

Ὁ παρὼν οὗτος ἄνθρωπος ἐγνώρισταί μοι οὐ μετὰ τὴν συμφοράν, ἣν ἐξ ἀπροσεξίας πέπονθεν, ἀλλὰ πρὸ πολλοῦ χρόνου· πατρῷος γάρ μοι φίλος ἐστί. Τοῦτον πρὸ μὲν τῆς συμφορᾶς ἠγάπων μόνον, νῦν δὲ καὶ κατελεῶ, λογιζόμενος ὅτι εὐγενέστατος καὶ πλούσιος ὤν, πενέστερος σχεδὸν καὶ ἀδοξότερος τῶν κατ' αὐτὸν γέγονεν.

Ἀλλὰ σὺ ὁ γνωστικώτατος, καὶ τὸ τῆς τύχης μᾶλλον τῶν ἄλλων εἰδὼς ἄστατον, γνησιώτατα διατίθεσο πρὸς αὐτόν, καὶ οἰκειότερον ὁμίλει καὶ προσεχέστερον· εὑρήσεις γὰρ ἐν αὐτῷ σπορὰν ἀγαθῆς διαθέσεως, εἰ καὶ τύχαις ἀλλοκότοις ἐχρήσατο.

Οὗτος τοίνυν πάντων τῶν πατρῴων ἐστερημένος, ἀφ' ἑνὸς μόνου τὰ ἀναγκαῖα προσπορίζεται· προάστειον γὰρ Ὁδηγοὶ καλούμενον γλίσχρως αὐτὸν διοικεῖ ὅσον ἀποζῆν. Ἀλλ' εἰ μὲν ἀγαθοῦ τύχοι τοῦ δικαστοῦ, ἄρτον καὶ ὕδωρ ἐκεῖθεν κομίζεται, ἂν δὲ ἀθετεῖν εἰδότος εὐγένειαν, οὗτός τε οὐδὲν ἐκεῖθεν πορίζεται, κἀκεῖνος ἐκεῖθεν κομίζεται τὰς τροφάς· μιᾷ γὰρ ἐπηρείᾳ περιπεσών, πρὸς τὴν δευτέραν οὐκ ἐξαρκεῖ. Ἀλλὰ σὺ ὁ λογιώτατος, ὥςπερ μὴ δὲ ὂν αὐτόθι οἰόμενος, μὴ λογίζου τοῦτο ἐν ταῖς ἐπηρείαις· οὐ γὰρ ὅπως οὐκ ἐξαρκεῖ πρὸς ἐπήρειαν, ἀλλ' οὐδὲ πρὸς τὴν περὶ ταύτης ἐνθύμησιν.

## 201. Ἀνεπίγραφος.

Περὶ τοῦ παρόντος σε ἀξιῶ πτωχοῦ, περὶ οὗ πολλάκις ἑτέρους ἀξιώσας, μόλις που τετύχηκα τοῦ βουλήματος, καὶ ἠλευθέρωται ὁ ἄνθρωπος ὧν μὴ ἐλευθερούμενος ἐδυσχέραινε. Θαυμάζεις οὖν πῶς ἀξιῶ; τυχὼν πάλαι τοῦ ἐπὶ τῇ ἀξιώσει σκοποῦ, ἵνα μὴ ἀπὸ τοῦ βελτίονος πρὸς τὸ χεῖρον ἀνακάμψειε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τοιοῦτος γὰρ ὁ βίος, οὐκ οἶδα μὲν καὶ εἰ πρῴην, ἀρτίως δὲ μάλιστα, στροφὰς ἀμυθήτους στρεφόμενος κατὰ τὰς Εὐρίπων μεταβολάς. Ἀκούσας δὲ ἴσως οὗτος καὶ τοῦ περὶ τὴν ὕδραν μύθου, ἐπειδὴ πολλάκις αὐτὸ τὸ δεινὸν θηρίον φύει τεμνόμενον, ζητεῖ σε τὸν ἐμὸν Ἡρακλέα· σὺ δ' ἀλλὰ μὴ τέμης, ἀλλὰ τετμημένον τὸ μέρος κατάφλεξον, ἵνα μὴ καὶ αὖθις ὁ τῆς ἐχίδνης ἀνθήσῃ βλαστός.

## 202. Τοῦ Εὐχαΐτων [ἐπιστολὴ πρὸς Ψελλόν].

Συνουσίαν λέγεις μακάρων ἢ φωστήρων σύνοδον ἄλλων, οἷς ἡ κρείττων ὄψις ἀνάπτεται, ἐπὰν ἀτεχνῶς καὶ καθαρῶς ἐπιβάλοι· τοῦτο γὰρ ἡμῖν ἄντικρυς ἡ τοῦ σοφοῦ πρὸς τὸν ἅγιον, ἢ τοῦ ἄμφω πρὸς τὸν ἀμφότερον συνδρομὴ καὶ συνέλευσις· ζηλωτὸς μὲν οὖν ἑκάτερος ἔμοιγε καὶ αὐτὸς ἑαυτοῦ, ζηλωτότεροι δὲ καὶ δι' ἀλλήλους ἀμφότεροι· καὶ ἀτεχνῶς μὲν μακάριος ὁ τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος προϊόντων λόγων ἐπήκοος, δι' οὗ θεὸς φθέγγεται, καὶ πνεῦμα σοφίας ἐπιχορηγεῖται καὶ γνώσεως, μακάριος δὲ καὶ ὁ των πρώτων πηγῶν τῆς ἀνωτάτω μετέχων φιλοσοφίας, καὶ τῶν ἀποθέτων ἐκείνης καὶ κρυφίων ἀντλῶν.

Οὐρανῷ δὲ μιγνύειν ὅ φασι γῆν, καὶ χοῒ φύρειν νοῦν, μὴ καὶ ἄτοπον εἴη, καὶ τῶν παρ' ὑμῖν κρινομένων ἀσυμπεράτων; ὅπερ ἔγωγε τίθεμαι. Τὸ δὲ ἡμῶν τινα λόγον τοὺς ὑπὲρ ἡμῶν ὑμᾶς τίθεσθαι, ὡς αὐτὸς γράφων πείθεις, ἀλλ' ἐπεί περ ἀμήχανον οὐδὲν δοκεῖ τοῖς σοφοῖς, δεδόσθω καὶ δεδόχθω τοῦτο· ὡς οὐδὲν ἐμοὶ τῶν ἁπάντων εὐτύχημα, κατὰ ἄνθρωπον λέγω, τῆσδε τῆς εὐκληρίας, ᾗ καὶ θαυμαστῶς ὑπερχαίρω, καὶ πολλὴν οἶδα χάριν τῶν κρειττόνων τούτων τοῖς κρείττοσιν.

Οὕτως οὖν διὰ τέλους ἔχοιτέ μοι καὶ ἕξοιτε, καὶ πολλάκις

τοιαῦτα καὶ ἐπὶ τοιούτοις συγγίνοισθε, θεοῦ τὴν ἀρίστην ὁμιλίαν ἐπευλογοῦντος καὶ εἰς πέρας αἴσιον ἄγοντος οὐ τὴν κοινολογίαν μόνον ἡμῖν, ἀλλὰ καὶ τὴν κοινοπραγίαν, ἥτις παρέποιτο.

Ἐναπλίτα (*) σοι ἐστάλησαν καὶ ὀρτάριον ζυγὸν δύο.

## 203. Τὸ πρὸς αὐτὸν ἀντίγραμμα τοῦ Ψελλοῦ.

Εἰ μὲν τῆς σοφιστικῆς προΐστασο τέχνης, καί, θειότατε πάντων ἀνδρῶν καὶ ἐμοὶ τιμαλφέστατον ἀρετῆς ἄγαλμα, ἐκεῖθεν ἄν σοι ᾠήθη τὴν πρὸς ἐμὲ κεχρῶσθαι ἐπιστολὴν μετὰ συμπάσης τεχνικωτάτης καὶ πιθανωτάτης δυνάμεως· ἐκ διαμέτρου γὰρ πρὸς τὴν ἀλήθειαν τοὺς λόγους ποιούμενος, ὅμως ἄφατόν τινα πειθὼ τοῖς λεγομένοις καθίδρυσας.

Εἰ μὲν οὖν οὕτως εἶχε παρασκευῆς, τούτων ἄν σοι τῶν πάντων ἠτιασάμην· ἐπεὶ δέ σοι φιλοσοφία τὸ πρεσβευόμενον, ἑτέρα ὑπερτέρᾳ σοφίᾳ, λέγω δὴ τῇ καθ' ἡμᾶς θεωρητικῇ κοσμουμένη καὶ τὸ σεμνὸν ἔχουσα, ἧς ἔργον ἡ ἐν τοῖς λόγοις ἀλήθεια, ἐκείνης μέν σε τῆς αἰτίας ἀπάγω, ἑτέρας δὲ γράφομαι, ἣν ὁ μὴ φεύγων ἀλγεῖ, εἰ μή τις κοινοπαθής ἐστι καὶ φιλάνθρωπος.

Τίς οὖν αὕτη; τυφλώττεις, ἀδελφέ, περὶ τὸ φιλούμενον, λίαν φιλῶν, καὶ τοσοῦτον ὁρῶν, ὅσον μὴ συμμέτρως ἔχειν πρὸς τὸ ὁρώμενον, ἀλλ' ὑπερβαίνων τὸ προδεικνύμενον, καὶ οὐκ ἔλαττον ἔχων τοῦ θεατοῦ τῇ ὑπερβολῇ τῆς ὁράσεως.

Οἷον γάρ σου τὸ περὶ ἡμᾶς τόλμημα! τῶν μὲν τῆς φιλίας κρατήρων ὑπερχυθέν, πρὸς δὲ τὴν ἀλήθειαν, πλείστην ὅσην φέρον τὴν ἐναντίωσιν. Δυοῖν γὰρ φωστήρων, μείζονος καὶ ἐλάττονος, τοῦ τε κρείττονος καὶ τῆς σῆς ἀρετῆς τε καὶ φύσεως, τὴν ἐμὴν σκιὰν μέσην παρεμβαλών, ὁμοῦ τε ταύτην εἰς αἴγλην

(*) Ἐν τῷ χειρογράφῳ φέρεται ὁμοίως καί, ἐναπλίτους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀνῆψας, καὶ ἐν ἴσῳ τέθεικας τῷ πρώτῳ φωτί, καὶ πρὸ τῆς πλάσεως τοῦ μεγίστου τῶν ὀνομάτων ἠξίωσας· τὴν δὲ σὴν ἀκήρατον τῷ ὄντι . . . [τὸ τέλος ἐλλείπει].

## 204. Πρὸς τὸν αὐτὸν [Πόθον τὸν βεστάρχην] ἐρωτήσαντα, ποῖος ἐγκωμίων κρείττων. φ. 54'.

Ἠρώτησας, εἴ τις μὲν ἐγκωμίων κρείττων ἐστίν, εἴ τις δὲ χείρων ἢ ὥς τε δυσφημίας τυχεῖν· πρὸς τοῦτο γοῦν συντόμως σοι ἀποκρίνομαι, τὸ μέν, τῇ κοινῇ ὑπολήψει διδούς, τὸ δέ, τὸ φανθὲν ἐμοὶ μετὰ καὶ πλειόνων ἑτέρων δοξάζων. Ἐγκωμίων μὲν κρείττων, μόνος θεός· οὗ γὰρ ἡ τῶν ἀρετῶν οὐκ ἐφάπτεται δύναμις, τούτῳ πῶς ἄν τις προσαγάγῃ ἐγκώμιον; ὁ γὰρ ἐγκωμιάζων, ἵνα μὴ τὰ ἐκτὸς λέγω, ἐκ τῶν περὶ τὰς ἀρετὰς ἀφορμῶν τὴν εὐφημίαν συναγείρειν εἴωθεν, ἥττων δέ, ἢ ὥς τε ψόγον λαβεῖν.

Ἀποφαντικώτατα εἴποιμι, ὁ μητροπολίτης Ταρσοῦ, ἄνθρωπος πάσης μὲν κακίας ὑπερβεβηκὼς μέτρα, πάσης δὲ παρανομίας ἐλάττων γενόμενος. Ἡ μὲν οὖν παροιμία θεόν φησι τὴν ἀναίδειαν, ἢ κατ' εὐφημισμὸν τοῦτο λέγουσα, διὰ τὴν τῆς κακίας ὑπερβολήν, ἢ τὸ πάντα τὸν ἀναιδῆ δύνασθαι διὰ τὴν τῆς ἀναισχυντίας ὑπεροχήν. Ὁ δέ γε ἀνὴρ οὗτος, καὶ ὑπὲρ αὐτὴν τὴν λεγομένην ἀναίδειαν τὴν οἰκείαν στήσας ψυχήν, οὐδὲ τὰ πρὸς τοὺς δαίμονας δέξαιτ' ἂν σύγκρισιν, οὓς ὅ τε λόγος καὶ ἡ πεῖρα τοῖς ἀκριβεστέροις ἀναιδεστέρους ἀπέδειξε.

Λέγω δὲ ταῦτα, οὐκ ἄλλων λεγόντων ἀκηκοώς, ἀλλ' αὐτὸς ἀκριβέστερον τούτῳ ἐνατενίσας, καὶ τὸν ἐκκείμενον αὐτῷ βασιλίσκον, ἵνα μὴ λέγω ἐγκείμενον, καταμαθών. Ὅτι μὲν γὰρ καὶ τὸ ἀπόθετον αὐτῷ κακὸν τοιοῦτόν ἐστιν, οἷον μὴ ἂν ἄλλῃ χορηγηθῆναι ψυχῇ, οὐδεὶς τῶν πεπειραμένων τοῦ ἀνδρὸς ἀγνοεῖ·



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸ δ' οὖν φαινόμενον, ἀλλ' ἐπεὶ μὴ δύναμαι ἐξ ὁμοιότητος τοῦτο ἀκριβώσασθαί τε καὶ παραστῆσαι, ἀντιθέτως ἐρῶ· ὅπερ γάρ ἐστιν ἄστρασιν ἥλιος καὶ τῷ μεγέθει τοῦ κύκλου καὶ τῷ ἀπείρῳ ὑπερβάλλων φωτί, τοῦτο πρὸς τοὺς ἀναιδεῖς δαίμονας ὁ μητροπολίτης ἐστί· τοσοῦτός ἐστι τὴν κακίαν, καὶ οὕτω τῶν χειρόνων τῇ φύσει κεκράτηκε.

Τὸ μὲν οὖν λέγειν ὅθεν τε καὶ ἐξ οἵας τύχης, τρόπῳ τε οἵῳ εἰσεφθάρη τῇ ἐκκλησίᾳ, καὶ προεδρίας ἠξίωται, ὅσα τε αὐτῷ μετὰ ταῦτα τετόλμηται, ὅπως τε ἐξ αὐτῆς ὅ φασιν ἑστίας κακουργεῖν ἤρξατο, κατὰ τοῦ χειροτονήσαντος τοῦτον λελυττηκὼς ἀνδρός, ὃν ἡ μὲν μεγαλόπολις αὕτη οἷα φωστῆρα προήνεγκεν, ἡ δὲ Ἀντιόχεια τῶν ἀκτίνων ἀπήλαυσε, καὶ ὡς δι' ἁμίλλης αὐτῷ ἐληλύθει, καὶ τὸ πέμπτον ὅ φασι μέρος τῶν ψήφων μὴ λαβών, διακενῆς κατ' αὐτοῦ μεμελέτηκε, τὰ μέν, ἀνέδην καὶ ἀναιδῶς βλασφημῶν, τὰ δέ, ὥσπερ ἐν σκηνῇ τοὺς κακουργοτάτους τῶν ἀνθρώπων ὑποκρινόμενος, ἄλλα τε εἰ τούτοις προστίθημι πλείονα, ἐλάττω πάντα τῆς τοῦ ἀνδρὸς κακοηθείας ἐστί· κἂν εἰ πᾶσάν τις ἄλλην κακίαν τούτῳ συνέλοι, ἀσύγκριτος σύμπασα πρὸς τὴν τῆς ἐκείνου μοχθηρίας ὑπερβολήν· αὐτίκα δὲ
φ. 55. αὐτόθεν ὁρώμενος ἀκριβὴς εἰκὼν τῆς τοῦ ἀντιχρίστου | παρουσίας ἐστί· τοσοῦτον αὐτῷ καὶ ἡ ὄψις ἀπηναισχύντηκεν, ἡ δὲ γλῶττα, ὥστε, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, τολμᾶν φλυαρεῖν καὶ μεγαλαυχεῖν, τὸ θεῖναι ἐπὶ τῶν νεφελῶν τὸν θρόνον αὐτοῦ καὶ ὅσα τῆς τοιαύτης βλασφημίας ἐστίν.

Οἶδα μὲν οὖν ὅτι ληροῦσιν Ἕλληνες ἀνθρώπεια σώματα ἐκ δαιμονίων ψυχοῦντες φύσεων, ἀλλ' οὗτος τὸν λῆρον εἰς ἀλήθειαν ἐκβιάζεται.

Μὴ ὁμίλει οὖν τῷ ἀνδρί, μὴ θίγε, μὴ κοινώνει τραπέζης, μήτε ἁλῶν, μήτ' ἄλλων, κἂν εἰ τὸν θεῖον δίσκον μετὰ τοῦ ἱεροῦ ποτηρίου μεταχειρίζοιτο, ἀλλὰ καὶ ἐκ διαστημάτων ἀφίστασο· λοιμός ἐστιν ἄντικρυς· μὴ διαδόσιμός σοι ὁ μολυσμὸς

αὐτῷ γένοιτο. Εἰ μὲν οὖν οὔπω τῷ Ἀντιχρίστῳ καιρός, οὐκ οἶδα σαφῶς, ὅτι δὲ οὗτος δαίμων αὐτόχρημα, ἀπλανῶς κατανενόηκα.

205. Εἰς τὸν δουγγάριον τῆς βίγλης κῦρ Κωνσταντῖνον φ. 61.
τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ τοῦ Ἀριστοτέλους λογικὸν Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές.

Δεύτερον τοῦτον ἆθλον ἐπιτάττεις βαρύτατον, φίλτατε πάντων ἐμοὶ καὶ σοφώτατε, τὴν τῶν Ἀριστοτελικῶν συγγραμμάτων ἐπὶ τὸ σαφέστερον μεταποίησιν, οὐκ οἶδ' ὁπόθεν, τῆς ἡμετέρας περὶ τὸ λέγειν δυνάμεως στοχασάμενος, ἢ ἐξ οἵων πρῶτον λογικῶν γεννημάτων, οὐδὲ τὸ πρὸς τοῦτον τὸν τόκον ἀπογινώσκειν ἡμᾶς, ὃν αὐτὸς μόνος Ἀριστοτέλης κυήσας ἂν καὶ ἀπέτεκεν; Εἰ μὲν γάρ, ἐξ ὧν πολλάκις ὁμοῦ συλλαμβάνομέν τε καὶ ἀποτίκτομεν τὰς γονὰς σχεδιάζοντες, τὴν γεννητικὴν ἡμῶν ἐχαρακτήρισας δύναμιν, τῷ κώνωπί φασιν ἀπεικάζεις τὸν λέοντα, καὶ τάχα ἂν καὶ τὸν πίθηκον ἐλέφαντα γεννῆσαι κατανιγκάσειας· εἰ δ' ἀπό τινός φησι γνωμονικῆς ἐπιστήμης ἀπὸ σωμάτων φερούσης ἐπὶ ψυχὰς τὸν ἡμέτερον κατείληφας νοῦν, οὕτω ποριμώτατον ἐπὶ τὴν λογικὴν γένναν καὶ εὔτονον, ὡς πρὸς μὴ δ' ὁ,τιοῦν ἀποστερεῖσθαι ὥστε ἀνεμιαῖον ἀποτεκεῖν, τοῦτο μὲν τῆς σῆς ἔστω ἀγχινοίας τε καὶ ὀξύτητος καὶ τοῦ λεπτοτάτου νοός, ᾧ μηδέν ἐστιν ἐμποδὼν σῶμα κείμενον πρὸ ψυχῆς, εἰ μή γε μᾶλλον καὶ ὁδηγὸν πρὸς τὰ ἐναντία τούτων καὶ ἄδυτα.

Ἡμεῖς δὲ ἐν μὲν σαπφείρῳ πολλάκις ἀνεστήσαμεν κολοσσόν, καὶ ἐν ὄνυχι πυραμίδα ἠγείραμεν, πρὸς ἐνίους τὴν τέχνην ἐπιδεικνύντες· οὔπω δὲ ἐν Πανελληνίῳ θεάτρῳ τοιοῦτόν τι διωργανώσαμεν, οὐδὲ ἐν ὕλῃ χωρούσῃ τῆς τέχνης τὸ μέγεθος |, ὡς φ. 61v.

τε καθαρώτατα φανῆναι καὶ τὰς ἀρχὰς καὶ τὰ σχήματα, καὶ θεῖναι μὲν τὰ ἔργα πρὸς ἥλιον, μὴ πεσεῖν δὲ ἐκτὸς τὴν σκιάν, ἀλλ' ἀπανασωθῆναι ταύτην τῷ ὑφεδράσματι.

Οὐκ οἶσθα δέ, ὡς πολὺ χαλεπώτερον τοῦ τίκτοντος λόγον, τὸ τὸν ἑτέρου τόκον ἀφ' ἑτέρου εἰς ἕτερον ἀλλοιῶσαι εἶδος, ὥς περ τοῦ κύκλον ποιοῦντος τὸ τὸν πεποιημένον τετραγωνίσαι, ὡς τὰς πλευρὰς ἰσάζειν τῇ περιμέτρῳ, καὶ τοῦ κῦνα γλύψαντος λίθῳ τὸ εἰς Ἑρμῆν μεταβαλεῖν τὸ γεγλυμμένον κυνίδιον; Εἰ οὖν τὰ τοῦ φιλοσόφου συγγράμματα καὶ κατὰ τὴν ἐξ οὐκ ὄντος γέννησιν ἀπαράμιλλα μεταμείψομεν, ποῦ τὴν μεταποίησιν θήσομεν, ἢ ποίας τάξεως ἀξιώσομεν; πολὺ γὰρ ταύτην ἐκείνης ὁ λόγος ἐργωδεστέραν παρέστησεν.

Ὁρᾷς εἰς οἵους ἄθλους ὁ Εὐρυσθεὺς σὺ τὸν πολλοστὸν Ἡρακλέα καταναγκάζεις ἐμέ, οὐχὶ τῆς Αὐγέου αὐλῆς τὴν κόπρον ἀποφορτίσασθαι, ἀλλὰ τὴν τοῦ φιλοσοφίας μύρου ἱερὰν ὀσμὴν εἰς ἑτέραν μεταλλᾶξαι ποιότητα, καὶ τὰ χρυσᾶ τῶν Ἑσπερίδων μῆλα, τὸν τῆς θυραίας φιλοσοφίας καρπόν, εἰς τοῦτο γὰρ ἐμοὶ τείνει τὸ τῶν Ἑσπερίδων ὄνομα ὡς πρὸς τὴν ἡμετέραν τοῦ λόγου ἀνατολήν, εἰς ὕλην μεταμεῖψαι καλλίονα, καὶ ἀναστῆσαι τὴν Ἄλκηστιν, τὴν φιλόσοφον ἔννοιαν τῇ τῆς ἀληθείας κεκαλυμμένην σκιᾷ; Ἀλλὰ τίς ἀποκινήσει τὸν λῖθον, εἰ μή τις θειοτέρας εἴη τυγχάνων φύσεως; τίς δὲ ἐμπνεύσει τοῖς ἀπεψυγμένοις ὀστέοις ψυχήν, ἢ τῷ ἀρτιθανεῖ τῆς Σαραφθίας υἱεῖ τὸ μετριώτατον;

Ἄλλος μὲν οὖν εἴη περὶ ταῦτα καὶ ὁρμητίας καὶ τολμηρός, ἐμοὶ δὲ ὁ ἐγκρυφίας ἄρτος ἀρκείτω, καὶ τὸ παρ' ἑτέρας τραφῆναι χειρός· τῶν δὲ θαυμάτων ἀγγέλῳ καὶ Ἠλίᾳ παραχωρῶ, καὶ τῇ σῇ, ἀλλὰ μὴ βάλοι σε φθόνου βέλος, περὶ τὸ λέγειν δυνάμει καὶ φύσει. Οἶμαι δὲ καὶ τὸν Ἀλκμήνης υἱὸν τοιαῦτα πολλὰ λέγειν πρὸς Εὐρυσθέα κελεύοντα, καὶ μάλιστα ὅτε κατὰ τῆς ὕδρας ἐπέμπετο· δεινὸν γὰρ ἦν, δυσμεταχείριστον τὸ θη-

ρίον, τῷ τε κύκλῳ φῦναι τὰς κεφαλὰς καὶ τῷ μὴ νεκροῦσθαι τὰς ἄλλας τῆς μιᾶς τεμνομένης, ἀλλὰ κἀκείνας ἐνεργεῖν καὶ τὴν τμηθεῖσαν αὖθις ἀναβλαστάνειν· ἀλλ' ὅμως οὐκ ἔφυγε τὸν ἀγῶνα, ἀλλ' ἐποίει κατὰ τὸ ἐπίταγμα· ἀλλὰ τῷ μὲν κυνὶ καὶ τῷ κάπρῳ μόνος προσέβαλλεν, ἐπὶ δὲ τὴν ὕδραν τὸν Ἰόλεων παρεκάλεσε, καὶ τοῦ μὲν τέμνοντος, τοῦ δ' ἐπικαίοντος, τὸ θηρίον ἀνήρηται.

Ἐπεὶ οὖν καὶ Ἀριστοτέλης κατ' οὐδὲν τῆς παλιμφυοῦς ὕδρας ἐλάττων ἐστίν, εἰ μὴ καὶ μείζων τὴν δύναμιν καὶ χείρων τὴν μεταχείρισιν· ἐκείνῃ μὲν γὰρ ἴσαι πᾶσαι αἱ κεφαλαί, τούτῳ δὲ καὶ πλείους αἱ δόξαι τοῦ αὐτοῦ πράγματος καὶ ἀνόμοιαι· ἐπεὶ οὖν καὶ ἴσος, καὶ κρείττων, καὶ χείρων, τὸ μέν, τῷ πλήθει τῶν δοξῶν, τὸ δέ, τῇ δυνάμει, τὸ δέ, τῇ δοκούσῃ ἔν τισι δὲ καὶ οὔσῃ διαφορότητι, καὶ οὐδὲν ἧττον ἀληθεύομεν περὶ τῶν αὐτοῦ ἐναντίως φθεγγόμενοι, δεῖ κἀμοὶ συνεργοῦ ἐπὶ τὸ ὑδραῖον τοῦτο κακόν· τῆς ῥεούσης γὰρ καὶ αὐτὸς φύσεως, τί μ' ἀθανάτοισιν ἐΐσκεις; Ὁ μὲν Ἡρακλῆς πρὸς τὸν Εὐρυσθέα οὐκ εἶχε καταφυγεῖν, οὔτε γὰρ ἐκεῖνος τοιοῦτος τὴν δύναμιν, οὔτε οὗτος μικρᾶς τῆς προσθήκης ἐδεῖτο, καὶ διὰ ταῦτα παρελαμβάνετο ὁ Ἰόλεως· ἐγὼ δέ σοι τῷ ἐμῷ δυνάστῃ καὶ ἐπιτάττοντι πείθομαι, καὶ μόνον ἀρκεῖν ἡγοῦμαι περὶ τὴν σύλληψιν· εἰ δ' οὐ φιλοκίνδυνος, οὐδὲ αὐτὸς ἀναγκάσω ὥς τε καὶ χεῖρας ἐπιβαλεῖν τῷ θηρίῳ.

Οἶσθ' οὖν ὃ ποιήσεις; ὅ φασι πολλάκις τὸν Δαίδαλον. Ἐκεῖνος μὲν γάρ, ἐπειδὴ τὴν τέχνην εἰς ἄκρον ἠκρίβωσεν, ἀποτόμοις λίθοις οὐκ ἐπεχείρει, ἀλλ' ἑτέροις τοῦτο παρεκελεύετο· ἐπὰν δὲ ἐκεῖνοι ἔκοψαν τὸν λίθον καὶ ἐσχημάτισαν, οὕτως παραλαμβάνων μετεχειρίζετο. Ἐγὼ μὲν οὖν σοι ἀπὸ τοῦ ἀκροτόμου ὄρους ἀπορρίψας τὴν πέτραν λαξεύσω τε καὶ διατυπώσομαι, σὺ δὲ τοὐντεῦθεν παραλαμβάνων ὁ Δαίδαλος, ἐπιτεχνῶ καὶ περίγλυφε· πάντως γὰρ οὐ χείρων εἶ τοῦ τῶν Ἑλλήνων θεοῦ, κἀκεῖνος

γὰρ τὸν Διόνυσον ἀμβλωθρίδιον τῷ μηρῷ ἐρραψάμενος, ἐμόρφωσε καὶ ὡραῖον ἀπέτεκε.

φ. 62ᵛ. 206. Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα.

Ἀλλὰ ποίας ταῦτα φιλοσοφίας, λογιώτατε ἀδελφέ; εἴ γε δὴ πρὸς φιλόσοφον, ἀλλὰ μὴ κάπηλον ἀντιφθέγγομαι, ᾧ καὶ μᾶλλον ξυντίθεμαι, εἰ μή με καταμέμφοιο, οἷα δὴ μὴ φιλόσοφος, ἀλλὰ μᾶλλον καὶ κάπηλος· τῆς Χαλδαίων; ἀλλ' οὐδέν τι τοιοῦτον ἐκείνη φθέγγεται· ἢ τῆς ἑτέρας ἧς σὺ μακρὰν ὑπάρχεις, κἂν προσπελάζῃς ἐνίοτε τῇ γλώττῃ, κἂν μὴ τοῖς πράγμασι, πᾶσαν τέχνης ἐξησκηκέναι μετὰ τῆς ἐπιστήμης μεγαλαυχῶν; νοῦ δὲ ποίου Πλατωνικοῖς κρατῆρσιν ὅλως ἐμβάψαντος; εἰ μὴ κἀνταῦθά τις εἴποι, ἀλλὰ παρείσθωσαν οἱ λέβητες καὶ τὰ μαγείρων μαγγανεύματα καὶ κομψεύματα, οἵ τε δυσὶ κυπέλλοις οὐκ ἐξ ὑέλου, ἀλλ' ἐκ χοὸς ἴσως πεπλασμένοις ἄκροις δακτύλων εὐφυῶς πως οἰνοχοοῦντες τὸν δῆμον, ἥ τε καλοῦσα πάντας φωνὴ καὶ ἡ ἐπανατεινομένη θαμὰ καὶ αὖθις καταγομένη, καὶ τοσαυτάκις ἐπιρριπιζομένη καὶ αὖθις ἐπαναλύουσα, καὶ τὸν ψόφον ἀποτελοῦσα καὶ τοὺς πολλοὺς συγκαλοῦσα μετὰ ὑψηλοῦ τοῦ κηρύγματος, ὡς ἂν εἴπῃ τις καπηλικὴ μάχαιρα· ὧν σὺ προστάτης καὶ πρόμαχος, ὁμοῦ τε ἐχθρὸς καὶ ἐκδικητής, καὶ νόμων ἴσως συμπονικῶν καὶ θεσμῶν ἐπαρχικῶν . . . ἄλλος φύλαξ ἀκεραιότατος, ἵνα μή σου τὸ κῶλον σκυτάλῃ μαστιγωθείη· οἷα δὴ καθεκάστην . . . α. Οὐχὶ Πλάτων ἐρωτηθείς, οὗ σὺ διδάσκαλος δηλαδή, ἓν εἰδέναι μόνον [εἶπε ? τὸ μη]δὲν εἰδέναι, ὦ τρικάπηλε σύ; ἐρεῖς πάντως γε καὶ αὐτὸς καὶ πῶς ὦ θαυμάσιε, . . . γνῶσιν ἐσχηκέναι διομολογεῖς, οἷα δή τι γένος ἐξαίρετον, καὶ οὐχ οἷον

φ. 63. ἡμεῖς οἱ | κατ' εἰκόνα θεοῦ γεγονότες καὶ καθ' ὁμοίωσιν, αὐτὸ

δὲ τοῦτο φιλοσόφου πόῤῥω ψυχῆς, καὶ διαλεκτικαῖς μεθόδοις καὶ λόγοις γεγυμνασμένης.

Ἀλλ' ὦ, τίνα ποτὲ φθέγξομαι ῥήματα, κρίματα δὲ λαλήσω θεέ μου, πρὸς σέ; ὅτι διψῶσαν φιλοσοφίαν οὐχ ὕδασιν οὐρανίοις ἐκόρεσας, ἀλλὰ καπηλείοις καὶ μαστροπείοις ἐγκυλινδεῖσθαι πεποίηκας; καὶ τρυγῶσιν αὐτὴν νῦν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν, καὶ τὴν μὲν ψυχὴν τῷ σώματι κατοικιζομένην μέλη θεῖα κατάγουσι, καὶ μουσικῶν ἢ ἁρμονικῶν λόγων πληροῦσι καταβιβάζοντες, τὴν δέ γε φιλοσοφίαν ὥς τινα θῆτα, εἴτε θεράπαιναν προσαῖτιν ἱστῶσι καπηλικαῖς κιγκλίσιν, οἴμοι καὶ πορνικαῖς. Ἀλλὰ τοῦτο δὴ τὸ ῥῆμα, οἷά τινα δαλὸν ἐξημμένον ἀνὴρ δεξάμενος κάπηλος, ὕλην ἑαυτῷ ἀπολογιῶν ἀκαίρων ἴσως ποιήσαιτο.

Ἀλλ' ἀκούσατέ γε τὸ ἑξῆς· ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν, ὁποῖον πάντες ἐγνώκαμεν σὲ τὸν τοὺς νόμους ταύτης παραχαράττοντα καὶ τῆς ἀληθοῦς σοφίας οὐδ' ἴχνος κατανοήσαντα.

Ἀλλ' ὦ κάπηλε, μεταβέβλημαί σοι νῦν ἀθρόον καὶ μεταλλάττομαι, καὶ φιλόσοφόν σε ὀνομάζω καὶ μὴ βουλόμενος· τουτὶ γὰρ διαγορεύων τὸ ἐπιστόλιον· ἐπιστόλιον γὰρ τοῦτο καὶ γραμμάτιον εἰκότως ἀποκαλῶ, οὐχ ὥσπερ Ἀριστοτέλης οἴεται περὶ τῆς ψυχῆς, ἄγραφον ταύτην γραμματεῖον κατονομάζων, ἄνωθεν παρὰ τοῦ νοῦ γραφομένην καὶ τὰ εἴδη τῶν ὄντων λαμβάνουσαν, ἀλλ' ὅτι πρὸς τὰς σὰς ἀκεραιότητας ἀφορῶν, τοῦτο δὴ τὰς ἐμὰς ἐπονομάζω γραφάς· παπαδούλιον δὲ ἦν τὸ τὸ σχεδιάζειν προτραπὲν παρ' ἐμοῦ, εἰ καί τις πάντα σου τὸν βίον ἐξεπιστάμενος. Ἐρεῖς διατί; κἀγώ σοι ἀνταποκρίνωμαι.

Ὁ τῶν χριστεμπόρων ἐξάρχων, ὃν δὴ Σύμπονον καλεῖν ὑμεῖς ἐπαιδεύθητε, φίλος μοι πέφυκεν, οὐ νῦν πρώτως, ἀλλὰ καὶ πρίν, ὅτε μήπω τούτῳ κατωνομάζετο τῷ ὀνόματι, ἀλλ' ἐκ τοῦ ἤθους καὶ τῆς σεμνότητος καὶ τῶν ἄλλων πάντων τοῖς πᾶσιν ἐγνώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ριστο· ἧκεν οὖν οὗτος ἐξκουσείας ἡμᾶς ἀπαιτῶν καὶ ἀπαλλαγὴν τῶν ὧν ὑμεῖς ἀκριβῶς ἴστε βαρῶν· ἀλλὰ τί ταῦτα; ἠρίθμει γοῦν μοι καὶ τὰς τραπέζας καὶ ὀνόματα ποτηρίων τοῦ σοῦ πατρὸς ἀνεδίδασκε, τὸ θηρίκλειον, τὸ δακτυλωτόν, τὸν κώθωνα, τὸν Ἡρακλέα, τὸν ἐλέφαντα· ὀνόματα δὲ ταῦτα μεγίστων ποτηρίων, φιλόσοφε, καὶ οὐ ζώων, ὡς σύ γε οἴει ὁ μὴ δὲ ταύτην τὴν ἐπιστήμην ἀκριβωσάμενος, ἀλλ' ἀμβλὺς πρὸς πάντα γενόμενος· τὸ ἡμίτομον, τὴν ἀμαστίδα, τὴν ἡδυπότιδα, τὸ κισσύβιον, τὴν λεκανίδα, τἆλλα τὰ σοὶ γνώριμα.

Ἀπέφραττον γοῦν πρὸς πάντα τὰς ἀκοάς· ὁ δέ μοι τὰς ἀρρήτους δυνάμεις ἐξώμνυε καὶ μὴ ἰδεῖν θεοῦ κατηύχετο πρόσωπον, εἰ μή γε τούτῳ τὰς ἀκοὰς ὑποκλίνοιμι. Καὶ Ἀλέξανδρος μὲν ἔλεγεν ὅτι θἄτερον τῶν ὤτων ἀπέφραττεν, ὁπότε δή τις καθ' ἑτέρου τὴν γλῶτταν ἐξώπλιζε, σοὶ δέ μοι ἀμφοτέρας καὶ μετὰ προσοχῆς πολλῆς πάρασχε, μέλλω γάρ σοί τι θαυμάσιον διηγήσασθαι καὶ τοῖς πολλοῖς ἴσως οὐ γινωσκόμενον. Ἦν τις θεράπαινα τῷ τούτου πατρί, Σοφία παρὰ τῶν γεννητόρων ὠνομασμένη· ταύτην οὗτος ὥς τι χρῆμα θεῖον ἐσέβετο, καὶ πυκνά πως, πολλῶν παρόντων, περιεπτύσσετο, καὶ οὐκ ᾐδεῖτο τὸν ὄχλον· ἐκ γοῦν τούτου τοῦ δράματος Φιλόσοφον τοῦτον ὠνομάκασιν οἱ πολλοί, ὡς τὴν Σοφίαν φιλοῦντα, οὔ φημι τὴν ἐν λόγοις, ἀλλὰ τὴν ἐν συνουσίαις ἐνηδομένην καὶ πράξεσιν ἀπηγορευμέναις.

Κἀγὼ σέσηρα, νὴ τὸν κάπηλον σέ, καὶ τὴν κεφαλὴν βραχύ τι κατένευσα καὶ ταῖς ὀφρύσι καὶ τοῖς ὄμμασι τὴν ἀλήθειαν ᾐνιξάμην, κἂν ταῖς τοῦ προσώπου περιστροφαῖς τὴν συγκατάθεσιν ὡμολόγησα.

Ἀλλά γε δή, ὦ φιλόσοφε, χρησμολόγε δὲ μᾶλλον εἰπεῖν, κάλλιον διαλεξώμεθα πρὸς ἀλλήλους· τὸ τῆς οὐσίας ὄνομα ὑπάρξεώς ἐστι παραστατικόν, ἢ ἑνώσεως, καὶ ταὐτὸν ὕπαρ-
φ. 63'. ξις καὶ οὐσία, ἢ ἕτερον παρὰ ταύτην; καὶ πῶς | [Πλάτων] ἐν

μὲν Τιμαίῳ ἁρμονίαν εἶναι τίθεται τὴν ψυχήν, ἐν Φαίδωνι δὲ ἐπιρραπίζει τὴν τοιαύτην δόξαν; καὶ ποῦ τὸ κακὸν τακτὸν ἡμῖν, καὶ πῶς γεννητή τε ὁμοῦ καὶ ἀγέννητος ἡ ψυχή; Ἀλλὰ ταῦτα μὲν πρὸς φιλόσοφον, πρὸς δὲ τὸν χρησμολόγον σέ, τί ποτε ταῦτα τὰ ἐπιδήμια βούλεται, τὰ ἐνύπνια ἐν ὕπνῳ κεῖται, καὶ ὅ, τι ἐν ἑπτὰ κινέεται, τοῦτο ἐν τριπλασίοισι τελειοῦται, καὶ ὅ, τι περ ἐν ἐννέα, τοῦτο ἐν τριπλασίοισι; Εἰ δέ τι καὶ ἕτερον βούλει, προθύμως λέξω πρὸς σέ, ἀλλ' οὐ χρὴ πολλὰ πρὸς κάπηλον φθέγγεσθαι, ἀλλ' ἢ μόνον ὑποδεικνύειν τὸν ὀβολόν, κἀκεῖνος εὐθὺς ἕψεται.

## 207. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ τὸν Κηρουλάριον. φ. 156.

Σὺ μὲν ἴσως, ὦ πατέρων ἐμοὶ πολυτεκνότατε καὶ φιλοστοργότατε, οἴκοθεν γὰρ ἔχω τῆς εὐφημίας τὴν ἀφορμήν, καὶ τῶν ἀρρήτων καὶ ἀπορρήτων καὶ πάλαι καὶ νῦν μύστα καὶ θεωρέ, τοῦτο γὰρ καὶ φῆμαι βοῶσι καὶ οὐδεὶς ἀγνοεῖ τῶν πάντων ὅστις οὐκ ἐμβεβρόντηται· σὺ μὲν οὖν, ὥς περ εἴρηται, εἰς ἀέρα ἐκ γῆς ἀναβάς, ὅθεν πρὸς ἡμᾶς καταβέβηκας, καὶ ταῖς ἐκεῖσε δυνάμεσι συγγενόμενος καὶ ἀφομοιωθεὶς ταύταις εἰς δύναμιν, εἰς τὴν αὐτὴν ἰδέαν καὶ τὴν ἀνθρωπίνην ζωὴν ἄγειν ἐπιχειρεῖς· τὸ δέ ἐστιν ἄζηλον καὶ ἀμίμητον· χωρὶς γάρ, ὅ φασι, τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα· σὺ δὲ μεθόριον ὥς περ τῶν φύσεων γεγονώς, τῇ μὲν μορφῇ καὶ τῷ σχήματι, τῷ καθ' ἡμᾶς γένει προσέοικας, ταῖς δὲ δραστικαῖς ἐνεργείαις καὶ ταῖς ὀξυτάταις κινήσεσι, τοῖς ὑπὲρ ἡμᾶς εὐθὺς ἀφωμοίωσαι. Τίς οὖν σε ζηλώσειεν ἢ μιμήσαιτο, εἰ μή γε προδήλως σκιαμαχεῖν βούλοιτο;

Μὴ οὖν χαλέπαινε ὁ πρᾳότατος καὶ εἰρηνικώτατος, ὁ τὰ διεστῶτα συνάψας καὶ τὸ μεσότοιχον ἀφελόμενος, εἰ ἐκ δια-

μέτρου τῷ σῷ βίῳ ἀφέστηκα· σὺ μὲν γὰρ ἐπουράνιος ἄγγελος, κατὰ τὸν Παύλου λόγον, ἐγὼ δὲ τοῦτο αὐτὸ ὅπερ εἰμί, φύσις λογικὴ μετὰ σώματος, καὶ οὔτε δυναίμην ἄν, εἴ γε βουλοίμην, οὔτε βουλοίμην, εἴ γε δυναίμην, ἢ μᾶλλον εἰπεῖν ἀμφοῖν ἐστέρημαι, καὶ δυνάμεως καὶ βουλήσεως· σοὶ δὲ θεόληπτος καὶ ἡ δύναμις, ἐνθουσιαστικὴ δὲ καὶ ἡ βούλησις. Μὴ οὖν ὀργίζοιό μοι, εἰ μή σοι συγκορυβαντιῶ καὶ συναίρομαι, ἀλλὰ πράως ἔχε ἐπὶ τῆς δεδομένης ζῶντι ζωῆς, ἢ δεῖξον ὅς τις τῶν πάντων δύναμιν ἔσχεν ἀπεικασθῆναί σοι, ἵνα μὴ λέγω τὴν βούλησιν· εἰ δὲ τέρας τῷ γένει μεμένηκας, ὥς περ δὴ πᾶσα γλῶσσα βοᾷ, τί δὴ τερατουργεῖν ἐπιχειρεῖς τὸν μήτε πεφυκότα πρὸς τοῦτο, μήτε πρὸς τὴν σὴν τέχνην καμπτόμενον;

Ἐγὼ γὰρ ἄνθρωπος εἶναι ὁμολογῶ, ζῶον ἀλλοιωτὸν καὶ τρεπτόν, ψυχὴ λογικὴ χρωμένη σώματι, κρᾶμα καινὸν ἐξ ἀναρ-
φ. 156ᵛ. μόστων τῶν συνελθόντων· | καὶ νῦν μέν, ὅπῃ δυναίμην ἐπελαφρίζω τῇ κρείττονι φύσει, τὸ συμφυὲς φορτίον αὐτῇ ἀφαιρούμενος τῆς ἐπαχθείας ὅσον εἰκός, νῦν δέ, ἀλλ' οὐδὲν ἐρῶ δύσφημον. Σὺ δὲ μόνος τῶν ἁπάντων ἄτρεπτός τε καὶ ἀμετάθετος, ὥς πέρ τις φύσις ἑτέρα παρὰ τὴν ἡμεδαπήν, ἐφ' ἑαυτῆς βεβηκυῖα καὶ ἀκλινής, κἂν σπένδηταί τις, κἂν δάκρυσιν ἐξιλάσκηται· τίς ἂν οὖν σου τοῦτο ζηλώσειεν; Ἀλλ' ἵνα μὴ ἐξονυχίζω τὸν λέοντα, τὸν μέγαν θῆρα καὶ τῷ λασίῳ πᾶσαν ἐπικυμαίνοντα γῆν, ἀπὸ πρώτων στοιχείων ἐπιτομήν σοι ἐν κεφαλαίοις ποιήσομαι τῆς ἀζήλου σου φύσεως καὶ τῶν ἀμιμήτων σου πράξεων, ἵνα μή μοι τὴν ὀφρῦν ἐπιστοιβάζῃς ὁπότε σε μιμεῖσθαι μὴ δύναμαι.

Αὐτίκα ἐμοὶ μὲν ἡ γνῶσις συνείλεκται καὶ κατὰ βραχὺ συμπεπόρισται, καὶ σχεδὸν ἡλικιῶτίς ἐστι· θαμά τε γὰρ ὁμιλῶ τοῖς βιβλίοις, καὶ τὰ μὲν αὐτῶν ζητῶν ἐφευρίσκω, ἐξ ἀρχῶν ὁμολογουμένων συμπεραινόμενος, τὰ δέ, ὡς παρὰ ξυνιέντος μου ὁ εἰδὼς λαμβάνων τὴν διδασκαλικὴν ἐπιστήμην ποιεῖταί μοι· ἐντεῦθεν καὶ φιλοσοφίας ἅττα ἐξέμαθον, καὶ τὴν γλῶτταν ταῖς

σοφιστικαῖς τέχναις ἐκάθηρα, καὶ γεωμετρίαν τοῖς ἐφ' ἡμῖν συμπεπόρισμαι, πρῶτος ἐπιβαλών, καὶ μουσικῆς λόγους ἐξεύρηκα, καὶ τῶν περὶ τὴν σφαῖραν κινήσεων οὐκ ὀλίγα διωρθωσάμην, καὶ τῶν ἡμετέρων λόγων τὴν ἐπιστήμην ἀκριβεστέραν ἐποιησάμην, καὶ θεολογίας ἐξεθέμην διδάγματα, καὶ τὸ τῆς ἀλληγορίας βάθος ἀνέπτυξα, καὶ πᾶσαν, ἀλλά με φθόνου μὴ βάλοι βέλος, ἐπιστήμην ἠκρίβωσα. Σοὶ δὲ ἡ σοφία καὶ ἡ θεολογία ἐξ ἑτέρων ἀρχῶν, ὧν οὔτε ἴσμεν, οὔτε πεπύσμεθα, εἰ μὴ τὰς Διὸς δέλτους ἐρεῖς· οὔτε γὰρ φιλοσοφήσας, οὔτε στερεομετρήσας, οὔτε βιβλίοις προσομιλήσας ποτέ, οὔτε σοφοῖς ἐντυχών, οὐχ Ἕλλησιν, οὐ βαρβάροις, οὐδέσιν ἄλλοις, αὐτεπιστήμη καὶ αὐτοσοφία ὡς ἂν ἐρεῖς ἡμῖν ἀναπέφανσαι, οὐκ ἀπὸ καρδίας πλασθείς, οὐδ' ἐξ ἥπατος, ὡς ἔνιοι τῶν φυσικῶν τὴν ἡμετέραν φύσιν διεγνώκασιν, ἀλλ' ἐκ κεφαλῆς, ἢ ἀθρόον τὸ πᾶν, ὡς ἡ φύσις, ὡς ἡ ἰδέα, ὡς ἡ ψυχή, ὡς ὁ πολυτίμητος νοῦς. Ὁρᾷς ὁπόσοις μὲν ὄρεσιν, ὅσαις δὲ θαλάσσαις, ὅσαις δὲ ἠπείροις ἀπ' ἀλλήλων εὐθὺς διϊστάμεθα; οὔτε τοίνυν αὐτὸς ἐμὲ δύνῃ μιμήσασθαι, οὔτ' ἐγώ σε βουλήσομαι ἢ προθυμήσομαι.

Ὅρα δὴ καὶ τἆλλα· σοὶ μὲν τὸ γένος λαμπρόν, ὁπότερον βούλει· ὅ τε γὰρ πάππος, καὶ ὁ ἐπίπαππος, καὶ εἴ τις ἕτερος, διαβόητος καὶ ἐν τοῖς ἁπάντων στόμασι κείμενος, καὶ τούτῳ πρὸ τῶν ἄλλων ἀποσεμνύνεις τὴν ἱερατικὴν τελειότητα· ἐμοὶ δὲ καὶ τῷ Φωκίωνι, ἵνα μὴ λέγω τῶν προφητῶν ἐνίοις, οὐ πάνυ λαμπρὰ τὰ ἐντεῦθεν, ἢ λαμπρὰ μὲν ἴσως, ἀλλ' ἐμοὶ σεσιώπηται· οὐ γὰρ ἀπὸ τῆς σεσηπυίας ὀφρύος, ἀλλ' ἀπὸ τῆς ἡβώσης γλώσσης χαρακτηρίζεσθαι βούλομαι. Καὶ σοὶ μὲν εὐπάρυφος ἐξ αὐτῆς γενέσεως ἡ ἐσθής ...... ὥσπερ ὑπατείαν μεταχειριζομένῳ οἱ δωδεκαπελέκεις καὶ οἱ ῥαβδοῦχοι τὸ γνώρισμα, τὰ τῆς ἀρχιερωσύνης σύμβολα καὶ προτέλεια· ἐμοὶ δὲ οὔτε μαστιγονόμων ἐδέησε πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν, καὶ ἡ ἀναβολὴ αὐτουργῷ σοφίας προσεοικυῖα. Πῶς ἂν οὖν

ἀλλήλοις συμβῶμεν, οὕτω καὶ τοῖς βίοις διῃρημένοι καὶ τοῖς γένεσι, καὶ τοῖς ἤθεσιν; ὥςπερ γὰρ ἐκ τῶν ἀστρώων σχηματισμῶν, σοὶ μὲν εὐθὺς πάντα βασίλεια, ἐμοὶ δὲ αὐχμηρὰ καὶ φιλόσοφα· καὶ τὰ μὲν σά, καινοφανῆ καὶ παράδοξα, τὰ δὲ ἐμά, συνήθη τε καὶ βιώσιμα.

Διὰ ταῦτά μοι καὶ τὴν κοινωνίαν καὶ τὴν συμβίωσιν παραιτῇ, καὶ ἀτιμάζεις τὸν λόγον, καὶ καταφρονεῖς τῆς παιδεύσεως, καὶ οὐδέν σε τῶν ἐμῶν θέλγειν δεδύνηται, οὐ σχεδιάζουσα γλῶττα τοὺς λόγους, οὐ λέξις ἐρρυθμισμένη, οὐ τρόπος ἐπιεικής, οὐκ ἦθος φιλόσοφον, οὐ τὸ πεζὸν τῆς γνώμης καὶ ὕπτιον· ἀλλὰ Κελτοὺς μὲν καὶ Ἄρραβας ἁλωσίμους ἡμῖν πεποιήκαμεν, καὶ καταπεφοιτήκασι κατὰ κλέος ἡμέτερον κἀκ τῆς ἑτέρας ἠπείρου· καὶ ὁ μὲν Νεῖλος τὴν γῆν ἐπάρδει τοῖς Αἰγυπτίοις, ἡ δὲ ἐμὴ γλῶττα τὴν ἐκείνων ψυχήν· κἂν πύθοιο τῶν Περσῶν, κἂν τῶν Αἰθιόπων, ἐροῦσιν ὡς ἴσασί με καὶ τεθαυμάκασι καὶ τεθήρανται· καὶ νῦν δέ τις ἐκ τῶν Βαβυλῶνος ὁρίων ὥςτε πιεῖν τῶν ἐμῶν ναμάτων ἀσχέτοις ταῖς προθυμίαις ἐλήλυθε· καὶ τὸ μὲν τῶν ἐθνῶν, λύχνον σοφίας καλεῖ, τὸ δέ, φωστῆρα προσονομάζει, καὶ ἄλλοι ἄλλως με τοῖς καλλίστοις ὀνόμασι διῃρήκασι· σὺ δέ μοι μόνος τῆς λύρας ἀνήκοος, ἢ ἐπήκοος μέν, ἀλλ' οὐχ ἡ δρῦς πρὸς τὴν Ὀρφικὴν ἐμμέλειαν, ἵνα μηδὲν πλέον ἐρῶ· τοσοῦτόν σοι τὸ περιὸν τοῦ στασίμου ἤθους καὶ τῆς βεβηκυίας ψυχῆς, ἵνα μὴ λέγω τὸ καταπεφρονηκὸς τῆς παιδεύσεως!

Οὐ γὰρ διασύρων ταῦτά φημι, ἀλλὰ τεθαυμακὼς σου τὸ ἀγοήτευτον· πολιτεύεται δὲ καὶ γένος τοιοῦτον ἐν τῷ παντί, καὶ οὐκ ἂν θέλξαις αὐτὸ τὴν διὰ πασῶν ἁρμονίαν ἐμμελῶς ἁρμοσάμενος. Οὕτω μοι τὰ πάντα πρὸς τὴν σὴν φύσιν ἀντέστραπται· καὶ σὺ μὲν ὁμόθεν μοι γεγαώς, κἀκ τῆς αὐτῆς ἀναφυεὶς αὔλακος, οὐκ οἶδα, πότερον ἐβλάστησας, ἢ παρεβλάστησας, καὶ ἠλλοτρίωσαί μοι τὸ γένος· ὁ δὲ θειότατός μοι καὶ φιλοσοφώτατος βασιλεύς, ᾧ τὸ στέφος οὐκ ἐξ ἀνθρώπων, οὐδὲ

δι' ἀνθρώπων, ἀλλ' ἄνωθεν ἐνήρμοσται προσφυῶς, ὅρπηξ ἀναθηλήσας ἑτέρωθεν κάλλιστος, τῆς αὐτῆς μοι ποιότητος κεκοινώνηκε, καὶ ὅρα τὴν γνώμην τἀνδρός· συνάπτει τῇ ἁλουργίδι τὸν τρίβωνα, καὶ ἐπανάγειν πειρᾶται φιλοσοφίαν πρὸς τὰ βασίλεια, ὥςπερ ὁ Καῖσαρ πάλαι καὶ ὁ Σεβαστός, καὶ εἴ τις ἄλλος τὸ ἄνθος τῶν λόγων ἐζήλωσεν, ὁ μέν, τὸν Ἀρριανόν, ὁ δέ, τὸν Ρουστικόν, καὶ ἄλλος ἄλλον, βουληφόρους τε καὶ συμφράδμονας, καὶ τῶν ἐθνῶν ἐπιμελητὰς κατεστήσαντο, καὶ τὴν πολιτικὴν φιλοσοφίαν τοῖς διοικουμένοις ἡρμόσαντο. Ἀλλὰ καινὸν οὐδέν· σὺ μὲν γὰρ αὐταρκέστατος σεαυτῷ παρά του καθέστηκας, καὶ οὔτε λόγων δεήσῃ, οὔτε σοφίας αὐτῆς, ἀλλ' ὁμοῦ τε τὸν θεῖον ἀποτέμνεις ἀμνόν, καὶ τελειοῖς τὰς χεῖρας τῷ θύματι, καὶ τὸ πᾶν μεθαρμόζεις ἀμφιδεξίως· ἡμῶν δὲ ἕκαστος τῆς φύσεως τεμμάχιον πέφυκε, καὶ ὥςπερ τὰ μέρη τοῦ σώματος, ἀλλήλων δεῖται πρὸς σύμπηξιν, οὕτως αἱ μερικαὶ τῶν ὄντων ὁλότητες, τῆς ἑκάστου συννεύσεως. Ὅρα μοι καὶ τοὺς συγκοινωνούς σοι τοῦ βήματος, ὧν τὸν μέν, ἡ Ἀνατολή, τὸν δέ, ἡ Ἀλεξάνδρεια ἐκληρώσατο, καὶ ὁ μὲν τὴν Παλαιστίνην, ὁ δὲ τὴν πρεσβυτέραν Ρώμην διέλαχε· τούτους γὰρ ὁ μὲν θρόνος ἥρπασεν ἀφ' ἡμῶν, ὁ δὲ λόγος ἡμῖν ὑπηγάγετο.

Τὴν μὲν γὰρ ἀπόρρητον καὶ τελεστικὴν σοφίαν ἴσως ἐπίστασαι, τὴν δὲ διὰ λόγου καὶ τῆς καταλλήλου θεωρίας ἠγνόηκας. Ἔστι κἀμοὶ θρόνος ἐνταῦθα ὑψηλὸς καὶ μετέωρος, οὐδὲν ἥττων τοῦ σοῦ, ἵνα μὴ λέγω ἀπροσδεέστερος, καὶ οὔτε θεολογήσεις μὴ τῇ ἐμῇ γλώσσῃ χρώμενος, οὔτε κανόνας ἐκθήσεις, οὔτ' ἄλλο τι ποιήσεις τῶν θειοτέρων· ἐμοὶ γὰρ ὡς μέτρῳ καὶ κανόνι ταῦτα μεμέτρηται· εἰ δ' ἐπὶ τῆς σῆς πλεύσεις σχεδίας τὸ μέγα τῆς θεολογίας καὶ βαθὺ πέλαγος, αἰνιξάμενός σοι ἐρῶ, πέτραις ἐντύχῃς προβλῆτισι καὶ ἀλιμένοις ἀγκυρήσεις ἀκταῖς.

Ἀλλ' ὅθεν ὁ λόγος ἐρρύη; ἦν δὲ τὸ ἀμφοῖν ἀνάρμοστόν τε καὶ ἀκοινώνητον· ἐγὼ μὲν ἐξ ἀρχῆς φιλοσοφίας ἦν ἐραστής,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

φ. 157. σὺ δὲ ἐτελοῦ τὰ ὑπὲρ ἡμᾶς, δι' ἃ καὶ μαρτυρίου δρό|μον, εἴποις ἂν αὐτός, ἤνυσας, καὶ στεφανίτης ἀνηγορεύθης, καὶ τοῦ καλοῦ θιάσου κορυφαῖος ἐκρίθης, καὶ γραφῶν ἥλως κρειττόνων ἐνθυμημάτων, δι' ἣν καὶ τῆς θειοτέρας τετύχηκας λήξεως· [ἐγὼ] . . . . . . πλὴν ὅσον τὰ ὁμώνυμα ἐζήτουν καὶ τὰ συνώνυμα, καὶ τὰ καθ' αὑτὰ διῄρουν καὶ ᾗ αὐτά, καὶ τὴν ἰδέαν ἠρεύνων, καὶ τὴν φύσιν ἐζήτουν, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν αἰτιῶν ἐπυνθανόμην, καὶ τίς μὲν ἡ φιλόσοφος λέξις ἠκρίβουν, τίς δὲ ἡ λογική, καὶ πῶς ἀλλήλαις κοινωνεῖτον καὶ διαιρεῖτον, τὰ ληρώδη ταῦτα εἴποις ἴσως αὐτὸς καὶ μάταια, ἀλλὰ τά γε ἐμοὶ ἐφικτά.

Τὸ δὲ χρυσοῦν πέδιλον φορείτωσαν οἷς ἐπικέκλωσται· κἀγὼ μὲν οὕτως ἀρχαίως ἔχω καὶ ἀμαθῶς, ὡς μὴ παρὰ τὴν τύχην ἐπαίρεσθαι, ἀλλὰ χρᾶσθαί μοι τοῖς ἀργυρωνίταις ὡς ἰσοπολίταις· εἰ μὴ τοίνυν πᾶσιν ἐφέστιος καὶ συνέστιος, καὶ κοινῶν συμμετέχω ἁλῶν καὶ ἀπὸ τοῦ αὐτοῦ πίνω κρατῆρος, κἂν ἀπολιγωρήσῃ μοί τις, οὐ πάνυ μέμηνα, κἂν ὀλισθήσαντί μοι ἐπιγελάσῃ, οὐ δυσκολαίνω, κἂν ὑβρίσῃ, παιδιὰν τὴν ὕβριν λογίζομαι. Σοὶ δὲ ὑπερτελῆ πάντα καὶ τῆς ὑμετέρας ὑπερόρια φύσεως· φρίττουσι γάρ σε μᾶλλον ἢ τὴν τῶν Χαλδαίων πυρκαϊάν, κἂν εἴποις, πεφρίκασι, κἂν ἴδοις, πεπήγασι, κἂν τὴν ὀφρὺν συνάξῃς, τεθνήκασιν· ὅθεν τι καὶ συντετολμήκασί σοι καὶ μετὰ τῶν νεκρῶν ζῶντες ἠρίθμηνται· ἐμοὶ δὲ ἡ χείρ, οὔτε πρὸς βακτηρίαν, οὔτε πρὸς λόγον συνείθισται, ἀλλὰ κἄν, συμβὰν οὕτω, τυπτόμενον ἴδω παρά τινος, εὐθὺς ἐπιμύω τοὺς ὀφθαλμούς, καὶ παρατρέχω τὸν τόπον ὡς δεσμωτήριον, σὺ δὲ μετὰ θεὸν οὐκ ἦλθες εἰρήνην βαλεῖν, ἀλλὰ μάχαιραν, καὶ διαιρεῖς ἀπ' ἀλλήλων τὰ γένη, καὶ ἐπανιστᾷς ἀλλήλοις τὰ κήδη· ταῦτα δὲ σοὶ μόνῳ τῶν ἐκ τοῦ παντὸς αἰῶνος καὶ μεμαρτύρηται καὶ πεπλήρωται· τί μὴ λέγω τὰ μείζω καὶ ὑψηλότερα; ἀλλὰ βραχύ τι τῷ τοῦ Ἀποστόλου προσχρήσομαι ῥήματι, οὐ φιλόσοφός εἰμι, οὐ διδάσκαλος, οὐχ ὑπελθὼν ἑκουσίως τὸν τοῦ Κυρίου ζυγόν, οὐ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

νέκρωσιν περιφέρων τοῦ Ἰησοῦ, ἀλλὰ πέφρικα τὸ τοῦ θείου βήματος πῦρ, πῶς ἂν εἴπῃς, καὶ πόρρω μετὰ τῶν κατηχουμένων ἕστηκα, καὶ οὐδέποτέ μοι ὁ ὀφθαλμὸς ἐνητένισται μελιζομένου τοῦ ὑπὲρ ἡμῶν θύματος· σὺ δὲ μόνος τῶν πάντων, ἱλαρᾷ τῇ ψυχῇ καὶ μειδιῶσι χείλεσι τῶν ἀδύτων κατατολμᾷς, καὶ παρασείσας ἠμελημένως τὸ καταπέτασμα, κυκλοῖς τὸ θυσιαστήριον, καὶ μεταχειρίζῃ τὸν ἄληπτον λόγον καὶ ἀκατάληπτον, αὐτῷ γὰρ τῷ πρωτὶ φωτὶ προσεπέλασας· ὅθεν σκιαί σοι τἆλλα καὶ ὄναρ καὶ παίγνια· διὰ ταῦτα καὶ βασιλέων κατολιγωρεῖς, καὶ πάσαις ἀνταίρεις δυνάμεσι.

Τοιοῦτος γὰρ ἡμῖν ἀρχιερεὺς ἔπρεπεν, ὑπερμαχῶν τε καὶ προμαχόμενος, μόνον οὐ ξίφει καὶ δόρατι, λόγῳ δὲ καὶ κελεύσματι, καὶ δέδειχεν ὡς ἀληθῶς ὅσον ὁ ποδήρης τῆς ἁλουργίδος κεκράτηκε καὶ ἡ ταινία τοῦ στέμματος. Ταῦτα δέ σοι τὰ προτερήματα ἄνωθεν προκεκήρυκται, ἢ οὐ μέμνῃ, θειότατε ἀρχιερέων καὶ δραστικώτατε; ἀλλὰ σὺ μὲν ἴσως καὶ μεμνημένος ἐπέχεις τὴν γλῶτταν, καὶ οὐκ ἐγκαλλωπίζῃ τῷ διηγήματι, ἐμοὶ δὲ τὸ θαῦμα τὸν λόγον δείξῃ καλλίονα· ὁμοῦ τε γὰρ τῆς ἀρχιερωσύνης τετύχηκας, καὶ τὸ θεῖον πᾶν ὅσον τοῦ γενησομένου ἐπεσημήνατο, καταιβάτης εὐθὺς κεραυνὸς τὸ θεῖον κατενείματο ἔδαφος, τῶν μερῶν, τὰ μέν, συμφλέξας, τὰ δέ, ζώναις οἷον ὑπαργυριζούσαις περιζωσάμενος, ἐφ' ὧν δὲ καὶ περιστερὰν φλογοποιὸν ἐσχεδίασεν, ἣν αὐτὸς τὰ θεῖα σεβόμενος, ἱερῶς ἀνιέρωσας, χαλκῷ περιβαλὼν καὶ τιμήσας ὅσον εἰκός. Ἥκει τοίνυν ἡμῖν τὸ μάντευμα, ἢ μᾶλλον, ἀλλ' ἀποτράποιτό μοι, καὶ στῆθι καὶ ἵλασαι, καὶ κοπασάτω ἡ θραῦσις, εἰ δὲ μὴ βούλει, ἀλλὰ σύ μοι θειότατε βασιλεῦ, περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ γενοῦ μοι σβεστήριον τῆς θειώδους ταύτης καὶ ἀΰλου φλογώσεως.

Ἀλλ' ἐπανακτέον αὖθις ἡμῖν τὸν λόγον ἐπὶ τὸν οἰκεῖον εἱρμόν· ἐγὼ μὲν οὐδένα τῶν πάντων ὕβρικα, ἢ μεμίσηκα, οὕτως

εἰμὶ ἀδιάφορος· σὺ δέ, ὥς πέρ τις φύσις ἑτέρα παρὰ τὴν σύντροφον, ἀπότροφον τὸ γένος ἡγῇ, καὶ τῶν μέν, τὰ αἴσχη ἀνακαλύπτεις, τοῖς δ' αἰτίας ἀπογεννᾷς μέμψεως, πᾶσι τὴν ὀφρὺν καταστέλλων καὶ ἐκπαιδεύων ἴσως τὴν μετριότητα, ὅθεν μοι καὶ ἐζήτησαι ὥς περ τῇ Πυθίᾳ, εἴ σε θεόν, ἢ ἄνδρα καλέσομαι, ἢ μηδέτερον, ἀλλ' ἀμφοῖν τὸ μεταίχμιον. Καὶ σὺ μέν, δημοκρατικὸς ὢν ἀνήρ, δυσχεραίνεις τὴν μοναρχίαν, ἐμοὶ δὲ τὸ πάλαι μὲν Ὁμήρειον, αὖθις δὲ Ἀριστοτέλειον πολλάκις ἀναφωνεῖται, Εἷς κοίρανος ἔστω, εἷς βασιλεύς· πάλαι μὲν γὰρ ὁ αὐτὸς ἱλαστήριον ἅμα ὑπὲρ τοῦ γένους καὶ ἀμυντήριον προειστήκει, νῦν δὲ εἰς μέρη διῃρέθη τὸ σύνθετον, καὶ τὸ μὲν αὐτοῦ βασιλεύειν, τὸ δέ, ἱερατεύειν τετάχαται.

Ἄγε δὴ σὺ χεῖρας ἱκέτιδας πρὸς θεὸν αἶρε, καὶ κίρνα σπονδὰς ἀνθρώποις τε καὶ θεῷ, τὴν δὲ πολιτικὴν ἐπιμέλειαν οἷς ὥρισται διοικήσουσι· μέχρι γὰρ τίνος διπάλτῳ χειρὶ τὴν ὑπὲρ ἡμῶν συμμαχίαν αἱρήσῃ; ἀπεδύσω πρὸς τοὺς ἀγῶνας λαμπρῶς, τὴν πίστιν τετήρηκας, τὸν δρόμον τετέλεκας, δέχου λοιπὸν τὸν τῆς ἀθλήσεως στέφανον, τὴν ἀπὸ τῶν φροντίδων σχολήν· μὴ ἄρχοις, μὴ βασιλεύοις ἡμῶν, οὐ γὰρ χωρητὸς τοῖς γε πλείοσιν.

Ὁρᾷς ὡς οὐδὲ αὐτός σε κατανενόηκα, οὐ δὲ τὴν ἡγεμονίαν ὑφίσταμαι; φιλῶ, σὺ δὲ μισεῖς, σπένδομαι, σὺ δὲ ἀπεχθαίρεις, ἐξιλεοῦμαι, σὺ δὲ ἀπωθῇ, εὐφημῶ, σὺ δὲ λοιδορεῖς, γενεὰν ὅλην ὑπήνεγκα τυραννούμενος, σὺ δέ, ὡς νῦν ἡργμένος τοῦ πράγματος, ὑπερβαλέσθαι φιλονεικεῖς τοῖς παροῦσι τὰ φθάσαντα· τὰς τοῦ Παύλου ἀγωνίας διεξελήλυθα, κινδυνεύων ἐν ψευδαδέλφοις, περισσεύων ἐν θλίψεσι, συκοφαντούμενος, τυραννούμενος, πᾶσαν ἐπιβουλὴν ὑφιστάμενος ἄδικον, οὐκ ἀνταίρων, οὐκ ἀντεπιβουλεύων, ἀληθεύων, ἀλλ' οὐ συκοφαντῶν, τοῦτό μοι μόνον τῶν συμφορῶν παραμύθιον, μετὰ Παύλου τῷ βυθῷ παραδέδομαι, μετὰ Πέτρου ἐσταύρωμαι ἢ σταυρωθήσομαι,

παντὶ συγκινδυνεύω τῷ γένει, ἀποθνήσκω μετὰ Φωκίωνος· ἀλλ' ἔπεχέ μοι τὴν τῆς παιδείας πληγήν, ἔσεται ἦμαρ, καὶ τὰ ἑξῆς τοῦ ἔπους, τότε καὶ αὐτὸς μετὰ τῆς πατρίδος κείσομαι, μετὰ τῶν αὐθηγενῶν ἐκδοθήσομαι, ἐκ τῆς Ἑλλάδος ἀφίξομαι εἰς τὴν βάρβαρον· οὔπω μοι ἡ ὥρα ἐλήλυθε, κορεσθήσῃ ποτὲ καὶ τοῦ ἐμοῦ αἵματος, εἰ γέ σοι παραδοθήσομαι, οὐκ οἶδα ἄνωθεν, ἢ κάτωθεν εἰπεῖν βέλτιον.

Ἀλλ' ἐγὼ καὶ πάλιν ἀρχαῖος καὶ ἀπόνηρος ἄνθρωπος· ἱστορῆσαι γάρ σοι τὸν βίον βουλόμενος, κεφάλαιά σοι τῶν πράξεων συνηγήοχα, τὰ μέν, αὐτὸς εὑρηκώς, τὰ δέ, παρὰ τῶν εἰδότων μεμαθηκώς· πολλοὶ δὲ τὰς ἀφορμὰς συνηρανίσαντό μοι τῶν διηγήσεων· ὑφ' ἑκάστῳ δ' ἂν τὴν ἁρμόττουσαν περιβαλὼν ἔννοιαν, λέξει ῥυθμοειδεῖ καὶ παγκάλῳ περιανθίσω τὸ σύγγραμμα, αἱμυλίας καὶ χάριτας καὶ τὴν λοιπὴν εὐστομίαν ἐγκατασπείρας τοῖς λόγοις, ἵν' ὁμοῦ τις τὴν δέλτον μεταχειριζόμενος, καὶ θαυμάζοι τὴν πρᾶξιν καὶ κροτοίη τὴν λέξιν, καὶ τὸν τέως ἐφ' ἡμῖν κρυπτόμενον εἴσεται μὲν καὶ ἡ Αἴγυπτος, γνώσεται δὲ καὶ ἡ ἀρωματοφόρος, καὶ ὁ πρὸς ἑσπέραν ὠκεανός, ἐφ' ἃ δὴ μέρη τὸ ἐμὸν μεταβήσεται σύγγραμμα.

## 208. Περὶ φιλίας, πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαήλ. φ. 514.

Πολλάκις ἐθαύμασα, ὅτι με τῶν ἄλλων ὑμεῖς ὀξύτερον διεγνώκατε, καὶ τῶν γε πλείστων καταπεφρονηκότες, τῶν ἐμῶν λόγων ἐξήρτησθε, ὥςτε οὐ χαμαὶ πεσεῖται ὅ,τι περ αὐτὸς ἐξενέγκοιμι, καίτοι γε πολλοὶ καὶ σοφιστεύειν ἐπιχειροῦσι καὶ φιλοσοφεῖν ἐπαγγέλλονται, οἷς ὑμεῖς βραχὺ ἢ οὐδὲν προσνενεύκατε, τοῖς ἡμετέροις συνερρυηκότες συγγράμμασι· καὶ ὅ με μᾶλλον ἐκπλήττει, ὅτι καὶ τοῖς τῶν παλαιῶν ῥητόρων ὁμιλοῦντες σπουδάσμασι καὶ τοῖς τῶν ἄγαν φιλοσοφησάντων ἐν οἷς

ηὐδοκίμησαν ὑπομνήμασιν, ὥςπερ κατὰ σύγκρισιν τοὺς ἐμοὺς προτιθέατε λόγους, οὐκ ἔλαττόν γε περὶ οὓς σπουδάζειν εἴωθα φιλοπονοῦντές τε καὶ συλλέγοντες, ἢ οὓς αὐτοσχεδιάζειν προήρημαι.

Εἶτα δή μοι θαυμάζοντι ἔννοιά τις ἐγένετο, ἐκ φιλοσοφίας μὲν εἰληφυῖα τὴν γένεσιν, ἐν καιρῷ δὲ παρεμπεσοῦσα πρὸς τὸ ἀπόρημα· ἐλογισάμην γὰρ μή ποτε συγγενής εἰμι ταῖς ὑμετέραις ψυχαῖς, καὶ διὰ ταῦτα τοῖς συγγενικοῖς γεννήμασιν ἐπαγάλλεσθε, καὶ τὸ ἐμὸν ἀμβλωθρίδιον τῆς παρ' ἐνίοις γιγαντοφυΐας μᾶλλον ἀσπάζεσθε. Εἶτα δὴ ἐθέμην τῷ λογισμῷ καὶ τῷ δόγματι, οὕτω διαιτήσας τῷ πράγματι· οὔτε διαφοραῖς αἰτιῶν, οὔτε οὐσιῶν ἑτερότησι τὰς ὑμετέρας ἐγὼ διασχίζω ψυχάς, ὡς οἵ γε πλείους τῶν ἐξ Ἑλλάδος σοφῶν εἰπεῖν τετολμήκασι· μίαν δὲ πάσαις τὴν φύσιν ὑποβαλόμενος, τοῖς ἰδιώμασι διαιρῶ, εἶθ' ὅσας μὲν κοινωνεῖν τῶν αὐτῶν ἔγνων, ὑπείληφα συγγενεῖς, ὅσαι δὲ πρὸς ἀλλήλας ἑτερογνωμονοῦσι, ταύτας ἀλλοτρίας τε ἀπεφηνάμην καὶ γένεσιν ἑτέροις ἀπέκρινα.

Μή τι κακῶς τὸ ὑμέτερον εἴκασα, μᾶλλον δὲ κοινὸν καὶ ἡμέτερον; ἀντιπέπονθα γὰρ καὶ αὐτὸς τοῖς ὑμετέροις κινήμασι τῶν ψυχῶν, καὶ τῷ τε ἤθει συμφύομαι, καὶ τῇ ἁρμονίᾳ τῶν λόγων συμβέβλημαι, καὶ τῷ χαρακτῆρι τῶν τρόπων συνεξεικόνισμαι. Ἐπεὶ οὖν ἴσα τὰ παρ' ἀλλήλων, καὶ ἀντιλαμβάνομεν ὃ καὶ διδόαμεν, ἐγὼ μὲν καὶ αὖθις τὸν παρόντα λόγον δωροφορῶ ὑμῖν, τὴν συνήθη δεξίωσιν καὶ ὅ μοι τῶν πάντων ἐγκαταλέλειπται, ὑμεῖς δέ μοι προσέχοιτε τὸν νοῦν, ὥςπερ εἰώθατε· ὁ δὲ λόγος, οὔτε σοφιστείαν τινὰ καὶ περιεργίαν λόγων ὑμῖν ἐπαγγέλλεται, οὔτε τῆς περιττῆς σοφίας ἐστὶ μαθημάτων κύκλον ἀνερευνώμενος, ἀλλ' ἠθικὸς μὲν καὶ τῷ ὄντι φιλόσοφος, οὔτε δὲ πολιτείαν ἁρμόζει, οὔτε δήμῳ καὶ οἴκῳ προσήκει, ἀλλ' εἴπω ὃ βούλομαι μὲν εἰπεῖν, ἀναβάλλομαι δέ, τὴν ἀδελφικὴν ὑμῖν φιλίαν χαρακτηρίζει, ἵνα ἡ πρὸς ἀλλήλους ὑμῶν κοινωνία μὴ ἐξ ἔθους ἐστὶ καὶ τῆς τῶν πολλῶν ὑπολήψεως, ἀλλ' ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

στήμην ἔχοι τὸν λόγον, καὶ τὸ τῆς φύσεως πεπλανημένον καὶ ἄτακτον τῷ ἐπιστημονικῷ καὶ ἀμεταθέτῳ λόγῳ ὁρίζοιτο.

| Εἰ γὰρ μόνῃ τῇ φύσει χρώμενοι, οὕτως ἀκριβοῦτε τὸ σύμ- φ. 154ʳ.
πνουν, τί οὐκ ἂν γένοισθε καὶ τὸν λόγον προσειληφότες; ὃ τοίνυν οἱ φυτηκόμοι ποιοῦσι, τοῦτο καὶ αὐτὸς τελεῖν ἔγνωκα· ἐκεῖνοί τε γὰρ ὅσα τῶν φυτῶν τὴν ὥραν ἐνδείκνυται, περὶ ταῦτα καὶ μᾶλλον φιλεργοῦσι καὶ διατίθενται· καὶ αὐτὸς δὲ τὴν ὑμετέραν ἀγαθὴν συμφυΐαν ὁμόθεν ἐκ τῆς αὐτῆς ῥίζης ἀναβλαστήσασαν, ἀλλ' οὐκ ἐγκεκεντρισμένην (*), ἀλλ' οὐδὲ ἐπείσακτον, ἔτι γε μᾶλλον συνάπτειν ἐπιχειρῶ, ὅπως μὴ τὸ στέλεχος μόνον ὑμῶν συνημμένον εἴη, ἀλλὰ καὶ τὸ σύμπαν ἐς κορυφήν.

Τῆς τοίνυν τῶν ἀδελφῶν συναφῆς ἡ φύσις εὐθὺς ἐκ γενέσεως πολλὰς τὰς ἀφορμὰς παρηνίξατο· τοῖς γὰρ αὐτοῖς ἐγκολπωσαμένη χωρίοις ἀπὸ τῶν αὐτῶν ὠδίνων ἐξήνεγκε. Σκύθαι μὲν γὰρ Νομάδες τοῦ πολιτικοῦ γένους ἀπηλλοτρίωνται, καὶ τοῖς ἠπειρώταις οἱ νησιῶται οὐ πάνυ προσήκουσιν, αἵ τε διάφοροι τῶν κλιμάτων οἰκήσεις, ἀλλοτρίας τῶν οἰκητόρων τὰς γνώμας ἀποδιδόασιν· ἀπὸ δέ γε τῆς Ἑλλάδος, ἢ τῆς ἀποίκου Ἰωνίας, ἢ τῶν ἑκασταχοῦ πόλεων, οὐ πάνυ τι τὸ παραλλάττον εὑρήσεις ταῖς γνώμαις· ἥ τε γὰρ ταὐτότης τοῦ περιέχοντος καὶ ἡ τῶν πολιτευμάτων κοινότης, εἰς βραχεῖαν διαφορὰν τὸ πλῆθος συνέστειλε τῶν ἠθῶν, καὶ κατ' ὀλίγων συστέλλων τὰς τῶν ὀνομάτων κοινότητας, τὰς μὲν πόλεις εἰς δήμους, τὰς δὲ φυλὰς εἰς συγγένειαν, καὶ τἄλλα οὕτως συναιρήσεις καὶ τὰς ψυχάς· εἶτα δὴ κορυφώσας τὴν ἀρχήν, καὶ τὴν αὐτὴν τῆς γενέσεως ἀφορμήν, ἆρ' οὐχὶ καὶ τὴν ἰδέαν διασώσεις ἴσην καὶ ἀδιάφορον; ἄτοπον γὰρ τοὺς μὲν Λίβυας πρὸς ἀλλήλους ὁμοφρονεῖν ὅτι μίαν οἴκησιν τὴν Λιβύην εἰλήχασιν, ἀδελφοὺς δὲ ἑτερογνωμονεῖν, ὥσπερ ἔνια τῶν καρπῶν ἐκ τῶν αὐτῶν περικαρπίων τῆς γενέσεως

(*) χειρόγρ. ἐνκετρισμένην.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀπορρεύσαντα, καὶ τὰ μὲν ὀφθαλμιζόμενα τῶν φυτῶν, τῆς αὐτῆς τῷ πρωτορρίζῳ μεταλαγχάνειν ποιότητος, τοὺς δὲ τῆς αὐτῆς κεκοινωνηκότας ῥίζης, ἑτεροφυεῖς εἶναι καὶ διῃρῆσθαι θέσει? (*)

Θαυμάζω δέ, ὅπως οἱ πολλοὶ τῶν ἀνθρώπων οὕτως ἔχοντες οὐκ αἰσχύνονται, καὶ ταῦτα τὴν μὲν ὕλην ὁρῶντες ἐς τὴν αὐτὴν πολλάκις μορφωθεῖσαν ἰδέαν τοῖς ἀδελφοῖς, τὸ ἄτακτον καὶ ἀόριστον, τὰς δὲ ψυχὰς ἀντιδιῃρημένας καὶ ἑτερογνώμονας ἔχοντας· καὶ ψυχὴ μὲν φύσιν κοσμεῖ, φύσις δὲ σώματα, καὶ τὰ μὲν κοσμούμενα μένει πολλάκις παραλλάττοντα, τὸ δὲ πρώτως κοσμοῦν ὥς περ τοὺς οἰκείους λόγους, ἀγνοῆσαν παρήλλακται· τοῖς Μολωνίδαις (**) τὸ πράγος, ἢ τὸ πρᾶγμα, φιλόσοφος λόγος ἐστὶ τὸ ἀδιαίρετον εἰσηγούμενος τῶν ψυχῶν· τὰ δέ γε διττὰ τῆς τοῦ ἑνὸς φύσεως ὄργανα, τῆς τῶν δυοῖν ἢ πλειόνων ἀπαραλλαξίας ἀκριβῆ τυγχάνουσι παραδείγματα, ὀφθαλμοί, ῥίνες, ὀφρύες, τἆλλα, καὶ τὰ ἐπὶ τούτοις χεῖρες καὶ πόδες· τοῖν τε γὰρ ὀφθαλμοῖν ἴσον τὸ μέγεθος, καὶ τὸ χρῶμα ὅμοιον, κατὰ ταὐτὸ δὲ καὶ τὰ ὦτα τοῖς κροτάφοις συμπέπλασται, καὶ τὰ πτερύγια τῶν ῥινῶν ἀνέῳγασι, καὶ οἱ ἀγκῶνες συνήρθρωνται, καὶ αἱ βάσεις διῄρηνται, ἵνα, ὅπερ ἡ φύσις τοῖς διττοῖς ἀποδέδωκε σώμασι, τοῦτο ἡ γνώμη ταῖς αὐταῖς ἀποδοίη ψυχαῖς· καὶ μέντοι καὶ γελᾶν εἰώθαμεν, ὅταν τῳ τὸν μὲν τῶν ὀφθαλμῶν ἴδωμεν χαροπόν, ὑπόγλαυκον δὲ τὸν ἄλλον ἢ μέλανα, κἂν εἴ τῳ ἡ μὲν τῶν ὀφρύων ἄνω που τέταται, ἢ ἐπὶ τὸ βλέφαρον κάθηται, μετὰ τῶν τεράτων τοῦτο τιθέαμεν, καὶ ἡμιγενεῖς τοὺς οὕτως ἔχοντας ὀνομάζομεν· καὶ τοὺς διεστηκότας δὲ τῶν ἀδελφῶν τί ἂν ἄλλο, ἢ τοῦτο καλέσαιμεν;

Θεωρήσωμεν δὲ καὶ οὕτως τὸν λόγον· πλάττει μὲν ἀπὸ τῶν σπερμάτων ὁ φυσικὸς λόγος τὰ σώματα, εἰσάγει δὲ τούτοις τὰς ψυχὰς ὁ νοερὸς ἔξωθεν, καὶ ὁ μέν, ὡς ἀπὸ τῆς αὐτῆς

(*) χειρ. θύς. (**) χειρ. Μολιονίδαις.

ἀφορμῆς τὴν ὁμοίαν διάθεσιν τοῖς πλαττομένοις δημιουργεῖ, παραλλάττων κατὰ τὸ σπάνιον, ὁ δέ, οὕτως ἐστὶ τῆς φύσεως ἀμαθέστερος, ὅτι δυσὶν ὁμοίοις σώμασιν ἀκαταλλήλους προσήρμοσε τὰς ψυχάς; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ τὸ μὲν σῶμα οὐκ ἀντιπράττει τῷ σπερματικῷ λόγῳ, διὰ ταῦτα πρὸς ὃ ἐκεῖνο βούλεται, πλάττεται· ἡ δὲ τῶν γνωμῶν αἵρεσις ἀντιδιατιθεμένη τῷ ἁρμοστῇ τῶν ψυχῶν, τὴν ἁρμονίαν ἠφάνισεν, ὥς πέρ τις ἐμμελὴς φθόγγος μὴ συνηχήσας ταῖς τάσεσι τῶν χορδῶν.

Εἰ βούλεσθε βραχύ τι τὴν γένεσιν ὑμῖν φυσιολογήσω τῆς φύσεως, ἵν' εἰδῆτε ἐκ ποίας ἑνώσεως οἱ πολλοὶ τῶν ἀδελφῶν διεστήκασι· σπέρμα πατρόθεν φερόμενον, καὶ παρὰ τῆς πρώτης ἡμῶν καὶ μητρῴας θηλῆς αἱματηρὸς καταχέων χυμὸς ὥς περ εἴς τι κοῖλον χωρίον τὸ τελευταῖον κύτος τοῦ μητρικοῦ σώματος, καὶ ἀλλήλω συμβεβηκότε, δημιουργεῖτον κοινῇ τὰ γεννώμενα· εἶτα τὸ σύμπαν γονούμενον καὶ θρομβούμενον καὶ οἷον σφαιρούμενον, ἀρτήματί τινι, χορίῳ οὕτω λεγομένῳ, τῇ βάσει προσῆπται τοῦ περιέχοντος, ἑτέρῳ τινὶ ἀγγείῳ ἐκ τῆς ὀμφαλίτιδος διατεινομένῳ μεσότητος, ταῖς κοτυληδόσι τῆς μήτρας διαπλάττεται· εἶτα δὴ ῥαγέντος τοῦ ἐπιπάγου, καὶ τῶν ὀργάνων ὑγρῶς τὰ πρῶτα συμμορφουμένων, δυσὶν ὑμέσι λεπτοῖς ὁρᾶται περιεχόμενον τὸ τικτόμενον, ἵνα τὴν ἁρμονίαν ἡ φύσις φυλάξῃ τοῖς μέλεσι καὶ μὴ διαχυθῇ (*) τὰ ὄργανα ταῖς ὑγρότησιν, ἀλλὰ συμφύηται ταῖς ἑνότησι. Τὸ σύμπαν οὖν μυστήριον τῆς ἡμετέρας γενέσεως, ἑνότης λόγου ἐστί, γενῶν συνάφεια, γενῶν ἀνάκρασις, διάπλασις σώματος, καὶ τὸ παρὰ τοῦ παντὸς γένους ἀπαιτούμενον τῆς κοινωνίας καὶ τῆς ὁμοφροσύνης ὄφλημα.

Ἔνιοι τῶν ἀδελφῶν διῃρήκασι, καὶ τῆς φύσεως κατεψεύσαντο· ἀλλ' ὑμεῖς (**) οἱ τῷ λόγῳ μᾶλλον τῶν ἄλλων κοσμούμενοι, τὸ

(*) γραπτέον, διαλυθῇ.
(**) χειρόγρ. ἡμεῖς.

διαπεπτωκὸς ἐπανορθοῦτε τῆς φύσεως, καὶ μετ' ἐπιστήμης ἀλλήλων ἐξαρτᾶσθε. Ἐκ τῆς αὐτῆς αὔλακος τὸν πυρὸν οἱ γεωργήσαντες κομιζόμενοι, οὐ θαυμάζουσι τοῦ γένους τὴν ὁμοιότητα· τῆς τε γὰρ καταβολῆς τὸ διάφορον ἴσασι καὶ τὸ τῆς γεννησαμένης ἀπαράλλακτον γῆς· οἱ δὲ πλείους ἡμῶν ἐκπεπληγμένοις ἐοίκασιν, εἴ τινές εἰσιν ἀδελφοὶ ὁμοίαν ἐσχηκότες διάνοιαν· κἂν μὲν σωμάτων ἴδωσιν ὁμοιότητας, ἐπὶ τὴν φύσιν ἀνάγουσι τὸ φανέν, καὶ τῆς συμπλάσεως τὴν ἀρχὴν ᾐτιάσαντο τῆς γενέσεως, τὰς δὲ ὁμοίας γνώμας τῶν ὁμόθεν γεγεννημένων, ὑπερεκπλήττονται· οὕτως εἰσὶν ἀμαθεῖς τῶν νεωτέρων σπερμάτων τῆς ἀμιγοῦς φύσεως· σώματος μὲν γάρ, σῶμα προσεχῶς αἴτιον, οὐσίας δὲ ἀσωμάτου, θεός· σῶμα δὲ καὶ θεός, ἵν' εἰκάσω τοσοῦτον καταβάς, ὃ τὰ πολλὰ καὶ τὸ ἕν. Οὕτω δὲ τῶν αἰτίων διεστηκότων, τὰ μὲν πολλὰ ἴσχει πολλάκις τὰ ὁμοιώματα, ἢ καὶ τὴν ὁμοιότητα, ἡμεῖς δὲ διαιρούμενοι ταῖς διαφοραῖς τῶν ψυχῶν, καταψευδόμεθα τοῦ ἑνός.

Αἰγυπτιάσας πάλαι ὁ Ἰσραήλ, ὥς πέρ τινος Νειλῴου ῥεύματος ἐσπάσατο τῶν ὁμοδιαίτων ἠθῶν, ἀδελφοὶ δὲ ἐκ μιᾶς ἀπορραγέντες πηγῆς, εἰς διαφόρους ὀχετοὺς ἐμερίσθησαν, οὔτε τὴν πρώτην αἰδεσθέντες καὶ κοινὴν τράπεζαν, οὔτ' ἄλλο τι διευλα-
φ. 155. βηθέντες τῆς κοινῆς φύσεως. Ἀλλ' ὑμεῖς, (ὥσπερ οἱ τοῦ | Νέστορος υἱεῖς, τὸ γένος μεμαθηκότες ὅτι βασιλικῆς τυγχάνουσιν ὄντες σπορᾶς, ἐφρόνησάν τι λαμπρότερόν τε καὶ ἀρχικώτερον, καὶ ἅτερος τούτων τὴν παλαιὰν Ῥώμην ᾤκισε καὶ τὴν προσωνυμίαν ἀφῆκε τῇ πόλει, διαγνόντες ὅτι καὶ τὴν καταβολὴν θείου ἐσχήκασι σπέρματος), ἐς ὁμοίαν τὴν γένεσιν διὰ τῶν αὐτῶν ἠθῶν πρὸς τὴν αὐτὴν αἰτίαν μοι ἀναδράμοιτε· οὐδὲν γὰρ οὕτω κοινωνίαν ψυχῶν ἀπεργάζεται, ὡς ἡ τῶν αὐτῶν ἐπιτηδευμάτων ἐκ συνθήματος μεταχείρισις. Ὥσπερ γὰρ πάλαι διαιρεθεισῶν τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, ἡ μέν τις Ἰωνικὴ ὠνομάζετο παίδευσις, ἡ δέ, Ἀκαδημαϊκή, ἡ δέ, Κυρηναϊκή, καὶ

ἄλλη, Ἐπέχουσα, ἀπὸ τῶν τρόπων, ἢ τῶν τόπων, ἢ τῶν αἱρεσιαρχούντων τὰς ἐπωνυμίας λαμβάνοντες (sic), ἢ ἑτέρωθέν ποι, καὶ ἦν ἑκάστη ὁμόφωνος καὶ ὁμόδοξος ἑαυτῇ, οὕτω δὴ καὶ ὑμῖν τὸ αὐτὸ σπούδασμα τῶν ὁμοίων ἕξεων γενήσεται αἴτιον.

Ἔγωγ' οὖν ὑμῖν ἥδιστ' ἂν τὸν ἅπαντα χρόνον συγκατεβίωσα, τὰ γένη τῶν λόγων παρατιθεὶς καὶ ἐμφορῶν αὐτῶν τῆς γλυκύτητος, καὶ μίαν ἀμφοῖν κρᾶσιν ἐργαζόμενος· ὥςπερ γὰρ τὰ πηγιμώτατα τῶν ὑδάτων καὶ οἱ εὔκρατεῖς τῶν ἀέρων, τὰ σώματα διατιθέασιν εὖ καὶ τὴν ὁμοίαν γεννῶσι διάθεσιν, οὕτω δὴ καὶ τῶν λόγων οἱ διαυγάζοντες, τὸ ἰλυῶδες τῶν ψυχῶν ἀποσμήχοντες, εἰλικρινῆ αὐταῖς καὶ αἰθέριον τὴν φύσιν ἐργάζονται· εἰ γάρ τινες περὶ τῶν μεγίστων ὁμοδοξεῖν ἄρχονται καὶ συμφέρεσθαι, οὗτοι τάχιστ' ἂν καὶ τοῖς ἐλάττοσι τὸ διαφέρον ἀνέλοιεν. Κοινῇ γοῦν τὸν λόγον ἑλόμενοι, ἀσφαλεστάτην κρηπῖδα τῆς ὁμονοίας ποιήσετε, εἰ καὶ ὁ μέν, ὀξύτερον εἶδε τὸ σπουδαζόμενον, ὁ δέ, ἀμβλύτερον· μήθ' ὁ εὐφυέστερος καταπαιρέσθω θατέρου, μήθ' ὁ μαλακώτερος βασκαινέτω τῷ ταχυτέρῳ· οὐ γὰρ διῄρησθε, εἰσηγεῖται γὰρ ἡ ἀδελφότης τὴν ἕνωσιν· ἡνωμένων δὲ ἀμιγῶς φύσεων, τὰ πάθη κοινά· ἢν δὲ μή, ὁ λόγος καὶ τὸν ἀμβλύτερον παραμυθείσθω, καὶ σωφρονιζέσθω τὸν ἀγχινούστερον· ὁ μὲν γὰρ ἀπραγματεύτως εὑρηκὼς τὸ ζητούμενον, ἀποβαλεῖται τάχιστα ὥςπερ εὕρατο, ὁ δὲ πολλάκις διαιτήσας τοῖς λογισμοῖς τὸ ἀμφιγνοούμενον, εἶτα δὴ προσκτησάμενος, ὥςπερ ἐν πέδαις χαλκαῖς τὸν λόγον κατέδησε. Μὴ καθάπερ οἱ πονηρότεροι τῶν προσχώρων ἢ ἀγρογειτόνων ὄρεσιν ἀπ' ἀλλήλων ἢ ποταμοῖς ἀπείργοντες ἑαυτοὺς τῆς παρ' ἑκατέρων ὠφελείας ἀμέτοχοι καθεστήκασιν, οὕτω δὴ καὶ ὑμεῖς τὰ ἑαυτῶν περιγράφοντες, τῆς κοινῆς καταψεύδεσθε κλήσεως· τὸ γάρ τοι ὁμωρόφιον, τοῦτο καὶ ὁμοδίαιτον, καὶ τὸ ἀδιάφορον τῆς ἐσθῆτος καὶ τοῦ ὀχήματος, καὶ τὸ κοινὸν τῆς δορυφορίας, τὰς διαστάσεις ἀναιρεῖ τῶν ἠθῶν· οἱ δέ γε διανενεμημένοι τῶν

ὁμογενῶν πρὸς διάφορον θεραπείαν καὶ οἰκειότητα, ἀλλοτρίοις τε ἤθεσι προσεκύνησαν καὶ τὰς γνώμας ἀπ' ἀλλήλων συνδιῃρήκασιν. Εὐδαιμονίαν μοι ἐπίστασθε, τὴν κτῆσιν τῶν ἀρετῶν· αὗται γὰρ συνάπτουσιν ἡμᾶς τῷ θεῷ, ὃ δὴ τὸ πρῶτον μακαριστὸν πέφυκε· τὴν δὲ λεγομένην τῆς εὐδοξίας μακαριότητα, προσοῦσαν μὲν ὅσον εἰκὸς ἀγαπήσατε, ἀπούσης δὲ μὴ μάλα τι δυσχεράνοιτε· οὐ γὰρ θαρρῶ τι πλέον εἰπεῖν, τῆς συγκλήτου βουλῆς γεγόνασι καὶ τῆς λαμπροτέρας. Καὶ ὥςπερ ἐπὶ τῶν γυμνικῶν ἀγώνων, ἰδιοῦται τὸ τοῦ προλαβόντος εὐδόκιμον ὁ κατόπιν ἐλθών, καὶ συστεφανοῦται ὁ ἀπολελειμμένος, ἂν οὕτω τύχῃ τῷ προδραμόντι, οὕτω δὴ καὶ ὑμῖν τὸ περισσεῦσαν θατέρῳ, κέρδος τῷ λοιπῷ καθεστάτω· καὶ τὴν ὁμοιότητα ἐν τοῖς κατὰ προαίρεσιν ἔχοντες, μὴ χαλεπαίνητε, εἰ ἐν τοῖς κατὰ περίστασιν παραλλάττοιτε· χρὴ γάρ, εἰ μὲν τὴν ἴσην ἀμφοτέροις τοῖς βίοις τὸ κρεῖττον τηρεῖ, ἀσμενίζειν, εἰ δὲ διαλλάττοι τὰ πράγματα, μὴ τὸ τῶν ἔξω διάφορον βιάζεσθε κἀπὶ τῶν γνωμῶν.

Τὰς διατριβὰς μὴ χωρὶς ἀπ' ἀλλήλων ποιεῖτε, ἀλλ' ἥ γε πρόοδος ὑμῖν καὶ ἡ ἔξοδος, καὶ τἄλλα, κοινὰ ἔστωσαν. Θῶπας ἀνθρώπους μὴ παραδέχησθε, μὴ δὲ φθάσῃ παρεισφθαρεῖσα κολακεία ταῖς ὑμετέραις ψυχαῖς, ἵνα μὴ τὸ φιλότιμον κατ' ἀλλήλων αὐξάνοντες, ἐν ταῖς ὑπεροχαῖς ἀλλήλοις διαφθονῆτε· εἰ μέν τις τὸν ἕτερον ἐξισοῖ θατέρῳ, ἢ ἀληθεύων, ἢ πρὸς τοῦτο παρακινῶν καὶ ζῆλον ἐμποιῶν τῆς ἰσότητος, τοῦτον ἡγεῖσθε τὸν μάλιστα πεφιληκότα ὑμᾶς· ὃς δὲ τὸ ὑπερέχον λεληθότως τῷ ἑτέρῳ χαρίζεται, φονέα τοῦτον ψυχῶν ἡγούμενοι, ἀποπέμποισθε. Μὴ θᾶττον μεταμορφοῦσθε οἷς ἂν συγγένοισθε ἐκ πρώτης ἐντεύξεως, ἀλλὰ τοὺς ψυχικοὺς χαρακτῆρας παραθεωροῦντες ἑκάστων, οἷς μὲν ἂν ὁμοιότητα συνειδῆτε, τούτοις συνδεῖσθε· τὸ δὲ παραλλάττον, εἰ μὲν κρεῖττον εἴη, μιμεῖσθε, εἰ δὲ χεῖρον, μωκεῖσθε· κοινῇ δὲ ποιεῖτε καὶ τὴν φυγήν, καὶ τὴν πρόσληψιν ἀλλήλοις ἀποτυποῦσθε· καὶ πρόσωπον ἅτερος θατέρῳ γινέσθω

καὶ ἔνοπτρον, ἵν' ἑαυτοῖς ἀντιπεριστάμενοι, τὴν ἑαυτοῦ τις φροντίδα τοῦ ἑτέρου ποιοῖτο, καὶ μηδεμία διάστασις ᾖ ἐφ' ἑκατέρου τῶν βουλευμάτων.

Εἴ τις ὑμῶν ἀλγοίη τὸ σῶμα, συνοδυνάσθω ἕτερος τῇ ψυχῇ· ἡ γὰρ ὁμοιοπάθεια, μέγιστον ὁμοφροσύνης τεκμήριον· ἐγκαλλωπιζέσθω ἑκάτερος τοῖς ἑτέρου πλεονεκτήμασι, καὶ σπουδαζέτω μὲν ἐφικνεῖσθαι τούτων καὶ μηδὲν παραλλάττειν τοῦ ἀδελφοῦ, ἀποτυγχάνων δὲ σεμνυνέσθω ὅτι κρείττων αὐτοῦ τυγχάνει ὁ ἀδελφός.

Ἀγησίλαος τὰ πρῶτα τῶν Λακεδαιμονίων καὶ πρὸ τῆς ἡγεμονίας ἐτύγχανεν ὤν· ἤνδρωτο γὰρ ὡς οὐκ ἄλλος, καὶ βουλευμάτων ἦρχε στρατηγικῶν· πολέμου δὲ κηρυχθέντος ὑπερορίου τοῖς Λάκωσι, δόξαν οὕτω τοῖς τέλεσιν, ἑτέρους στρατηγεῖν εἵλοντο, τοῦ δέ, καταπεφρονήκασι· καὶ τῆς ἀρχαιρεσίας λυθείσης, σεμνότερος οὗτος τῶν ἄλλων ἐφαίνετο, καὶ ἱλαρώτερος τοῖς ἀπαντῶσιν ἐδείκνυτο, καί τινος ἠρωτηκότος τὴν αἰτίαν τῆς διαχύσεως, « τῇ ἐνεγκούσῃ, φησί, τῆς εὐδαιμονίας συνεπαγάλλομαι, οὔπω γὰρ τηλικοῦτος ὢν μετὰ τῶν λογάδων ἠρίθμημαι ». Τὸν δέ γε Ρωμῦλον φονέα τοῦ ἀδελφοῦ πεποίηκε τὸ φιλότιμον, καὶ μικροῦ δεῖν καὶ αὐτὸς συναπώλετο, εἰ μὴ ταῖς τοῦ μητροπάτορος παρακλήσεσιν ἀνεκαλέσατο τὴν ψυχήν.

Καὶ τί δεῖ τῶν ἔξω παραδειγμάτων ὑμῖν; ἀγάλματα γὰρ ὑμῖν ἀνεστᾶσι τῆς ὁμογενοῦς συμφυΐας ἡ θεία καὶ ἱερὰ συζυγία, τὸν πατέρα καὶ τὸν θεῖόν φημι, ὧν ἑκάτερος ζῇ τε ἅμα καὶ τέθνηκεν· ὅ τε γὰρ ἀπελθὼν ἐκεῖσέ τε ἐστιν οἷ ἀπελήλυθε, καὶ ταῖς τοῦ ἀδελφοῦ μνήμαις καὶ πρὸς ἐκεῖνον ἀπαραλλάκτοις ἰσότησιν, οὔπω ἀπηλλάχθαι δοκεῖ· ὅ τε σὺν ὑμῖν οὗτος, τῆς ἀρχιερωσύνης ὁ διαυγὴς ἥλιος, τό τε λαχὸν τοῦ αἰῶνος μέρος πορεύεται καὶ ταῖς τοῦ ἀδελφοῦ μοναῖς τῷ φαντάσματι συναυλίζεται. Οἶδ' ὅτι μέγα φρονεῖτε τῷ θείῳ, καὶ πῶς γὰρ οὔ; ὃν οἱ πλείους, εἰ καὶ πόρρω θεάσοιντο, εὐτύχημα τοῦτο μέγιστον

ἥγηνται; ἀλλὰ πῶς ἂν ὑμᾶς ἀποδύρωμαι ὅτι μὴ τελείῳ τέλειοι συνωμιλήκατε τῷ πατρί; Ἔγωγ' οὖν πολλάκις ἐκείνῳ παραγενόμενος, τό τε εἶδος ἐθαύμασα, καὶ τὸ ἦθος ὑπερηγάσθην, καὶ τὸ ἱλαρὸν ὑπερηγάπησα τῆς ψυχῆς, βαθεῖ φρονήματι σεμνυνό-
φ. 155'. μενον | · ὁ μὲν γὰρ θεῖος, ἀλλὰ μή μου κατείποιτε πρὸς αὐτόν, ἐκ πρώτης ἡλικίας εὐθὺς τοῖς τε πολλοῖς ἀπέξεστο, καὶ τοῦ πολιτικοῦ φρονήματος κρείττων ἐτύγχανε, καὶ τὸ ἐσόμενον ὑπεσήμαινεν· οὗτος μὲν οὖν ἔσω τὰ ἴχνη τῶν ἠθῶν ἔστρεψεν, ὁ δέ, ἀλλὰ τίς ἐκείνῳ ἢ τὴν σύνεσιν ὅμοιος, ἢ τὴν γλῶτταν ῥητορικώτερος; ἔθυε δὲ καὶ μούσαις καὶ χάρισιν, εὐπαιδευσίας τε μὴ ἀπολειπόμενος συμπάσης, καὶ ταῖς ὁμιλίαις πᾶσαν καταγοητεύων ψυχήν· τὸ δὲ πρόσωπον, ἀλλ' ὁμοῦ τις ἐκεῖνον εἶδε, καὶ χορεύουσαν ἔνδον εἴκασε τὴν ψυχήν. Τοὺς ἄλλους οὖν ἄμφω νικῶντες, ἑκάτερος ἑκατέρου ἥττητό τε καὶ ἀπεκρέματο, καὶ τοσοῦτον ἦν τὸ ἀδιάστατον ἐπ' ἀμφοῖν, ὥσθ' ὅ φησιν ὁ λόγος περὶ Φωκίωνος (Ρωμαῖος δὲ οὗτος ἦν καὶ ἥρως ἄντικρυς, καὶ κρείττων ὡρῶν καὶ φιλόσοφος καθαρῶς), αἰσχυνόμενος ὅτι περ ἐν σώματι εἴη, διὰ ταῦτα ὑπὸ τὴν περιβολὴν εἶχε τὰς χεῖρας ἀεί, ὁπότε δέ τι τοῦ μέρους οὗτος γυμνώσειεν, ὥς περ τοὺς κομήτας οἱ ἀστρολόγοι, οὕτω δὴ καὶ οἱ τοῦτον τεθεαμένοι, σημεῖον ὑπερβολῆς ἐτίθεσαν καύματος· κατὰ ταῦτα δὴ τέρας ἦν ἰδεῖν, εἴ τις τῶν ἀδελφῶν θατέρου βαδίζει χωρίς, ἑκάτερος δὲ τὸν ἕτερον ἀπεσέμνυνεν· εἰ δέ τις ἐπαινεῖν εἵλετο τὸν ὁρώμενον, τὰς γνάθους εὐθὺς ἠρυθαίνετο, αἰδούμενος ὅτι μὴ συγκοινωνοίη τούτῳ τῆς εὐφημίας ὁ ἀδελφός.

Ἄμφω μὲν οὖν ὑπηρετησάτην τῷ πατρί, ἄμφω τὰς πατρικὰς ἐκληρονομησάτην εὐχάς, καὶ τῶν μὲν ἄλλων κρείττους ἐγενέσθην, τοῦ δὲ φθόνου ἥττους παρὰ πολύ· οἱ δέ, κοινῇ μὲν καὶ τῆς εὐδοξίας, κοινῇ δὲ καὶ τοῦ συμπεσόντος χειμῶνος συμμετεσχήκασι, καὶ τότε πρώτως κακῶς διηρέθησαν ἀπ' ἀλλήλων οἱ ἀλλήλοις ἐναπομείναντες· ἀλλ' ἡ ἐπιμανεῖσα τούτοις ἐριννύς,

δότε γάρ μοι παθητιᾶν κἂν τοῖς ῥήμασι, τῷ μέν, ἀθρόον ἐπέβαλε θάνατον, τῷ δέ, ἀφωνίαν καὶ ἔκπληξιν.

Ἀλλ' ὑμῖν τὰ πρῶτα ἀπόχρη πρὸς μίμησιν, τὰ δὲ τελευταῖα μὴ ἐπενέγκοι θεός. Ὁ μὲν οὖν Ἀχιλλεύς, ἵνα τὴν ὁπλιτικὴν παιδευθῇ, τὸν μιξάνθρωπον ἐκεῖνον Χείρωνα οὐ παρῃτεῖτο παιδευτήν τε ὁμοῦ καὶ σωφρονιστήν· ἡμῖν δὲ ἀρκεῖ τὸ βούλημα πρὸς τὴν καλλίονα τῶν ἠθῶν μεταχείρισιν, καὶ ὃ τοῖς γραφεῦσιν ὁ ἀρχέτυπος πίναξ καθέστηκε, τοῦτο ὑμῖν τὰ πατρικὰ ἔστωσαν διηγήματα, καὶ ἵνα τὸ πᾶν τῆς ὑποθέσεως κεφαλαιώσωμεν, ἀρετῇ καὶ λόγῳ καὶ τοῖς πατρῴοις καλοῖς, τρισὶ τούτοις πρὸς τὰ κάλλιστα χρώμενοι, οὐδενὶ μέρει τῆς ἀειζωΐας ἀπολειφθήσεσθε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Ζʹ.

## ΤΟΥ ΑΥΤΟΥ,

### ΕΡΜΗΝΕΙΑΙ ΕΙΣ ΚΟΙΝΟΛΕΞΙΑΣ.

---

### (*) 1. Περὶ τοῦ ὀνόματος τοῦ Κερατᾶ.

| Τέτριπται ἐν τῇ συνηθείᾳ τοῦ βίου τὸ τοῦ Κερατᾶ ὄνομα, φ. 191ʳ. κἀκείνοις τοῦτο προστρίβεται, ὅσοις ἡ σύνοικος παρ' ἑτέροις ἐναγκαλίζεται· καὶ δοκεῖ πως ὁ λόγος ἄλογος εἶναι, οὐκ ἔχων αἰτίαν, ἥτις τὴν προσηγορίαν ταύτην καινοτομεῖ· οὐ γὰρ οἷς ἡ ὁμευνέτις μοιχᾶται, κέρατα τῶν κροτάφων ἐκκρούει, οὐδὲ αὐτοὶ ἐξεπίτηδες κέρασιν ἑαυτοὺς καθοπλίζουσι· οὐ πρὸς ἀλλήλους διακυρίττονται, οὐχ ἑτέροις τὰς κεφαλὰς προσαρράσουσιν, οὐ πίτυλα ἐκκρεμμανῦσι τοῦ μετώπου, οὐκ ἄλλο τι τῶν κερασφόρων ἐκ τοῦ φανεροῦ ἰδίωμα ἐπιδείκνυνται. Ὅθεν παντάπασι δοκεῖ ἄπορον, ὁπόθεν ἡ πλάσις τοῦ ὀνόματος γέγονεν· ἵνα δέ σοι [ἡ]μεῖς τὴν ἀληθεστάτην παραστήσωμεν τοῦ πράγματος ἔννοιαν, αὐτοὺς πρώτους διέλωμεν, ὅσοις αἱ γυναῖκες κοινωνίαν πρὸς ἕτερα λέκτρα ἐσχήκασι· θῶμεν οὖν μὴ πάντας αὐτοὺς ὁμοίους εἶναι, ἀλλὰ τοὺς μὲν ἀγριαίνειν ἐπὶ τῷ πράγματι, καὶ μετὰ θορύβου πάντα ποιεῖν, τοὺς δὲ τιθασσοὺς εἶναι, καὶ ἡμέ-

(*) Ἐκ τοῦ ὑπ' ἀριθμὸν 10,014 ἑλληνικοῦ κώδικος τοῦ Βρεττανικοῦ Μουσείου (Additional MS., Frederick North).

ρους αὐτόχρημα, καὶ ἠρέμα τῇ τοῦ κακοῦ ζεύγλῃ τὸν τράχηλον ὑποκλίνοντας, καὶ μήτε πρὸς τὴν γυναῖκα δυσανασχετοῦντας, μήτε πρὸς τὸν συμμεριστὴν τοῦ ἰδίου σώματος ἀνιαρῶς ἢ δυσφόρως ἔχοντας, ἀλλὰ καὶ δεξιὰν τούτοις ἐμβάλλοντας, καὶ ἡδέως προσαγορεύοντας, καὶ ἀπὸ τῆς αὐτῆς σιτουμένους, καὶ κοινῶν ἐμφορουμένους ἁλῶν· τὴν γὰρ ἑτέραν μερίδα, ὅσοι καὶ προμνῶσιν ἑτέροις τὰς ἑαυτῶν γαμετάς, ἀποβουκολητέον τῷ λόγῳ.

Δυοῖν οὖν φανέντοιν τμημάτοιν ἀπὸ τῆς διαιρέσεως, καὶ τοῦ μὲν ἀγρίου ὀνομασθέντος, τοῦ δὲ τιθασσοῦ, τῇ ἡμέρῳ μοίρᾳ τὸ τοῦ κερατᾶ ἐνήρμοσται ὄνομα· ὁ δὲ πρῶτος ὀνοματοθέτης, πολιτικὸς ὢν ἀνὴρ ὁμοῦ τε καὶ σοφός, ἀπὸ τῆς τῶν ἀλόγων ζώων διαφορᾶς, ἐπὶ τὸ λογικὸν τοῦτο, τὸν ἄνθρωπον, τὴν ἀφορμὴν μετήνεγκε τοῦ ὀνόματος. Τῶν γὰρ ἀλόγων ζώων, ὅσα μὲν οὐκ ἔχει κέρατα, ὀργίλα καὶ ζηλότυπα περὶ τὰς εὐνάς· αὐτίκα ὁ λέων, εἰ μοιχευομένην ἴδῃ τὴν θήλειαν, διασπᾶται τοῖς ὄνυξι,
φ. 192. καὶ τὰς παρδάλεις | δὲ διαφθαρείσας οἱ ἄρρενες διολλύουσιν· αἵ τε ἄρκτοι ζηλοτυπώτατοι περὶ τὴν μοιχείαν τοῦ θήλεος, τοὺς δέ γε ἀετοὺς καὶ μάλιστα τοῦτο τὸ πάθος ἐνδύεται, οἵ γε καὶ τοὺς ἀπτέρους ἔτι δοκιμάζουσιν· εἰ γὰρ σκαρδαμύ[σσουσι] πρὸς τὸν ἥλιον, ὥς περ ἀποκλήρους ἐόντες, τῆς νοσσιᾶς ἀπελαύνουσιν· αἱ δέ γε περιστεραί, τὸ φιλάνθρωπον τοῦτο ζῷον καὶ ἥμερον, εἰ μέν τις ἀφαιρεῖται τὰ νεόττια, οὐδ᾽ ὁπωστιοῦν ἀντιβαίνουσι, καίτοι φιλάνθρωπον δ᾽ ἄλλως τῇ φύσει καὶ περὶ τὰ πάθη τῶν ἐκγόνων ὑπερβαλόντως καθέστηκε φίλοικτον, ἀλλ᾽ ἐκεῖναι τῶν μὲν νεοττῶν ἀφαιρουμένων, ὑφησυχάζουσι, εἰ δέ τις τῶν ὁμογενῶν, τὴν θήλειαν θέλει τοῦ ἄρρενος, καὶ μοιχεῦσαι ταύτην ἐπιχειρεῖ, ὁ ἄρρην διασπαράττεται καὶ περιτρύζει κύκλῳ περιιὼν καὶ ἀμύνεται τῷ φθορεῷ ταῖς πτέρυξι.

Καὶ ἁπαξαπλῶς σύμπαν τὸ ἄκερον γένος τῶν ζώων, ζηλοτυπώτατον περὶ τὴν σύνοικον· τὰ δέ γε κερασφόρα, σχεδὸν εἰπεῖν ξύμπαντα, ῥᾷστα τὸ πάθος ὑφίστανται, ὁπόσα μηκάζοι,

ὁπόσα βληχᾶται, ὁπόσα μυκᾶται, καὶ οὐδὲν αὐτοῖς ὀργίλον ἢ μνησίκακον ἐμπέφηνε, διὰ τὴν τῶν συζύγων δεινοτάτην διαφθοράν, ἀλλ' ὑπὸ τοῖς τοῦ Πλάτωνος νόμοις πολιτευόμενα, τὴν κοινογαμίαν ἀσπάζεται, καὶ τὸ ἴδιον ἀγαθὸν κοινοποιοῦνται τοῖς ἀλλήλοις· ὅθεν οὐδὲ οἱ τοὺς συζύγους αὐτοῖς διαφθείροντες, κύκλῳ περιΐασιν, ἢ λαθραίως ἐπιθόρνυνται ταῖς θηλείαις, ἀλλ' ἐνώπιον τῶν ἀῤῥένων ἐπιχειροῦσι τῷ πάθει. Ἐντεῦθεν γοῦν τὸν μὴ περὶ τὴν ἰδίαν γαμετὴν ζηλοτυποῦντα, μὴ δ' ἄλλως ἀγανακτοῦντα ἐπὶ τῷ πράγματι, κερατᾶν ὁ ὀνοματοθέτης ὠνόμασεν.

---

## (*) 2. [Περὶ τῆς ἐν Βυζαντίῳ γυναικείας πανηγύρεως τῆς Ἀγάθης].

| Οὐ τὰ σπουδαῖα μόνον αἱρεῖται φιλοσοφία, ἀλλὰ καὶ ὅσα f. 168.
τοῖς πολλοῖς δοκεῖ παίγνια καὶ ἀσπούδαστα· οὐ γὰρ πᾶν νόημα πρὸς τὸ κρεῖττον οἶδεν αἰχμαλωτίζειν, ἀλλὰ καὶ εἴ τις πρᾶξις ἐστὶ μετὰ τῆς χείρονος ὑπολήψεως, καὶ ταύτην εἰς τὴν κρείττονα μεταβιβάζειν τῷ λόγῳ, οὐ γεννῶσα μόνον ἀγαθὰ νοήματα τοῖς ἐθέλουσιν, ἀλλὰ καὶ μεταποιοῦσα τὰ τὴν ἀρχὴν τῆς ὑπάρξεως οὐκ εὐσχήμονα ἔχοντα, κατὰ τὴν τοῦ δημαγωγοῦ Μωϋσέως δύναμίν τε καὶ τελειότητα· κἀκεῖνος γὰρ καὶ ἐκ πέτρας ἀνίκμου ὕδωρ ἐξέθλιβε διειδέστατον οἷον καὶ πότιμον, καὶ πικρὰ ὕδατα μετέβαλεν εἰς γλυκύτητα.

Γυναιξὶ μὲν οὖν καὶ ὅσοις ἡ περὶ τὸ παίζειν φλυαρία περισπούδαστος πέφυκεν, ἡ τῆς Ἀγάθης παιζέσθω, εἴ τέ τις βούλοιτο καλεῖν ἐπίνοιαν, εἴτε ἀνάπλασιν, εἴτε τρυφὴν εὔκαιρον

(*) Ἐκ τοῦ αὐτοῦ Παρισινοῦ κώδικος, 1182.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τε καὶ ἄκαιρον, εἴθ' ὅ, τι ἂν εἴποι τις τῶν ἑτοίμων πρὸς τὴν τῶν τοιούτων ἀπόδοσιν, ἡμῖν δὲ φιλοσοφείσθω τὸ πρᾶγμα, καὶ μετὰ λόγου καὶ τοῦ προσήκοντος σχήματος πρὸς τὴν τῆς ἡμέρας λαμπρότητα ἀπαντήσωμεν, οὐ χοροὺς ἱστῶντες, οὐδὲ μέλη τινὰ ᾄδοντες, οὐδ' ὀρχούμενοί τε καὶ ἐξορχούμενοι, ἀλλὰ φιλοσοφοῦντες, τίς μὲν ἡ τῆς πανηγύρεως ὑπόθεσις, τί δὲ δηλοῖ τοὔνομα, καὶ τίς ἡ τοῦ τόπου μετάθεσις, καὶ πῶς γυναιξὶν ἀνεῖται ἡ τελετή, τίς τε ἡ κατὰ τῶν τοίχων γραφή, καὶ τὰ διάφορα τῶν ἱστουργουσῶν σχήματα, τὰ μέν, ὅτι κατωρθώκασι, τὰ δέ, ὅτι διημαρτήκασιν.

Ἔγωγ' οὖν νοερωτέρας ἐπιβολὰς εἰθισμένος ἐπιβάλλειν τοῖς πράγμασιν, οὐκ ἀκόμψως τὴν τῆς Ἀγάθης κλῆσιν κατανενόηκα, ἀλλ' οἴομαι εὕρημα τοῦτο εἶναι ἀνδρός, φιλοσόφου μὲν τὴν ψυχήν, σοφοῦ δὲ τὰ πολιτικά, καταδημαγωγοῦντος οἷον καὶ ἐξομαλίζοντος, οὐ τὸ ἄρρεν μόνον, ἀλλὰ καὶ τὸ θῆλυ γένος, μᾶλλον δὲ εὐφυῶς διὰ τῶν προσφυῶν ὀνομάτων μετατιθέντος τὰς τῶν ἁπλουστέρων ψυχὰς ἐπὶ τὰς κρείττονας ὑπολήψεις. Ἐβούλετο μὲν γὰρ ἐκ παντὸς τὴν τοῦ ἀγαθοῦ φύσιν ταῖς γυναιξὶν ὑποδεῖξαι καὶ φῆναι τὸ τελειότατον τέλος ἑκάστης πράξεως· ἐπεὶ δὲ οὐ χωρεῖ τὸ γένος ἀκοὴν τηλικαύτην, μετέπεσε τοὔνομα, προσόμοιον τῷ γένει τούτῳ πεποιημένον· ἐπεὶ δέ, οὐχ ὡς τὸ οὐδέτερον ἀγαθόν, ἀπολύτως καὶ τὸ θῆλυ ἐκφέρεται, ἀλλὰ δεῖ προσθήκης τινός, ἵν' ᾖ ἀγαθὴ φύσις, καὶ ἀγαθὴ ψυχή, καὶ ἀγαθὴ προαίρεσις, διὰ ταῦτα κύριον πεποίηκε τὸ ἐπίθετον, τὸν τόνον ἀναβιβάσας, ἵνα προσωποποιήσῃ τὸ πρᾶγμα, καὶ μετενέγκῃ τὸ θῆλυ ἐπὶ τὴν προσηγορίαν τοῦ θήλεος· καὶ πῶς γὰρ ἂν τὸ γένος ἐδέξατο τὴν αὐτοῦ τοῦ ὀνόματος φιλοσοφίαν, περὶ οὗ καὶ οἱ μέγιστοι τῶν φιλοσόφων διημφισβήτησαν; ἀλλὰ τὸ μὲν ἀπόρρητον ἀγαθὸν καὶ ὃ τέλος ἐστὶ πάσης πράξεως καὶ κινήσεως, καὶ μεθ' ὃ οὐδὲν εὕρηται, ἢ καταλέλειπται, ἐν ἀπορρήτοις κείσθω, καὶ μετὰ κρείττονος σχήματος φιλοσοφείσθω ἡμῖν.

Ἐπεὶ δὲ καὶ ἡ πολιτικὴ πρᾶξις, ὅση τε περὶ αὐτὸ τοῦτό ἐστι, καὶ ὅση μετὰ λόγου περαίνεται, ἢ συμμίκτως εὑρίσκεται, τέλος ἔχει τὸ ἀγαθόν, μὴ δὲ τὰς ἱστουργούσας, ἢ ὑφαινούσας, ἢ ξαινούσας τὰ ἔρια, στερήσωμεν τοῦ ὀνόματος, ἀλλὰ καὶ ταύταις, καὶ ἰδίᾳ ἑκάστῃ καὶ κοινῇ πάσαις τὴν ἐν ὑπονοίαις ταύτην Ἀγάθην προσαποδώσομεν, ἥτις ἐστὶ τὸ ἑκάστῳ πράγματι πρόσφορον ἀγαθόν, πρὸς ὃ τἆλλα ἐργάζονται, καὶ δι' ὃ τληπαθοῦσί τε καὶ τῶν συμφορῶν τὰς δεινότητας ὑφίστανται· ἀλλὰ καὶ ἡμέραν αὐταῖς ὡρισμένην τοῦ παντὸς ἀναθῶμεν κύκλου, καθ' ἣν ἀπαντᾶν δεῖ καὶ μυεῖσθαι τὰ τελεώτερα, τίς δ' ἂν ἄλλη προσήκοι ταύταις ἡμέρα τῆς νῦν τελουμένης μετὰ τὴν τῶν Ἐγκαινίων πανήγυριν; Εἰ γὰρ εἰκόνες τοῦ πρώτου καὶ τελειοτάτου ἀγαθοῦ, φημὶ δὴ τοῦ θεοῦ, τὰ μετ' ἐκεῖνο λεγόμενα ἀγαθά, δεῖ προϋπεῖναι τὸ φύσει πρῶτον καὶ ὄντως πρωταίτιον, εἶθ' οὕτως προσεῖναι τὴν ἔμφασιν.

Ἀλλὰ φιλοσόφῳ μὲν ἀνδρί, οὔτε περιγραπτὸν τἀγαθόν, οὔτε ἐκ περιόδου ἐπάνεισι, συμπέφυκε γὰρ αὐτῷ καὶ οὐδ' ὁπωςτιοῦν ἀπολιμπάνεται, γυναιξὶ δέ, ἀγαπητόν, εἰ καὶ διὰ χρόνου ἀνακυκλεῖται ἡ ἀπομνημόνευσις, ὁπότε καὶ αἱ θεῖαι πανηγύρεις ἡμῖν ἐν περιόδοις καὶ μηνῶν κύκλοις εἰσί, καὶ νῦν μὲν γεννᾶται Χριστός, αὖθις δὲ ἀναδείκνυται, μεθὸ τἆλλά τε ποιεῖ, καὶ οὕτως εἰς οὐρανοὺς ἄνεισι· καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις τὴν αὐτὴν ἡμέραν ἑκάστη τελετή, τοῦ ἐνιαυτοῦ ἐπανάγοντος.

Τὸ γάρ τοι ἀγαθόν, ὥςπερ ἀφ' ἑνὸς προϊόν, πρῶτόν τι καὶ δεύτερόν ἐστι κατὰ τὴν τῶν ὄντων τάξιν· καὶ τὸ μέν, ἐστι νοερόν, τὸ δέ, ψυχικόν, τὸ δέ, ἐν σώμασι καὶ ἐπιτηδεύμασι φαίνεται· καὶ αἱ ἀρεταὶ δὲ τοῦτο κατεμερίσαντο, καὶ ἡ πολιτικὴ δὲ πρᾶξις εἰς ἑαυτὴν κατενείματο· ἥ τε γὰρ νομοθετικὴ καὶ δικαστικὴ περὶ αὐτὸ σχίζονται, καὶ στρατηγική τε καὶ χαλινοποιητική, οἰκοδομική τε καὶ ναυπηγική, καὶ πρὸ τούτων ἡ ἀρχιτεκτονικὴ πρὸς τοῦτο ἔχει τὴν κίνησιν, καὶ

πάνθ' ἁπλῶς ὅσα μὴ εἰκῇ ποιῇ καὶ ὡς ἔτυχεν· ὅθεν καὶ τὴν βαναυσίαν ὑποτάξαις αὐτῷ, καὶ ὁ χαλκοτύπος γὰρ καὶ ὁ ἐριοβάφος πρὸς τὸ ἀγαθὸν τὰς τέχνας ἐργάζονται.

Τί οὖν τὸ ἄρρεν τοῦ γένους μόνον πρεσβεύσομεν, τὸ δὲ θῆλυ τοῦ τέλους ἀποστερήσομεν; οὔμενουν, οὔμενουν· ἀλλὰ καὶ αὗται οὐ τὴν ἄτρακτον μάτην ἑλίττουσιν, οὐδὲ τὴν ἠλακάτην ἀνατυλίττουσιν, οὐδὲ τῇ κερκίδι τὴν ἱστουργικὴν πράξιν ῥυθμίζουσιν, ἀλλὰ καὶ πρός τι καὶ εἵνεκά του, καὶ τἀγαθοῦ χάριν, ὃ δὴ καὶ ὑμνοῦσι καὶ πομπαῖς ἐτησίαις γεραίρουσι, πλάττουσί
φ. 163ᵛ. τε καὶ γράφουσι, καὶ μονονοὺ σεβάζονται ταῖς | τιμαῖς.

Ἀλλ' οὐδὲ τὸ ἱερατικὸν γένος, ἀμύητοι τοῦ πράγματος καθεστήκασιν· ὅθεν οὐδὲ ἀπαξιοῦσι τῶν ἱερῶν, ἀλλ' ὥσπερ ἐν προτεμενίσμασι τὰς εἰκόνας ἱστῶσι, καὶ τὰς πύλας τῇ τελετῇ ἀνεῴγασι, καὶ εἴσεισι τὸ γένος ἐν κόσμῳ καὶ τάξει, καὶ θεραπεύουσι τὴν γραφήν, καὶ κόσμους τινὰς ταῖς εἰκόσιν ἀνατιθέασι, καὶ ὡς ἐμψύχῳ τῷ ἀπορρήτῳ τέλει προσίασι, καὶ χοροὺς ἱστῶσι, καὶ ᾄσματα ᾄδουσι, τὰ μέν, πόρρωθεν πεποιημένα, τὰ δέ, αὐτόθεν μουσουργούμενα καὶ ᾀδόμενα.

Καὶ οὐκ ἂν τὴν ἡλικίαν αὐταῖς ἐπιμέμψαιο, οὐ γὰρ αἱ μείρακες μόνον τελοῦνται τὰ θεοφάνια· οὕτω γὰρ εἰπεῖν οἰκειότερον, ἔκφανσις γὰρ θεοῦ, τοῦ ἀγαθοῦ ἡ κατάληψις· ἀλλὰ καὶ ὅσαι παρηβηκυῖαι καὶ ἔξωροι, καὶ πρεσβύτιδες ἀκριβῶς, αἳ δὴ καὶ προμνήστριαι τῆς τέχνης δοκοῦσιν· αὗται τοιγαροῦν καὶ προΐστανται τοῦ χοροῦ καὶ κατάρχουσι τῆς ᾠδῆς, καὶ τῆς τελετῆς δεικνύουσι τὰ ἐξαίρετα· αἱ δὲ ἕπονται, ὥσπερ τἆλλα, καὶ ταῦτα μανθάνουσαι, καὶ προστετήκασι ταῖς εἰκόσι, καὶ τοῖς σχήμασι προσπεφύκασι, καὶ ὡς ἀληθείᾳ προσέχουσι τῇ σκιᾷ· ἡ δέ, διαπεποίκιλται· ἐνταῦθα μὲν γὰρ ἱστός, καὶ κρόκη, καὶ ὕφασμα, ἐκεῖ δὲ λῖνος ξεόμενος, καὶ κατορθοῦσα ἡ τεχνουργοῦσα· τὴν δ' ἂν ἴδοις διημαρτηκυῖαν τοῦ πράγματος, καὶ ἀτεχνῶς πεπηγυῖαν, ὅτι μὴ κατὰ λόγον τὴν ἠλακάτην ἐκίνησε, μὴ δὲ τὰς

μίτους τῶν στημόνων ταὐτίζουσα, δὶς τοσαύτας τοῖς δακτύλοις συνήθροισε, μὴ δὲ τὸ ὄργανον εὐφυῶς πρὸς τὸν ἀντίχειρα μετήλλαξε, μὴ δὲ τὴν ἴσην γραμμὴν τοῦ ὑφαινομένου ἐτήρησεν. Ἔνθεν τοι, ἡ μὲν ἀπηώρηται, ἡ δέ, ἔρριπται κατὰ γῆς, καὶ μικροῦ δεῖν καὶ φωνὴν τὸ πάθος ἐκρήγνυσιν· ἡ δὲ τιμωρός, φρικῶδες οἷον ἐμβλέπει καὶ ταῖς μαστιζούσαις ἐπικελεύεται· ἡ δὲ μαστιζομένη ἀπολοφύρεται, τοῖς σχήμασιν εἰκονίζουσα τὴν ἀλήθειαν, καὶ συναπολοφύρονται ταύταις αἱ θεωροί, καὶ τὴν εἰκόνα τοῦ πάθους γνωρίζουσι καὶ τὰ ἴσα παθεῖν δεδίασιν.

Ἀλλ' ἡ τελετὴ αὖθις ἐπανάγει πρὸς τὰ χαρμόσυνα, καὶ ξυμβεβλήκασιν ἀλλήλαις τὼ χεῖρε, καὶ ἐναλλὰξ ἐπὶ θάτερον στρέφονται, ὥςπερ αἱ σφαῖραι πλανώμεναί τε καὶ οὐ πλανώμεναι, τὸ μέν, ὅτι πρὸς ἕω, τὸ δέ, ὅτι πρὸς τὴν ἑσπέραν ἐλαύνουσι, καὶ ὁ ῥυθμὸς ἔμμουσος καὶ κατὰ λόγον ὁ ἐπῳδός, καὶ ἡ βάσις ἐρρύθμισται πρὸς τὸν χρόνον, καὶ τὸ ἐξαλλάττον τοῦ σχήματος σύνηθες ἤδη τῷ χρόνῳ καθέστηκεν.

Ἀλλ' ἡμεῖς μὴ ταῦτα, μὴ δὲ τοὺς χοροὺς καὶ τὰ σχήματα, ἀλλὰ τὴν φύσιν γνῶμεν τοῦ ἀληθοῦς δι' ὃ ἐκεῖνα· ἢν δὲ βούλησθε, γεγράφθω καὶ ὑμῖν εἰκών, ἀλλὰ μὴ τοιαύτη, μὴ δ' ἐν θηλυτέρῳ τῷ σχήματι, μὴ δὲ ἔξω ποι, ἀλλ' ὑφιστάσθω ἐν τῷ νοΐ ἀΰλως, ἀσχηματίστως, ὁποῖον αὐτὸ καθέστηκε τἀγαθόν, ἀφ' οὗ καὶ τἆλλα τὴν ἐπωνυμίαν ἴσχει· ὃ δ' ἂν πρὸς ἐκεῖνο ἀπεικασθείη, τοῦτο γὰρ καὶ φιλοσοφία βούλεται καὶ ἡ πολλὴ πρὸς αὐτὸ τείνει παιδεία· καὶ συλλογιζόμενοι γὰρ καὶ τὴν φύσιν διερευνώμενοι καὶ τὰς ἐπιστήμας ἐξακριβοῦντες, ἄλλοις τε ἐπαναβιβασμοῖς πρὸς τὸ μετεωρότερον χρώμενοι, πρὸς τοῦτο τὸ τέλος καταλήξομεν ἀναβαίνοντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## 3. Εἰς τὴν φωνὴν τὴν λέγουσαν, Σήμερον τὰ ἅγια κόντουρα.

Οὐκ ἀπὸ τῶν ὑψηλοτέρων μόνον φωνῶν, ἀλλὰ καὶ τῶν συνήθων καὶ ταπεινοτέρων ἐμφάσεις ἔστιν ὅτε τῶν θείων δεχόμεθα· οὕτω τοιγαροῦν ἀπὸ πτερύγων καὶ στεφάνης καὶ ἀναδέσμων τὸ εὐκίνητον φύσεών τινων καὶ τὸ συνεσπειραμένον εἰς νοῦν καὶ οἷον ἐνδεδεσμημένον ἀνετυπωσάμεθα· τί γοῦν κωλύει καὶ τὴν ἰδιώτιδα τῶν κουντούρων (sic) φωνήν, ἐπὶ τῆς μεγάλης ταύτης καὶ λαμπρᾶς συνήθως ἐπιφημιζομένην πανηγύρεως τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ ἐνανθρωπήσαντος λόγου, συμβολικῶς παραδέξασθαι καὶ κατ' ἐμφαντικὴν διερμηνεῦσαι δύναμιν;

Ἀλλὰ πρινὴ τῇ φιλοσόφῳ προσβαλεῖν θεωρίᾳ, αὐτὸ δὴ τὸ ἁπλοῦν σημαινόμενον γνωσώμεθα τοῦ ὀνόματος, καὶ ἐπὶ τίνων μὲν ὁ δημώδης λόγος τοῦτο τέταχε, τίνα δὲ εἴληχε τὴν ὑπόστασιν. Ἀρχὴ τοιγαροῦν τῆς συνθέτου ταύτης προσηγορίας ἡ τῶν Ρωμαίων ἀρχή· βουλομένη γὰρ ἀτόμους γνώσεις τῶν ὅλων ἔχειν, καὶ πάντα συμπεριλαμβάνειν ὅσα αἱ καθέκαστα τῶν πόλεων ἴσασιν, ἵππων ἐφεῦρεν ἐκ διαδοχῆς ταχυτῆτα, ἵνα μηδὲν τῶν ἐπ' ἐσχάτης γῆς ὁριζομένων ἐκπεφευγὸς ᾖ τὴν ἐκείνης αἴσθησιν· τὴν γοῦν ἅπασαν αὐτῆς ἡγεμονίαν διόδοις τισὶ κατατεμοῦσα πλατέσι καὶ στενοτέραις, εἴς τε τὸν ἑῷον φερούσαις καὶ εἰς τὸν ἕσπερον οἰκουμέναις, σταθμούς τινας καὶ ἱπποστάσεις ἐκ διαστήματος ἐν τοῖς οὕτω λεγομένοις κατεσκεύαζε δρόμοις, ἓξ ἢ τέσσαρα τῶν ταχυδρομούντων ὑποζυγίων ἑκάστη τῶν σταθμῶν ἐπιστήσασα· τοὺς δέ γε ἱππῶνας οὐ μακρὰν ἀπ' ἀλλήλων διέστησεν, ἀλλὰ μέτροις τισὶν ὡρισμένοις παρήλλαξε, τοσοῦτον ἀποτεμοῦσα ὁπόσον θέων ὁ ἵππος οὐκ ἂν ἐλαττώσῃ τὴν δύναμιν.

Ὁ γοῦν ἱππότης ἐκ διαδοχῆς ἐφιππεύων καὶ ἀεὶ νεωτέροις ἐντυγχάνων τοῖς ἵπποις, καὶ μηδαμοῦ τὸ πονοῦν ἔχον καὶ ἐλαττούμενον, διὰ πάσης καὶ ὁμοίας ἰσότητος, θᾶττον μὲν ἐς βορρᾶν ἀναβήσεται, θᾶττον δὲ ἐς Αἰθίοπας ἵξεται, καὶ τὸ διεστηκὸς τοῦ κράτους καὶ πόρρω κείμενον ταῖς τοιαύταις τῶν ἵππων ταχύτησι, συγκείμενον ὥςπερ καὶ ἀδιάβατον πέφυκεν.

Ἐπεὶ δὲ δημόσιον τὸ τοιοῦτον πρᾶγμά ἐστιν, οὐκ ἐκ τοῦ ταμείου, οὐδ' ἀπὸ τοῦ πρυτανείου ἡ συντέλεια καταβέβληται, ἀλλ' οἷόν τις κῆνσος καὶ τοῦτο τὸ χωρίον τισὶν ἐπιτέθειται. Οἱ γοῦν ἐπηχθισμένοι τὸ βάρος πρὸς τοῦτο καὶ μόνον ἠναγκάσθησαν, τῶν ἄλλων ἀφειμένοι λειτουργιῶν· περιέπουσι τοιγαροῦν τοὺς ἵππους οἷς τὸ τέλος ἐπιπεφόρτισται, καὶ νοσοῦσι μὲν ἴασιμα ἐπιτιθέασιν, ἀπειρηκότας δὲ ἀπαλλάττουσι, καὶ τὸν ἱππῶνα οὐκ ἐῶσι κενὸν τοῦ συνήθους μέτρου.

Ἵνα δὲ ἡ (*) τοιαύτη δημοσία ἵππος γνώριμος τοῖς πολλοῖς ᾖ, μύδρον μὲν οὐκ ἐπιτιθέασιν ἐγγράμματον τῷ μηρῷ, οὐδὲ τὰς μετωπείους ἀνασπῶσι τρίχας, οὐδὲ διασχίζουσι τοὺς μυκτῆρας ἢ τὰ λεπτὰ τῶν ὤτων ἀκρωτηριά|ζουσιν, ὅπερ σύνηθες τοῖς πολλοῖς ποιεῖν τῶν ἐθνῶν· τὸ δ' ὅσον ἀκρότατον τῆς οὐρᾶς ἀποταμόντες, ἀριδηλότατον σημεῖον τοῖς εἰδόσι τὸ πρᾶγμα δεδώκασιν. Ἐντεῦθεν τὰ τετμημένα, κόντουρα ἡ Ἑλληνικὴ χρῆσις ὠνόμασε, ταῖς συνήθεσι καταχρησαμένη φωναῖς. Καὶ τοιαῦτα μὲν τὰ παρ' ἡμῖν κόντουρα, κατ' οὐδὲν τῶν ἄλλων διαφέροντα ἵππων, ἢ ὅσον τῷ σχήματι. φ. 169.

Ἐπεὶ δὲ ἀρχή τις καὶ ἑτέρα ὑπὲρ ἡμᾶς πέφυκε, καὶ οἰκονομία κρείττων καὶ ἀρίστη διάταξις, καὶ δρόμος οὐκ ἐπίπεδος, ἀλλ' ὑψίδρομος, καὶ οἱ διαθέοντες πτηνοὶ τὴν φύσιν, ἐντεῦθεν καὶ τὴν ἀρχὴν ἐκείνην κατανοήσωμεν, καὶ τῆς ἰδιώτιδος λέξεως ὅσον εἰκὸς κἀκεῖσε μεταβιβάσωμεν. Δεῆσαν τοίνυν κατὰ καιρὸν τῷ πρώτῳ βασιλεῖ καὶ θεῷ, ἐπὶ τὴν γῆν ἐγένετο κάθοδος, καὶ

(*) χειρόγρ. ἢ.

ὁ ὑπὲρ ἡμᾶς ἀπείρῳ μέτρῳ, μᾶλλον δὲ ἀμέτρῳ καὶ ἀορίστῳ, καθ' ἡμᾶς ἐχρημάτισεν· εἶτ' αὖθις τὴν ἅπασαν οἰκονομίαν πεπληρωκώς, ἐπὶ τὴν ἰδίαν ὥς περ ἐπανῆλθεν ἀρχήν. Ὅρα γοῦν τὸ μεταξὺ ἡμῶν τε κἀκείνου διάστημα· ἀλλὰ κατιὼν μὲν πᾶσαν ἔλαθε φύσιν ὅση ἐγκόσμιός τε καὶ ὑπερκόσμιος· λέγω δὲ κάθοδον, αὐτὴν τὴν πρώτην ἐν τῇ Παρθένῳ ἐνοίκησιν· διὰ ταῦτα, οὔτε πομπῇ περὶ τὴν κάθοδον, οὔτε δορυφορίᾳ ἐχρήσατο· οὐδὲ γὰρ ὑπὸ σάλπιγξιν, οὐδὲ κραυγάζων ἐλήλυθεν, οὐδ' ὡς ἡ δρόσος ἡ Ἑρμὼν ἡ καταβαίνουσα ἐπὶ ὄρη Σιών, ἀλλ' ὡς ἡ σταγὼν ἡ ἐπὶ τὸν πόκον τοῦ Γεδεών, καὶ πρᾷος ὁ βασιλεὺς τῇ βασιλίδι τῶν πόλεων, φημὶ δὴ τῇ Σιὼν προσελήλυθεν. Οὐδαμοῦ τοίνυν ἐνταῦθα ἵππος, οὐδαμοῦ δρόμος, ἀλλὰ πάντα εἰρήνης καὶ γαλήνης μεστά.

Ἐπεὶ δὲ τὸ πᾶν συμπεπλήρωται, καὶ τὰ σωματικὰ τοῦ Χριστοῦ, κατὰ τὸν εἰπόντα, πέρας ἔσχε, καὶ ἡ σωματικὴ ἐπιδημία ἐσφράγισται, ἔδει δὲ καὶ τὸν τοῦ κοσμοκράτορος νικητὴν θρίαμβόν τινα καὶ πομπὴν εἰς οὐρανὸν στείλασθαι ἐπὶ τῷ μεγάλῳ τούτῳ καὶ ἀοιδίμῳ τροπαίῳ, καὶ μετὰ σώματος ἀνελθεῖν τῷ πατρὶ ἀφ' οὗ ἀσώματος κατελήλυθεν· ἐντεῦθεν τῶν δυνάμεων αἱ μέν, προτρέχουσιν, αἱ δέ, συνθέουσιν, αἱ δέ, προπομπεύουσιν, αἱ δέ, μέχρι παντὸς τὸν τοῦ μυστηρίου λόγον ἀγνοήσασαι, τῶν μεμαθηκότων ἐκεῖνο πυνθάνονται. Διὰ ταῦτα ἡ συνήθης τῶν πολλῶν ἐπὶ ταῖς φωναῖς χρῆσις, μὴ δυναμένη τὸ εἶδος τῆς ἀνόδου καταλαβεῖν, μὴ δ' ὀνομάσαι τὰς φύσεις ἐφ' ὧν ὁ δεσπότης ὀχούμενος ἀνελήλυθεν, ἐκ τῶν παρ' ἡμῖν συνήθως κειμένων ὀνομάτων, ἀναλόγως τὰ ἄρρητα εἴκασε, κόντουρα τὰς ἀναγωγοὺς δυνάμεις τοῦ λόγου κατονομάσασα, καὶ τοσοῦτον παρανομήσασα, ὅσον αὐθαδέστερον προσχρήσασθαι τῷ ὀνόματι. Ἀλλ' ἥ γε ἀναλογία τὴν τῆς γλώττης ὕβριν ἀνήρηκεν· ὃ γὰρ ἐνταῦθα τοῖς ἐπὶ δημοσίας ὁδοῦ διαθέουσι τοὔνομα, τοῦτο ἐκεῖ τῷ πρὸς οὐρανὸν ἀναβαίνοντι.

Εἰ δέ τις βούλοιτο περιεργότερον τὴν κλῆσιν ἐκλαβεῖν, φιλόσοφον εὑρήσει θεώρημα· τὸ γὰρ μέρος τοῦτο, τοῖς ἔχουσι φημὶ δὴ τὴν οὐράν, προσγειότερον τοῦ παντὸς καθέστηκε σώματος· τοῦ γὰρ ἄλλου μετεωροτέρου τυγχάνοντος, πλὴν τῶν ποδῶν, τοῦτο οὐκ ἀγχοῦ μόνον τῆς γῆς, ἀλλὰ καὶ ταύτης ἐφάπτεται· ἐπεὶ δὲ ἡ ἀγγελικὴ δύναμις ξύμπασα τοσοῦτον ὑπερῆρται τῆς γῆς, ὅσον προσψαύειν τῷ οὐρανῷ, καὶ τῶν μὲν χαμερπῶν καὶ ὑλικῶν ἀποβέβηκε, τοῖς δὲ ὑψηλοτέροις καὶ θείοις προσνένευκεν, οὐκ ἐκτὸς λόγου τὴν τῶν κοντούρων ἕξει προσηγορίαν· μείουρος γὰρ ὡς ἀληθῶς ἡ δύναμις ὅλη τῇ φύσει προσνενευκυῖα τῷ κρείττονι, κατὰ λόγον δὲ καὶ τῇ ἀνόδῳ ταῦτα προετοιμάζεται· μετὰ σώματος γὰρ ὁ λόγος ἄνεισι, θειοτέρου μέν, οὐ μέντοι τὴν φύσιν ἐκβεβηκότος· ὥςπερ γὰρ περιγραφῆς καὶ διαστήματος τὸ πρόσλημμα οὐκ ἀπήλλακται, οὕτως οὐδὲ βάρους ἢ πηλικότητος. Διὰ ταῦτα τὴν τοῦ μειούρου φωνήν, οὐ πάνυ τι βδελλυττόμεθα, δεῖται γὰρ ὡς ἀληθῶς τῶν φύσεων τὰ βαρύτερα ὀχούσης δυνάμεως· λέγω δὲ τοῦτο, οὐκ ἐπεδὴ τῷ τοῦ Κυρίου σώματι ἐπέδει τινὸς ἀναφέροντος, ὅλον γὰρ θεῖον ἦν καὶ θεὸς ἄντικρυς, καὶ τὸ σύμπαν μία ὑπόστασις σύνθετος, ἀλλ' ἵν' ἡμεῖς γνοίημεν ὅτι μετὰ σαρκὸς ὁ τὴν φύσιν ἡμῶν προσλαβόμενος ἀνελήλυθε.

Πάλαι μὲν οὖν οἱ παῖδες τοῦ Ἰσραὴλ ὑποστρωννῦντες τὰ ἱμάτια, ὅτε πρῶτον καὶ μόνως ἔφιππος τῇ Σιὼν προσελήλυθε, τὸν καλὸν ἐκεῖνον παιᾶνα προσῇδον, ὡς ἀννὰ τῷ τοῦ Ἰσραὴλ κράζοντες βασιλεῖ, νῦν δὲ ἡ εὐσεβὴς ἐφ' ἡμῶν ἐκ πρώτης γενέσεως νεολαία μεγαλεπηβόλως ὑπὸ ψελλιζούσῃ γλώττῃ τὴν τοῦ Κυρίου ἀνάληψιν ἐννοεῖ,

> Σήμερον (γάρ φησι) τὰ ἅγια κόντουρα,
> καὶ αὔριον ἡ Ἀνάληψις.

ἀρχικὸν ὄντως τὸ πρόγραμμα· ὥςπερ γὰρ βασιλέως πομπήν τινα διαθεῖναι μέλλοντος, κήρυκές τινες καὶ προγράμματα πρὸ

μιᾶς ἔστιν ὅτε τὴν πρόοδον καταγγέλλουσιν, οὕτω δὴ καὶ τὰ παρ' ἡμῖν θειότατα νήπια αὐτομάτως τῆς θείας ὑποπλησθέντα σοφίας, ὑπὸ φοινικοῖς ὥςπερ τοῖς γράμμασι τὴν ἐσαύριον ἄνοδον τοῦ Κυρίου καταγγέλλουσιν, ὅπως ἂν αἱ δυνάμεις ἑτοιμασθῶσιν, ἡ ἀγγελικὴ τάξις εὐτρεπισθῇ, ἡ ἀρχαγγελική, πᾶν ὅσον ὑψηλότερον καὶ μετέωρον, ἵν' αὔριον ὁ βασιλεὺς ἐποχηθεὶς τῇ ἑτοιμασίᾳ τὴν ἐναέριον ταύτην διάθηται πομπήν.

Διὰ ταῦτα οἵγε πλείους ἡμῶν καὶ εὐσεβέστεροι, μὴ δὲ τὸ φαινόμενον ἀτιμάζοντες, καὶ τὸν ἀέρα εὐωδιάζομεν, καὶ ἀρωμάτων πληροῦμεν πᾶν ὅσον ὕπαιθρον, συνεισφορά τις ὥςπερ τῇ δορυφορίᾳ γινόμενοι, καὶ προϋπαντῶντες τῷ λόγῳ εἰς οὐρανοὺς ἀναβαίνοντι· τὸ γὰρ ἅπαξ γεγονὸς ταῖς περιόδοις καὶ ἀποκαταστάσεσι τῶν ἐγκαινίων ὡς ἀεὶ γιγνόμενον ἔχομεν.

---

φ. 169ᵛ.

## 4. Πρὸς τό, ἴδε, καὶ τό, ἐξέστηκεν.

Ὁ δημώδης λόγος καὶ φλύαρος, καὶ τοῖς γε λεγομένοις ἑτοιμολόγοις ἀνδράσιν ἀστεϊζόμενος, ἐπὶ τὸν κυρτὸν ἀναφέρει τόνδε τὸν λόγον, ἀλλ' ἥ γε φιλοσοφία καὶ ἐξ ἀκάνθης ῥόδα πειρᾶται τρυγᾶν, καὶ ἀπὸ πέτρας ἀρύειν ὕδατα· τί ποτ' οὖν κἀντεῦθεν ἐκέρδησεν; Ἐπὶ τὴν ἀσώματον οὐσίαν ἀνάγει τὸν θεωρόν, καὶ οὐ παντάπασι τοῦτον ἐᾷ ἐγκαλινδεῖσθαι τοῖς σώμασιν.

Ἐπειδὴ γὰρ τῶν ὄντων, τὰ μὲν εἰσι σώματα, τὰ δέ, ἀσώματα, καὶ τῶν ἀσωμάτων τὰ μέν, περὶ τὸ σῶμα ὑφίσταται, ὡς αἱ ἐπιφάνειαι καὶ τὰ σχήματα, τὰ δέ, ἐφ' ἑαυτῶν ἕστηκεν, ὡς αἱ λογικαὶ φύσεις, καὶ λογικαὶ νοεραί, καὶ τῶν σωμάτων παντάπασιν ἐξεστήκασιν, ἴδε, φησὶν ὁ λόγος, καὶ τὸ ἐξεστηκός, ὅπερ ἐστί, θεώρησον τὸ εἰλικρινὲς καὶ ἀσώματον, καὶ πάντη τῶν σωμάτων ἀπόλυτον, καὶ αὐτὸ δὴ τοῦτο ἐξεστηκός.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εἰ δὲ βούλει, καὶ ὑψηλότερον τὸν λόγον θεώρησον· τάχα προτροπή τίς ἐστι τοῦτο εἰς τὴν τοῦ θεοῦ κατανόησιν· οὗτος γὰρ τῶν ὄντων πάντη ἐξέστηκεν, οὐ μόνον ὑπὲρ τὸ σῶμα καὶ ἀσώματος ὤν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν σχέσιν καὶ πρὸς τὰ ἐφεξῆς νεῦσιν· αἱ γὰρ λεγόμεναι θεωρίαι καὶ ὁμιλίαι καὶ συγκαταβάσεις, ἄνευ τῆς τοῦ μυστηρίου κενώσεως, οὐκ ἐκείνου εἰσὶ πρὸς ἡμᾶς καταβαίνοντος, ἀλλ' ἡμῶν πρὸς αὐτὸν ανιόντων· ἐκεῖνος γὰρ καὶ ἀγγέλων καὶ ἀρχαγγέλων ἐξέστηκεν, ἀσυγκρίτως πάντων ὑπεραναβάς· ὁ γοῦν ὁρῶν ἐν συμβόλοις, οὐκ ἐξεστηκότα ὁρᾷ.

Ἐρρίφθησαν οὖν ἡμῖν αἵ τε νεφέλαι καὶ οἱ ἤλεκτροι, αἵ τε ἱππασίαι καὶ τὰ ὀχήματα, ἵν' ἴδοιμεν τὸ ἐξεστηκός, ἀθέατον μὲν οὐκ αἰσθήσεσι μόνον, ἀλλὰ καὶ ταῖς ἀδρανεστέραις νοήσεσι, μόνῳ δὲ καταληπτὸν τῷ αὐγοειδεῖ τῆς ψυχῆς ὄμματι, ὅπερ ἐστὶν ὁ θεωρὸς νοῦς τοῦ ἐξεστηκότος.

---

## 5. Εἰς κοινολεξίαν, τό, ὅ τ ι  ἔ φ θ α σ ε ν.

Ἔφθασέ τις εἰπών, ὅτι ἔφθασεν, ἢ ὡς γράψας, ἢ ὡς εἰπών, εἶτα δὴ παρὰ τοῖς πολλοῖς διαβέβληται· καταγελῶσι γὰρ ἔνιοι τῶν περὶ λόγους ὡς ἰδιωτικῆς τῆς συνθέσεως καὶ διημαρτημένης κατά τε τὸν νοῦν καὶ τὴν λέξιν ὁμοῦ. Ἐγὼ δὲ πολλάκις τὴν τοῦ ῥήματος κατανοῶν δύναμιν, θαυμάζω τῶν καταγελᾶν ᾑρημένων τοῦ εἰρηκότος.

Ὅτι μὲν γὰρ οὐ παρὰ τὴν Ἑλληνικὴν χρῆσιν ἡ προφορὰ ἐσχημάτισται, αὐτόθεν ὁ λόγος τὸν ἔλεγχον δίδωσι, τῆς στιγμῆς ἀπολαμβανούσης τὸ ἄρθρον καὶ διαιρούσης τὸν σύνδεσμον, ὃ καὶ μᾶλλον ἐν ταῖς ἀττικωτέραις τῶν συντάξεων εὕρηται· τὸ δέ γε ῥῆμα καὶ τοῖς ἀρχαίοις διεσπούδασται τῶν ῥητόρων·

φθάνουσί τε πολλάκις ἐκ τῆς ὅλης προτιθέντες συνθήκης, ἢ ὑποτιθέντες, ἢ παραπλέκοντες· ὅπου δ' ἂν ὁ λόγος ἐμπέσοι, τὴν ὅλην ἑρμηνείαν ἐκόσμησε, μάλιστα δὲ ἐν ταῖς περιόδοις ἰσχύει, στρογγύλον τέ ἐστιν ὡς οὐκ ἄλλο, καὶ συγκλείει τὰ διακεχυμένα νοήματα· εἰ δὲ τραχείᾳ τῇ γλώττῃ ἐκφέρεται, καὶ ἡ τῶν στοιχείων κράσις οὐκ ἐμμούσως αὐτῷ καταμέμικται, κατηγορεῖν οὐκ ἐχρῆν· οὐ γὰρ ἁπλῆ τις ἡ συνθήκη τῶν λέξεων, οὐδὲ μονοειδὲς τὸ καλόν, ἀλλὰ τὸ μέν, ἐκ τῆς τῶν ὀνομάτων συνέστηκεν ἐμμελείας τε καὶ λειότητος, τὸ δέ, ἀπὸ τῶν δυσηχεστάτων στοιχείων καὶ ὅσα μὴ εὔσχημον ἔχῃ τὴν προφοράν, ἡ δὲ μέση ἁρμονία ἐξ ἀμφοτέρων τῶν ἄκρων συμμέμικται.

Ζηλωταὶ δὲ ἑκάστου τῶν χαρακτήρων ἄλλοι ἄλλου γεγόνασι, ποιηταί τε καὶ λογογράφοι, καὶ τῶν ποιητῶν ὅσον ἐποποιόν τε καὶ τραγικόν, κωμικόν τε καὶ σατυρικὸν καὶ Αἰσώπειον. Αὐτίκα Αἰσχύλος μὲν τραχύνει τὴν ἀκοὴν οὐκ εὐήχοις ὀνόμασιν, ἀλλὰ τραχέσι καὶ δυσφώνοις εἰς ὄγκον ἐξαίρων τὴν ποίησιν· μικρόν τι τούτου ἀποδεῖ Σοφοκλῆς, λειότερον δὲ τὸν λόγον μεταχειρίζεται ὁ Φλιάσιος Εὐριπίδης. Τῶν δὲ κωμικῶν, Ἀριστοφάνης μὲν βάναυσός ἐστι τὰ πολλά, καὶ θηλυμανής, παίζων ἐν τοῖς ὁμοίοις σχήμασιν, ἀντιθέτοις καὶ παρίσοις καὶ τοιούτοις δή τισι βωμολόχοις παίγμασιν ἢ σπουδάσμασι τὴν κωμικὴν καθυβρίζων σκηνήν· τὰ δέ γε Μενάνδρεια, τούτων μὲν καταπεφρόνηκε, μεγαλοπρεπῆ δέ εἰσι καὶ διερρυηκότα τοῖς ἁπαλοῖς ῥήμασι· τοιαύτη καὶ ἡ τοῦ Πινδάρου μοῦσα καθέστηκεν· εἰ γὰρ καὶ πρὸς αὐλὸν ἡρμόσατο τὰ ποιήματα, ἀλλ' οὐ μουσουργεῖ αὐτῷ τὰ ὀνόματα ἡ πάμφωνος ἁρμονία, ἀλλ' ἡ σύντονος κράσις καὶ τὸ ποιητικὸν καὶ ἐπηρμένον τῆς λέξεως. Ἐξῃρήσθω τοῦ λόγου ὁ ποιητής· οὗτος γὰρ τὴν διὰ πασῶν ἁρμοσάμενος, κατάλληλος τοῖς ὑποκειμένοις ἐστί.

Καὶ ταῦτα μὲν οὐκ ἀκαίρως τῷ λόγῳ συμπαρηνέχθησαν· ἡμῖν δὲ τοῦτο διωμολογημένον, ὅτι καὶ ἡ διάφορος τῶν στοι-

χείων ποιότης, οὕτως ἢ ἐκείνως συναρμοσθεῖσα, τραχεῖαν ἢ ἐμμελῆ τῶν ὀνομάτων τὴν συνθήκην ποιεῖ· εἰ μὲν οὖν παρὰ μέρος καὶ ἀνωμάλως τὰ φωνήεντα τοῖς συμφώνοις συνθέσει τις, καὶ τῶν συμφώνων ὅσα μελιχρὰ καὶ ἡδυμελῆ, λειότητά τινα μηχανήσεται τοῖς ὀνόμασιν, εἰ δὲ διπλάσια τὰ σύμφωνα ποιήσεται τοῖς φωνήεσι, καὶ τούτων ὅσα δύσηχά τε καὶ δύσφραστα, ὀγκωδεστέραν καὶ ὑψηλοτέραν ἀποδώσει τὴν προφοράν, ὁποῖόν ἐστι καὶ τουτὶ τὸ ῥῆμα, περὶ οὗ τῷ λόγῳ διαλαμβάνομεν.

Τὰ μὲν οὖν σωματικὰ τοῦ λόγου, οὕτως εὐμήκη τε καὶ καλά, καὶ τὸ εἶδος αὐτῷ ὥς περ ὑπ' αἰθομένῳ πυρὶ γεραρόν, ὁποία δὲ καὶ ἡ κινοῦσα τοῦτο δύναμις, ἴδωμεν. Διπλοῦν δὲ ταύτης τὸ πρόσωπον, τὸ μέν, κατὰ πρόσωπον, τὸ δέ, ἵν' οὕτως εἴπω κατὰ περίληψιν, ἢ κατὰ τὴν εἰς τὸ τέλος ἀναφοράν· τοῦτο δὲ οὐδὲν ἄλλο, ἢ νοῦ φύσις τελεωτέρου, τὸ μέν τι προλαμβάνοντος, τὸ δέ τι καταλαμβάνοντος. Ἔφθασέ τις εἰπών, ὅπερ ἐστὶ τὸ προείληφε, καὶ ὃ ἔφθασεν εἶπεν, ὅπερ ἐστὶ τὸ κατείληφεν.

Ὁ μὲν οὖν τῶν πολλῶν νοῦς δυεῖν θάτερον ἁμαρτάνει, ἢ τοῦ σκοποῦ βάλλων ἐνδότερον, ἢ προεκπίπτων ὥς περ ἐν τοῖς τοξεύμασιν, ὁ δέ γε τῶν σοφῶν καὶ ἐξηρημένος, ἀμφοτέρας παριδὼν τὰς ἀκρότητας, οὗπερ ἐφίκετο, τοῦτο προσήκατο· πολλάκις δὲ προκαθηράμενος καὶ οἷον μαντικώτατος γεγονώς, προεῖδέ τε τὸ ἐσόμενον, καὶ ἔφθασε τοῦτο προειρηκώς· διαφέρομεν γὰρ οὐχ ἧττον τοῖς μεγέθεσι τῶν νοῶν, ἢ τοῖς σώμασι, καὶ ὁ μέν τις ἡμῶν πηχυαῖός ἐστι τὸν νοῦν, ἢ παλαιστιαῖος, ὁ δέ, ὑπερκύπτει τῶν οὐρανῶν· καὶ ὃς μὲν ἐκ διαμέτρου τοῖς ἀστράσιν ἕστηκεν, ὃς δέ, βραχύ τι τοῦ ἀέρος ὑπερεπήδησεν· ὅσοις μὲν οὖν πρὸς τὸ μέτρον τῆς νοερᾶς ἡλικίας ἡ γνώμη παρα|μεμέτρηται, οὗτοι ὃ ἔφθασαν εἰρηκότες, μετὰ τῆς τῶν ἐπαινουμένων μερίδος ἑστήκασιν, οἱ δέ γε παρὰ τὴν φύσιν ὑπεραιρόμενοι, πρὸς τὸν οὐρανὸν χαμόθεν διακυρίττονται, καὶ εἰπόντες ὃ μὴ ἔφθασαν, αὐτοί τε τοῦ δέοντος ἡμαρτήκασι καὶ τοὺς παραδεξαμένους φ. 170.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸν λόγον σφίσιν αὐτοῖς διεφθάρκασιν. Οὕτω καὶ Παῦλος, τὸ μέρος τῆς τοῦ θεοῦ γνώσεως φθάσας, ὃ ἔφθασεν εἰρήκει, καὶ τὴν τῶν πολλῶν ἐπιθυμίαν συνέστειλε, καὶ διά γε τοὺς ἐκείνου λόγους ἔσοπτρά τε καὶ αἰνίγματα τῶν ἀδήλων τὰ δηλούμενα πέφυκε· καὶ ὁ ἐπὶ τὸ στῆθος ἀναπεπτωκὼς Ἰωάννης, ἡμεῖς, φησί, τέκνα θεοῦ ἐσμέν, καὶ οὔπω οἴδαμεν ὃ ἐσόμεθα. Ὁρᾷς ὅπως καὶ τοῦτο, νοῦ ἐστι φθάσαντος τὸ μὴ κατειληφέναι τὸ εἶδος τῆς τῶν ἐσομένων ἐκβάσεως;

Οἱ μὲν οὖν ἡμέτεροι θεολόγοι ὃ ἔφθασάν τε εἰρήκασι, καὶ σύμφωνον τοῖς πράγμασι τὴν ἀλήθειαν ἐκδεδώκασιν· οἱ δέ γε τῶν Ἑλλήνων σοφοί, τὸ μέτρον ὑπερβάντες τῆς οἰκείας δυνάμεως, ὧν τὴν γνῶσιν οὐ κατειλήφασι, ταῦτα τῇ γλώττῃ κενοδρομήσαντες ἀποδεικτικῶς ὡς ᾠήθησαν ἐπιστώσαντο· εἴρηκέ τις ἐκείνων ἄτομα καὶ κενὰ προϋφεστηκέναι τῶν ὅλων, ἕτερος δὲ ἰδέας τινὰς ἀσωμάτους τῆς συμπάσης δημιουργίας προϋπεστήσατο, καὶ ἄλλος ἄποιον τὴν ὕλην καὶ γυμνὴν τοῦ εἴδους εἰσενεγκών, πολλῶν ἀποριῶν τὴν φιλοσοφίαν ἐμπέπληκε· καὶ ἵνα τἄλλα ἐάσω, περὶ τῶν ἐκλελοιπότων χρηστηρίων, οἱ μέν, φθορὰς τῶν πνευμάτων τῆς ἐκλείψεως ᾐτιάσαντο, οἱ δέ, τὸν καταβεβηκότα δι' ἡμᾶς λόγον καὶ αὖθις ἀναβεβηκότα, καὶ διὰ τῆς καθόδου τε καὶ ἀνόδου τὸ τῶν δαιμόνων πλῆθος ἐξαφανίσαντα. Τίνες οὖν εἰρήκασιν ἅπερ ἐφθάκασιν; οὐχ οἱ τὴν δευτέραν αἰτίαν ἐκδεδωκότες, δι' ἣν τὸ μεσότοιχον ἀνῄρηται, συνῆπται δὲ τὰ ἐν γῇ τοῖς οὐρανοῖς; πάλαι μὲν γὰρ παλαμναῖοι καὶ ἀλάστορες δαίμονες, διὰ τῆς ἑαυτῶν μεσότητος, τὰς ἀκρότητας ἀπετέλουν· ἐπεὶ δὲ κατεληλύθει Χριστός, ἀφῃρέθη τὸ διατείχισμα καὶ συνεληλύθει τὰ διεστῶτα. Ὁρᾷς τὴν τοῦ ῥήτορος δύναμιν, ὅση; σὺ δέ, ὡς ἔρημον τοῦ προεστῶτος, προεπηλάκιζες τάχα τὸ ὄνομα, καὶ εἰ μή που φθάσαντες νεανικῶς νενικήκαμεν, τάχα ἂν καὶ ἐξωστράκισας τῆς Ἑλληνικῆς ἀπελαύνων συντάξεως.

Πεποίηκε δέ σοι τὴν διαβολήν, ὡς οἶμαι, ἡ τῶν πολλῶν γλῶττα συνήθως αὐτὸ καὶ ἀπερισκόπως τοῖς τολμῶσι μᾶλλον ἢ ἀκριβοῦσι τὰ λεγόμενα περιφέρουσα· ἔστι δὲ τούτου λόγος, ὅτι τοῖς πάλαι ἀνθρώποις, οὐ μελετᾷν μόνον Ἀττικῶς τὸ σπούδασμα ἦν, ἀλλὰ καὶ τὸ λεκτικὸν ἐν ταῖς προφοραῖς εὖ μάλα διεσπουδάζετο· ἡ δὲ τῶν γενῶν διαδοχή, τὰ μὲν σώζει τῶν πάλαι προφερομένων, τὰ δέ, μετὰ τῶν ἄλλων καλῶν ἀπολώλεκε, τὰ δέ γε σωζόμενα τοῖς νοθογενέσι παρασυμπλέκοντες, λανθάνουσιν ἑαυτούς τε καὶ τοὺς ἀκηκοότας τοῖς πολυτιμήτοις τῶν λίθων καὶ τὸ ἄνθος ἐκ τοῦ βάθους ὑπαστράπτουσι, τὰ εὔωνα ταῦτα καὶ ἐπίκτητον τὴν βαφὴν ἔχοντα λιθίδια παρενείροντες· ἀλλὰ σύ γε τὸν ἐν λόγοις χρυσὸν ἀπὸ τῆς γῆς μεταλλεύων, τὸ μὲν ὅσον γεῶδες καὶ ἄχρηστον πρὸς ἀνάληψιν ἐρριμμένον, ἔα, τὸ δ' ὅσον καθαρόν τε καὶ ὑπαστράπτον, καὶ τοῦτο ὅπερ ἐστὶ ῥινήματι χρυσοῦ ὅμοιον, εἰ καὶ τῇ ἰλύϊ συμπεφύρηται, ἀναλαμβανόμενος τοῖς Ἀττικοῖς περίπλεκε ὁρμαθοῖς.

---

## 6. Ἕτεραι ἐξηγήσεις καὶ τῶν παρ' ἡμῖν ἀστείων λόγων καὶ δημωδῶν, καὶ μετάφρασις τούτων ἐκ τοῦ ἀστείου εἰς τὸ βέλτιον καὶ ὑψηλότερον.

### Α'. Εἰς τό, Κάθου βλέπε τὴν αὐλὴν καὶ μὴ τὴν θάλασσαν.

Καὶ τοῦτο δημῶδες, κάθου βλέπε τὴν αὐλήν, ἀλλὰ μὴ τὴν θάλασσαν, ἀλλ' ὁμοίως φιλόσοφον, οὐχ ὡς τοῦ δήμου φιλοσοφοῦντος, ἀλλ' ὡς τοῦ πρώτως εἰρηκότος ὑψηλότερόν τι ἴσως ἐνθυμηθέντος· ἐπειδὴ γὰρ θαλάσσῃ ὁ βίος ἀπείκασται, ἅτε ταραχώδης, διακυμαίνων τὰ πράγματα, εἰς τὴν πατρῴαν ἡμᾶς αὐλὴν ἀπὸ τοῦ ἐνταῦθα κλύδωνος ἀναπέμπει ὁ λόγος·

αὐλὴ δὲ τοῦ νοερῶς ἡμᾶς γεννήσαντος, εἰ μὲν βούλει, τὸ ἀρχαῖον ἔδαφος, ὁ παράδεισος, εἰ δ' οὖν, ἡ περὶ τὰ θειότερα τῶν ὄντων εἰσαγωγή. Καὶ ἄλλως δὲ τὸν λόγον ἐφερμηνεύσεις· ἐπειδὴ γὰρ οἶκός ἐστι θεοῦ ὁ θεωρητικὸς νοῦς, αὐλὴ ἂν εἴη πρὸς τὴν θεωρίαν εἰκότως ἡ πρακτικὴ ἀρετή, ἣν μετιόντες, τοῖς ἀπὸ τῶν ἐνύλων πνευμάτων περιηχούμεθα κύμασι· φησὶν οὖν ὁ λόγος προτρέπων κατὰ τὸ λεληθός, μὴ πρὸς τὴν θάλασσαν ἐνατενίζειν, μὴ δὲ οἷον ἐκεῖθεν περὶ τὸν πνευματικὸν ταράττεσθαι πλοῦν, ἀλλὰ περὶ τὴν αὐλὴν ἐστράφθαι καὶ ταύτην περισκοπεῖν, ἵν' εἴ πως ἐντεῦθεν εἰς τὸν πατρῷον εἰσελευσόμεθα οἶκον.

## Β'. Ὁ γύρος δένδρα μαραίνει.

Τὸ δέ, ὁ γύρος δένδρα μαραίνει, τὸ ἀκριβὲς ἐκ τῆς ἡλιακῆς ἔχει περιφορᾶς· τὴν γὰρ χειμερινὴν ὥραν εἰς νότον ἐκ τοῦ βορείου ἀπελαυνόμενος κλίματος, καὶ οἷον γύρον ποιούμενος τὴν περιτροπήν, τὸ τεθηλὸς ἀφαιρεῖται τῶν δένδρων καὶ ὥς πέρ τινα μαρασμὸν αὐτοῖς ἐμποιεῖ.

## Γ'. Εἰς τό, τὸν μωρὸν ταχὺ ἀποθνήσκειν.

Τὸ δέ, τὸν μωρὸν ταχύτερον ἀποθνήσκειν τῶν ἄλλων, οὐ γέλως ἐστίν, οὐ δὲ παίγνιον, ἀλλ' ἀκριβὴς λόγος καὶ τῷ ὄντι φιλόσοφος· ὁ γὰρ τὴν φλυαρίαν καὶ περιττὴν σοφίαν ἀφείς, καὶ τὴν μωρίαν ἠγαπηκὼς τοῦ θείου κηρύγματος, μωράνας τὸ σῶμα τῆς ταπεινώσεως, τὸν ἑκούσιον ἐπισπᾶται καὶ προαιρετικὸν θάνατον, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι πόρον, οἷα μωρός, τοῖς ἄλλοις ἀνοίγει τοῖς ἀπὸ τῶν ἐνταῦθα πρὸς τὰ θειότερα διαβάσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Δ΄. Τίς ὁ λίθος ὃν ἔρριψεν ὁ μωρός καὶ ἑκατὸν φρόνιμοι οὐκ ἴσχυσαν ἀνελεῖν;

Ὁ λίθος ὃν ἔρριψεν ὁ μωρός, ἑκατὸν δὲ φρόνιμοι οὐκ ἴσχυσαν ἀνελεῖν, ὁ ἀκρογωνιαῖός ἐστι Κύριος, ὁ συνδήσας τὰ διεστῶτα, καὶ τὰ διεσκορπισμένα συναγαγών· ῥιπτεῖ δὲ τοῦτον οὐκ ἀπωθούμενος, ἀλλ' εἰς μέσον τιθείς, ἵν' ἔχοιμεν ἐπ' αὐτοῦ βεβηκέναι, ὁ τὴν μωρίαν τοῦ εὐαγγελικοῦ ἐμπεπιστευμένος κηρύγματος, ὁ τὴν ἀνθρωπίνην ὑπεραναβὰς φρόνησιν, καὶ ὑπὸ τοῦ θείου πνεύματος γενόμενος κατακώχιμος, καὶ ὡς ἀληθῶς ἔνθους καὶ θεοφόρητος· οἱ δὲ μὴ δυνάμενοι τοῦτον ἀνελεῖν ἑκατὸν φρόνιμοι, οἱ σοφοὶ τοῦ κόσμου εἰσὶ καὶ περὶ τὴν ὄντως σοφίαν ἀσύνετοι, περὶ ὧν αὐτὸς ὁ λόγος φησίν· ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ἑκατὸν δέ εἰσιν οὗτοι διά τε τὸν τῶν αἰσθήσεων μερισμόν, καὶ τὴν τῶν ψυχικῶν δυνάμεων διαίρεσιν· ἐν ἑκατέρῳ γὰρ μέρει πενταδικὸς εὑρίσκεται ἀριθμός, καὶ ἡ δεκὰς αὕτη κατὰ τὴν δεκάδα πολλαπλασιαζομένη, τὴν ἑκατοντάδα ποιεῖ· ἵνα γὰρ αὐτοῖς ὁ λόγος ἐνδείξηται τὴν ἐν τῷ πονηρῷ τελειότητα, δεκαπλασιάζει τούτοις τὴν ὑπερβολὴν τῆς κακίας, καὶ εἰς ἑκατὸν συγκεφαλαιοῖ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# Η΄.

Κῶδιξ 3085, φ. 39. (*) Ἐξήγησις διὰ στίχων πολιτικῶν, εἴς τινα δημώδη αἰνίγματα. Τινὲς μὲν λέγουσι τοῦ Ψελλοῦ, τινὲς δὲ τοῦ Πτωχοπροδρόμου, ὃ καὶ πέπεισμαι.

## 1. Ἔνι καὶ κλέπτης καὶ σκληρός.

Λύσις.

Κλέπτης ὁμοῦ καὶ ἰσχυρός, λέγει δημώδης λόγος·
ξένον τὸ πρᾶγμα μοὶ δοκεῖ, ξένος ὁ λόγος οὗτος·
εὐθὺς γὰρ ἀπορήσει τις, πῶς ἐνταυθοῖ τὰ δύο,
πῶς ἰσχυρὸς ὁ εἷς ἐστι, πῶς ὁ αὐτὸς καὶ κλέπτης,
καὶ πῶς θρασὺς ὁ τὴν αἰδῶ προβεβλημένην ἔχων,

(*) Ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 3085 ἑλληνικοῦ κώδικος τῆς ἐν Παρισίοις ἐθνικῆς βιβλιοθήκης, περιέχοντος τὴν Ἰωνιὰν Ἀρσενίου Ἀποστολίου, ἰδίᾳ τούτου χειρὶ γεγραμμένην. Κατ' ἐμὲ οὐδέτερος τῶν ἐν κεφαλίδι σημειουμένων ἐστὶν ὁ ἀληθὴς συγγραφεὺς τῶν στιχηρῶν τούτων ἑρμηνειῶν, ἀλλὰ μᾶλλον ὁ ἐπὶ Μανουὴλ Κομνηνοῦ ἀκμάσας Ἰωάννης Γλυκᾶς ὁ γραμματικός· τοῦτο δὲ συμπεραίνω ἔκ τε ἄλλου ἀρχαιοτέρου κώδικος τῆς αὐτῆς βιβλιοθήκης (ἀριθ. 228, φύλ. 21-25) περιέχοντος πρὸς ταῖς ἑρμηνείαις ταύταις καὶ ἄλλα τε δημώδη ποιημάτια καὶ ἐπιστολὰς τοῦ αὐτοῦ Γλυκᾶ, πρὸ πάντων δ' ἐκ τῶν ἐν τοῖς στιχοῖς 335-378 τῆς παρούσης ἐκδόσεως ἐκτραγῳδουμένων τοῦ ποιητοῦ παθημάτων, περὶ ὧν ἐν ἐκτάσει πραγματεύονται δύο τῶν ἀνεκδότων αὐτοῦ ἐν δημώδει διαλέκτῳ ποιηματίων, πρὸς τὸν αὐτὸν αὐτοκράτορα ἀποτεινόμενα. Αἱ ὑπὸ τὸ νῦν ἐκδιδόμενον κείμενον ὑποσημειούμεναι διαφοραὶ γραφῆς ἐλήφθησαν ἐκ τοῦ δευτέρου τούτου κώδικος· σημειωτέον δέ, ὅτι ἐν τῷ δευτέρῳ τούτῳ χειρογράφῳ λείπουσιν οἱ στίχοι 11, 23, 27, 38, 39, 60, 61, 145, 146, 147.

ὁ δ' αὖ ἀπαρρησίαστος, τὰς χεῖρας πῶς ἀνταίρει;
Ἀλλ' εὗρον μὲν ἐπίλυσιν μόλις τοῦ ζητουμένου·
ἐκεῖνος ὁ γενάρχης μου, τὸ σπέρμα μοι τοῦ γένους,
ὁ καὶ τοῦ γένους τὰς ἀρχὰς δούς μοι καὶ τοῦ θανάτου,
Ἀδάμ, ὁ πρῶτος ταῖς χερσὶ πλασθεὶς ταῖς τοῦ Κυρίου,
καὶ πρῶτος τὸν παράδεισον λαχὼν εἰς κατοικίαν,
καὶ τοῦ φυτοῦ γευσάμενος παρ' ἐντολὴν Κυρίου,
κλέπτης ἐκεῖνος καὶ σκληρὸς (1) εὐλόγως νοηθείη·
καὶ κλέπτης μέν, ὡς τοῦ φυτοῦ τολμήσας παραψαῦσαι,
ἀφ' οὗ καὶ μόνου μὴ φαγεῖν, ἤκουσε μὲν ἐκεῖνος,
ἀλλ' ὅμως γε (2) παρήκουσε, καὶ ψαύσας ἐνεπλήσθη·
κλέπτης δὲ πάλιν ἰσχυρός, ὅτι καὶ πταίσας οὕτως
καὶ παρακούσας, καὶ κλοπεὺς ἁλοὺς ἐπ' αὐτοφώρῳ
οὐκ ἔθετο μετάνοιαν, οὐκ ᾔτησε συγγνώμην,
ἀλλ' ἤθελεν ἀνδρίζεσθαι, φανεὶς ἰσχυρογνώμων·
καὶ δῆθεν ἰσχυρίζεται (3), πλέκων ἀπολογίας,
κλέπτων ὁμοῦ καὶ τὸ φαγεῖν καὶ τὴν ἀπολογίαν,
καὶ σπεύδων προφασίζεσθαι πάντως ἐν ἁμαρτίαις,
« ἔπταισε, λέγων, ἡ γυνὴ φαγεῖν συμπείσασά με,
ἣν βοηθόν μοι δέδωκας καὶ κοινωνὸν τοῦ βίου »,
τρόπον τινὰ καὶ τὸν θεὸν καταιτιᾶσθαι θέλων.

## 2. Ὅσον ἂν καυχῶμαι, χερέα νερὸν πνίγει με φ. 39ᵛ.

Χερέα πνίγει με νερόν, ἄλλος τις οὗτος λόγος· Λύσις.
τίς οὗτος ὁ πνιγόμενος εἰς ὕδωρ δράκα μίαν,
καὶ τί τὸ πολυδύναμον ὕδωρ τῆς παροιμίας;
Ὕδωρ τὸ τοῦ βαπτίσματος, πνιγόμενος ὁ δαίμων·

(1) Ἀντί, καὶ σκληρός, ἰσχυρός. (2) καί. (3) ἰσχυρίζετο.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὄντως (1) γὰρ ἀποπνίγεται, λύπῃ βεβυθισμένος
ὁ τῆς ἀπάτης ἀρχηγός, τοῦ σκότους ὁ κατάρχων,
ὅταν ἐκ τοῦ βαπτίσματος Χριστὸν ἐνδεδυμένοι,
τῆς κολυμβήθρας ἄνιμεν φωσφόροι, σελασφόροι,
ἅπαντα σπῖλον ψυχικῶν παθῶν ἐκδεδυμένοι,
ὅταν τῷ τοῦ βαπτίσματος ὕδατι τῷ τιμίῳ,
οἷά περ βέλη δυνατὰ πνεύματι στομωθέντες,
πληγὰς καιρίας βάλλωμεν τὸν θῆρα τὸν παμφάγον.
Ἤ, τάχα θρῆνός τις οἰκτρὸς οὗτος τῆς ἁμαρτίας,
ὡς εἴς τινα λυπούμενον προσωποποιουμένης,
ἥτις ἐναποπνίγεται δακρύοις μετανοίας,
καὶ θρόμβος τις βραχύτατος ὕδατος δακρυώδους (2),
ὥςπερ ἐξ ὄρους ὑψηλοῦ, τῆς κεφαλῆς προρρεύσας,
πᾶσαν ἐκείνην πρόρριζον ἐκσπᾷ καὶ παρασύρει (3)·
στάζων (4) γὰρ μόνον δάκρυον ἀπὸ καρδίας μέσης (5),
καὶ πᾶν εὐθὺς ἀπήλειψας αἶσχος τῆς ἁμαρτίας·
οὐδὲν γὰρ οὕτω ῥυπτικόν, ὡς δάκρυον, κακίας,
οὐδ' οὕτω πταῖσμα κρύψει τις, ὡς ἐν βυθῷ δακρύων.

Ἕτερον. 3. Οἱ δύο τὸν ἕνα πείθουν τον.

Λύσις. Δύο τὸν ἕνα πείθουσιν, ἄλλος δημώδης λόγος·
ἐνταῦθα (6) δύο νόει μοι, τὸν ὄφιν καὶ τὴν Εὔαν,
ἕνα δὲ τὸν πρωτόπλαστον, τὸν ὄντως ἕνα τότε·
τοῦτον τὸν ἕνα, τὸν ἁπλοῦν, τὸν ἔξω πανουργίας,
δράκων ὁ πολυμήχανος, καθυποδὺς τὸν ὄφιν,
καὶ προσλαβὼν (7) ὡς σύμμαχον τὸν (8) βοηθὸν ἐκείνου,
φ. 40. συμπείθει θέσθαι παρ' οὐδὲν τοὺς λόγους τοῦ δεσπότου·
καὶ τέλος ἔκπτωτον ποιεῖ τρυφῆς τοῦ παραδείσου (9),

(1) ἢ γάρ. (2) κῶδιξ Ἀρσεν. δακρυόδους. (3) κατασύρει. (4) κ. Ἀρσ. στάζον. (5) βλύταν. (6) ἐνταῦτα. (7) κ. Ἀρσ. προλαβών. (8) τήν. (9) ἀντὶ παραδείσου, τρυφῆς χωρίου.

καὶ τὴν πολύμοχθον ζωὴν τρύχεσθαι κατεκρίθη
ἀπὸ τοῦ πλάστου καὶ θεοῦ, διὰ τὴν ἀκρασίαν.

4. Ἀπήγαμεν ὅπου μᾶς ἐχρώστειν (1) Ἕτερον.
καὶ ἐχρεωστοῦμάν τον.

Εἰς τὸν χρεώστην ἤλθομεν, καὶ μᾶλλον χρεωστοῦμεν· Λύσις.
ναί, καὶ κατάθου τὸ λοιπὸν τὰ χρέα μετὰ τόκου,
οἷος ἂν ᾖς ὁ συζητῶν ἀδίκως τὰ τοῦ χρέους.
Τί γὰρ ἀφεὶς ἐπιζητεῖν τῆς ὀφειλῆς τὴν λύσιν,
ὡς ταύτης ἐκλαθόμενος, καὶ χρέος προσαπήτεις;
Δοκῶ μοι ταῦτα λέγοντος (2) ἀκούειν τοῦ θανάτου,
ἔχοντος συμφθεγγόμενον (3) καὶ τὸν παμφάγον ᾅδην·
θρῆνός τις οὗτος ἐπ' (4) ἀμφοῖν καὶ γόος ἐξηχεῖται,
καὶ ξυναυλία γοερὰ πλέκεται καὶ θρηνώδης,
σκυλευομένων τοὺς νεκροὺς αὐτῶν τοὺς ἀπ' αἰῶνος,
καὶ προπεμπόντων τὰς ψυχάς, ἅςπερ κατεῖχον πάλαι (5),
ἢ μᾶλλον οὓς κατέπιον, βιαίως ἐξεμούντων,
ὡς ἐκκενοῦσθαι τὰς αὐτῶν γαστέρας τὰς παμφάγους,
ὅτε τῆς γῆς ὁ κραταιός, καθυποδὺς κευθμῶνας,
ἐξαναστὰς ἀπέλυσε τοὺς ἐν αὐτῇ δεσμίους.
Ἐπεὶ γὰρ οὐκ ἐφάντασε τὴν σάρκωσιν ὁ Λόγος,
ἀλλ' ἀληθῶς ἐπέφανεν ἡμῖν τοῖς ἐν τῷ σκότει,
ἄνθρωπος ὄντως γεγονώς, δίχα τῆς ἁμαρτίας,
κἀντεῦθεν ὤφειλε θανεῖν κατ' ἀνθρωπίνην φύσιν,
πρόσεισι μὲν ἡ τελευτὴ σὺν φόβῳ κελευσθεῖσα,
τὴν ἀνθρωπίνην ὀφειλὴν ζητοῦσα τὸν δεσπότην·
κἀκεῖνος καταβάλλεται τὸ χρέος ἑκουσίως,
καὶ πρὸς τὸν ᾅδην κάτεισι τῷ νόμῳ τῶν θνησκόντων·

(1) ἐχρεώστει. (2) κ. Ἀρσ. λέγοντα. (3) συφθεγγόμενον. (4) ἀπ'. (5) πάλιν.

ἀλλ' οὐκ ἐβράδυνεν ἐκεῖ· μετὰ δὲ τρεῖς ἡμέρας
ἐξαναστὰς καὶ συλλαβὼν ψυχὰς τὰς τῶν ἁγίων,
φ. 40ᵛ. ἔστησεν ὄντως τρόπαιον λαμπρὸν (1) κατὰ θανάτου,
παύσας καὶ τὴν παγκόσμιον τοῦ ᾅδου τυραννίδα.

Ἕτερον. 5. **Νὰ τὴν εἰπῶ, καὶ νὰ σὲ ἀγαπᾷ.**

Λύσις. Ἀκούεις τό, νὰ τὴν εἰπῶ, καὶ νὰ σὲ ἀγαπήσῃ,
οὗτος ὁ λόγος τὸ (2) δοκεῖν οὐδὲν σπουδαῖον κρύπτει,
ἐξ ἀγορᾶς δὲ φαίνεται ληφθῆναι καὶ τριόδων,
οὐκ εὐγενῆ τὴν ἔννοιαν ἔξω προβεβλημένος·
εἰ δέ τις ἐγκεντρίσειε καὶ τοῦτον τεχνηέντως,
τὴν ἀγριάδα τρέψειε πάντως (3) εἰς ἡμερίδα.
Νυμφεύεται τὴν ἐξ ἐθνῶν ὁ Λόγος ἐκκλησίαν,
ψυχῶν πασῶν τῶν καθαρῶν ὁ καθαρὸς νυμφίος,
νυμφαγωγοῦντος τοῦ χοροῦ τούτῳ τῶν Ἀποστόλων.
Ὡς ἐκ προσώπου τοιγαροῦν ἑκάστῳ τῶν κηρύκων,
οὗτος ὁ λόγος λέγεται τῷ νυμφαγωγουμένῳ·
« λαλήσω γὰρ ἐγώ φησι, τὰ περὶ σοῦ τῇ νύμφῃ·
(νύμφην δὲ φθάσας, τῶν ἐθνῶν εἶπον τὴν ἐκκλησίαν)·
καὶ λόγους διδασκαλικοὺς τοῖς ἐθνικοῖς λαλήσας,
ἐν μέσῳ τε συναγωγῶν τὰ κατὰ σὲ κηρύξας (4),
τὸ μὲν (5) λατρεύειν δαίμοσι πάντας μισῆσαι πείσω,
εἰς τὴν ἀγάπην δὲ τὴν σὴν συμπείσας μεθελκύσω ».

Ἕτερον. 6. **Μικρὸς (6) τὸν μέγαν δύναται,**
**σκέλος τὸν (7) βάνει, καὶ αἴ (8), καὶ αὐτός.**

Λύσις. Εἰ καὶ δημῶδες τὸ ῥηθὲν (9) ὅλον τῆς παροιμίας,
καὶ πρὸς τὴν φράσιν εὐτελές, καὶ συμπεπατημένον,

(1) τρόπαια λαμπρά. (2) τῷ. (3) στρέψειε πάντως. (4) κηρύξω. (5) δέ.
(6) μικρὸς λείπει. (7) ἂν τοῦ. (8) ἔ. (9) ῥητόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀλλ' ἔσω φλέβα θαυμαστὴν χρυσίτιδα συγκρύπτει.
Μικρὸς κατὰ τὴν δόκησιν ὁ λόγος καὶ τὴν σάρκα,
(οὐ γὰρ ἐχώρουν οἱ πολλοὶ (1) τὸ μέγεθος τοῦ λόγου,
οὐδὲ προκύπτειν ἤθελον καὶ βλέπειν εἰς τὸ βάθος)·
καὶ τούτου τύπος ὁ Δαυῒδ ὁ βασιλεὺς ὁ θεῖος,
ὃς ἑαυτὸν ἐν ἀδελφοῖς μικρὸν καθυπογράφει·
σταγόνα γὰρ καὶ μάργαρον, καὶ τὴν ἀφὴν τοῦ λύχνου,
καὶ κόκκον τοῦ σινάπεως, καὶ τἄλλα τὰ τοιαῦτα φ. 41.
μικρᾶς εἰκόνος (2), θαύματος πολλοῦ καὶ παμμεγίστου,
πάντα (3) δοκεῖ μοι περιττὸν παρεισκυκλεῖν τῷ λόγῳ·
ὁ δὲ Σατὰν ὁ πονηρός, ἡ ψευδοφαντασία,
ὄρος δοκεῖ τοῖς πεδινοῖς καὶ χθαμαλοῖς καὶ κάτω,
ἄρχων τοῖς δούλοις τῶν παθῶν καὶ τοῖς μικροπρεπέσι,
καὶ μέγας τις τοῖς ταπεινοῖς, καὶ τοῖς μικροῖς τὰς φρένας·
πλὴν ἀλλὰ τοῦτον τὸν πολύν, τὸν ὑψηλόν, τὸν μέγαν,
τὴν φαντασίαν τὴν κενήν, τὴν (4) ψευδοφρεναπάτην,
ὁ δυνατὸς κατήσχυνε (5) πανσθενεστάτῳ κράτει,
σμικρότητι σωματικῇ τοῦτον καταπατήσας,
καὶ πρὸς τὸν ᾅδην κατελθὼν μετὰ σαρκίνου πάχους (6),
καὶ τὸν σκορπίον τὸν δεινόν, τοῦτον τὸν φαρμακτῆρα,
καὶ τὸν πανοῦργον νεκρωτήν, ὄφιν τὸν ἰοβόλον,
σκελίσας, ῥίψας κατὰ γῆς, πατήσας καὶ συντρίψας,
καὶ κατορύξας ἐν βαθεῖ χάσματι τοῦ Ταρτάρου,
αὐτὸς (7) ἀνέστη θεϊκῶς, οὕτω μετ' ἐξουσίας,
ὡς τῷ καινῷ τοῦ θαύματος πάντας ἐκθαμβηθῆναι·
τὸ γάρ τοι λέγειν, αἴ, καὶ αὐτόν (8), θάμβος δηλοῖ τι μέγα.

(1) λοιποί. (2) μικροῦ ἀγῶνος. (3) πάντη. (4) τόν. (5) κατίσχυνε.
(6) ἀντὶ μετὰ σαρκίνου πάχους, τῷ νόμῳ τῶν θνησκόντων.
(7) οὕτως. (8) ἔ, καὶ αὐτός.

Ἕτερον.

### 7. Ἕως τὸ τρίτον ἡ ἀλήθεια εὑρίσκεται (1).

Λύσις.

Ὁ λόγος οὗτος ὁ κοινός, γέμει φρικτῆς ἐννοίας,
τὸ τρίτον γὰρ προδείκνυσι (2) καὶ τελευταῖον πάσχα,
εἰς ὅπερ ἐκτυπότερον ἥξομεν ἐν τῷ τέλει·
πρῶτον μὲν γὰρ τὸ νομικὸν ἐκεῖνο τὸ σκιῶδες,
δεύτερον ὃ παρέδωκε τοῖς μαθηταῖς ὁ λόγος,
ὅπερ ἐστὶν ἀλήθεια πρὸς τὴν σκιὰν τοῦ νόμου (3),
ἀλλ᾽ ὅμως καὶ τοῦ μέλλοντος ἔφερε πάσχα τύπον,
ὡς τὸ μὲν πρῶτον προσφυῶς λέγεσθαι τύπον τύπου (4),
πάλιν δ᾽ αὐτὸ τὸ δεύτερον, ἀλήθειαν καὶ τύπον·
τὸ (5) δὲ μετὰ τὸ δεύτερον, τρίτον καὶ τελευταῖον,
φ. 41ᵛ. οὐ τύπον, ἀλλ᾽ ἀλήθειαν, αὐτὸ τοῦτο καὶ μόνον,
οὗ καὶ μεταληψόμεθά ποτε καθαρωτέρως
καὶ τρανοτέρως, ὥς φησι Γρηγόριος ὁ μέγας.

Ἕτερον.

### 8. Κλέψον ἐκ κλέπτου, καὶ πάντως κρίμα οὐκ ἔχεις (6).

Λύσις.

Καὶ τίς ἂν οὕτω δεξιός, οὕτω (7) θερμὸς εἰς πίστιν,
καὶ τίς δυσκαταγώνιστος εἰς τὴν ἰσχὺν τοῦ λόγου;
τίς, τὰς μὲν (8) χεῖρας βριαρός, τὴν (9) δὲ ψυχὴν ἀκάμας,
ὡς ἀντιστῆναι τῷ δεινῷ ληστῇ, τῷ ψυχοκλέπτῃ;
τίς δ᾽ αὖ ὁ φρονιμώτατος, τίς δ᾽ ὁ μαθὼν πτερνίζειν

(1) ἀντὶ ἡ ἀλήθεια εὑρίσκεται, μόνον, καὶ ἡ ἀλήθεια. (2) γὰρ καὶ δείκνυσι. (3) ὅπερ ἀλήθεια μὲν ἦν πρὸς τὴν σκηνὴν τοῦ νόμου. (4) Ἐν τῷ αὐτῷ χειρογράφῳ διορθοῦται τύπου τύπον. (5) ὅ. (6) Ἀπὸ κλέπτην κλέψας, κανένα κρίμαν οὐκ ἔχεις. (7) τίς δέ. (8) μὲν τάς. (9) τίς.

καὶ καταπανουργεύεσθαι (1) τοὺς λόγους (2) τοῦ Βελίαρ,
καὶ μετὰ τούτου τοῦ στρεβλοῦ πανσόφως διαστρέφειν,
ὡς τὰς κλαπείσας ὑπ' αὐτοῦ ψυχὰς καὶ δουλωθείσας,
ἀνδραποδίσαι δύνασθαι καὶ λόγοις ὑποκλέψαι,
ἀναγάγεῖν τε πρὸς αὐτὴν πατρίδα τὴν ἀρχαίαν;
Ἀλλ' ἔνδυσαι τὸν θυρεόν, τὴν πίστιν, στρατιῶτα,
τὴν πανοπλίαν προσλαβοῦ, τοὺς λόγους τῶν Πατέρων,
ἆρον τὴν μάχαιραν θεοῦ, τμητικωτάτους λόγους,
βάσταξον δόρυ τὸν σταυρόν, καὶ τὸ λοιπὸν θαρσήσεις·
κάθισον λόγχον (3) εὐφυῶς, καὶ νήφων καιροσκόπει,
καὶ πάντως παροδεύοντα δολώσεις τὸν κλοπέα,
καίτοι (4) νοσφίσει τῶν αὐτοῦ κλεμμάτων τῶν κρυφίων·
οὐδὲν ἐντεῦθεν (5) κρίμα σοι, κατάγνωσιν οὐκ ἔχεις,
πλουτεῖς δὲ μᾶλλον ἀντ' αὐτοῦ πολλὴν ἀντιμισθίαν.
Ὅμοιος γίνε τῷ θεῷ, βλέπεις μισθὸς ἡλίκος!
ἔσται γὰρ στόμα μου φησὶ τὸ στόμα σοι τὸ θεῖον,
ὅστις ἐξάγειν (6) τίμιον ἐξ ἀναξίου θέλει.

## 9. Ὅπου πολλὴ ἀγάπη, ἐκεῖ καὶ πολλὴ μάχη. Ἕτερον.

Ἦν τοῖς γενάρχαις καταρχὰς στοργή τις πρὸς τὸν ὄφιν, Λύσις.
τὸν κατὰ γῆς ἑρπύζοντα, τὸν εὔχρουν, τὸν πολύχρουν (7)·
τὸ ξένον γὰρ τοῦ χρώματος, τὸ βάμμα τὸ ποικίλον
καὶ τὰ λοιπὰ τὰ τοῦ θηρὸς ἔθελγε τάχα τούτους· φ. 42.
κἀντεῦθεν ὁ παμπόνηρος, ὀργάνῳ χρῆται τούτῳ (8),
καὶ τὴν χειρίστην συμβουλὴν ἐμπνέει πρώτως τούτῳ (9),

(1) καταπανουργεύσασθαι. (2) δόλους. (3) λόχον. (4) καίτι. (5) ἐνταῦθα. (6) ἐξάγει. (7) τὸν εὔχουν, τὸν πολύχουν. (8) τούτῳ χρῆται. (9) τούτῳ τρόπῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὅπως αὐτὴν (1) προσαγαγών, ὡς εὔνους τοῖς γενάρχαις,
ὑπακουσθῇ καὶ δυνηθῇ παραγαγεῖν καὶ πεῖσαι.
Ἐπεὶ γοῦν τοῦτο (2) γέγονε, καὶ τὸ κακὸν ἐνίκα,
καὶ τέλος ἔσχεν οὐ καλὸν τὰ τῆς πολλῆς ἀγάπης,
εἰς ἔχθραν ἀντεστράφησαν πολλὴν τὰ τῆς φιλίας,
καὶ μῖσος ἔσχον ἄσπονδον οἱ φίλοι κατ' ἀλλήλων,
καὶ τήρησιν τῆς κεφαλῆς, καὶ τήρησιν τῆς πτέρνας (3),
κἂν ὅπως ταύτας θέλει τις νοεῖν ἐν τοῖς βιβλίοις.

Ἕτερον.

## 10. Καθαρὰ καὶ κιβαρά (4), ὅλα ἡ χάρις δέχεται.

Λύσις.

Καὶ καθαρὸν καὶ κιβαρόν (5), δέχεται πᾶν ἡ χάρις,
καὶ χάρις τῷ παντάνακτι θεῷ τῷ φιλανθρώπῳ·
κἂν γὰρ ἐκ σίτου καθαροῦ τις ἄρτος ἐφυράθη,
ἀσμένως τοῦτον δέχεται καὶ πάνυ φιλανθρώπως (6),
ὡς καθαρὰν (7) τῷ καθαρῷ καλῶς προσενεχθέντι,
κἂν ἐξ ἀλφίτων ῥυπαρῶν ἐπάγη καὶ συνέστη,
πολλὴν ἐπισυρόμενος πάνυ (8) μελαντηρίαν (9)·
οὐκ ἔστι παρατήρησις ἐνταῦθα τοῦ Μωσέως,
κἂν ἔστι τις ὁλομελής, κἂν καὶ λελωβημένος (10)·

(1) αὐτὴν λείπει. (2) οὕτω. (3) πτέρνης. (4) Κιβαρὰ καὶ καθαρά. (5) κιβαρὸν καὶ καθαρόν. (6) φιλοφρόνως. (7) καθαρόν. (8) μάλα. (9) Μεταξὺ τῶν στίχων 200 καὶ 201 εὕρηνται καὶ οἱ ἑξῆς ἐν τῷ 228 κώδικι :

ἣν ἡ σκιὰ προσέμιξεν τούτῳ τῆς ἁμαρτίας,
κρίνει καὶ τοῦτον ἄξιον τῆς μυστικοῖς (sic) τραπέζης,
εἰ μόνον προσεγγίσειε, καὶ μὴ μακρῶθεν (sic) κεῖται
τοῦ τὴν ἡμῶν ὡς ἀληθῶς πεινῶντος σωτηρίαν.

(10) λώβην σαρκὸς ἔχῃ.

κἂν σῖτος εἴη καθαρός, κἂν αἶρα σιτοφθόρος (1),
καρποφορὰ προσάγεται (2) πάντως ἀποδεκτέα (3)
τῷ καὶ δεσπότῃ καὶ πατρὶ πάντων καὶ κηδεμόνι,
καὶ προσφορὰ παντέλειος καὶ καθαρὰ θυσία,
εἰ μή πού τις ἀγέρωχος, θρασύς τε καὶ σκληραύχην (4),
ἐπενδακὼν τὸν χαλινόν, καὶ ῥήξας (5) τὰς ἡνίας,
ἀνέτῳ δρόμῳ φέρεται πόρρω που τῆς εὐθείας,
περιφρονῶν ὡς τὰ πολλὰ τὸν ἐπιβάτην λόγον.
Καὶ τίς γὰρ ἂν καυχήσηται τῶν ὅλων ἁμαρτία
ὑπερνικῆσαι πώποτε θεοῦ φιλανθρωπίαν; φ. 42'.

11. Ἡ πτωχία (6) κατέδειξε τὰ μοναπλά. Ἕτερον.

Τὰ (7) μοναπλὰ κατέδειξεν, ὡς λόγος, ἡ πτωχία, Λύσις.
πτωχίαν δὲ τὴν κατὰ νοῦν ἐνταῦθα νοητέον,
ἣν δυστυχοῦντες οἱ πτωχοὶ τὴν νόησιν Ἑβραῖοι,
οὐ θέλουσι τριαδικὴν θεότητα δοξάζειν,
τὸν πλοῦτον ἀναινόμενοι πάντως (8) τὸν (9) τῆς τριάδος·
εἰς ἓν δὲ συναλείφουσι καὶ μοναπλοῦν τι (10) ταύτην,
οὔτε γινώσκοντες υἱὸν τὸν τῆς τριάδος ἕνα,
ἀλλὰ καὶ τὸ πανάγιον πνεῦμα συναγνοοῦντες,
ὡς ἀναιρεῖσθαι κατ' αὐτοὺς κἀκεῖνον ὃν τιμῶσιν·
ἀναιρεθέντος γὰρ υἱοῦ, πατὴρ οὐκ ἔχει τόπον,
ἀναιρεθέντος (11) πνεύματος, ὁ προβολεὺς οὐκ ἔστιν.

(1) σιτοφόρος. (2) Ἐν τῷ αὐτῷ χειρογράφῳ διορθοῦται, προσάγετον. (3) προσάγονται πάντων εὐπροσδεκτέα. (4) θρασύστομος, σκληραύχην. (5) Ἀρ. ῥίψας. (6) πτωχεία. (7) Καί. (8) ἐν τῷ αὐτῷ χειρογράφῳ καί, πάντη. (9) τῶν. (10) μοναπλοῦσι. (11) ἀπόντος δὲ καί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἕτερον. 12. Ἀπὸ σαλὸν καὶ μεθυστήν (1)
ἀκούσεις τὴν ἀλήθειαν.

Λύσις. Πάλιν οἱ πάμπτωχοι (2) τὸν νοῦν, ἢ μᾶλλον μεμηνότες,
οἱ παροινοῦντες (3) εἰς θεὸν ἀνόμως Ἰουδαῖοι,
παραφρονεῖν ἐθέλουσι, καὶ πταίειν τὰ συνήθη,
καὶ τὴν φρικτὴν ἐνέργειαν τοῦ πνεύματος τοῦ θείου,
ὅτε τοῖς θεοκήρυξιν ἔμπνευσε τεραστίως (4),
γλώσσαις λαλεῖν ἐσόφισεν ἑτέραις πυριπνόοις,
ὡς φῶς ἀνῆπται (5) τοῖς πιστοῖς οὕτω θεογνωσίας,
καὶ ῥητορεύειν τὰ σεπτὰ καὶ θεῖα μεγαλεῖα,
εἰς μέθην ἐπανήγαγον (6), καὶ γλεύκους ἀμετρίαν,
καὶ παραβλύζειν λέγουσιν οἴνου τοὺς νηφαλίους,
τοὺς τῆς ἀμπέλου βότρυας τῆς ὄντως ψυχοτρόφου.
Ἂν δὲ καὶ τοῦ κηρύγματος ἀκούσωσι τοῦ θείου,
εἰς τὸ πολὺ μὴ σθένοντες τοῦτο (7) προκύπτειν βάθος (8),
μὴ δ' εἰς τὸ μέγα θέλοντες ἐπεντρανίζειν ὕψος,
ἀποκαλοῦσιν οἱ μωροὶ τὸ κήρυγμα μωρίαν.
Ἡμῖν δ' ἀλλ' οὗτοι κήρυκες εἶεν τῆς ἀληθείας,
φ. 43. κἂν Ἰουδαῖος βλασφημῇ, κἂν Ἕλλην ἀντιλέγῃ.

Ἕτερον. 13. Οἱ τέσσαρες τοὺς τέσσαρας,
καὶ ἐνίκησεν ἡ θύρα.

Λύσις. Τοῦτον τὸν λόγον, εἰ μέν τις οὕτως ἁπλῶς νοήσει
πρὸς μόνον τὸ φαινόμενον, οὐδὲν σπουδαῖον ἔχει,
ἀλλ' ἢ χυδαῖον νόμιμον παιζούσης θεωρίας,

(1) σαλοῦ καὶ μεθυστοῦ. (2) πάνπτωχοι. (3) παρηνοῦντες. (4) ἐμπνεῦσαν τεραστίου. (5) ἀνάπτειν. (6) ἐπανάγουσι. (7) τούτου. (8) πάθος.

ὅταν αἱ (1) δύο τετρακτῦς τῶν ἐν αὐτῇ δρομέων
ἐξ ἑκατέρων τῶν μερῶν ἀλλήλοις συμπλακεῖεν,
καὶ σταῖεν ἀλλεπάλληλοι, καὶ συλληφθεῖεν πάντες,
λαμπροὺς ἀποφαινόμενον καὶ νικητὰς ἐκείνους,
τοὺς πρώτους ὁπωςδήποτε λαβόντας τὴν βαλβίδα.
Ἐγὼ δὲ τοῦτο τὸ ῥητὸν πιστῶς αἰχμαλωτίζων,
εἰς ἐκδοχὴν ἀνάγομαι τούτου τιμιωτάτην,
καὶ θύραν ἄλλην θαυμαστὴν ἐννοίας ὑπανοίγω·
καὶ τίς ἡ θύρα σκόπει μοι, καὶ παρακύψας ἔσω,
βλέπε προσέχων εἰ νικᾷ κατὰ πολὺ τὴν πρώτην·
οἱ τέσσαρές τε (2) συγγραφεῖς οἱ τῶν Εὐαγγελίων,
Ματθαῖος, Μάρκος καὶ Λουκᾶς, σὺν (3) τούτοις Ἰωάννης,
τοὺς τέσσαρας τοὺς κοσμικοὺς τύπους τοὺς τετρακέντρους,
κατέσχον τοῖς διδάγμασι τῶν ἱερῶν λογίων,
καὶ πάντα τῷ κηρύγματι διέδραμον τὸν κόσμον.
Καὶ τί τὸ κέρδος (4) τοῦ καλοῦ δρόμου καὶ περιδρόμου;
νίκη τῆς θύρας τοῦ Χριστοῦ, τῆς εἰς ζωὴν εἰσόδου·
αὐτὸς γὰρ θύραν ἑαυτὸν ἐκάλεσεν ὁ λόγος·
νίκη λαμπρά, περιφανής, ἀσύγκριτος, τιμία
κατὰ τοῦ κοσμοκράτορος ἐχθροῦ τοῦ παλαμναίου.
Οὕτω καὶ πᾶς τις ἀρχηγὸς τῶν ὑπ' αὐτὸν νικώντων,
αὐτὸς παρεπιγράφεται τῇ τελεσθείσῃ νίκῃ.

## 14. Καλὴ πετραία τοῦ ἦλθεν ἐκ τὸ ἀνώγιν (5). Ἕτερον.

Ὁ λόγος οὗτος ἄγγελος λαμπρᾶς τροπαιουχίας, Λύσις.
μόνῳ τὸ πᾶν ἐκνίκημα τῷ στρατηγῷ προσνέμων,
αὐτοῦ καὶ μόνου τὴν ἰσχὺν εἰς μέσον παρεισφέρων. φ. 43ʳ.

(1) οἱ. (2) οἱ. (3) πρός. (4) τέλος. (5) Καλὴ πετραία ἐκ τὸ ἀνώγιν.

Ἴδε, καλὴ πέτρας βολή, βοῶν, ἐξ ἀνωγαίου·
καὶ γὰρ ἐξ ὕψους κατελθὼν ὁ παντοκράτωρ λόγος,
αὐτοῦ (1) καιρίαν ἔπληξε τὴν κεφαλὴν τοῦ πλάνου,
καὶ θλάσας ταύτην κραταιῶς, καὶ δυνατῶς συντρίψας
ἡμῖν εἰς πόδας τέθεικεν, ἔντρομον, τρομαλέον,
ὡς ἄλλον τρόπον τὴν ἡμῶν τηρεῖν ἐκεῖνον (2) πτέρναν,
θλιβόμενον, πατούμενον, τῇ γῇ προσερριμμένον.
Εἰ δὲ καὶ τίς ἱστορικῶς (3) τὸν λόγον τοῦτον (4) λάβῃ,
καὶ τὸν Δαυῒδ καὶ Γολιάθ ἐνταῦθα παραγάγῃ,
τὸν μέν, ἐξ ὕψους κραταιᾷ χειρί, παντοδυνάμῳ,
νευρούμενον εἰς τὴν βολὴν τὴν κατὰ τοῦ τυράννου,
τὸν δέ, πληγὴν δεχόμενον καιρίαν ἐκ τοῦ λίθου,
οὐδ' οὗτος ἔξω τοῦ σκοποῦ τῆς ἀληθείας πέσῃ (5).

Ἕτερον.

## 15. Ὡς εὕρῃς τὸν καιρόν, φάγε καὶ τὸν λαγών.

Λύσις. Ὡς εὕρῃς πάντως τὸν καιρόν, καὶ τὸν λαγὼν νὰ φάγῃς,
νομίζω ταύτην τὴν φωνὴν πρὸς Παῦλον λαληθῆναι
τὸν τῶν ἐθνῶν διδάσκαλον, τὸ στόμα τοῦ Κυρίου,
διδάσκουσαν τὸν κήρυκα πῶς ἄρα δεῖ κηρύττειν (6),
πῶς ἄρα τὸν διδάσκαλον οἰκονομεῖν τοὺς λόγους,
κατακιρνᾷν τὰ φάρμακα τὰ τῆς διδασκαλίας,
συγκαταβαίνειν καὶ τινῶν πολλάκις ἀσθενείας,
ἁπλῶς ἐν πᾶσι τοῦ καιροῦ στοχάζεσθαι πρεπόντως,
μή πως ἀκρίτως τὸν καλὸν ῥίπτων τοῦ λόγου σπόρον,
ψυχήν τινα ζημιωθῇ τῶν ἐν διδασκαλίαις (7),
αἷς (8) οὐδ' ὁ πᾶς ἀντάξιος οὗτος ὁ μέγας κόσμος.

(1) αὐτήν. (2) ἐκεῖνος. (3) ἱστορικός. (4) τοῦτον τὸν λόγον. (5) πέσει. (6) κηρύσσειν. (7) διδασκαλίᾳ. (8) ἧς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καὶ μὴν (1) γὰρ ὁ διδάσκαλος πάσης τῆς οἰκουμένης
Παῦλος ὁ μέγας, ἡ λαμπρὰ τῆς ἐκκλησίας φόρμιγξ,
οὐχ οὕτω (2) μετεφέρετο τοῖς πράγμασι δεόντως,
καὶ μετεσχηματίζετο τοῖς πᾶσι συμφερόντως.
Τοίνυν αὐχοῦντος ἄκουσον τούτου (3) τοῦ διδασκάλου, φ. 44.
τοῖς πᾶσι πάντα γίνεσθαι, ἵνα κερδήσῃ πάντας (4),
καὶ χαίρων φάγῃ τὸν λαγὼν κατὰ καιρόν, τουτέστιν
ὡς γένηται τῶν ἐθνικῶν πάντων ἡ σωτηρία·
τὸν γὰρ λαγὼν εἰς σύμβολον τῶν ἐθνικῶν θετέον,
ὡς ὄντα τῶν οὐ καθαρῶν ἐν τοῖς κατὰ Μωσέα.
Ὄντως (5) ὁ Παῦλος, λίχνος τις (6), ὄντως (7) ὁ εὐρυγάστωρ,
ὡς ψωμισθῆναι γλίχεσθαι πάντων τὴν σωτηρίαν·
τοῦτο καὶ γὰρ ὁ ψωμισμὸς τοῖς μαθηταῖς τοῦ λόγου,
κἀνταῦθα τὸν διδάσκαλον τὸν πρῶτον μιμουμένοις,
τὴν βρῶσιν ἔχων τοῦ φαγεῖν τοῖς μαθηταῖς εἰπόντα,
ἥνπερ ὑμεῖς οὐκ οἴδατε, ποίαν δὲ ταύτην λέγω;
τὴν σωτηρίαν τῶν ἐθνῶν τῶν ἐν τῇ Σαμαρείᾳ.

## 16. Ἀποθαμένος φίλον οὐχ ἔχει. Ἕτερον.

Αὐτὸς (8) ὁ λόγος προσφυῶς εἰς τὸν δεσπότην τείνει, Λύσις.
αὐτὸς γὰρ ὡς ἠθέλησεν, ὑπὲρ παντὸς τοῦ κόσμου
παραδοθεὶς εἰς θάνατον ὑπὸ τῶν παρανόμων,
καὶ κρεμασθεὶς ἐν τῷ σταυρῷ, καθὼς αὐτὸς προεῖπεν,
ἐσκορπισμένους ἅπαντας τοὺς σὺν αὐτῷ κατεῖδε·
τοῦ φόβου τῶν κολάσεων νικήσαντα (9) τὸν πόθον,
ὡς (10) οὕτω τὸν διδάσκαλον μόνον καταλειφθῆναι·

(1) μή. (2) οὕτως. (3) αὐτοῦ. (4) πάντας ὡς ἂν κερδήσῃ. (5) οὗτος καὶ οὕτως. (6) Ἀρ. λύχνος. (7) Ἀρ. οὕτως. (8) οὗτος, ὡς καὶ ἐν τῷ τοῦ Ἀρσενίου κώδικι διορθοῦται. (9) νικήσαντος. (10) καί.

εἰ δὲ καί τις ἐθάρσησε, ζώπυρον πόθου τρέφων,
τὸ φίλτρον ἐπιδείξασθαι τὸ πρὶν τῷ διδασκάλῳ (1),
παραγυμνοῦν οὐκ ἤθελεν ὅλως τὰ τῆς φιλίας,
ἀλλ' εἶχε καὶ προκάλυμμα τὴν τῆς νυκτὸς σκοτίαν,
καὶ σκότος εἰς ἀποκρυφὴν ἐτίθη τῆς φιλίας,
ἢ πόρρωθεν ἱστάμενος ἑώρα τὰ τοῦ πάθους,
τὰ δὲ κατὰ τὴν ἄρνησιν καὶ σιωπῇ τιμάσθω.
Ἀλλὰ γὰρ τί τὸν λόγον μου τοῖς ἄνω προβιβάζων,
οὐ κατανεύω (2) πρὸς τὴν γῆν, καὶ βλέπω (3) πρὸς τὰ κάτω;
φ. 44ᵛ. τί δ' οὐκ ἀφεὶς τὴν ὑψηλὴν ἀναγωγὴν τοῦ λόγου,
πρὸς τὴν ἐμὴν ὑπόθεσιν τοῦτον καταβιβάζω;
Φιλόχριστε, φιλάνθρωπε (4), φίλοικτε δέσποτά μου,
αὐτοκρατόρων μέγιστε, κράτιστε βασιλέων,
ἐγὼ πρὸς γῆν ἀποστραφεὶς διὰ τὴν ἁμαρτίαν,
καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς ἐκ παραπτώματός μου,
ἔρημος πάντων γέγονα, πάντων ἀπεστερήθην·
ὁ φίλος ἀπεπήδησεν, ὁ συγγενὴς ἐκρύβη,
ὁ γνώριμος ὡς ἄγνωστος (5) παρελογίσατό με,
οὐκ ἔστι τίς ἐν ἅπασιν ἐλέους ἀξιῶν με,
ἀποπηδῶσιν ἀπ' ἐμοῦ καθὼς ἀπὸ παγίδος,
ὡς φεύγει τις ἐξ ὄφεως, οὕτως ἐκφεύγουσί με·
ταύτης τῆς δυστυχίας μου, ταύτης τῆς ἐρημίας,
καὶ τῆς εἰς γῆν ἀποστροφῆς καὶ ταπεινώσεώς μου,
δραξάμενοι κατὰ καιρὸν οἱ φῶρες (6) παρελπίδα (7),
καὶ μὴ δὲ ζῆν νομίσαντες κείμενον ἐν γωνίᾳ,
ἐπέστησάν μου τῇ μικρᾷ καὶ πενιχρᾷ καλύβῃ,
καὶ πᾶν καὶ συγκρατούμενον (8) καὶ συντηρούμενόν μοι
εἰς μερικὴν διοίκησιν, ἤγουν (9) οἰκονομίαν

(1) τοῦ διδασκάλου. (2) καταβαίνω. (3) νεύω. (4) φιλάγαθε. (5) ἄγνωστον. (6) κλέπται. (7) παρ' ἐλπίδα. (8) ὑποκρατούμενον. (9) εἴτουν.

τῶν παίδων καὶ συνδούλων μου τῶν συνδυστυχεστάτων,
κλέψαντες ᾤχοντο, κενὰ καταλιπόντες πάντα,
μικροῦ τυμβωρυχήσαντες ἄνθρωπον τεθνεῶτα,
ὡς αἴφνης εὑρεθῆναί με γυμνὸν ἐξ (1) ἠμιγύμνου.
Ἀλλά, φιλανθρωπότατε πώποτε τῶν (2) κρατούντων,
ἀλλ' εὐεργετικώτατε (3) τῶν ὅλων βασιλέων,
πηγὴ τῆς ἀγαθότητος, θάλαττα (4) τῶν χαρίτων,
κέλευσον ἐνδυθῆναί με τὸν ἀπογυμνωθέντα,
καὶ παρευθὺς ἐνδύσομαι σῇ (5) ἅμα τῇ κελεύσει,
καί μοι λαμπρὸς ἱματισμὸς εὐθέως ἐπανθήσει·
ζῆσον, εἰπὲ τῷ δούλῳ σου, κἂν ἐν ταρτάρῳ κεῖμαι,
καὶ ζήσομαι, καὶ τὸ σεπτὸν μεγαλυνῶ σου κράτος, φ. 45.
ὅπερ καὶ νῦν οὐ παύομαι σεμνύνων, μεγαλύνων,
κἂν ἐν νεκροῖς τὴν αἴνεσιν οὐκ εἶναι λόγος λέγῃ,
εἰς φῶς ἐλθεῖν με κέλευσον, ἐκ λάκκου κατωτάτου,
οὐ μέντοι τετραήμερον, οὐδ' ἔναγχος θανέντα (6),
ἀλλ' ἔτη πέντε τήμερον (7) τῷ τάφῳ καρτεροῦντα,
καὶ προσδοκῶντα (8) ζῶωσιν μόνῃ τῇ σῇ κελεύσει·
τὴν πλουτοδότιν (9) ἔκτεινον χεῖρά σου τὴν χρυσέαν,
ἣν σιδηρὰν καὶ βριαρὰν ἐνσείων τοῖς βαρβάροις,
τοῖς δεομένοις λάμπουσαν, χρυσῆν παραδεικνύεις·
πλάτυνον τὴν καρδίαν μου, πενίᾳ (10) στενωθεῖσαν,
καὶ πλατυνῶ τὸ στόμα μου πλέον εἰς ὑμνῳδίαν·
οὐ παύσομαι τοῦ κράτους σου παρ' ὅλην τὴν ζωήν μου
θερμῶς ὑπερευχόμενος, σκηπτοῦχε (11), τροπαιοῦχε (12).

(1) ἐξεμιγύμνου. (2) τῶν πώποτε. (3) εὐεργετηκότατε. (4) θάλασσα. (5) Ἀρσ. σύν. (6) θανόντα. (7) σήμερον. (8) προσδοχόντα. (9) πλουτοδότην. (10) πενίαν. (11) σκυπτοῦχε. (12) οἱ ἑπόμενοι στίχοι 379-401 λείπουσιν ἐν τῷ κώδικι 228.

Ετερον. **17. Ἡμεῖς κἂν ἐζημώσαμεν [1], τὰ πλέα ψωμία ἐχρεωστοῦμάντα.**

Λύσις.
Ὁ δαίμων ὁ παμπόνηρος καὶ ὁ παμφάγος ᾅδης,
κοινολογοῦντες ἄμφω τε κατὰ Κυρίου πάλαι,
« κἂν καὶ ἐσυμβουλεύσαμεν, τοῦ θανατῶσαι τοῦτον,
ἀλλὰ τὰ σκῦλα γὰρ ἡμῶν, τὰ ἀπὸ τῶν αἰώνων
τὰ πλεῖστα ἀφηρέθημεν τῇ δυναστείᾳ τούτου,
ἡμᾶς δεσμεύσας καὶ σφοδρῶς πᾶσαν ἰσχὺν συντρίψας,
ἀνενεργήτους τίθησι, φεῦ τῆς ἡμῶν αἰσχύνης! »

Ἕτερον. **18. Ὡς ἔνι ἡ θάλασσα ἁλμυρά, διατὶ οἱ ἰχθύες εἰσὶ γλυκεῖς;**

Λύσις.
Ἤρετο ἄλλος πρὸς ἡμᾶς λόγον αἰνιγματώδη,
ὡς ἔν' ἡ θάλασσα ἁλμυρά, πῶς τὰ νηκτὰ γλυκέα;
« θάλαττα, εἶπον, ὁ παρὼν βίος ὑπάρχει, φίλε,
ὡς πάνυ κυματούμενος, ἐκ συμφορῶν τοῦ βίου.
ἰχθύες οἱ γλυκύτατοι νηχόμενοι ἐν τούτῳ,
ἄνθρωποι οἱ ἐνάρετοι, λίαν κεκαθαρμένοι
ῥύπου παντὸς καὶ μολυσμοῦ, καὶ πάσης προσπαθείας·
φ. 45*. ὡς οἱ ἰχθῦς οὐ βλάπτονται ἐν πολυκλύστῳ ζάλῃ,
ἐν ἀγριότητι πικρᾷ θαλάσσης κυμαινούσης,
οὕτως καὶ οἱ ἐνάρετοι ἐν τῇ τοῦ βίου ζάλῃ,
ἀκύμαντοι, ἀπρόσκοπτοι μένουσι, καὶ τηροῦσι
τὸ κατ' εἰκόνα τοῦ θεοῦ διὰ τὴν βασιλείαν,
ἣν ὁ Χριστὸς ὑπέδειξε τοῖς θέλουσι σωθῆναι,
καὶ εἰς τὸ καθ' ὁμοίωσιν ἀνάγονται σωφρόνως [2] ».

[1] γραπτέον, ἐζυμώσαμεν. [2] Ἡ ἀμέσως ἑπομένη ἐν πεζῷ ἑρμηνεία τῶν ἀνωτέρω καὶ ἄλλων δημωδῶν ῥητῶν, ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 228 κώδικος, ἐν ᾧ καὶ μόνῳ περιέχεται.

Καὶ ταῦτα μὲν διὰ στίχων· τὰ πλείω δὲ τούτων καὶ διὰ πεζῶν ἐξετέθησαν λέξεων, παιδὸς ἀτελοῦς ἔτι καὶ ἀρτιμαθοῦς ἕνεκεν, ὡς ἐντεῦθεν αὐτὸν ἀποστοματίσαι τὰ τοιαῦτα τοῦ διαληφθέντος ἄνωθεν βασιλέως ἐνώπιον, ἃ καὶ ἔχουσιν οὑτωσί.

## Καὶ κλέπτης καὶ ἰσχυρός.

Κλέπτης ὁμοῦ καὶ ἰσχυρὸς ὁ Ἀδάμ· καὶ κλέπτης μέν, ὡς ἐκ τοῦ φυτοῦ φαγών, ἀφ' οὗ παρηγγέλθη μὴ φαγεῖν· ἰσχυρὸς δέ, ὅτι καὶ πταίσας οὐκ ἔθετο μετάνοιαν, ἀλλὰ τὸν θεὸν ᾐτιᾶτο λέγων « ἡ γυνὴ ἣν δέδωκάς μοι βοηθόν, ἐκείνη με φαγεῖν ἀπὸ τοῦ φυτοῦ παρέπεισεν ».

## Εἷς κλέπτης καὶ δέκα μηνυταί.

Εἷς κλέπτης ὁ διάβολος, δέκα δὲ μηνυταὶ αἱ δέκα καὶ πρῶται ἐντολαὶ τοῦ θεοῦ, καὶ χάρις ἐπὶ τούτοις τῷ θεῷ· εἰ γὰρ καὶ λογισμοὺς ὑποβάλλει ἀπατηλοὺς ὁ διάβολος, ἀλλ' ἐξ ἀντιθέτου πάλιν αἱ τοιαῦται ἐντολαὶ μηνύουσιν ἡμῖν τὴν ἀλήθειαν.

## Ἡ πτωχεία κατέδειξε τὰ μοναπλά.

Ἡ πτωχεία τοῦ νοὸς τῶν Ἰουδαίων κατέδειξε τὰ μοναπλά, τουτέστιν ἐν μονάδι προσώπων, οὐ μὴν ἐν τριάδι|, τῇ τρισυ- φ. 28ᵛ.
ποστάτῳ λατρεύειν θεότητι.

## Οἱ τέσσαρες τοὺς τέσσαρας, καὶ ἐνίκησεν ἡ θύρα.

Οἱ τέσσαρες εὐαγγελισταὶ τοὺς τέσσαρας τόπους τοῦ κόσμου διέδραμον, καὶ ἐνίκησεν ἡ θύρα, ἤγουν ὁ Χριστός· αὐτὸς καὶ γὰρ ἐν Εὐαγγελίοις φησίν, Ἐγώ εἰμι ἡ θύρα.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀποζώσου καὶ νὰ φθάσῃς.

Εὐαγγελικὸς οὗτος ὁ λόγος, ἔκστηθι τῶν κάτω, λέγων, ὦ ἄνθρωπε, ἀπολύθητι τῆς πρὸς τὰ γεηρὰ ταῦτα προσπαθείας καὶ σχέσεως, καὶ οὕτω κοῦφος γενόμενος, τὰς οὐρανίους διὰ τάχους φθάσεις μονάς.

Ἔτρωγε καὶ τὰ ὀψάριά μου,
καὶ πτύει καὶ τὰ γένειά μου.

Τὸν ἀχάριστον κἀνταῦθα ὀνειδίζων Ἰσραὴλ ὁ Χριστός, καὶ τάδε λέγειν ἔοικε κατὰ τὸν τοῦ πάθους καιρόν, « ὁ μυρίων ἀπολαύσας ἀγαθῶν παρ᾽ ἐμοῦ, ὁ τῆς παραδόξου τῶν ἰχθύων τραπέζης ὑπὲρ κόρον κατατρυφήσας ἔναγχος, εἰς τοσοῦτον ἀγνωμοσύνης ἤδη κεχώρηκεν, ὡς καὶ κατ᾽ αὐτοῦ τοῦ προσώπου προσενεγκεῖν μοι ἐπτύσματα ».

Ἀπήγαμεν ὅπου μᾶς ἐχρεώστειν,
καὶ ἐχρεωστοῦμέν τον.

Ὁ ᾅδης ὁμοῦ καὶ ὁ θάνατος ἀποκλαιόμενοι λέγουσιν οὑτωσὶ — εἰς τὸν χρεώστην ἡμῶν ἀπήλθομεν Χριστόν· ἐχρεώστει γὰρ ὡς ἄνθρωπος καὶ αὐτὸς ἀποθανεῖν· ἀλλ᾽ ἡμεῖς ἐκείνῳ χρεωστοῦντες εὑρέθημεν· οὐ μόνον γὰρ ἑαυτὸν ἤγειρεν ἐκ νεκρῶν, ἀλλὰ καὶ πάντας ἄλλους ὅσους ἀπ᾽ αἰῶνος δεσμίους κατείχομεν.

Ἔλυσεν? ὁ κλέπτης τὴν βοῦλάν του (?)
καὶ ἐγέλασεν.

Κλέπτης ἐνταῦθα ὁ θεῖος ἐκεῖνος ἄγγελος, ὁ λάθρα τῷ τοῦ Κυρίου τάφῳ ἐπιφοιτήσας καὶ τὴν τῶν Ἰουδαίων ἄνοιαν ἐκμυκτηρίσας, διά γε τὰ τοῦ μνήματος σήμανδρα· ὁ γὰρ πάντα ἰσχύων Κύριος, καὶ τοῦ λίθου τῷ τάφῳ ἐπικειμένου καὶ τῶν σφραγίδων ἐκεῖσε ἀπηωρημένων, ἀκωλύτως ὡς θεὸς τοῦ μνήματος ἐξελήλυθε.

Ἀφ' ὃν ἐκαβαλλίκευσε,
κῦρ ἥλιε, μὴ τὸν κλαίῃς.

Ὁ λόγος οὗτος εἰς τὴν ἀνάληψιν ἔοικε προσαναφωνηθῆναι τοῦ Χριστοῦ, λέγων — εἰ καὶ τὸν οἰκεῖον ἐθρήνεις δημιουργόν, ὦ ἥλιε, βλέπων αὐτὸν ἐπὶ σταυροῦ κρεμάμενον ἔναγχος, ἀλλὰ τῶν δακρύων παύθητι σήμερον, [ἐπ]είπερ τῇ νεφέλῃ ὥςπερ ὀχήματι χρησάμενος, εἰς οὐρανὸν ἀναφέρεται τῷ οἰκείῳ συνεδριάσων πατρί (1).

(1) Ἐν τῷ αὐτῷ κώδικι ἐπισυνάπτονται τρία ἔτι δημώδη ῥητά, τοσοῦτον ἐξίτηλα, ὥςτε μόλις αἱ σκιαὶ γραμμάτων τινῶν διαφαίνονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

φ. 35. (1) Ἀποφθέγματα καὶ ἑρμηνεῖαι εἰς τοὺς δημώδους (sic) λόγους.

Ἐρώτησις. Κλέπτης ἦν σκοῦρος.

Ἀπόκρισις. Κλέπτης μὲν ὁ Ἀδάμ, ὡς φαγὼν ἀπὸ τοῦ φυτοῦ, ἀφ' οὗ παρηγγέλθη μὴ φαγεῖν· ὁ αὐτὸς καὶ σκοῦρος, διότι μὲ τὸ πταῖσμα μὴ βάλλων μετάνοιαν, εἶπεν γὰρ « ἡ γυνὴ ἣν δέδωκάς μοι, ἐκείνη ἐποίησέν μοι καὶ ἔφαγον », καὶ τοιούτῳ τρόπῳ ᾐτιᾶτο τὸν θεόν.

Ἐρώτησις. Οἱ δύο τὸν ἕνα πείθουν τον,
καὶ οἱ τρεῖς καταπονοῦν τον.

Ἑρμηνεία. Τὸν Ἀδὰμ γεύσασθαι τοῦ φυτοῦ τῇ συνεργίᾳ τοῦ διαβόλου, ἐθανατώθη (sic).

Ἐρώτησις. Τὰ σά, ἐμά, καὶ ἐγὼ ἂς γελῶ.

Ἑρμηνεία. Πρὸς τὸν Κύριον ὁ Παῦλός φησι, τὰ σά, ἐμά, τουτέστιν ὡς ὅ,τι ἔμελλεν συνάξει ἡ ῥάχη του, ὅταν ἐπὶ γῆς διέτριβεν, ἕως τοῦ νῦν εἰς τὸ κήρυγμα.

(1) Ἐλήφθησαν ἐκ τοῦ ὑπ' ἀριθμὸν 395 κώδικος τῆς ἐν Παρισίοις Ἐθνικῆς βιβλιοθήκης, γεγραμμένου ὑπὸ ἀμαθεστάτου ἀντιγραφέως ἐν τῇ δεκάτῃ καὶ πέμπτῃ ἑκατονταετηρίδι, ὡς εἰκάζει ὁ συντάκτης τοῦ δεδημοσιευμένου καταλόγου τῶν ἑλληνικῶν χειρογράφων (II, CCCXCV). Αἱ ἑρμηνεῖαι αὗται ἀναγόμεναι εἰς τὴν σχολὴν τοῦ Ψελλοῦ, ἐγράφησαν πρὸ τῆς ἁλώσεως τοῦ Βυζαντίου, ἄγνωστον ὑπὸ τίνος καὶ ἐν ποίῳ ὁριστικῶς χρόνῳ· εὕρηνται δ' ἐν φύλλοις 13-35 τοῦ κώδικος, οὐχὶ κατ' ἀριθμητικὴν τάξιν, ὡς συγκεχυμένης ταύτης ὑπὸ τοῦ βιβλιοδέτου, ὅστις ἔταξε τὴν μὲν συνέχειαν ἐν ἀρχῇ, τὴν δὲ ἀρχὴν ἐν τῷ τέλει.

Συνάγω ἐγώ, περιπατῶ, καὶ εὐαγγε- λίζομαι. Ἐρώτησις.

Τουτέστιν οὐδεὶς χαίρων ἐπὶ ὀδυρμοῖς, ἀλλὰ μᾶλλον χαίρων καὶ ἀγαλλιώμενος, καὶ μάρτυς τῶν λόγων αὐτὸς ὁ μέγας Ἀπόστολος Παῦλος λέγων, χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀναπληρῶ τὰ ὑστερήματά μου ἐν τῇ σαρκί μου. Ἀπόκρισις.

Ἀπὸ κλέπτην κλέπτε, καὶ κρίμαν οὐκ ἔχεις. Ἐρώτησις.

Κλέπτης τῶν ψυχῶν ὁ διάβολος, καὶ κλέπτει γὰρ καὶ ἀφαρ|πάζει ἀεί· ὁ κλέψας (1) ψυχὴν κατεχομένην ὑπὸ τοῦ διαβόλου, οὐ μόνον ὅτι κρίμαν οὐκ ἔχει, ἀλλὰ καὶ μέγαν μιστόν (sic)· μᾶλλον δὲ αὐτὸν μιμεῖται τὸν εἰπόντα (2), ὁ ἐξάγων τιμὴν ἐξ ἀναξίου, ὡς τὸ στόμα μου ἔσται. Ἀπόκρισις. φ. 13*.

Οἱ τέσσαρεις τοὺς τέσσαρεις, καὶ ἐνίκησεν ἡ θύρα. Κείμενον.

Οἱ μὲν τὰ ὀπτίος (sic) καταφρονοῦσιν, ἄλλως ἑρμηνεύουσιν, ἡμεῖς δέ, κατὰ τὸν Ἀπόστολον τὸν λέγοντα ὅτι δεῖ αἰχμαλωτίζειν πᾶν νόημαν εἰς τὴν ὑπακολουθίαν τοῦ Χριστοῦ· οἱ τέσσαρες εὐαγγελισταί, Ματθαῖος, Μάρκος, Λουκᾶς, Ἰωάννης, τοὺς τέσσαρεις τόπους τοῦ κόσμου διέδραμον, ἀνατολήν, δύσιν, ἄρκτον καὶ μεσημβρίαν, κηρύσσοντες τὸ Εὐαγγέλιον, καὶ τί

(1) χειρ. κλέψε (*) Ἡμαρτημένως τὸ φύλλον τοῦτο, ὡς 13 ἀριθμεῖται, ἀντὶ 36.

(2) χειρ. ζημοῦντι τῷ εἰπόντι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γέγονεν ἐκ τοῦ, ἐνίκησεν ἡ θύρα, ἤγουν ὁ Χριστός, καθὼς ἐν Εὐαγγελίοις φησίν, ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται.

Κείμενον. Ὡς εὕρῃς τὸν καιρόν,
φάγε καὶ τὸν λαγόν.

Ἑρμηνεία. Ὁ Χριστὸς ἀποστέλλει τὸν Παῦλον εἰς τὸ εὐαγγέλιον· κηρύσσων εἶπεν, δέον σε συγκαταβάντα τὴν τοῦ καιροῦ δυσκολίαν (1).

Κείμενον. Τὸ ποιήσεις, πάθῃς, καὶ τὸ ἄλλον
περισσεύσει.

Ἑρμηνεία. Ὡς ἂν ἦτον κρεμάμενος ὁ Κύριος ἐπὶ τοῦ σταυροῦ, καὶ τὸν ληστὴν ἰδὼν μετανοήσαντα καὶ πιστεύσαντα, εἶπεν πρὸς τὸν διάβολον, ὃν ἐποίησας, ἔπαθες, καὶ ἄλλο περισσότερον ἐποίησας, τοὐ[τέστι] τὸν κατ' ἀρχὰς πλασθέντα χειρὶ θεοῦ, δι' ἐπιβουλῆς ἥρπασεν, καὶ ἐν παραδείσῳ ὄντα ἐξόριστον πεποίηκεν· ἔπαθεν δὲ τοῦτο, καὶ τὸν ληστὴν ὃν εἶχεν ἐν ταῖς χερσὶν αὐτοῦ, ἀφαρπαζόμενον ἑώρα καὶ εἰς τὸν παράδεισον εἰσερχόμενον, καὶ οὐ μόνον αὐτόν, ἀλλὰ καὶ ἄλλους περισσοτέρους, πάντας τοὺς ἀπὸ καταβολῆς κόσμου καὶ κεκοιμημένους δικαίους.

Κείμενον. Καθαρὰ καὶ κυβαρὰ ὅλα ἡ χάρις δέχεται.

Ἑρμηνεία. Ἡ μετάνοια ἐντεῦθεν δεῖ λέγεται, ἡ χάρις γάρ φησι τῆς ὁμοουσίου τριάδος, πάντας δέχεται, ἐὰν ἐπιστρέψουσι· οὐκ ἔστι

(1) Λείπει ἓν φύλλον, ἡ δὲ συνέχεια εὕρηται ἐν φύλλῳ 15.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γὰρ ἁμαρτία νικῶσα τὴν φιλανθρωπίαν αὐτοῦ, κἂν ἄλλως τις φληναφῇ ἐν Ἀρειανοῖς? (1)· εἰ γὰρ εὐσεβὴς ἐστιν ὁ ἐπιστρέφων ἐξ ἁμαρτίας, εἴτε ἀσεβής, προσδέχεται παρὰ τοῦ ἐλεήμονος Θεοῦ διὰ βαπτίσματος καὶ μετανοίας.

Ὁ λύκος τὸ μαλλὶν ἀλλάσσει, Κείμενον.
τὴν δὲ γνώμην οὐκ ἀλλάσσει.

Ὁ λόγος οὗτος τὸν ὑπερήφανον καὶ ἐπηρμένον διάβολον καθάπτεται, λύκον γὰρ αὐτὸν ὁ λόγος καλεῖ, ὃς ἀεὶ σπεύδεται τοῦ διαφθεῖραι (2) καὶ διασπάσαι τὰ πρόβατα τοῦ Κυρίου, ὃς εἰ καὶ τὸ μαλλὶν ἤλλαξε, τουτέστιν ὅταν ἐνεδύθη (3) τὸν ἑωσφόρον γαρὴν (sic) καὶ σκότῳ μετημφιάστη, διὰ τὴν προσοῦσαν αὐτῷ ἔπαρσιν, καὶ εἰς γῆν ῥιφείς, τὴν γνώμην οὐκ ἀλλάσσει, καὶ οὐκ ἀφίσταται τῆς προτέρας αὐτοεπάρσεως καὶ ἀλαζονίας. Ἑρμηνεία.

Ὁ θεὸς κατὰ τὰ σάγια, Κείμενον.
μοιράζει καὶ τὰς κρυάδες.

Ἐνταῦθα ὁ λόγος σάγια τὰ ἡμῶν ἀνομήματα λέγει, κρυάδας δὲ τὰς παιδεύσεις καὶ ἀνταποδόσεις ἑκάστου. Ἑρμηνεία.

Τοῦτα μὲν τὰ συντυχαίνης, ἕνι παλαιοῦ οὐρανοῦ ἀποκλάσματα. Ἕτερον.

Ἐνταῦθα τὰς φυλὰς καὶ γλώσσας τὰς περὶ τὴν ἁγίαν Πεντηκοστήν, ἔνθα τὸ πνεῦμα τὸ ἅγιον κατῆλθεν καὶ ἐσόφισεν τοὺς Ἀποστόλους, πρὸς αὐτοὺς τὸν λόγον ποιεῖται, καὶ λέγον, Τοῦτα μὲν τὰ συντυχαίνετε διὰ τῶν ὑμετέρων γλωσσῶν, οὐκ εἰσὶν Ἑρμηνεία.

(1) χειρ. ατιανοῖς. (2) χ. διαφθείρῃ. (3) χ. ἐνεδίδη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οὔτε ὑμέτερα καὶ οἰκεῖα, ἀλλὰ πνεύματος ἁγίου ἀποφθέγματα, ἤγουν παλαιοῦ οὐρανοῦ ἀποκλάσματα, καθὼς ὁ προφήτης Δανιὴλ λέγει « ἐκάθησεν ὁ παλαιὸς τῶν ἡμερῶν » καὶ ὁ Δαυὶδ λέγει « αἰνεῖτε αὐτὸν οὐρανοὶ τῶν οὐρανῶν ».

Κείμενον. Εἶδα φαρακλόν, ἀλλὰ νὰ φαίνεται ὁ μυαλός του κακὸν εἶνε.

Ἑρμηνεία. Ἐνταῦθα ὁ λόγος πρὸς τὸν ἄνθρωπον λέγεται καὶ ποιεῖται, καὶ φησίν, ὅτι εἴδαμεν φαρακλόν, τουτέστιν ἁμαρτωλὸν καὶ
φ. 17. ἄσπλαγχνον, ἀλλὰ καὶ ἀγαθοῦ τινος μέτοχον, | [ἀλλ'] ὡς ὁ πλούσιος ἐκεῖ καὶ ἀμέτοχος παντὸς ἀγαθοῦ, ὡς οὐδὲ ψιχίδιον μικρὸν δοῦναι τὸν πτωχὸν Λάζαρον, τοῦτο δὲ κακὸν ἔνε.

Κείμενον. Αὐγούστου τὰ πεντάλιτρα, τὸν Μὰν ἀναζητοῦνται.

Ἑρμηνεία. Αὔγουστον ὁ λόγος τὸν μοναρχήσαντα εἰς ἡμᾶς τὰ ἀπολωλότα πρόβατα πρὸ τοῦ γεννηθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, λέγει, δεκάλιτρα δὲ λέγονται τὰ δέκα τάλαντα, ἢ τὰς (1) δέκα ἐντολάς· καὶ ὅταν ἔλθῃ κρῖναι περὶ τὸν Μάϊον μῆναν, τὸ ἔαρ τῆς ἀληθείας καὶ γλυκύτατον φῶς, τότε ἀναζητήσει αὐτὰ τὰ πέντε λίτρα, ἤγουν ἐρευνήσει ἅπαντας.

Κείμενον. Ἡ σκύλλα σπουδαζομένη, τυφλὰ κουλούκια ἐγέννησεν.

Ἑρμηνεία. Ἡ συναγωγὴ τῶν Ἰουδαίων ἡ πονηρά, σπουδάσασα τοῦ ἀνελεῖν τὸν Κύριον, τῆς δόξης ἀπετυφλώθησαν πάντες καὶ αὐτὴ καὶ τὰ τέκνα αὐτῆς.

(1) χειρ. ἐν τάς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐὰν ἐξεπέσετο ἡ Νινή (1), πάλιν βελόνην σώσει. Κείμενον.

Ἐνταῦθα ὁ λόγος πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγεται τὸν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ ταπεινωθέντα δι' ἡμᾶς τοὺς ἀνθρώπους, πάλιν δὲ (sic) σοῦ τοῦ ἐχθροῦ ὡς βελόνη σώζει, καὶ οὐ παύεται τοῦ πλήττειν τὸν Σατανὰν διὰ τὸ βελόνιν, ἤγουν τῶν ἀρετῶν τῶν ἐνεργουμένων διὰ τῶν θεραπόντων αὐτοῦ. Ἑρμηνεία.

Κόπτε χρέος, κόπτε λύπας. Κείμενον.

Ἐνταῦθα ὁ λόγος πρὸς τὸν ἄνθρωπον ἐστὶ καὶ φησίν, ὦ ἄνθρωπε, κόπτε χρέος, κόπτε λύπας, ἤγουν λῦσαι ἀπὸ τῶν ἁμαρτιῶν σου χειρόγραφον διὰ μετανοίας καὶ ἐξομολογήσεως. Ἑρμηνεία.

---

## ΔΗΜΩΔΗ ΑΙΝΙΓΜΑΤΑ. φ. 34.

---

Τί ἐστιν ἑβδομήκοντα δύο καβαλλάροι, οἳ κινοῦνται μετὰ τεσσάρων βασιλέων καὶ ὑπὸ μιᾶς πόρτας ζῶσιν, καὶ τὰ ἅρματα αὐτῶν οὐκ εἰσιν [ἢ] πέντε, ἔχουσι δὲ καὶ τρία περδίκια, καὶ οὐδεὶς ἐνίκησεν αὐτούς, εἰ μὴ μόνον ἕναν γεράκιν; Ἐρώτησις.

Ἑβδομήκοντα δύο καβαλλάροι εἰσὶν ἡ ἑβδομήκοντα δύο φλέβες (2) τοῦ ἀνθρώπου καὶ κινοῦνται μετὰ τεσσάρων στοιχείων, Ἀπόκρισις.

(1) ἴσως γραπτέον - ἐξέπεσε τὸ νινί.
(2) χειρ. φλέγες.

αἵματος, φλέματος, χολῆς ξανθῆς καὶ μελάνης, καὶ ὑπὸ μίας πόρτας ζῶσι, τουτέστι τοῦ στόματος, καὶ τὰ ἅρματα αὐτῶν εἰσὶν πέντε, ἤγουν ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἀφή· τὰ δὲ τρία περδίκια, εἰσὶ (1) τὸ τριμερὲς τῆς ψυχῆς, ἤγουν λογικόν, θυμητικόν, καὶ ἐπιθυμητικόν· τὸ δὲ ἱεράκιν ὅπου ἐνίκησεν αὐτοὺς ἐστὶν ὁ ἄγγελος.

Ἐρώτησις. Καβαλλάρης μικρός εἰμι ἐγώ, καὶ κατ' ἐμοῦ κινοῦνται (2) καὶ δύο ἐξοδιαστάδες, καὶ τέσσαρεις στρατοπεδάρχας, ὁ εἷς κοκκινοφόρος, καὶ ὁ ἕτερος λευκοφόρος, καὶ ὁ τρίτος κιτρινοφόρος, καὶ στρατιώτας τριακοσίους ἑξήκοντα πέντε, καὶ βασίλισσαις ἑβδομήκοντα δύο, πύριναις, ξανθαῖς, καὶ σγούραις.

φ. 35. Καὶ ἐκεῖ ἐπῆγαν καὶ ἐπλήκευσαν εἰς μίαν μικρὴν πορτίτζαν,
καὶ ἐκείνη πάντα μου νικᾷ τὸ (3) τόσον φουσάτον·
ἀλλ' οὐ μισῶ τὸν πόλεμον, οὐ νίκος ἐφοβήθην,
ἄλλο συντρέχω καὶ ποθῶ, τὴν πόρταν τοῦ πολέμου.

(λείπει τὸ τέλος).

(1) χ. ἤδι.
(2) χειρ. μετ' ἐμοῦ καίηται.
(3) χ. καί.

(571-2)

# Θ.

## ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

## ΕΡΜΗΝΕΙΑΙ ΕΙΣ ΔΗΜΩΔΕΙΣ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

### 1. Τί ἐστι Βαβουτζικάριος (1).

Ὁ μέν τοι Βαβουτζικάριος ἐξ Ἑλληνικῆς φλυαρίας παρεισεφθάρη τῷ βίῳ· ἔνεστι γάρ που τοῖς Ὀρφικοῖς ἔπεσι Βαβώ τις ὀνομαζομένη δαίμων νυκτερινή, ἐπιμήκης τὸ σχῆμα, καὶ σκιώδης τὴν ὕπαρξιν. Ἱστορεῖ δὲ καὶ Πορφύριος ὁ φιλόσοφος περὶ τούτων (2) ἔθνος δὲ οὗτοι βόρειόν τε καὶ βάρβαρον· πολλοῖς τοιούτοις ἐπτυχηκέναι νυκτερινοῖς φάσμασιν, ἃ δή φασι νυκτὸς μὲν ἐπικαίειν, ἡμέρας δὲ ἐντυγχάνειν τοῖς ἐπικαυθεῖσι λεπτοῖς τισι καὶ ἀμαυροῖς σώμασι, νήμασιν ἀραχνίοις προσεοικόσιν. Ἀπὸ γοῦν τῆς Βαβοῦς ὁ Βαβουτζικάριος παρὰ τοῖς πολλοῖς ἀνεπλάσθη. Καὶ ἔστι μὲν οὐδαμοῦ ἐπιχωριάζων τῷ βίῳ, ἀλλ' οἱ δειλότεροι τῶν ἀνθρώπων εἶναι δὴ τοῦτον τὸν δαίμονα πλάττουσιν. Ἦν γάρ τις κἀμοὶ ἀνθρωπίσκος, ἀγενὴς μὲν τὴν ψυχήν, λογοποιὸς δὲ οὐχ ἥκιστα. Τούτῳ γοῦν οὐ νυκτὸς μόνον, ἀλλὰ καὶ ἡμέρας τὰ τοιαῦτα παρυφίστατο φάσματα· ἑώρα γοῦν τὸ μὴ ὄν, ὥσπερ ὁ Ὀρέστης τὰς Εὐμενίδας· καὶ ἔπλαττε τὸ ἀνύπαρκτον

(1) Ἐκ τοῦ Ἀλλατίου De Graecorum hodie quorundam opinationibus, σελ. 139-140.

(2) Πιθανῶς ἐξέπεσε τὸ ὄνομα τοῦ ἔθνους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

νυκτὸς δὲ βραχύ τι προβαίνων, εἶτα δειλιάσας ἀνέστρεφε, καὶ τοῖς πολλοῖς ἀνετύπου τὸν μὴ ὄντα Βαβουτζικάριον. Γίνεται δὲ τοῦτο ἐκ κοινοῦ πάθους, σώματος φημὶ καὶ ψυχῆς· ἡ μὲν γὰρ τῇ ἐμφύτῳ νόσῳ ταράττεται· οἱ δέ γε ὀφθαλμοὶ τηνικαῦτα τῆς ὁρατικῆς δυνάμεως ἔχοντες, καὶ μὴ καθαρὸν τὸ φῶς ἀκοντίζοντες, ὃ πάσχουσιν ἔσωθεν, ἔξωθεν δοκοῦσιν ὁρᾶν· καὶ τὸ πάθος τοῦτο δαίμων ἐκείνοις ἐνομίσθη καὶ ὠνομάσθη. Εἰ δὲ μὴ πάντα τὸν χρόνον, ἀλλ' ἐν αἷς ἡμέραις τὴν τοῦ Χριστοῦ γένναν πανηγυρίζομεν, καὶ τὸ θεῖον ἑορτάζομεν βάπτισμα, τοῦτο δὴ τὸ πάθος εἰς δαίμονα ἀναπέπλασται, θαυμάζειν οὐ χρή· τηνικαῦτα γὰρ διὰ τὰς ἀναγκαίας πανηγύρεις νυκτὸς παρ' ἀλλήλους οἱ ἄνθρωποι ἀφικνούμενοι, τότε πάθος ὑφίστανται, καὶ ἡ τοῦ δαίμονος χώραν ἔχει ὑπόληψις.

## 2. Περὶ τῆς Γιλλοῦς (1).

Ἡ δὲ Γιλλώ, τοῦτο δὴ τὸ ἀρχαῖον καὶ πολυθρύλλητον ὄνομα, οὔτε δαίμων τις ἐστιν, οὔτε ἄνθρωπος ἀθρόον εἰς ὠμότητα θηρίου μετενεχθείς. Ἀπήρηται γὰρ πᾶσι φιλοσόφοις τῆς φύσεως ἡ μετάβασις, καὶ οὔτε θηρίον ποτὲ ἂν ἐξανθρωπισθείη, οὔτε μὴν ἄνθρωπος εἰς θῆρα μετενεχθείη, ἀλλ' οὔτε εἰς δαίμονα, οὔτε εἰς ἄγγελον· ὀνόματα δὲ δαιμόνων, καὶ δυνάμεις αὐτῶν πολλάς τε καὶ ἐν πολλοῖς γνούς, οὔτε παρὰ τοῖς Λογίοις, οὔτε παρὰ ταῖς ἀγυρτικαῖς βίβλοις τοῦ Πορφυρίου τῇ Γιλλῷ ἐντετύχηκα. Ἀπόκρυφον δέ μοι βιβλίον ἑβραϊκὸν τοῦτο τὸ ὄνομα προσέπλασεν· ὁ δὲ τὸ βιβλίον γράψας τὸν Σολομῶντα ποιεῖται ὑπόθεσιν, κἀκεῖνον εἰσάγει, ὥσπερ ἐν δράματι τὰ τῶν δαιμόνων ὀνόματα καὶ τὰς πράξεις ἀγγέλλοντα· ἔστι γοῦν παρ' αὐτῷ ἡ Γιλλὼ δύναμίς τις πρὸς τὰς γενέσεις καὶ τὰς οὐσίας ἀντίθετος·

(1) Ἐκ τοῦ αὐτοῦ, σελ. 117-118.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

αὕτη γοῦν τά τε κυοφορούμενα φησὶν ἀναιρεῖ, καὶ ὁπόσα τῆς μήτρας διολισθήσοι, καὶ χρόνος αὐτῇ τῆς ἀναιρέσεως ἐνιαύσιος ὥρισται· εἶτα δὴ δεσμεῖ αὐτὴν ἡ Ἀδράστεια. Ἀλλ' ἥ γε τήμερον ἐπέχουσα δόξα τοῖς γραϊδίοις τὴν δύναμιν ταύτην παρέχεται· πτεροῖ γοῦν τὰς παρηβηκυίας καὶ ἀφανῶς εἰσοικίζει τοῖς βρέφεσιν· εἶτα θηλάζειν ποιεῖ ταύτας καὶ πᾶσαν τὴν ἐν τοῖς βρέφεσιν ἀπορροφᾷν ὥςπερ ὑγρότητα· τὰ γοῦν συντακέντα τῶν νεογνῶν Γιλλόβρωτα αἱ περὶ τὴν λεχὼ ὀνομάζουσιν.

---

## ΕΤΕΡΑΙ ΠΕΡΙ ΓΙΛΛΟΥΣ ΠΑΡΑΔΟΣΕΙΣ (1).

### 1. Ἀποστροφὴ τῆς μιαρᾶς καὶ ἀκαθάρτου Γυλλοῦς.

Ἐπὶ τῆς βασιλείας Τραϊανοῦ τοῦ βασιλέως ἦν τις γυνὴ ὀνόματι Μελετινή, ἥτις ἐγέννησεν παιδία ἕξ, καὶ σονέλαβεν αὐτὰ ἡ μιαρὰ καὶ ἀκάθαρτος Γυλλοῦ· καὶ πάλιν ἐν γαστρὶ συνέλαβεν ἡ Μελετινή, καὶ εἰσῆλθεν εἰς τὰ λεγόμενα Χαλκοπράτια, καὶ κτήσας (sic) πύργον ὑψηλόν, καὶ καθηλώσας αὐτὸν καὶ μολυβδώσας (2), καὶ λαβὼν ιβ' θεραπαίνιδας δι῀ῆγεν μετ' αὐτῶν (3), καὶ ἐμβὰς ἐν αὐτῷ, ἔτεκεν ἐκεῖ τὸ παιδίον.

(1) Αἱ τέσσαρες αὗται περὶ Γιλλοῦς διηγήσεις ἐλήφθησαν ἐκ τοῦ ὑπ' ἀριθμὸν 395 κώδικος τῆς αὐτῆς βιβλιοθήκης· τῆς πρώτης τούτων περὶ ἁρπαγῆς τῶν τέκνων τῆς ἁγίας Μελιτηνῆς καὶ τοῦ ὑπὸ τῶν ἁγίων Σισινίου καὶ Σηνοδώρου ἐξορκισμοῦ τῆς Γιλλοῦς εὕρηνται καὶ δύο ἕτεραι ἐκδόσεις, διάφοροι τῆς ἡμετέρας, δημοσιευθεῖσαι ὑπὸ Ἀλλατίου (de opinionibus Graecorum, σελ. 126-129).

(2) χειρ. μολυνδώσας. (3) χ. αὐτῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὁ ἅγιος Σισίνιος, Σίνης καὶ Σηνόδωρος κατῆλθον τοῦ ἐπισκέψασθαι τὴν ἀδελφὴν αὐτῶν, καὶ γινόμενοι πλησίον τοῦ πύργου ἔκραξαν αὐτὴν λέγοντες, ἄνοιξον ἡμῖν, ἀδελφὴ Μελετινή· ἡ δὲ εἶπεν, παιδίον ἐγέννησα καὶ φοβοῦμαι ἀνοῖξαι.

Ἐπὶ πολὺ δὲ αὐτῶν ἱσταμένων καὶ τῶν ἵππων χαλινοκτυπούντων, κατῆλθε τοῦ ἀνοῖξαι αὐτῶν. Ἡ δὲ μιαρὰ Γυλλοῦ συνεισῆλθε σὺν τοῖς ἵπποις ὥςπερ μυῖα· καὶ περὶ μέσης τῆς νυκτὸς ἀπέκτεινε τὸ παιδίον. Ἡ δὲ Μελετινὴ ὠλόλυζεν πικρῶς, λέγουσα, ὦ Σισίνιε, Σίνη, καὶ συνοδία, οὐκ εἶπον ὑμῖν ὅτι παιδίον ἐγέννησα καὶ φοβοῦμαι ἀνοῖξαι; ἦλθεν (1) ἡ μιαρὰ
καὶ ἀπέκτεινεν αὐτό! Τότε οἱ ἅγιοι προσευχὴν ποιήσαντες πρὸς
φ. 10. θεόν, κατῆλθεν ἄγγελος | ἐξ οὐρανοῦ καὶ εἶπεν αὐτοῖς, Εἰσηκούσθη ἡ δέησις ὑμῶν πρὸς θεόν· καταδιώξατε αὐτὴν εἰς τὰ μέρη τοῦ Λιβάνου.

Τότε λέγουσιν πρὸς τὴν ἀδελφὴν αὐτῶν, μὴ λυποῦ, ἀδελφὴ Μελετινή, ἡμεῖς γὰρ ἐν ὀνόματι τοῦ θεοῦ γενόμεθα ὡς κυνηγοί, καὶ κρατήσωμεν (2) αὐτήν. Τότε καθίσαντες ἐπὶ τοῖς ἵπποις αὐτῶν, ἔτρεχον αὐτήν· ἡ δὲ μιαρά, ἰδοῦσα τοὺς ἁγίους ὄπισθεν αὐτῆς, ἔδραμεν πρὸς τὴν θάλασσαν, καὶ ἔλασαν οἱ ἅγιοι τοὺς ἵππους αὐτῶν, [καὶ] ἔφθασαν αὐτήν. Καὶ ἀπέλαβεν αὐτὴν ὁ ἅγιος Σισίνιος ἐκ τοῦ πλευροῦ αὐτῆς, καὶ ἤρξατο βασανίζειν αὐτήν, λέγων «ἐὰν μὴ μοῦ ὁμολογήσῃς ποῖον θεὸν σέβεις, καὶ ποῦ τὴν δύναμιν ἔχεις, ἐκ τῶν χειρῶν ἡμῶν οὐκ ἀπόλυσαι, ἕως οὗ ἀποδώσεις ἡμῖν καὶ τὰ ζ′ τέκνα Μελετινῆς ζῶντα, ὥςπερ ἔλαβες.

φ. 11. Τότε ἡ μιαρὰ λέγει τοὺς | ἁγίους «ἅγιοι τοῦ θεοῦ, ἀδύνατόν ἐστιν δοῦναι τὰ παιδία, ἐὰν μὴ πίω γάλα ἐκ τῶν μασθῶν Μελετινῆς». Καὶ στραφεὶς ὁ ἅγιος Σηνόδωρος πρὸς τὴν

(1) χειρ. ἐλθών. (2) χ. ἐκρατήσαμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀδελφὴν αὐτῶν, ἀνήγγειλεν αὐτῇ τὸ γεγονός, καὶ ἔδωκεν γάλα τὸν ἅγιον· καὶ ἐλθὼν αὐτὸς εἰς τὸν τόπον ὅπου ἐκράτησαν τὴν μιαράν, καὶ ποτίσαντες αὐτὴν τὸ γάλα, καὶ κατ' οἰκονομία θεοῦ ἐξέρασεν τὰ παιδία ζῶντα.

Τότε ἤρξαντο μαστίζειν αὐτήν· ἡ δὲ μιαρὰ λέγει τοὺς ἁγίους « ἅγιοι τοῦ θεοῦ, μὴ μὲ πολυβασανίσετε, καὶ ὀμνύω σας εἰς τὸν κύκλον τοῦ ἡλίου καὶ εἰς τὸ κέρας τῆς σελήνης, ὅτι ὅπου γράφεται τὸ ὄνομά σας καὶ ἀναγινώσκεται ἡ πολιτεία σας, καὶ τὰ ιβ' ἥμισυ ὀνόματά μου, οὐ μὴ τολμήσω προσεγγίσω ἐν τῷ οἴκῳ ἐκείνῳ, ἀλλὰ ἀπὸ τριῶν μιλίων φεύξομαι ἐκ τοῦ οἴκου ἐκείνου ». Τότε λέγουσιν | αὐτήν, « ἀνάγγειλον ἡμῖν τὰ δώδεκα φ. 12.
ἥμισύ σου ὀνόματα ». Τότε ἡ μιαρὰ πυρὶ φλεγομένη ἔλεγεν — Τὸ μὲν πρῶτόν μου ὄνομα καὶ ἐξαίρετον καλεῖται Γυλλοῦ, τὸ δεύτερον, Ἀμορφοῦς, τὸ τρίτον, Ἀβυζοῦ (1), τὸ τέταρτον, Καρχοῦς, τὸ πέμπτον, Βριανή, τὸ ἕκτον, Βαρδελλοῦς, τὸ ἕβδομον, Αἰγυπτιανή, τὸ ὄγδοον, Βαρνά, τὸ ἔννατον, Χαρχανιστρέα, τὸ ι', ἀδικία, [τὸ ια' . . . . . .] τὸ ιβ', μυῖα, τὸ ἥμισον, Πετώμενη.

Καὶ ἀκούσαντες ταῦτα τὰ ὀνόματα, οἱ ἅγιοι ἐθαύμασαν, καὶ ἀνέσπασαν τὸν δεξιὸν πλόκαμον τῆς κεφαλῆς αὐτῆς ποιήσαντες σχοινία τοῖς ἵπποις αὐτῶν, καὶ λαβόντες τὰ ἰδιόχειρα αὐτῆς ὀνόματα, καὶ τὰ παιδία ζῶντα ὥσπερ ἔλαβεν, καὶ ἀπόλυσαν αὐτήν. Καὶ εἰσελθόντες εἰς τὴν Πόλιν, πᾶσα ἡ πόλις ἐδόξαζεν τὸν θεὸν τὸν ποιοῦντα θαυμάσια διὰ τῶν ἁγίων αὐτοῦ. Ὁ ἔχων τὴν ἀποστροφὴν αὐτῆς οὐ μὴ ἀδικηθῇ.

(1) Ἐν τῇ παρ' Ἀλλατίῳ ἐκδόσει τὸ ὀνοματολόγιον τῆς Γιλλοῦς ἔχει οὕτω « Τὸ πρῶτόν μου ὄνομα καλεῖται Γιλοῦ, τὸ δεύτερον Μωρρᾶ, τὸ τρίτον Βυζοῦ, τὸ τέταρτον Μαρμαροῦ, τὸ πέμπτον Πετασία, τὸ ἕκτον Πελαγία, τὸ ἕβδομον Βορδόνα, τὸ ὄγδοον Ἀπλετοῦ, τὸ ἔννατον Χαμοδράκαινα, τὸ δέκατον Ἀναβαρδαλαία, τὸ ἑνδέκατον Ψυχρανοσπάστρια, τὸ δωδέκατον Παιδοπνίκτρια, τὸ ἥμισυ Στρίγκλα ».

## φ. 49. 2. Εὐχὴ τῆς Γυλοῦς (sic).

Ὡς ἐκατήρχετον ἐκ τοῦ οὐρανοῦ ὁ ἀρχάγγελος Μιχαὴλ ὑπήντησεν αὐτῷ τὸ ἀκάθαρτον πνεῦμα ἡ μιαρὰ Γυλοῦ, ἔχουσα τὰς τρίχας αὐτῆς ἕως τῶν πτερνῶν αὐτῆς, καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς πεπυρωμένους, καὶ λέγει αὐτὴν ὁ ἀρχάγγελος Μιχαήλ, « πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; » Ἀποκριθεὶς δὲ ἡ μιαρὰ καὶ ἀκάθαρτος Γυλοῦ, ἔφη, « ἐγὼ ἀπέρχομαι εἰς οἶκον τινός, ὡς ὄφις, ὡς δράκων, ὡς ἑρπετὸν τετράποδον, καὶ ἐξαλεῖψαι αὐτόν· ἐγὼ ὑπάγω ποιῆσαι γυναικῶν πληγάς, ἐγὼ [ὅπου?] ὑπάγω, ποιῶ αὐτοὺς καρδιοπονεῖν, καὶ γάλα αὐτῶν ξηραίνω· ἐγὼ συν-
φ. 50. θλᾶσαι δύναμαι καὶ κατὰ κράτος | δ' αὖ ξαλεῖψαι· ἐγὼ τὰ νήπια ἀποκτένω, τὸ γὰρ ὄνομά μου Παταξαρέα καλοῦμαι· καὶ ὅταν ἔτεκεν ἡ ἁγία Μαρία τὸν λόγον τῆς ἀληθείας, ἀπῆλθα ἐκεῖ ἵνα αὐτὴν πλανήσω, καὶ οὐκ ἠδυνήθην, ἀλλ' ἐστράφην πεπλανημένη ».

Καὶ πιάσας αὐτὴν ὁ ἀρχάγγελος Μιχαὴλ ἐκ τῶν δεξιῶν αὐτῆς πλοκάμων, λέγει αὐτῇ, ἀνάγγειλόν μοι τὰ ιβ' σου ὀνόματα, ἀκάθαρτον πνεῦμα.

Εἶτα λέγει πρὸς τὸν ἀρχάγγελον· « τὸ πρῶτόν μου ὄνομα Μανλοῦ (1) καλοῦμαι· τὸ β', Ἀμορφοῦς· τὸ γ', Καρανιχοῦς· τὸ δ', Ἀβιζιοῦ· τὸ ε', Ἀβιδαζιοῦ· τὸ ς', Μαρμαλατοῦς· τὸ ζ', Καριανή· τὸ η', Ἑλληνοῦς· τὸ θ', Ἀριανή· τὸ ι', Ἀδικία· τὸ ια', Χαρχαρίστρια· τὸ ιβ'. Μυιᾶ (2)· τὸ ἥμισον, Πετωμένη. Ταῦτά εἰσι τὰ ὀνόματά μου, καὶ ἐξορκίζω καί σου, ἀρχάγγελε Μιχαήλ, εἴ τις δυνηθῇ καὶ γράψῃ τὰ ιβ' μου [καὶ ἥμισον] ὀνόματα, οὐ δυνηθῶ ἐλθεῖν εἰς τὸν οἶκον ἐκεῖνον, ἀλλὰ φεύξομαι πεντακόσια μίλια ».

(1) ἴσως γραπτέον Μαυλοῦ. (2) γραπτέον, Μυῖα.

Οὕτω δὲ ἐξώρκισεν αὐτὴν ὁ ἀρχάγγελος | Μιχαὴλ λέγων, « ὁρκίζω σε εἰς τὸν δεσπότην Χριστόν, ἵνα μὴ εἰσέλθῃς εἰς τὸν οἶκον τοῦ δούλου τοῦ θεοῦ Φλουρῆ, ἐπὶ ὀνόματος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί ». φ. 51.

## 3. Εὐχὴ ἑτέρα, τῆς Ἀβιζοῦς ἐξορκισμός.

Κατερχόμενος ὁ ἅγιος Ἀρσένιος ἐκ τοῦ ὄρους Σινᾶ, καὶ ὑπήντησεν τὴν Ἀβιζοῦ ἔχουσαν πεπυρωμένους τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ τὰς χεῖρας σιδηρᾶς, καὶ τὰς τρίχας ὡσεὶ καμήλου . . . . . (1) καὶ πολλάκις ὑπήντησα τῇ Θεοτόκῳ ἐν τῇ πόλει Νινευΐ, καὶ κρατήσασά με εἶπεν, « εἰπὲ αὐτῆς (2) μὰ τὰ ὕψη τοῦ οὐρανοῦ καὶ τὸ βάθος τῆς θαλάσσης, οὐ ψεύδομαι· ὅπου εἰσὶ τὰ ιβ' μου ὀνόματα οὐ μὴ εἰσέλθω εἰς τὸν οἶκον ἐκεῖνον, οὐδὲ εἰς τὸ νήπιον ἐκεῖνον τοῦ οἴκου ἐκείνου· ὁ ἔχοντα τὸ φυλακτήριον τοῦτο ἀποδιώκει με ἀπὸ τὸν οἶκον αὐτοῦ, ὅτι ζῇ τὸ ὄνομα Κυρίου εἰς τοὺς αἰῶνας ».

## 4. [Ἐξορκισμὸς τῆς Γιλλοῦς ὑπὸ τοῦ ἁγίου Μάμαντος]. φ. 44.

Ὁ ἅγιος Μάμας ὁ ἀρχιποιμὴν πρώτης ἀμνάδος ἔβοσκεν αἶγας καὶ πρόβατα χιλιάδες γ', καὶ ἐπολέμαν τύρους καὶ ἐρόγευσεν αὐτὰ χήρας καὶ ὀρφανούς, καὶ ἐπότιζεν αὐτὰ εἰς τὰς πηγάς. Ἰδὼν δὲ ὁ διάβολος ὁ ποτὲ φθονερός, ἐφθόνησεν τὸν ἅγιον καὶ ἀπέστειλεν τὴν Ἐπαχθοῦν, τὴν μητέραν τῶν παθημάτων τὴν ἔχουσαν τὰς ιβ' ἥμισυ αἰτίας τῶν κτηνῶν· καὶ ἀπελθοῦσα

(1) λείπει ἡ συνέχεια.

(2) γραπτέον, εὐθύς.

εἰς τὰς πηγὰς ὅπου ἐπότιζεν ὁ ἅγιος, καὶ ἐξέρασεν τὰς αἰτίας αὐτῆς· καὶ ἦλθον τὰ πρόβατα καὶ ἡ αἶγες τοῦ ἁγίου πιεῖν ὕδωρ, καὶ ἐψόφησαν, καὶ ὡς οἱ κῦνες ἔτρωγον αὐτά, ὥςτε καὶ οἱ κῦνες ἐφαρμακώθησαν.

Ἰδὼν δὲ ὁ ἅγιος Μάμας τὸ γεγονός, ἀναστέναξε μεγάλως καὶ εἶπεν, δόξα σοι ὁ θεός μου καὶ ὁ κύριός μου, δόξα σοι, καὶ ἄρτι εἶχα καὶ ἄρτι οὐκ ἔχω. Καὶ ἐσάλευσεν ὁ θρόνος τοῦ θεοῦ καὶ τὸ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, καὶ εἶπεν ὁ θεὸς πρὸς τὸν ἀρχάγγελον Μιχαήλ, « κάτελθε καὶ ἴδε τίς ἐστέναξεν καὶ ἐσάλευσε τὸν θρόνον μου καὶ (λείπει ἡ συνέχεια).

---

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΚΑΤΑΛΟΓΟΣ

## ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Α. Ψελλοῦ Ἐπιτάφιοι λόγοι. Εἰς τὴν μητέρα αὐτοῦ, σελ 3 — Εἰς τὴν θυγατέρα Στυλιανήν, 62 — Εἰς Νικήταν μαΐστορα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου, 87 — Εἰς τὸν τοῦ Ἀκτουαρίου ἀδελφόν, 96 — Εἰς τὸν πρωτοσύγκελλον καὶ μητροπολίτην Ἐφέσου κῦρ Νικηφόρον, 102.

Β. Τοῦ αὐτοῦ Ἐγκωμιαστικοὶ λόγοι. Πρὸς τὸν βασιλέα Κωνσταντῖνον τὸν Μονομάχον, 106 — Πρὸς τὸν αὐτόν, 117 — Εἰς Ἰωάννην μητροπολίτην Εὐχαΐτων, 142.

Γ. Τοῦ αὐτοῦ Ἀπολογητικοὶ λόγοι. Πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς, 168 — Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν, 171 — Σατυρικὸν τετράστιχον μοναχοῦ Ἰακώβου κατὰ Ψελλοῦ, καὶ σατυρικὸς κανὼν τοῦ Ψελλοῦ κατὰ Ἰακώβου, 177 — Ἀπολογία ὑπὲρ τοῦ Νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ, 181.

Δ. Δικαστικά: Ἀπόφασις συνταχθεῖσα ὑπὸ Ψελλοῦ, 197 — Ἀπόφασις κατὰ Ψελλοῦ, 203.

Ε. Χρυσόβουλλος λόγος ὑπὲρ τοῦ πρωτοασηκρῆτις Ἐπιφανίου, συνταχθεὶς ὑπὸ Ψελλοῦ, 213.

ΣΤ. Ψελλοῦ ἐπιστολαί. 1, Πρὸς τὸν πρωτοπρόεδρον κῦρ Κωνσταντῖνον τὸν Δρουγκάριον, 219 — 2, Εἰς τὸν βασιλέα τὸν Διογένην ὅτε ἐβασίλευσεν — 3, Πρὸς τὸν αὐτὸν βασιλέα ἐν ἐκστρατείᾳ διάγοντα, 224 — 4, Προσφώνησις Βυζαντίων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πρὸς τὸν αὐτόν, 227 — 5, Προσφώνημα πρὸς τὸν αὐτὸν παρὰ τῶν πολιτῶν ἐν τῷ κλητορίῳ, 228. — 6, Τῷ αὐτῷ ἐν ταξειδίῳ ὄντι, 230 — 7-9, Τῷ πρωτοσυγκέλλῳ, 232 — 10-11, ἀνεπίγραφοι, 241 — 12, Τῷ ἐπὶ τῶν δεήσεων, 245 — 13, Περὶ ἀσηκρητῶν, 248 — 14-22, ἀνεπίγραφοι, 253 — 23, Τῷ ἐπὶ τῶν οἰκειακῶν, 259 — 24-26, ἀνεπίγραφοι, 260 — 27, μοναχῷ Ὀλυμπίτῃ, 262 — 28, Τῷ πρωτοβεστιαρίῳ Λειχούδῃ — 29, κριτῇ τοῦ Ὀψικίου τῷ Ζωμᾷ, 263 — 30, μητροπολίτῃ Κυζίκου, 265 — 31, μεγάλῳ οἰκονόμῳ, 266 — 32-34, κριτῇ Πελοποννήσου καὶ Ἑλλάδος, 267 — 35, τῷ Ἀμασείας, 269 — 36-37, Ἰωάννῃ Ξιφιλίνῳ, 270 — 38-39, βεστάρχῃ καὶ κριτῇ Μακεδονίας τῷ Χασάνῃ, 272 — 40, μητροπολίτῃ Εὐχαΐτων, 273 — 41, κριτῇ Ἀνατολικῶν — 42, πατριάρχῃ Ἀντιοχείας, 275 — 43, κριτῇ Ὀψικίου, 276 — 44, τῷ μαΐστορι Ξιφιλίνῳ — 45-46, μαγίστρῳ Κωνσταντίνῳ καὶ σακελλαρίῳ, 277 — 47, κριτῇ Θρᾳκησίων τῷ Ξηρῷ, 279 — 48, βασιλεῖ Κωνσταντίνῳ Δούκᾳ, 280 — 49, κριτῇ Παφλαγονίας — 50, κριτῇ Μακεδόνων, 281 — 51, πραίτορι Θρᾳκησίων τῷ Ξηρῷ, 282 — 52, βασιλεῖ Κωνσταντίνῳ Δούκᾳ, 283 — 53, βασιλίσσῃ Εὐδοκίᾳ, 284 — 54, μοναχῷ Συμεὼν τῷ Κεγχρῇ, 284 — 55, ἀνεπίγραφος, 287 — 56-59, πατριάρχῃ κῦρ Μιχαήλ, 287 — 60, κριτῇ Ὀπτιμάτων, 291 — 61, πατριάρχῃ Ἀντιοχείας, 292 — 62, ἐπισκόπῳ Παρνασοῦ, 294 — 63, πρὸς τὸν καίσαρα τὸν Δούκαν, 295 — 64, μητροπολίτῃ Κορίνθου, 296 — 65, κριτῇ Αἰγαίου, 297 — 66-67 κριτῇ Κιβυρραιωτῶν, 297 — 68, πατριάρχῃ Λειχούδῃ, 299 — 69, βασιλεῖ Ἰσαακίῳ Κομνηνῷ ἐν ταξειδίῳ ὄντι, 300 — 70, τοῖς ἐν ταξειδίῳ νοταρίοις τοῦ αὐτοῦ βασιλέως, 305 — 71-72, Δούκᾳ τῷ καίσαρι, 306 — 73, κριτῇ Χαρσινοῦ, 308 — 74, βασιλεῖ Κωνσταντίνῳ Δούκᾳ, 309 — 75-79, ἀνεπίγραφοι, 309 — 80, τῷ Εὐχαΐτων, 313 — 81, βασιλεῖ Ἰσαακίῳ τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Κομνηνῷ ὅτε κατὰ βαρβάρων ἐξῆλθε, 315 — 82, πρὸς τὸν βασιλέα Διογένην ὅτε ἐτυφλώθη, 316 — 83-86, μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ, 318 — 87, λογοθέτῃ τοῦ δρόμου, 330 — 88, τῷ βεστάρχῃ καὶ ἐπὶ τοῦ κανικλείου, 331 — 89, τῷ ἐπὶ τῶν δεήσεων κῦρ Λέοντι τῷ τῶν Πατρῶν, 333 — 90, συντακτήριος πρὸς τὸν βασιλέα Διογένην κατὰ τῶν Τούρκων τὸ δεύτερον ἐκστρατεύοντα, 335 — 91-94, ἀνεπίγραφοι, 335 — 95, κριτῇ Αἰγαίου, 338 — 96, ἀνεπίγραφος· 340 — 97, μαγίστρῳ Μιχαήλ, 341 — 98, τῷ βέστῃ — 99, ἀνεπίγραφος, 342 — 100, τῷ βεστάρχῃ, 343 — 101-102, ἀνεπίγραφοι, 344 — 103, τῷ πραίτορι Πελοποννήσου καὶ Ἑλλάδος τῷ Νικηφορίτζῃ, 344 — 104, πρὸς τὸν βασιλέα τὸν Δούκαν, 346 — 105, τῷ Βούρτζῃ, 347 — 106, ἀνεπίγραφος, 349 — 107, κριτῇ τῶν Κιβυρραιωτῶν, 351 — 108, Μαχηταρίῳ τῷ δρουγγαρίῳ τῆς βίγλης, 352 — 109, ἀνεπίγραφος — 110, κριτῇ Καππαδοκίας, 354 — 111, μητροπολίτῃ Πατρῶν, 356 — 112, δεσποίνῃ Αἰκατερίνῃ, 356 — 113, ἀνεψιῷ τοῦ βασιλέως Ἰσαακίου, 358 — 114, τῷ μυστικῷ, 358 — 115, βασιλεῖ Μονομάχῳ, 359 — 116, ἀνεπίγραφος, 362 — 117, τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου, 363 — 118, τῷ πρωτοσυγκέλλῳ Παρασπονδύλῳ, 365 — 119, ἀνεπίγραφος, 367 — 120, ἀνεψιῷ τοῦ βασιλέως, ἐπὶ τῇ τελευτῇ τοῦ πενθεροῦ αὐτοῦ, 368 — 121, κριτῇ Χαρσινοῦ, 370 — 122, τῷ . . . . . 123, Κωνσταντίνῳ Ἱεράκῃ ἐν ἐξορίᾳ ὄντι, 370 — 124, μαγίστρῳ Εὐστρατίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου τῷ Χοιροσφάκτῃ, 372 — 125, Ἰωάννῃ τῷ ὀστιαρίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου, 373 — 126, πρὸς ἀρχιερέα — 127-131, ἀνεπίγραφοι, 374 — 132, βασιλίσσῃ Εὐδοκίᾳ, 377 — 133, ἀνεπίγραφος — 134, κριτῇ Πελοποννήσου, 378 — 135, κριτῇ Ἑλλάδος, 378 — 136, ἀνεπίγραφος, 379 — 137, πρὸς βασιλέα, 380 — 138, ἀνεπίγραφος, 381 — 139,

τῷ πατριάρχῃ λειτουργήσαντι ἐν τῇ Χαλκῇ — 140, ἀνεπίγραφος, 383 — 141, κριτῇ Ἑλλάδος — 142, ἀνεπίγραφος, 384 — 143-144, Ροβέρτῳ δουκὶ Λογγιβαρδίας ὡς ἐκ τοῦ βασιλέως Μιχαὴλ τοῦ Δούκα, 385 — 145, Ἀνδρονίκῳ Δούκᾳ, 392 — 146, ἀνωνύμῳ μαγίστρῳ καὶ κριτῇ, 394 — 147, ἀνεπίγραφος, 395 — 148, ἐπισκόπῳ Μαδύτου, 396 — 149, ἀνεπίγραφος, 397 — 150, τοῖς ἐν Γάνῳ μονασταῖς, 398 — 151-152, Δούκᾳ τῷ καίσαρι, 399 — 153-154, ἀνεπίγραφοι, 402 — 155, πρὸς νεοφώτιστον (τὸν Κεγένην) ὡς ἐκ τοῦ βασιλέως Μονομάχου, 405 — 156, Δούκαν τὸν καίσαρα, 406 — 157, τῷ ἐπὶ τῶν κρίσεων — 158, κριτῇ Καππαδοκίας, 412 — 159-160 πατριάρχῃ κῦρ Μιχαὴλ — 161, βασιλεῖ Ἰσαακίῳ, 416 — 162, πρὸς τὸν πατριάρχην ὡς ἐκ τοῦ μαΐστορος τῶν Διακονίσσης, 420 — 163, τῷ ἐπὶ τῶν οἰκειακῶν, 421 — 164, πατριάρχῃ Μιχαήλ, 422 — 165, μαγίστρῳ καὶ στρατηγῷ Ἀβύδου, 423 — 166, μοναχῷ Ὀλυμπίτῃ, 424 — 167, μοναχῷ Φερεβίῳ — 168, μαΐστορι Χαλκοπρατίων, 428 — 169, Ἐπιφανίῳ Φιλαρέτῳ τῷ πρωτοασηκρῆτις, 430 — 170, ἀνεψιῷ Ἰσαακίου Κομνηνοῦ, 432 — 171, Ἰασίτῃ, 434 — 172, βεστάρχῃ καὶ κριτῇ Μακεδονίας τῷ Χασάνῃ, 439 — 173, μητροπολίτῃ Εὐχαΐτων, 440 — 174, τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου, 441 — 175, Ξιφιλίνῳ τῷ πατριάρχῃ, 444 — 176, τῷ πρωτοασηκρῆτις, τῷ λιβελλισίῳ καὶ τῷ ἐπὶ τῶν δεήσεων, 451 — 177, πρωτοβεστιαρίῳ, 455 — 178, μητροπολίτῃ Κυζίκου τῷ συγκέλλῳ Ρωμανῷ, 456 — 179, μητροπολίτῃ Ἐφέσου, 458 — 180, κριτῇ Φιλαδελφείας, 459 — 181, πατριάρχῃ Ἀντιοχείας, 461 — 182-183, μητροπολίτῃ Εὐχαΐτων, 462 — 184, πρωτοπροέδρῳ Κωνσταντίνῳ τῷ Κηρουλαρίῳ, 467 — 185, ἀρχιμανδρίτῃ Ὀλύμπου, 469 — 186-189, ἀνεπίγραφοι, 470 — 190, κριτῇ Ὀψικίου τῷ Ζωμῇ, 483 — 191, νοταρίοις βασιλέως Ἰσαακίου, 485 — 192, κριτῇ

Θράκης καὶ Μακεδονίας, 487 — 193-197, ἀνεπίγραφοι, 488 — 198-199, τῷ Ψηφᾷ, 490 — 200-201, ἀνεπίγραφοι, 494 — 202, Ἰωάννου Εὐχαΐτων ἐπιστολὴ πρὸς Ψελλόν, 495 — 203, Ψελλοῦ ἀντίγραμμα, 496 — 204, Πόθῳ τῷ βεστάρχῃ, 497 — 205, Κωνσταντίνῳ Ξιφιλίνῳ τῷ δρουγγαρίῳ τῆς βίγλης, 499 — 206, πρὸς κάπηλον μεγάλαυχον, 502 — 207, πατριάρχῃ κῦρ Μιχαὴλ τοῦ Κηρουλαρίῳ, 505 — 208, πρὸς τοὺς ἀνεψιοὺς τοῦ αὐτοῦ πατριάρχου, περὶ φιλίας, 513.

Ζ. Τοῦ αὐτοῦ Ἑρμηνεῖαι εἰς κοινολεξίας — Περὶ τοῦ ὀνόματος τοῦ Κερατᾶ, 525 — Περὶ τῆς γυναικείας πανηγύρεως τῆς Ἀγάθης, 527 — Εἰς τὴν φωνὴν τὴν λέγουσαν Σήμερον τὰ ἅγια κόντουρα, 532 — Πρὸς τό, ἴδε, καὶ τό, ἐξέστηκεν, 536 — Εἰς τό, Ὅτι ἔφθασεν, 537 — Ἕτεραι ἐξηγήσεις ἀστείων καὶ δημωδῶν ῥητῶν, 541.

Η. Ἰωάννου τοῦ Γλυκᾶ Ἐξήγησις διὰ στίχων πολιτικῶν εἴς τινα δημώδη ῥητά, 544 — Ἀνωνύμου ἑρμηνεῖαι εἰς ἀποφθέγματα καὶ δημώδεις λόγους, 564 — Δημώδη αἰνίγματα, 569.

Θ. Ψελλοῦ, Ἑρμηνεῖαι εἰς δημώδεις δεισιδαιμονίας — Τί ἐστι Βαβουτζικάριος, 571 — Περὶ τῆς Γιλλοῦς, 572 — Ἕτεραι περὶ Γιλλοῦς παραδόσεις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΠΙΝΑΞ [1]

Α'βάται, 121.
Α'βιδαζιοῦ, 579.
Α'βιζιοῦ, 579.
Α'βυδηνός, 338.
Α'βυδος, 423.
Α'βυζοῦ, 575, 580.
ἀγαθὰ τῆς Πόλεως, 369.
Α'γάθη, 527.
Α'γάθων, 190.
ἀγάλματα, 384. 'Ασσυρίων, 478. διοπετῆ, 57.
ἀγαλματοφορῶ, 366.
ἀγγεωτόπος γέννησις, 59.
Α'γησίλαος, 418, 521.
Α'γκυρα, 200.
ἀγυρτικαὶ βίβλοι Πορφυρίου, 572.
ἀγωγὴ εἰσαγώγιμος, 201.
ἀγὼν δικαστηρίου, 199, 209. ἐν λόγοις, 141. ἀγῶνα κακουργῶ, 203.
Α'δικία, 578, 579.
Α'δράστεια, 572.
ἀετὸς παραπετόμενος, 306.
Α'θῆναι, λθ, μ, 153, 171, 268, 296, 472. 'Αθηναῖος, 258, 268, 339.
Α'θως, 115.
αἲ καὶ αὐτός, 548.
Αἴας, 173.
Αἰγαῖος δ, 297. τὸ Αἰγαῖον, 338.
Αἰγυπτία σοφὴ ('Υπατία?) 59.
Αἰγυπτιάζω, 518.
Αἰγυπτιανή, 578.
Αἴγυπτος, 172, 513. Αἰγύπτιος, 113, 114, 152, 153, 339, 444, 451, 492, 508. Αἰγυπτίων ἐγχρίσματα, 474. λόγοι, 152, 473 (βλ. 'Ασσύριοι καὶ Χαλδαῖοι).

(1) Διὰ τοῦ παρόντος τόμου συμπληροῦται τὸ ἥμισυ τῆς Μεσαιωνικῆς Βιβλιοθήκης, μετὰ πλείονος δὲ ζήλου ἐπισπεύδεται ἡ ἐκτύπωσις καὶ τῶν ὑπολειπομένων πέντε τόμων αὐτῆς· μετὰ τὴν τελικὴν τοῦ ἔργου ἀποπεράτωσιν δημοσιευθήσονται ἐν ἰδίῳ τεύχει αἱ ἐπεξηγητικαὶ σημειώσεις καὶ ἀκριβὴς πίναξ τῶν ἐν ἁπάσῃ τῇ συλλογῇ περιεχομένων ὀνομάτων καὶ λέξεων. 'Εν τούτοις ἡ ποικιλία τῶν ἐν τῷ παρόντι τόμῳ περιεχομένων καθιστᾷ ἀναπόφευκτον τὴν ἐπισύναψιν προχείρου πίνακος εἰς εὐκολίαν τῶν ἀναγνωστῶν.

Αἰθίοψ, 113, 114, 251, 508. Αἰθιοπικαὶ πηγαί, 385.
Αἰκατερίνα δέσποινα, 356, 419.
Αἴλιος, 138, 141.
αἴλουρος, 478.
Αἰσχίνης, 190.
Αἰσχύλος, 404, 538.
Αἴσωπος, 90. Αἰσώπειον, 538.
αἰτίαι, 580.
ἀκαδημία, 446. ἀκαδημαϊκὴ παίδευσις, 528. Ἀκαδημαϊκοί, 172.
ἄκαπνα, 322.
ἀκοντίων περιβολαί, 232.
Ἀκτουάριος, 96.
Ἀλέας ἐπίσκοποι, 310.
ἀλεκτρυών, 474.
Ἀλεξάνδρεια, 261, 509.
Ἀλεξανδρίζω, 395.
Ἀλέξανδρος Πριάμου, 118. Μακεδών, 141, 172, 225, 261, 303, 331, 463, 504.
Ἄλεξις, 60.
ἄλιμος Ἐπιμενίδειος, 327.
Ἄλκηστις, 500.
Ἀλκιβιάδου εὐπρέπεια, 245.
Ἀλλάτιος, η, μζ, 573.
ἀλλαγαί, 370.
ἄλογον (ἵππος, τὸ κατ' ἐξοχὴν) 434.
Ἀμάσεια, 269.
ἀμαστίς, 504.
Ἀμμοῦς, 57. Ἄμμων, 441, 443.
Ἀμφιάρεως, 441.
Ἀμφιτρύων, 161.
ἀμνὰς πρώτη, 580.
Ἀμορφοῦς, 575, 579.
Ἀναβαρδαλαία, 578.
Ἀνακρέοντος γλῶσσα, 110.
Ἀνάληψις, 535.
Ἀναξάρχειος θύλακος, 246.
Ἀνατολή, 509. ἑῴα, 214. Ἀνατολικοί, 273.
ἀνατυλίττω ἠλακάτην, 530.
ἀναφρόδιτοι Χάριτες, 322.
Ἀνδρέας, 459.
ἄνθη ἄσαρος, ἐλενίου, ἱέρεως, κασίας, μίου, 328.
ἄνθρωπε τοῦ θεοῦ, 234.
Ἀννίκερις Αἰγινήτης, 403.
ἀντέλλογος, 212.
Ἀντίγονος, 128.
ἀντιθέσεις εἰς προτάσεις, 198.
Ἀντιόχεια, 261, 275, 292, 461 498.
Ἀντίοχος, 128, 141.
ἀντίσηκος ἐπιστολή, 337.
Ἀντιφωνητοῦ σέκρετον, 205.
Ἀντιχρίστου πρόδρομος, 138.
ἀνώγιν, 555.
Ἀπελλῆς, 61, 183.
ἀπερίγραφος δεσπότης, 217.
ἀπήγαμεν, 547, 562.
Ἀπλετοῦ, 578.
Ἁπλοχόνησος, λθ, 423, 487.
Ἀποδεικτική, 255.
ἀπόδεσμος, 215.
ἀποθαμένος, 557.
ἀποζώσου, 562.
ἀποκλάσματα, 567.
ἀποληπτικὴ ἀπόδειξις, 198.
Ἀπολινάριος, 444.
Ἀπολλοφάνης, 443.
Ἀπόλλων, 239, 247, 265, 454.

Α'πολλώνιος, 91.
ἀποστρακοῦμαι, 365.
Α'ραβία καὶ 'Αρραβία, 124, 160. εὐδαίμων, 261. Ἄραβες καὶ Ἄρραβες, 224, 508.
ἀράχνιον νῆμα, 571.
ἀργυρᾶ τά, 428.
Α'ρέθουσα, 431.
Α'ρειανοί, 567.
Α'ριάδνης πλόκαμος, με.
Α'ριανή, 579.
Α'ρίσταρχος, 91.
Α'ριστείδης, 182, 329.
ἀριστεῖος στέφανος, 335.
Α'ριστοτέλης, 118, 135, 171, 172, 188, 194, 225, 242, 245, 246, 442, 444, 460, 475, 477, 499, 501, 503.
Α'ριστοτελικοὶ κρατῆρες, 476. λόγος, 404. συγγράμματα, 499. Ὄργανον, 499.
Α'ριστοφάνης, 174, 538.
ἀρκτῷοι, 448.
ἅρμα εἰσπράξεων, 343. ἅρματα (ὅπλα) 569, 570.
Α'ρμενιακὸν θέμα, 269.
ἀροτριῶ ψυχήν, 206.
Α'ρριανός, 579.
Α'ρσένιος ἅγιος, 580.
ἀρτάριον, 496.
ἀρτεμόνιον, 328.
Α'ρτιγένους-οῦς μονή, 265, 456.
ἀρχαιολογία γένους, 278.
ἀρχιεράρχης, 336.
Α'ρχίλοχος, 59, 92.
Α'ρχιμήδης, 113, 158.
Α'ρχύτας Ταραντῖνος, 462.
ἀρωματοφόρος ἡ, 513.
ἀς, 564.
ἄσαρ, 328.
ἀσηκρῆτις, 248.
Α'σιανοί, 339.
Α'σκραῖος, 266. βλ. Ἡσίοδος.
ᾆσματα ἱερά, 404.
Α'σσύριος νοῦς, 138. σοφία, 478. τελεταί, 401. ἀγάλματα (βλ. Αἰγύπτιοι).
Α'σσωρῖνος, με'.
ἀστεῖοι λόγοι, 541.
ἀστραπὴ ἡ ἔξωθεν, 205.
ἀστρολογῶ, 478.
ἀσύλληπτον, 328.
ἀτεράμων, 472.
Α'τλαντικὴ ψυχή, 259.
ἀτόκιον, 327.
Α'τταλειάτης, κη, λγ.
ἀττάλω, 411.
Α'ττική, 172, 269. γλῶσσα, 373. 'Αττικοὶ λόγοι, 261. νόμοι, μ, 171, δρμαθοί, 541.
αὐθέντης, 219.
ἀφ' ὅν, 563.
ἀφροδίσιος αὖρα, 323.
Α'φροδίτη ἡ ἄνωθεν, 322. ἡ ἐν Κνίδῳ, 57. ἡ πάνδημος, 322.
ἀφύαι Μιτουρνῶν, 422.
Α'χαιοί, 117.
Ἄχαρ Χαρβῆ, 306.
ἀχθοφορῶ τὰ βάρη τῶν φίλων, 259.
Α'χιλλεὺς ὁ ἐπάνω, 224, 523.
Α'χυρᾶς, 252.
Βάαλ ἡ, 152.

Βαβουτζικάριος, 571, 572.
Βαβώ, 571.
Βαβυλών, 112, 508. Βαβυλώνιοι, 153.
Βαβυλώνιον πῦρ, 334.
βαλανεύτρια, 410.
βάμμα ποικίλον, 551.
Βαρδελλοῦς ἡ, 575.
Βαρνὰ ἡ, 578.
βασιλεῖ παραδυναστεύων, κε.
Βασίλειος, 332.
Βασίλειος Β', 119, 197.
Βασίλειος ὁ μέγας, 152.
βασιλεῦ ἥλιε, ιϐ.
βασιλεὺς δημεύων, 215.
βασιλέως ἐτυμολογία, 346.
βασιλικὸν βῆμα, 377. βασιλικὰ γράμματα, 485. δίκαια, 216. ἔγγραφον, 311. δόγματα, 176. βασιλικαὶ ἐπιτάξεις, 486. βασιλικὸς ὅρος, 216.
βασιλικός, 423, 487. βασιλικάτον Μαδύτου, 487.
βασιλὶς μεγαλή, 211.
βασίλισσα, 570.
βαρβαρικὰ βιβλία, 57.
βατράχου ἐγκέφαλος, 327.
βελόνη, 569.
Βεσαίνης ἐπίσκοπος, 344, 345.
βεστάρχης, 204, 205, 260, 343, 410, 439.
βέστης, 331, 332, 334, 341, 342.
βεστιαρίτης, 197.
βεστιοπράται, 209.
βήλου κριτής, 206.
Βιβάριον, προάστειον, 197.
βίγλα (δρουγγάριος).
Βίων, 61.
Βορδόνα, 578.
βορδών, 299. βορδώνιον, 299.
βοῦλα, 563.
Βούλγαροι, 127, 138, 144. Βουλγαρίας ἀρχιεπίσκοπος, 144, 145. βλ. Νομάδες.
βουνιάδες Θηβῶν, 422.
Βούρτζης, 347.
βρέφη Περσῶν βασιλέων, 410.
βρεφύλλιον, 409.
Βριανή, 575.
βροντᾷν ὑπὸ βύρσῃ, 327.
Βροῦτος, 138, 144.
βρόχθος, 283.
βρώσιμα, 377.
Βυζαντινὸς ἑλληνισμός, μ. πρωθυπουργός, κϐ.
Βυζαντὶς κόρη, 76. παμφαής, 232.
Βύζαντος πόλις, 339. μέγα χωρίον, 493. βλ. Πόλις.
Βυζοῦ ἡ, 578.
Βύκινον, συνοικία, 214, 215.
βωμολόχον παῖγμα, 538.
Γαβριὴλ Ξηρίτης, 209.
Γάδειρα, 350.
Γαλατάρια, χωρίον, 214.
Γαλάτης λίθος, 326.
Γάνος ὁ, 397, 398.
γαρήν? 567.
γελοιασταί, 206.
γένεια, 562.
γενέσεως φυσιολογία, 517.
γενικὸς ὁ, 363 441.
γέννημα, 265.

γένος δημότερον, 322.
γεράκιν, 569.
γεωγραφία, 60.
γεωμετρια, 479.
Γίγαντες, 260, 305, 349.
Γιλλόβρωτα βρέφη, 572.
Γιλλώ, 572, 579.
Γιλοῦ (Γιλλώ).
Γλυκᾶς Ἰωάννης, 544.
γογγυλὶς Μαντινειακή, 422.
Γοργίας, 464.
Γορδιασοῦ ἐπίσκοπος, 376.
γραμματικὴ ἐπιστήμη, 90, 479.
γραμματεῖον μνηστείας, 211.
γραμμάτιον φλύαρον, 424.
γραμματοκομιστής, 370, 373. γραμματοδιακομιστής, 350.
γραφὴ μελίβρυτος, 353.
Γρηγόριος ὁ Θεολόγος, 150, 152.
Γυλλώ, Γυλλοῦ, Γυλοῦ (Γιλλώ).
γυπῶν τόκοι, 267.
γύρος, 542.
δᾳδοφόρον, 474.
Δαίδαλος, 501.
δαίμων κακοποιός, 491. νυκτερινή, 571.
δακτυλωτόν, 503.
Δαναΐδες, 251.
δεήσεων (ὁ ἐπὶ τῶν), 212, 214, 333, 451.
δεῖνα ὁ, 256, 294.
δεκάρχαι, 382.
Δελφοί, 340.
δέρας Χριστοῦ, 445.
δέσποινα, 347, 369.
δεσπότις, 469.
Δημάδης, 15?.
δήμευσις, 217.
δήμιοι, 425.
δημοθέσιον, 345.
δῆμοι, 304.
Δημόκριτος, 486.
Δημοσθένης, 150, 170, 175, 190, 329, 382. Δημοσθενιακὰ παραδείγματα, 190. Δημοσθενικὸν βιβλίον (ἡ ῥητορική), 472. Δημοσθένους δεινότης, 223. Δημοσθενικὴ ἠχώ, 353.
δημόσια χρέα, 268.
δημοσικὸς δρόμος, 343.
δημόσιος ὁ, λη, 216.
δημοτικὴ γλῶσσα, μ.
δημώδη αἰνίγματα, 544, 569.
δημώδεις δεισιδαιμονίαι, 571.
δημώδης λόγος, 340, 345, 395, 536, 541, 546. βλ. λόγοι.
διάκενος πυρός, 266.
Διακόνισσα, 420.
διάλεκτοι, 91.
Δίδυμος (Θωμᾶς), 144.
δικαστήρια, 175. δικαστήριον λόγου, 243. δικαστηρίου θύρα, 216.
δικαστής, 346. Ὀπτιμάτων, 291. βλ. κριτής.
δικαστικὴ ἀπόφασις κατὰ Ἰβηρίτζη, 197. κατὰ Ψελλοῦ, 203.
δικαστικὸν δικαίωμα, 198.
δίκης εἰσαγωγή, 197. δικῶν ῥοπαί, 232.
διμηνίτης πυρός, 266.
Διογένης Ρωμανός, λϐ, λγ, 222, 224, 228, 230, 316, 334, 392,

393. υἱὸς αὐτοῦ, λγ, 226, 387.
διοικητής, 343.
Διονύσιος, 119, 154, 171, 401. Ἀρειοπαγίτης, μα.
Διόνυσος, 141, 180, 322, 401, 502.
Διόσκουροι, 266.
Διοτίμα, 362.
δίπαλτος χείρ, 512.
Δίων, 110, 119, 171.
δόγματα βασιλικά, 176.
Δοκειανὸς (Κομνηνός), 433.
δόσις προικώα, 198.
Δούκας Ἀνδρόνικος, 392. καῖσαρ, 295, 306, 307, 399, 400, 406. Κωνσταντῖνος, λα, 280, 283, 309, 346. Μιχαήλ, 316. 385. πορφυρογέννητος, 386.
δουλεία, 248, 253.
δρακοντόζωνον, 474.
δραπεταγωγός, 329.
δραπέτις δύναμις, 328.
δρόμου (λογοθέτης).
δρουγγάριος τῆς βίγλης, 352, 499.
δωρεὰ διαλλάττουσα 200. διττή, 200.
δωδεκαπελέκεις σωματοφύλακες, 174.
Ἑβραῖοι, 442, 492.
Egger, η.
ἐγγράμματος μύδρος, 533.
ἐγγύη, 400.
ἐθνῶν ἐπιμελητής, 509.
εἶνε (ἐστί), 568.
εἰσαγωγὴ πρωτολογίας, 216.
Ἑκάτη, 57.
Ἑκατήσια, 57.
ἐκπαίδευσις εἰς ἱστουργίαν, 66.
ἐκτομίας ἐπίγραπτος, 382.
ἐκυρός, 469.
ἔλαιον ἱερὸν ἐν Δελφοῖς, 340.
ἔλαφος ἐν χαμήλῳ, 114.
ἐλάω (ἐλαύνω) 574.
Ἑλένη, 117.
ἑλένιον, 328.
ἐλέφας, 113.
Ἕλικος Κιζυχηνός, 141.
Ἑλλάς, 151, 269, 344, 383, 515. θρυλλουμένη, 268. κλεινή, 261. (τὸ Βυζαντινὸν κράτος) με. Ἑλλάδος σοφοί, 514, 540. (κριτής).
Ἕλλη, 175.
Ἕλληνες, 152, 153, 255, 332, 333, 378, 414, 425, 492, 498. Ἑλλήνων παῖδες, 189.
Ἑλληνικὰ βιβλία, 57. Ἑλληνικαὶ ᾠδαί, 108. Ἑλληνικὴ παιδεία, με. ποίησις, 92. σύνταξις, 537, 540. φλυαρία, 571.
Ἑλληνικοὶ λόγοι, 152, 161, 479. μῦθοι, 61.
Ἑλλήνιοι φωναί, 431.
ἑλληνισμὸς βυζαντινός, λε, μ.
Ἑλληνοῦς ἡ, 579.
Ἑλλησποντίας, 150, 381.
Ἐλπίδιος Κεγχρῆς, 207, 208, 209.
Ἐλευσίνια, 255, 322.
Ἐμπεδοκλῆς, 57, 108.
ἐνάπλιτα, 496.
ἐνθεαστικαὶ θεαγωγίαι, 474.
ἔνι (ἐστί), 560, 567.
ἐνεχυρίασις, 201.
ἐντροπικῶς ἔχω, 276.
ἐξάκτορες, 206.

ἐξαπελέκεις σωματοφύλακες, 174.
ἔξαρχος βεστιοπρατῶν, 209.
ἐξάρχων χριστεμπόρων, 503.
ἐξελληνισμὸς Βυζαντίου, μγ.
ἐξεράω, 575, 580.
ἐξοδιαστάδες, 570.
ἐξορκισμός, 580.
ἐπάρχουσα οἰκουμένης, 207.
Ἐπαχθοῦ ἡ, 580.
Ἐπέχουσα φιλοσοφία, 519.
ἐπίγραπτος ἐκτομίας, 382.
ἐπιγράφω, 198.
ἐπιδήμια, 505.
ἐπίκουροι, 170.
Ἐπιμενίδειος ἄλιμος, 327.
ἐπισκοπὴ σύμπτωχος, 344.
ἐπιστολαί, 242, 243, 324, 364. ἀντίσηκος, 337. Ψελλοῦ, λε.
ἐπιτέχνησις, 328.
Ἐπιφάνιος μάγιστρος καὶ πρωτοασηκρῆτις, 213, 430.
Ἐπίχαρμος. 92.
ἐποποιὸν τό, 538.
ἐποπτικά, 328.
Ἐρασίστρατος, 486.
Ἐρατοσθένης, 61.
ἐριοβάφος, 530.
Ἑρμῆς, 509. Ἑρμοῦ ἐξαρτῶμαι, 331. Ἑρμοῦ λογίου τύπος, 244. Τρισμέγιστος, 189.
Ἑρμογένης, 190. Ἑρμογένειαι τέχναι, 442.
ἑταίρα, 26.
εὐδαίμων χορός, 262.
Εὐδοκία Μακρεμβολίτισσα, ιθ, μδ, μς, 223, 224, 225, 377.
Εὐθύμιος, 575.
Εὐμενίδες, 571.
Εὐνόμιος, 444, 445.
Εὔξεινος, 383, 440.
Εὐριπίδης, 407, 528.
Εὐρίπου ἐπίσκοπος, 265. Εὐρίπων μεταβολαί, 404, 495.
Εὐρυσθεύς, 500, 501.
Εὐρωπαῖοι, 339, 448.
εὖ υἱέ̈ς, 180.
Εὐφράτης, 172.
Εὐφρόσυνος Ξηρίτης, 209.
Εὐχάϊτα, 142, 155, 156, 157, 272, 313, 314, 440, 462, 465, 495.
Ἔφεσος, 102, 458.
ἐφόλκια προικός, 214.
ἐχενηΐς, 328.
ἐχῖνος, 478.
ἔχοντα (ὁ ἔχων), 580.
ἐχρώστειν, (ἐχρεώστει), 547.
ἐχρεωστοῦμαν, (ἐχρεωστοῦμεν), 547, 560.
Ζεύς, 118, 283, 334.
ζηλωτὴς χαρακτῆρος, 538.
Ζήνων, 187, 445.
ζυμόνω, 560.
Ζωή, 111, 122, 125, 362.
Ζωμᾶς, Ζωμῆς, 263, 483.
Ζωναρᾶς, κη.
ζώνης ἀφαίρεσις. 208.
Ζωροάστρης, 57, 189.
ἡ (αἱ), 580.
ἡγεμὼν φιλοσοφίας, 275.
ἡγούμενος, 424.
ἡδυπότις (ποτήριον), 504.
ἠλακάτην ἀνατυλίττω - κινῶ, 530.

Ἠλίας μοναχός, 402, 403.
ἡλίου κύκλος, 575.
ἡμίθεος ἐν ἡμιόνοις, 233.
ἡμιποδιαῖοι ἧλοι, 470.
ἥμισον (ἥμισυ), 579.
ἡμίτομον (ποτήριον), 504.
Ἡράκλειτος, 110.
Ἡρακλῆς, 239, 260, 495, 500, 501.
Ἡρακλῆς (ποτήριον), 504.
Ἥρας εἴδωλον, 175.
Ἡροδότου γλυκύτης, 110.
Ἡρώδης τετράρχης, 136.
ἡρωϊκὸς βίος, 59.
Ἡσίοδος, 266, 473.
Ἥφαιστος, 305.
θεαγωγίαι ἐνθεαστικαί, 474.
Θεαίτητος, 118, 131, 183, 187, 468.
Θεανώ, 59.
θέατρον μέγα (ἐν Βυζαντίῳ), 214.
θέμα, 258, 276, 279, 291, 370, 375, 484.
θεματικὸς δικαστής, 395. θεματικὴ ἐπαρχία, 400. θεματικὸν πρωτονοταράτον, 268.
Θεμιστοκλῆς, 431.
Θεοδότη (μήτηρ Ψελλοῦ), 46.
Θεοδώρα βασιλίς, 209.
Θεοδώρητος Βουλγαρίας, κ, κγ.
Θεοδώρου ἁγίου ναὸς ἐν Εὐχαΐτοις, 158.
θεολόγοι ἡμέτεροι, 540.
θεόμαντις, 471.
Θεομήτωρ, 419.
θεὸς ἐν ἡμιθέοις ὀλίγοις, 233.
Θεοφάνια, 530.
Θεόφραστος, 462.
θεσμογράφος, 206, 209.
Θέτις, 249.
Θεωρίων, 468.
θεωροὶ αἱ, 531.
θήρα πτερωτή, 486. θηράματα ὕδρεια, 232. θηρατικὴ σύνοδος, 232.
θηρίκλειον (ποτήριον), 504.
Θουκυδίδης, 492.
Θούλη, 402.
Θρᾴκης, Θρᾳκησίων (κριτής).
Θρᾳκικὴ χιών, 365.
θράσος ἵππειον, 316.
θρῆνοι ἐπικήδειοι, 29.
θρηνοῦσαι αἱ, 366.
θυγάτριον εἰσποιητόν, 204, 205.
θυμητικὸν τῆς ψυχῆς, 570.
Ἰάκωβος μοναχός, 177.
Ἰάμβλιχος, μα.
Ἰαμβρῆς, 306.
Ἰανῆς, 306.
Ἰασίτης, 434.
Ἰάστιοι ῥυθμοί, 454.
Ἴβηρ, 200, 201, 202. Ἰβηρίτζης Ἰωάννης, 197, 203. Στέφανος, 198, 199.
Ἶβις, 247.
ἰδικός, ὁ, 212. ἰδικοῦ νοτάριος, 277, 278. σέκρετον, 211.
ἰδιόχερον (ἰδιόχειρος), 578.
ἰδίωμα χειρός, 199.
ἰδιωτίας χαρακτήρ, 199.
ἱεραὶ βίβλοι, 492.
Ἱεράκης Κωνσταντῖνος, 370.
ἱεράκιν τό, 570.
ἱερογλυφικὴ τέχνη, 485.

ἱέρεως ἄνθη, 328.
ἱκανάτος, 381. ἱκανάτισσα, 381.
Ἴκαρος, 471.
ἱκέσιον γράμμα, ἱκετηρία, 207, 208, 209, 211.
Ἠλιάς, 14, 118, 139. Ἠλιὰς κακῶν, 207.
Ἠλιάδος κακά, 117.
Ἰλλυρικόν, 160.
Ἰμαῖον ὄρος, 115.
Ἰνδία, 251. Ἰνδοί, 113, 114, 144.
Ἰνδῶν σοφοί, 384.
Ἰνδικὴ ἀποφορά, 108.
Ἰνδὸς ποταμός, 172.
Ἰξίων, 175, 249, 305.
Ἰόλεως, 500.
Ἰουδαῖοι συνεγνωσμένοι ἡμῖν, 152.
ἵππος Ὁμηρικός, 384. Πλατωνικός, 384. ἵπποι ταχυδρομικοί, 532. μείουροι, βλ. κόντουρα.
ἱππόστασις, 532.
Ἰσαάκιος, βλ. Κομνηνός.
Ἰσοκράτης, 314. Ἰσοκράτους ἀστραπαὶ καὶ βρονταί, 150. Ἰσοκράτους σειρήν, 110. Ἰσοκρατικός, 150.
Ἰσραηλῖται, 518. Ἰσραηλιτικὰ κατορθώματα, 140.
ἱστουργία, 66. ἱστουργικὴ πρᾶξις, 530.
Ἴστρος, 330.
ἴσχαιμα, 328.
Ἰταλία, 129, 138. Ἰταλός, 328. Ἰταλῶν ξυνθῆκαι, 175. σοφία, 148, 492. Ἰταλικὴ σοφία (ἡ νομική), 60. Ἰταλικοὶ νόμοι, 171.
ἴυγξ, 475. ἴυγγες μάγων, 289. τριαδικαί, 441.
Ἰωάννης, 299. Μαυροπόδης, ιδ, βλ. Εὐχάϊτα. Ἰωάννης Νομοφύλαξ, βλ. Ξιφιλῖνος. νοτάριος, 374. ὀστιάριος, 373.
Ἰωνία, 151, 515.
Ἰωνιὰ Εὐδοκίας, ἢ μᾶλλον Ψελλοῦ, λβ, μδ. Ἀρσενίου Μονεμβασίας, 544.
Ἰωσήφ, 432.
καβαλλάρης, 570.
καβαλλάρος, 569.
καβαλλικεύω, 563.
Κάδμος, 91.
Καθαρά, 311.
καθαρὸς ἄρτος, 552, 566.
καθαρώτατος (πυρός), 266.
κάθου, 541.
Καῖσαρ, 509.
καῖσαρ ὑπέρτιμος, 295. βλ. Δούκας.
Καισάρεια, 455.
καλλιβλέφαρον ὀλισθηρόν, 328.
Καλλικλῆς, 442.
καλλιπρόεδρος, 468.
Καλλίψυχος, 467.
καλογηρίδιον, 367.
καμηλοπάρδαλις, 114.
κανικλείου (ὁ ἐπὶ τοῦ), 331.
Κανωβικὸν στόμα, 385.
Καπανεύς, 138.
καπηλεῖα δημόσια, 320.
κάπηλος φιλόσοφος, 502.
Καππαδόκης, 412. λεώς, 355.
Καρανιχοῦς, 576.
καρδιοκτυπῶ, 579.
Καριανή, 576.
Καρμήλιον, 136.

καρποφορὰ ἡ, 553.
Κασσάνδρειον μέλος, 203.
κασία, 328.
καταπονοῦν (καταπονοῦσι), 564.
καταστάσεως (ὁ ἐπὶ τῆς), 209.
Κάτων, 92, 123. Κατωνικὴ εὐτονία, 185.
Κατωτικοί, 395.
Καυκάσῳ (σταυροῦμαι ἐν), 250.
Κέβης, 118.
Κεγένης? (νεοφώτιστος), 405.
Κεγχρῆς Ἐλπίδιος, 204, 205. Ἰωάννης πρωτοσπαθάριος, 204. Συμεών, 284.
Κελλία, 270, 311.
Κελτοί, 508.
κενοδρομέω, 540.
κέρας σελήνης, 575.
κερατᾶς, 525.
κῆνσος, 533.
Κηρουλάριος Κωνσταντῖνος, 467. Μιχαήλ, ιθ, κθ, 287, 412, 414, 422, 467, 505. ἀνεψιὸ αὐτοῦ, 513. ἀδελφός, 522.
κιβαρὸς ἄρτος, 552, 566.
Κίμων, 182, 258.
κισσύβιον, 504.
κιτρινοφόρος, 570.
Κλαυδιούπολις, 143, 145.
Κλεάνθης, 445.
κλεπτέλεγχος, 329.
Κλείσοφος (Κλήσαφος), 60.
κλητόριον, 228. κλητώριον, 251, 428.
κλήτωρ, 401, 474.
κλίματα, 448.
κλοποφοροῦμαι, 382.
κρίμα, 550. κρίμαν, 565.
κοινὴ διάλεκτος, 332.
κοινολεξίαι, 525.
κόκκινον σπαρτίον, 422.
κοκκινοφόρος, 570.
Κομνηνοί, 358, 432. Ἰσαάκιος, λ, 300, 315, 353, 357, 416, 433, 485. Μανουήλ, 544. βλ. Δοκιανός.
κόντουρα, 370, 532.
Κορδακᾶς Ἰωάννης, 208.
Κορίνθιος, 447.
Κορίνθου μητροπολίτης, 296.
Κορώνης ἐπίσκοπος, 378.
κοσμαγός, 441.
κόττυφος ἐν Κυλλήνῃ, 478.
Κουζηνᾶς, 300.
κουλούκια, 568.
κούντουρα (κόντουρα).
κοῦφος (πυρός), 266.
κρίσεων (ὁ ἐπὶ τῶν), 409.
κριτής, 375, 394, 399. Αἰγαίου, 297, 388. Ἀνατολικῶν, 273. Ἀρμενιακοῦ, 269. βήλου, 206. Ἑλλάδος, 267, 268, 378, 383. Εὐχαΐτων, 314. Θρᾴκης καὶ Μακεδονίας, 487. Θρᾳκησίων, 279. ἱπποδρόμου, 205. Καππαδοκίας, 354, 412. Κιβυρραιωτῶν, 298, 299, 351. Μακεδονίας, 272, 439, 487. Μακεδόνων, 281. Ὀπτιμάτων, 291. Ὀψικίου, 263, 276, 483. Παφλαγονίας, 280. Πελοποννήσου, 267, 268, 378. Φιλαδελφείας, 459. Χαρσινοῦ, 308 370.

Κρόβαλος (Κρώβυλος), 60.
Κρόνος, 118.
κροτῶ ἀγῶνα, 199.
κρυάδες, 567.
κτηματιτίκια, 311.
κτησείδιον, 492.
κυβαρὸς (κιβαρός).
Κύζικος, 94, 265, 312.
κύκλος ἡλίου, 575.
κύκνειον ᾆσμα, 203.
κύκνοι, 454.
Κυλλήνη, 478.
κυνίδιον γεγλυμμένον, 500.
Κύπριος μῦς, 478.
κῦρ (κύριος) πολλαχοῦ.
Κυρηναϊκὴ παίδευσις, 518.
κώθων, 504.
κωμικοί, μγ.
κωμικὸν τό, 538.
Κωνσταντῖνος Η, 122, 133. Θ′ (Μονομάχος)· μέγας δρουγγάριος 318, 321, 324, 325.
Κώνστας Ψελλός, 177.
λάβρα (λαύρα).
λαγώς, 486. λαγωοῦ αἷμα, 327. ἐπαμφότερον, 326.
Λαΐς, 324.
λάκαινα ἰχνηλάτις, 486.
Λάκων ἐξελιγμός, 470.
Λακεδαιμόνιοι, 245.
λάμια μορμολύττουσα, 17.
λαύρα, 270, 311.
Λεβαδεία, 332, 471.
Λειχούδης, ιγ, κς, λ, 299.
λεκανίς, 504.
λεόντειον στέαρ, 328.
λευκοὶ (ἰχθῦς), 346.
Λέων κουβουκλείσιος, 198.
Λέων ὁ τοῦ Πατρῶν, 333, 356.
λῃστρικὸν σύνταγμα, 346.
Λίβανος, 574.
λιβελλίσιος, 451.
Λιβύη, 515.
Λίβυες, 448.
Λίζικος, 240, 241, 311.
Λίζιξ (Λίζικος).
λῖνος ξεόμενος, 530.
λίτραι χρυσίου, 205, 210.
λογάριον, 202.
Λόγια (Χαλδαϊκά), 572.
λογικὴ πραγματεία, 475, 479.
λογοθέτης, 378, 483. τοῦ δρόμου, 330.
λόγοι ἀστεῖοι, 541. κοινοί, 550. βλ. δημώδεις.
λόγων φῶς, 205.
Λοξίας, 441.
Λυσίας, 442. Λυσιακὴ εὐστομία, 110.
Λύσιππος, 183.
Λυσοκρανῖται, 310.
μά, 367, 580.
μαγγλαβίτης, 197, 198, 201, 202, 203.
μάγιστρος, 213, 277, 278, 341, 372, 394, 423. μαγίστρισσα, 379, 395.
μαγνῆτις λίθος, 326.
μάγων ἴυγγες, 289.
Μάδυτος, 396, 397, 487.
μαῖα, 410.
μαίστωρ 276. Διακονίσσης, 420.

σχολῆς ἁγίου Πέτρου, 87. Χαλκοπρατίων, 428.
μαινίδες ἐκ Λιπάρας, 422.
Μακεδονία, 172, 272, 375, 453, 487.
Μακεδὼν ('Αλέξανδρος).
Μακεδόνος ἐξελιγμός, 470. Μακεδόνες, 395. Μακεδόνων κριτής, 281. στρατηγήματα, 418.
μακροκεντίτης (πυρός), 266.
μαλακόστρακον, 288.
μαλλὶν λύκου, 567.
Μάμας ἅγιος, 580.
Μανιάκης, 138.
μανδατωρίκιον, 349.
Μανλοῦ (Μαυλοῦ?), 579.
Μάξιμος, 446.
Μαραθωνομάχοι, 261.
Μαρία Μιχαὴλ κουδουκλεισίου, 199, 201.
Μαρμαλατοῦς, 579.
Μαρμαροῦ, 578.
Μὴς (μάϊος), 568.
μασθοί, 574.
μαστιγοφόρον τό, 474.
μαστροπεῖα, 503, 504.
Μαυροπόδης 'Ιωάννης (Εὐχάϊτα).
Μαχητάριός, 352.
μεγάλαυχος κάπηλος, 502.
μέγας οἰκονόμος, 266.
μεθυστής, 554.
μείουρος (κόντουρος).
μελάνη (μέλαινα), 570.
Μελετινή, 573.
μελίνη, 434.
μελίδωτον, 328.
Μελισσηνὸς Βασίλειος, 310.
μέλος, Κασσάνδρειον, κύκνειον, λοίσθιον, 203. μέλη ἐκκλησιαστικά, 156, 159. 'Οφρικά, 410.
μὲν (μή), 567.
Μένανδρος, μγ, 59, 60. Μενάνδρεια, 538.
Μένανδρος ὁ ῥήτωρ, ιϐ.
Μενέκρατος, 118.
Μένων, 148.
μεσάζων, κδ, κς.
Μεσοποταμία, 459.
μετριότης ὑψοποιός, 337
Μηδίκιον, 264, 311.
Μῆδοι, 112, 222.
μύκητες σπαρτοί, 328.
μῆλα ἐρυθρότατα, 328.
μῆνας ὁ, 568.
μητέρα ἡ, 580.
Μητρόδωρος, 141.
Μίθαικος, 468.
Μιθριακὴ τελετή, 322.
μικροὶ βασιλικοὶ νοτάριοι, 205.
Μιλήσιοι, 240.
Μιλτιάδης, 468.
Μίνωες, 279.
μίου ἄνθη, 328.
Μιτυλήνη, 134, 136.
μῖτοι στημόνων, 531.
Μιχαὴλ ἀρχάγγελος, 579. ἀδελφὸς Λέοντος κουδουκλεισίου, 198, 199. βέστης, 342. 'Επιληπτικός, 125, 135. θεσμογράφος, 209. Καλαφάτης, 126, 128, 136. (Κηρουλάριος). κριτὴς Κιϐυρραιωτῶν 298, 299. μάγιστρος, 341. μο-

ναχός, 470. νοτάριος, 472. (Ψελλός).
μνηστείας διάλυσις, 206.
μοιραγέται, 382.
μολυβδόω, 573.
Μολωνίδαι, 516.
μοναπλόν, 553.
μοναστηριτίκιον, 376.
μοναστήριον, 264, 342.
μοναχικὸς βίος, 484.
μοναχοὶ ἐν Γάνῳ, 399.
Μονομάχος Κωνστ. 106, 130, 154, 204, 259, 405, 423.
μορμολύττουσα (λάμια).
μουλάριον, 299.
Μουντανίων μονή, 426.
Μοῦσαι ἀπροσδιόνυσοι, 322.
Μουσαῖος, 59.
μουσική, 473.
μουσικὸν μέσον, 240.
Muralt, λγ.
μυαλός, 560.
μῦδρος ἐγγράμματος, 533.
μῦθος Φαέθοντος, 90.
Μυῖα, 578. Μυιᾶ, 579.
Μυραλίδης Θεόδωρος, 209.
μῦς ἐμπροάδιος, 364.
μυστικὴ ὑπηρεσία, 214.
μυστικὸς ὁ, 358.
μυστογράφος, 206, 209.
Μυσῶν ὁρίσματα, 161.
μωροῦ λίθος, 543.
Μωροχαρζάνου μονή, 342, 343.
Μωρρᾶ, 578.
νά, 548, 562, 568.
Ναζιραῖοι, 159, 490.
Ναρσοῦ μονή, 190.
ναυπηγική, 529.
νάφθα Μηδείας, 327.
Νεῖλος, 330, 385.
νεκρωτής, 549.
Νεοθεαίτητος, 187.
νεοτελής, 431.
νερόν, 545.
Νέστωρ, 138, 170, 223. Νέστορος υἱοί, 528. γλῶσσα νεστόρειος, 353.
νηπενθές, 327.
Νικαεύς, 344.
Νίκανδρος, 92.
Νικηφορίτζης, λθ, 344.
Νικηφόρος Ἐφέσου, 102.
Νικόλαος ὁ ἐπὶ τῶν δεήσεων, 214.
Νικόλαος μοναχός, 292.
Νινευί, 569.
Νινὴ (τὸ γυνὶ = ὑνίον?), 569.
Νιόβη, 365.
Νομάδες Σκύθαι, 144, 468, 515.
νόμισμα, 422.
νομοθέτης δικῶν, 217.
νομοθετική, 109.
Νομοφύλαξ (Ἰωάννης Ξιφιλῖνος).
νοτάριος, 260, 272, 342, 374, 375, 378, 379. βασιλέως, 305, 485. μικροὶ βασιλικοὶ νοτάριοι, 205. ἰδικοῦ, 277, 279.
Νουμερικῶν ἐπίσκοπος, 257.
νυκτερινὸν φάσμα, 571.
νυκτερίς, 478.
νυκτικόραξ, 478.
νύμφαι μακρόβιοι, 189.
νυμφίδιον, 221.

ξανθὴ βασίλισσα, 570. χολή, 570.
Ξενοκράτης, 110.
Ξηρῖται, 209.
Ξηρός, κριτὴς καὶ πραίτωρ Θρακησίων, 279, 282.
Ξηροχωραφίτης, 312.
Ξιφίας πατρίκιος, 200.
ξιφηφόρον, 474.
Ξιφιλῖνος Ἰωάννης, Νομοφύλαξ καὶ πατριάρχης, ις, μϐ, 181, 270, 276, 444. Κωνσταντῖνος, 499.
ξυστίς, 434.
Ὁδηγοὶ προάστειον, 494.
Ὀδυσσεὺς ποικιλόφρων, 138.
οἰκειακῶν (ὁ ἐπὶ τῶν), 259, 421.
οἰκοδομική, 529.
ὀλισθηρὸν καλλιϐλέφαρον, 328.
Ὄλυμπος (Βιθυνικός), 261, 314, 344. ὁ βορειότατος, 115. Ὀλύμπου ἀρχιμανδρίτης, 469. μοναχός, 262, 424.
Ὅμηρος, μγ, 59, 117, 118, 139, 225, 271, 479. Ὁμηρικαὶ ἀλληγορίαι, 92. μελέται, 59. Ὁμηρικὴ Καλλιόπη, 110. νύμφη, 480. Ὁμηρίδης, 92. Ὁμηρίδαι, 189.
ὀμφαλῖτις μεσότης, 517.
ὀμφαλοτόμος ἡ, 409.
ὀνοματοθέτης, 526, 527.
ὀξύρυγχος χαρακτήρ, 199.
ὀξύτης περὶ τὸ γράφειν, 252.
ὅπου, 547, 551, 562:
Ὀπτιμάτων δικαστής, 291. βλ. κριτής.
ὁρατικὴ δύναμις, 572.
Ὀργάνου Ἀριστοτέλους παράφρασις, 499.
ὀρειφοίτης, 448.
Ὀρέστης, 571.
ὀρθογραφία ἐν μὴ ὀρθογραφίᾳ, 199.
ὀρίγανον, 328.
Ὀρφεύς, 57, 59. Ὀρφέως μέλη, 410.
Ὀρφικὴ ἐμμέλεια, 508. πειθώ, 110. Ὀρφικὰ κρούματα, 408.
Ὀρφικὰ ἔπη, 571.
ὀσαυταχῶς, 353.
ὀσπήτιον, 303.
ὀστιάριος 373.
ὀφθαλμίζω φυτόν, 516.
ὄφις (ἰχθύς), 422.
Ὀφρυδᾶς, ιε, 181.
ὀψάρια, 562.
ὀψαρτυσία, 289.
Ὀψίκιον, 263, 276, 483.
Παιανιεὺς (Δημοσθένης).
παίδευσις Ἀκαδημαϊκή, Ἐπέχουσα, Ἰωνική, Κυρηναική, 518.
Παιδοπνίκτρια, 578.
Πακτωλὸς χρυσόρειθρος, 137.
παλαιστιαῖος τὸν νοῦν, 539.
Παλαιστίνη, 509.
Παλατιανοῦ ἱστορία, με.
παλάτιον, 308.
Πᾶν, 126.
Παναθήναια, 322, 431.
πάνανδρος, 478.
Πανελλήνια, 431.
Πανελλήνιον θέατρον, 499.
Πανίου ἐπίσκοπος, 281.
παπᾶς, 491.

παραδυναστεύων τῷ βασιλεῖ, κε.
παράθυρος ἡ, 415.
παρασημείωσις σκιώδης, 367.
Παρασπόνδυλος, 365.
παρθενικόν, 329.
Πάρθοι, 172.
Παρμενίδης, 57.
Παρμενίων, 187.
Παρνασοῦ ἐπίσκοπος, 294, 295.
πάροικοι μοναστηρίων, 381.
Παταξαρέα, 579.
Πατζινάκαι, λ.
Πάτραι, 333, 356.
πατρίκιος, 200, ἀπὸ πατρικίων, 208. Ξιφίας, 200.
Πατρίκιος, 381.
Παῦλος ἀσηκρῆτις, 253. Σαμοσατεύς, 252.
πέδιλον χρυσοῦν, 510.
πείθουν, 546, 564.
Πειραιεύς, 379.
Πελαγία, 578.
Πελοπόννησος, 258, 267, 268, 378.
Πέλοψ, 333.
Πελοπιδῶν ἐλεφάντινος ὦμος, 364.
πελταστής, 323.
Πελτιανός, με.
πένησα, 421.
πεντάλιτρα, 568.
περδίκιον, 569. περδίκεια ᾠά, 259.
περίβλεπτος ἄνθρωπος, 255.
Περικλῆς, 182, 258, 431. Περικλέους σύννοια, 245.
περιρραντήρια, 4_5.
περισσεύω, 566.
περιστερὰ φλογοποιός, χαλκῆ, 521.
Πέρσαι, 129, 222, 508. Περσῶν ἡγεμόνες, 112, 420.
Περσεύς, 129.
Πετασία, 575.
πετραία, 555.
Πέτρου ἁγίου σχολή, 87.
Πετώμενη, 578. Πετωμένη, 579.
Πεινειός, 431.
πηχυαῖος τὸν νοῦν, 539.
πιάνω, 579.
πιθήκεια πηδήματα, 404.
Πικρίδης Βασίλειος, 197, 198, 199.
Πίνδαρος, 92, 169, 538. Πινδαρικὴ ᾠδή, 110.
πιττάκιον, 200. προσκυρωτικόν, 211.
πλαίσιον, 47).
Πλάτων, μϐ, 66, 117, 131, 141, 148, 151, 154, 171, 182, 187, 188, 189, 196, 245, 246, 362, 363, 403, 441, 444, 452, 454, 460, 462, 476, 477, 480, 502. Πλάτωνος πολιτεία, 123, 527.
Πλατωνικὸς φιλόσοφος, 447.
Πλατωνικοὶ κρατῆρες, 502.
Πλατωνικὸν βιβλίον (ἡ φιλοσοφία), 472.
πλέκ, 560.
πληκεύω, 570.
πλινθίον, 470.
Πλωτῖνος, μ.
Πόθος, 496.
ποιητής (ὁ Ὅμηρος), 538.
Ποικίλη στοά, 268.
πολεμῶ (κατασκευάζω), 580.
Πολέμων, 110.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πόλις (Βυζάντιον), 229, 298, 302, 342, 357, 369, 393, 396, 397, 417, 455, 488, 491, 578.
πολιτεία ἁγίου, 575.
πολιτική, κϐ, 492.
πολιτικοὶ στίχοι, 544.
πολυϐασανίζω, 575.
πόρτα, 569, 570. πορτίτζα, 570.
πορφύρα βασιλική, 387.
Πορφύριος, 189, 329, 475. ἀγυρτικαὶ βίϐλοι, 571, 572.
πορφυρογέννητοι βασιλεῖς, 390.
ποτήρια· ἀμαστίς, θηρίκλειον, ἐλέφας, δακτυλωτόν, ἡδυπότις, ἡμίτομον, Ἡρακλῆς, λεκανίς, κισσύϐιον, κώθων, 504.
πραίτωρ Θρᾳκησίων, 282. Πελοποννήσου, 344.
πράκτωρ, 267, 296.
πρεσϐεῖαι ἐθνῶν, 109, 112.
Πριάμου πόλις, 94.
Πρίηπος, 126.
προάστειον, 197, 202, 214.
πρόεδρος, 272, 309, 423. Μαδύτου, 397. Ψελλός, 406.
προεδρία, 357, 498.
πρωθυπουργὸς Βυζαντινός, κϐ.
προικὸς ἐφόλκια, 214.
Πρόκλος, 132, 189.
Προκόπιος Κατωτικός, 396.
προλήψεις γυναικωνίτιδος, 28. ζευγιτῶν κατὰ μοναχῶν, 174. βλ. δημώδεις δεισιδαιμονίαι.
Προμηθεύς, 249.
προμνήστρια, 530.
πρόοδος τακτός, 442.
προσκαθήμενοι, 373.
προτεμενίσματα, 425.
Πρωταγόρας, 132, 183.
πρωτασηκρῆτις, με, 171, 213, 216, 253, 420, 451.
Πρωτεύς, 401.
πρωτεύων Ρωμαίων, 123.
πρωτοϐεστιάριος, 262, 309, 455.
πρωτολογίας εἰσαγωγή, 216.
πρωτονοταράτον, 268.
πρωτονοτάριος τοῦ δρόμου, 351, 372, 373.
πρωτοπρόεδρος, με, 219, 468.
Πρῶτος Γάνου, 397.
πρωτοσπαθάριος, 198, 199, 204, 205, 211. πρωτοσπαθαράτον, 205, 210, 211.
πρωτοσύγκελλος, 232, 234, 365.
Πτωχοπρόδρομος, 544.
Πυθαγόρας, 60, 171, 465.
Πυθία, 512.
Πύθιος θεός, 441.
Πύλιος γέρων (Νέστωρ).
πύργοι ἐρεσσόμενοι, 111.
πύρινος (πυρρός), 570.
Πυριφλεγέθων, 248.
πυρρώνειον ἔπος, 232.
πυρῶν ἰδέαι· μακροκεντίτης, διμηνίτης, μέλας, ὁ ἀρίστην σεμίδαλιν ἐργαζόμενος, καθαρώτατος, κοῦφος καὶ διάκενος, 266.
πωγωνίας κομήτης, 382.
Πῶλος, 442.
πῶλος (Ἀριστοτέλης), 188. πωλικὸν φρύαγμα, 246.
πῶλος πρωτόζευκτος, 343.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πῶρος ὁ Ἰνδός, 110.
Ραδάμανθυς, 279.
ῥήματα ἐπιτραπέζια, 408.
ῥητορική, 482. οἰκουρός, πάνδημος, 442.
Ροβέρτος δοὺξ Λογγιβαρδίας, 385, 388.
ῥογεύω, 580. ῥογεύομαι, 202.
Ροδινῶται, 483.
ῥόμβος, 475.
Ρουστικός, 509.
Ρωμαῖος (Ἀθηναῖος), 522.
Ρωμαίων ἀξίωμα, 433. βασιλεία, 425. βασιλεῖς, 133. γένος, 207. γῆ, 432, 433. ἡγεμονία, 125. ὅρια, 126. σκῆπτρα, 128, 133. ὕπατοι, 174.
Ρωμανία (ἑλληνικὴ Ἀσία), 225.
Ρωμανὸς Β, 119. Δ, (Διογένης). μητροπολίτης Κυζίκου, 456.
Ρώμη νέα (Βυζάντιον, 121, 128, 224. παλαιά, πρεσβυτέρα, 138, 509.
Ρωμύλος, 141 521.
Ρωσικὴ μοῖρα, 138.
Σαββαΐτης, 269.
Σαβῖνος παπᾶς, 491, 493.
σάγια, 567.
σαλός, 424, 554.
σάλπιγξ κοσμόφθογγος, 350.
Σάμος, 339.
Σαπφώ, 59. Σαπφικὴ λύρα, 110,
σάρισσα, 173.
σατυρικὸν τό, 538.
Σαυρομάται, 113.
σγούρα ἡ, 570.
σεβαστή, 369.
Σεβαστὸς (Αὔγουστος), 509.
σεκρετικὰ ζητήματα, 232. σεκρετικὴ συλλογή, 232.
σέκρετον Ἀντιφωνητοῦ, 205. ἰδικοῦ, 211, 277.
σελάχιον, 288.
Σέλευκος, 128, 141.
σελήνης κέρας, 575.
Σεμέλη, 334.
Σηνόδωρος ἅγιος, 574.
Σιβύλλαι, 59.
Σίδη, 321.
Σικελία, 128, 171.
σιλογράφος, 476.
Σιμμίας, 118.
Σινᾶ, Σιναῖον, Σίναιον ὄρος, 115, 190, 427, 449.
Σίνης ἅγιος, 574.
Σισίνιος ἅγιος, 574.
Σισόης, 190.
σιτηγὸς ὁλκάς, 266.
σῖτος (βλ. πυρῶν εἴδη).
σιτοφθόρος αἶρα, 553.
σκελίζω, 549.
σκέλος βάνω, 548.
σκηνὴ ἀργυρόδετος, ξυλόφρακτος, χρυσόσημος, 445.
Σκιπίων, 122.
Σκληρός, 120.
σκοῦρος, 564.
Σκύθαι, 120, 121. Σκυθῶν ἐπιδρομή, 222. ἐρημία, 268. βλ. Νομάδες.
Σκύθης τὴν ψυχήν, 308.
Σκυλίτζης, κη.

σκύλλα, 568.
σμυρνομένων, 475.
σολοικισμοί, 427.
Σολομῶντος βιβλίον, 572.
Σοφία, 504.
σοφιστικὸς θρόνος, 481.
Σοφοκλῆς, 538.
σπαθάριος, 205.
Σπαρτιᾶται, 245.
σπένδω Ἄρει, 331.
σπουδάζομαι, (σπεύδω), 568.
σταυροῦμαι ἐν Καυκάσῳ, 250.
στέαρ ἀετοῦ, κορώνης, 478. χηνός, 327.
στεφάνη χρυσῆ, 306.
στέφανος ἀρίστειος, 335.
Στέφανος, 448.
Στραβοσπόνδυλος Λέων, κζ.
στρατηγὸς Ἀβύδου, 423.
στρατηγικοὶ νόμοι, 316.
στρατιωτικοὶ χρησμοί, 471.
στρεπτὸς λιθοκόλλητος, 306.
Στρίγκλα, 578.
στρογγῦλος χαρακτὴρ, 199.
στύππειον, 363.
στωϊκοὶ φιλόσοφοι, 172.
συγγομή, 310.
σύγκελλος, 269, 456.
Συγκέλλου μονή, 177.
συλληπτικόν, 328.
συμβόλαιον νομίμου συναφείας, 199.
Συμεὼν Κεγχρῆς, 284. νοτάριος ἰδικοῦ, 277, 278.
σύμπονος, 503.
σύμπτωχος ἐπισκοπή, 344.
συναττάλω, 411.
Συνέσιος, θ.
συνηγορῶν, 210 — ούμενος, 208.
συντυχαίνω, 567.
Συρία Κοίλη, 403.
Σύρος ὁ, 354.
σχολὴ ἁγίου Πέτρου, 87.
σφάκελλος δικαιωμάτων, 198.
Σωζόπολις, 274.
σώνω (φθάνω), 569.
Σωκράτης, 171, 174, 187, 481. Σωκράτους δαιμόνιον, 443. Σωκρατικοὶ διάλογοι, 118. Σωκρατικὸν ἦθος, 255.
τακτὸς πρόοδος, 442.
ταξείδιον (ἐκστρατεία), 230, 300, 305.
τάξεως (οἱ ἐπὶ τῆς), 367.
ταξεώτης, 264, 291.
Τάνταλος, 249, 305.
Ταρσοῦ μητροπολίτης, 497.
ταχυδρομεῖον, 532. ταχυδρομοῦν ὑποζύγιον, 532.
τελεστικὴ ἐπιστήμη, 474.
τελεταὶ Ἀσσυρίων, 401.
τελετάρχης, 441.
Τελχῖνες, 175, 278.
τερεβίνθη, 327.
Τερτίας (Τερεσίας?) 122.
τέσσαρεις οἱ, 565, 570.
Τεῦκρος, 173.
τεχνουργοῦσα ἡ, 530.
Τιθωνός, 266.
Τίμαιος Πλάτωνος, 477, 505.
Τιμαρίων διάλογος, κ.
Τίμων, 187.
Τιτᾶνες, 118.

τοπίον, 342.
τοσαυταχῶς, 353.
Τοῦρκοι, 222, 224.
τούρμα, 423, 487.
τουρμάρχης, 423, 487.
τραγικὸν τό, 538.
τραγῳδὸς (Εὐριπίδης), 407.
Τραϊανός, 573.
τρικάρηνον, 474.
τρίμηνον παπᾶ Σαβίνου, 491, 493.
τρίμορφον, 474.
τρίχες μετώπειοι ἵππων, 533.
τρίχρωμος γῆ, 478.
τρύγιον, 312.
Τρῷες, 170.
Τρωϊκῶν ἀρχαιοτέρα, 60.
τύρος (τυρός), 580
Τυφών, 442.
ὑμέναιος ἄχορδος, ἄναυλος, 323.
ὑπατεύω φιλοσόφων, 204.
Ὑπερβόρεοι, 113.
ὑπέρτιμος, 168.
ὑπογραμματεύω, 214.
ὑπογράφω, 198.
ὗς ποτάμιος, 288, 290, 291.
Φάβος (Φάβιος), 122.
Φαέθοντος μῦθος, 90.
Φαῖδρος, 118, 441.
Φαίδων, 196, 505.
φαρακλὸς (φαλακρός), 568.
φαρμακοῦμαι, 580.
φάσμα νυκτερινόν, 571.
Φερέβιος μοναχός, 424.
φθορεός, 526.
Φιλαδέλφεια, 459.
φιλελληνισμὸς Ψελλοῦ, μ.
Φιλιππίζω, 395.
Φίλιππος, 261.
Φιλιστιέων φρέατα, 364.
Φιλοχαλία Ὠριγένους, 152.
φιλοσοφία, 233, 256, 482. ἀπόρρητος, 448, 465, 540. ἡμετέρα, 465. καπηλική, 503. Πυθαγόρειος, 60, 465. χριστιανική, 442.
φιλοσοφίας ἡγεμών, 475.
Φιλόσοφος, 505.
φιλόσοφος τράπεζα, 464.
φιλοσόφων ἄκροι, 152. ὑπατεύω, 204.
φιλοσοφώτατος ἄνθρωπος, 255.
φιλοτιμίας λόγος, 205.
Φιλότιμος (Φίληβος?) Πλάτωνος, 477.
φλέμα, 570.
Φλουρῆς, 580.
φλύαρον ἀγαθόν, 352.
Φλώριον χωρίον, 214, 215, 216.
Φλῶρος, 459.
Φοιβάμων, 141.
Φοῖβος, 463.
Φοίνικες, 91.
φοινικοβαφεῖς πόδες, 306.
φοινικοῦν γράμμα, 536.
φόροι, 375.
φορολόγος, 440.
φουσάτον, 570.
φρεωρυχία, 364.
φροντιστήριον, 265.
Φρυγῶν ὁρίσματα, 161.
φυλακτήριον, 580.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

φύσις λογιωτάτη, 240.
Φωναὶ Πορφυρίου, 329.
Φωκίων, 93, 185, 462, 507, 513, 522.
Φώτιος, θ, λθ.
Χαλδαῖοι, 444, 449, 451, 492. λόγοι, 152. πυρκαϊά, 510. φιλοσοφία, 502. βλ. Αἰγύπτιοι καὶ Ἀσσύριοι.
Χάλεφ Ἰεφανῆ, 306.
Χαλινοκτυπῶ, 574.
χαλινοποιητική, 529.
Χαλκῆ (Χάλκη νῆσος), 381.
Χαλκοπρατία, 428, 573.
χαλκοτύπος, 530.
Χαμοδράκαινα, 578.
χαρακτὴρ ὀξύρυγχος, στρογγῦλος, 199.
Χάρων, 265.
Χαρωνίτης, 357.
Χάριτες, 322.
Χαρχαρίστρια, 579.
Χαρχανιστρέα, 578.
Χαρσινοῦ κριτής, 308, 370.
Χασάνης βεστάρχης, 272, 439.
Χατατούριος, 395.
Χείρων μιξάνθρωπος, 523.
χελῶναι, 326. χελωνῶν ξύλα, 470.
χερέα ἡ, 545.
Χερουβὶμ χρυσᾶ, 163.
χηνὸς στέαρ, 327.
Χίος, 339.
χοὰὶ (μέτρον ἐλαίου), 264.
Χοιροβάκχοι, 306.
χοιρογρύλλιος, 474.
Χοιροσφάκτης Εὐστράτιος, 372, 470.
χολὴ ξανθή, 570.
χορεῖος ἐξελιγμός, 470.
χορεύω ἐν Ἑλικῶνι, 250.
χοροστασίαι, 156. Ναζιραίων, 159.
χριστέμποροι, 503.
Χριστοῦ γέννα, 572.
Χριστοφόρος, 383.
Χρονογραφία Ψελλοῦ, 383.
χρυσίον κεχαραγμένον, 205.
Χρύσιππος, 217, 445. Χρυσίππου στοά. 472.
Χρυσοβαλαντίτης, 296.
χρυσόβουλλα γράμματα, 487.
χρυσόβουλλος γραφή, 423. δωρεά, 197, 200, 201. λόγος, 217.
χρυσόβουλλον, 197, 199. χρυσοβούλλου ἐπικύρωσις, 397.
χρυσοτελὴς θέματος, 258, 259, 276.
ψαλλόντων κύκλοι, 156.
ψελλίζουσα φωνή, 225.
Ψελλὸς Κώνστας, Μιχαήλ, 14, 54, 177, 204, 275, 281, 307, 308, 338, 352, 356, 357, 359, 360, 361, 365, 413, 417, 423, 427, 259, 482, 487, 490, 491, 493, 506, 508, 513, 544, καὶ ἀλλαχοῦ. Ψελλοῦ θυγάτηρ, Στυλιανή, 62. μήτηρ, 3. κ. ἐξ. πατήρ, 9, 32, 37.
Ψηφᾶς, 490, 492.
ψίανθος, 434.
ψοφῶ (θνήσκω), 580.

ψυχὴ Ἀτλαντική, 259. γιγαντιαία, 259. ἡγιασμένη, 232. θεία, 238. φιλοσοφωτάτη, 235. φιλτάτη, 238.
Ψυχρανοσπάστρια, 575.
ψωμία, 560.
Ὠάνης Ἀσσυρίων βασιλεύς, μα.
ὠκεανὸς πρὸς ἑσπέραν, 513.
ὠκυτόκιον, λίθος Γαλάτης, 328.
Ὠριγένης, 152.
ὡς εὕρῃς, 556.
ὤτων λεπτά, 533,
Ὦχος, 112.